Τὸ δ' αὐτὸ καὶ βασιλεὺς ὁ νέος σὺν δομεστίκῳ τῷ μεγάλῳ λυσιτελεῖν αὐτοῖς ἡγησάμενοι, πρὸς τὸν Κράλην διαπρεσβεύσασθαι περὶ συμμαχίας, τὸν Καλλίνικον μεταπεμψάμενοι, καὶ περὶ τῆς τοῦ Κράλη συμμαχίας καὶ φιλίας διαλεχθέντες, καὶ πείσαντες ἐκ τοῦ ῥάστου διὰ τὸ καὶ αὐτὸν τὴν πρεσβείαν ταύτην τῷ Κράλῃ νομίζειν λυσιτελεῖν, ἄλλως δ' ὅτι καὶ πρὸς Συργιάννην αὐτῷ φιλίας ἐνέχυρα καὶ πρότερον ἦσαν, ἐξαποστέλλουσιν. Ὁ δὲ, σπουδῇ καὶ προθυμίᾳ πολλῇ τὴν ὁδὸν τάχιστα διανύσας, τῷ Κράλῃ τε συγγενόμενος, καὶ τὴν τοῦ νέου βασιλέως ἀπαγγελίας πρεσβείαν, εὗρε καὶ αὐτὸν ὥσπερ ἔρμαιον ἡγησάμενον τὸν καιρὸν, καὶ παντὶ σθένει συμμαχήσειν ὑπισχνούμενον τῷ νέῳ βασιλεῖ, πρὸς τῷ καὶ χάριν εἰδέναι, εἰ μόνον τοῦ πάππου καὶ βασιλέως ἀποστὰς, πρὸς τοῖς μέρεσι γένοιτο Μακεδονίας· ᾤετο γὰρ τὴν πρὸς αὐτὸν συμμαχίαν κάκωσιν εἶναι τῶν τοῦ κηδεστοῦ καὶ βασιλέως πραγμάτων. Λαβὼν τοίνυν ὁ Καλλίνικος τὰς ἐπαγγελίας, ἐπάνεισι πρὸς τὸ Βυζάντιον κατὰ τάχος, καὶ χαίρων ὀφθεὶς τῷ βασιλεῖ χαίροντι ἀπήγγελλέ τε τὰ τῆς πρεσβείας, καὶ τὴν συμμαχίαν αὐτῷ τοῦ Κράλη ἐν βεβαίῳ κεῖσθαι διϊσχυρίζετο, ἢν μόνον πρὸς τοῖς μέρεσι γένηται Μακεδονίας. Οὕτω μὲν καὶ περὶ τῆς τοῦ Κράλη συμμαχίας ὁ νέος Ἀνδρόνικος κατεπράξατο. Τὸν μέντοι βασιλέα καὶ πάππον ὁρῶν τοῖς ἤθεσι καὶ τοῖς λόγοις τῆς προτέρας δυσμενείας οὐχ ὑφιέμενον, τὰ πρὸς τὴν ἰδίαν φυλακὴν ἐξηρτύετο καὶ αὐτός, τοῦτο διανοούμενος, ὡς, εἰ μὲν τρόπῳ δή τινι διαλυθείη τὰ δυσχερῆ, ὑπὸ τῷ βασιλεῖ καὶ πάππῳ τελέσων ἄχρις ἂν ἀποστῇ τοῦ ζῆν· εἰ δ' ἐπὶ τὰ πρόσω προΐοι καὶ ἤδη πρὸς τέλος ἐγγίζοι κακὸν, τότ' ἤδη τῆς βασιλίδος τῶν πόλεων ἀποστὰς, ἑαυτόν τε διασώζοι καὶ τοὺς συνόντας. Ἐν τοῖς τοιούτοις δὴ τριβομένου τοῦ χρόνου, καὶ ὁ Συναδηνὸς Θεόδωρος ὁ καὶ πρωτοστράτωρ ἧκεν εἰς Βυζάν- B Is et magnus domesticus e re sua futurum statuentes, si legationem de coeunda secum belli societate ad Cralem mitterent, Callinicum arcessentes, et cum eodem de amicitia et armis cum Crale conjungendis sermonem miscentes: facileque homini consuadentes, quod ipse hoc etiam æque Crali conducturum sentiret, tum etiam quod vetus ei cum Syrgianne necessitudo esset, legatum eum mittunt. Missus Callinicus festinatione et alacritate mira celerrime confecto itinere, cum Crale congressus, legationem junioris imperatoris exponit. Ille similiter de oblata commoditate, tanquam de inexspectato lucro (79) sibimet gaudet, gratias insuper agit, atque ad nepotem adjuvandum vires **26** suas omnes spondet: dummodo ab C avo remotus, juxta Macedoniam consideat; sic enim expeditionem suam auxiliariam soceri rebus damnosam fore confidebat. Cum tali pollicitatione Callinicus magnis itineribus Byzantium se recipit, successumque legationis suæ læto imperatori lætus edisserit: certam et indubitatam esse Cralis societatem asseverat, tantum propter Macedoniam se collocet. De Crale quidem ad suas partes adjungendo Andronicus minor hoc fecit. Animadvertens autem avum de pristina malevolentia nec moribus, nec verbis remittere, securitati suæ prospiciebat, proponens apud animum, si quo modo tam turbida tempestas sedaretur, in avi arbitrio manere, quandiu illi vita suppeditaret: sin ulterius pro- D gredereturque furor ad effectum inclinaret, imperatricem urbium deserere, et se cum suo grege conservatum ire. Dum in his tempus ponitur, Theodorus Synadenus protostrator vacatione accepta ab Occidente Byzantium venit: Prillapum siquidem, finitimaque loca, et inferiora Macedoniæ oppidula procuraverat, vir domo nobilis, et amplis-

Jacobi Pontani notæ.

(79) Ἔρμαιον dicitur pro lucro insperanti objecto seu inopinato, et adventitio; ut cum quis in itinere aliquid fortuito invenit (quod etiam εὕρημα propterea appellatur, quasi dicas, inventum). Hinc quidquid boni nobis contingit (præsertim, si præter opinionem atque spem), id εὕρημα vocatur. Budæus a Platone in *Phædone* poni ait pro bono inexspectato, ac pro sorte exoptanda, quæ forte fortuna nobis oblata sit. Ratio nominis est a Mercurio, qui Græcis Ἑρμῆς et viis, nuntiis, lucro præest, et in *Amphitryone* Plauti est ita loquens:

Nam vos quidem id jam scitis concessum et datum
Mihi esse ab diis aliis, nuntiis ut præsim et lucro.

Si plures iter facerent, et unus boni quidpiam in via jacens repererat, alii, qui id secum dividi, seu commune vellent esse, dicebant κοινὸς ἑρμῆς, Latine, *in commune*. Observat Turneb. lib. XXVI, cap. 14.

Digitized by Google Распознавание текста ABBYY FR

simo genere natus. Nam qua de matre, imperatores attingebat, quod ea fratre Michaelis primi imperatoris Palæologi procreata esset : pater in Occidente apud Dalmatas Pologum toparchiam obtinebat. Quam quia una secum Michaeli jam dicto obtulerat, ejusque ditioni subjecerat, eximios apud Romanos honores adeptus, et consobrinæ imperatoris copulatus, superboque conjugio dignatus fuerat. Hic ut Byzantium intravit, seniorisque ad juniorem pessumdandum et evertendum dicta factaque omnia percepit, cum detestatione tantæ iniquitatis incredibilem animo dolorem persensit. Quamobrem juvenis et magnus domesticus majorem in se concipientes audaciam (præsertim quod et antea protostratorem bene sibi cupientem habuissent, plus tamen magnus domesticus, ex eo quod Adrianopoli cum Michaele imperatore ambo vixerant, temporis longinquitate amicitiam confirmante) faciendum sibi existimarunt, ut cum eo provinciam suam communicarent : non solum qua amicus, sed etiam qua vir fortis, qua belli gerendi peritus, qua consideratus : quæ virtutes talibus in **27** negotiis maximopere expetuntur. Igitur quæ imperator nepoti denuntiasset, quid responsi redditum esset, quænam ipsi adhuc deliberassent, illi aperiunt. Ea protostrator omnia comprobans, se perpetua communitate qua consiliorum, qua periculorum cum eis devinxit. Convenit etiam illis cum nepote, nemini Romanorum ullo pacto arcana detegenda, præterquam tribus hisce, nempe magno domestico, Synadeno protostratori, Syrgianni : adhæc Latinis Genuensibus tribus, quorum erat imperatori perspecta fides, quique illis ad fugam Byzantio Christopolin magno possent esse adjumento. Ternas quippe triremes suo, septenas imperatoris sumptu armaturos promiserant : ut numerus earum denarius et ad fugam, si fugiendum, ei subserviret, et apud Christopolin simul bellum toleraret, quoad res suas ordinasset. Nomina eorum fuerunt, e gente quidem Auriarum Raphon Auria (80), e Spinularum, Fredericus Spinula (81), ex Temarensium, Raphon Temar (82). Denuo cum his

A τιον ἐκ τῆς ἑσπέρας παραλυθεὶς τῆς ἀρχῆς· ἐπιτρόπευε δὲ Πριλλάπου καὶ τῶν περὶ αὐτὸν χωρῶν τε καὶ πολιχνίων κατωτέρω Μακεδονίας. Ἦν δ' ὁ Συναδηνὸς οὗτος ἐξ εὐπατριδῶν, καὶ τὸ γένος περιφανής· μητρόθεν μὲν γὰρ εἰς βασιλέας ἀνῆγε τὰς τοῦ γένους σειράς, ἐξ ἀδελφοῦ τοῦ πρώτου τῶν Παλαιολόγων βασιλεύσαντος Μιχαὴλ τῆς μητρὸς αὐτῷ γεννηθείσης· ὁ δέ γε πατὴρ, τοῦ πρὸς ἑσπέραν κατὰ τὴν Δαλματίαν λεγομένου Πολόγου τοπάρχης ἦν, ἣν δὴ τοπαρχίαν σὺν ἑαυτῷ τῷ πρώτῳ τῶν βασιλέων προσαγαγὼν Παλαιολόγῳ τῷ Μιχαὴλ, καὶ ὑποχείριον ἀποδείξας αὐτῷ, τιμῶν τε ἠξιώθη μεγάλων παρὰ Ῥωμαίοις, καὶ γάμου κοινωνίας ἐπιφανοῦς, τῇ βασιλέως ἀνεψιᾷ συναφθείς. Οὗτος τοίνυν ὁ πρωτοστράτωρ ἐκ τῆς ἑσπέρας, ὥσπερ ἔφημεν, εἰς Bυζάντιον ἀφικόμενος, καὶ ὅσα πρὸς βασιλέως εἴρηταί τε καὶ πέπρακται ἐπὶ τῇ καταλύσει τοῦ ἐγγόνου καὶ βασιλέως ἀκηκοὼς, ἠγανάκτει τε οὐκ ἀνεκτῶς, καὶ πολλὴν κατεγίνωσκε τοῦ πράγματος ἀγνωμοσύνην. Διὸ δὴ καὶ θαῤῥήσαντες ὁ νέος βασιλεὺς σὺν δομεστίκῳ τῷ μεγάλῳ (ἄλλως θ' ὅτι καὶ φιλίως πρὸς αὐτοὺς διέκειτο καὶ πρότερον ὁ πρωτοστράτωρ, τῷ μεγάλῳ δὲ μάλιστα δομεστίκῳ ἐκ τῆς πρὸς Ἀδριανούπολιν παρὰ τῷ βασιλεῖ Μιχαὴλ διατριβῆς, χρόνῳ πολλῷ τῆς φιλίας αὐτοῖς ἰσχυρᾶς γενομένης), δεῖν ᾠήθησαν κοινωνὸν καὶ αὐτὸν τῶν πραττομένων παραλαβεῖν, φιλίας τε τῆς πρὸς αὐτοὺς ἕνεκα καὶ ἀνδρίας, καὶ πολεμικῆς ἐμπειρίας καὶ φρονήσεως, ἧς αἱ τοιαῦται μάλιστα τῶν πράξεων δέονται. B

C Ἀνακαλύπτουσιν αὐτῷ τοιγαροῦν ὅσα τε ὁ βασιλεὺς μηνύσειε τῷ ἐγγόνῳ, ὁποίων τε τύχοι τῶν ἀποκρίσεων, ἔτι τε ὅσα καὶ αὐτοὶ περὶ τῶν καθ' ἑαυτοὺς βουλεύσαιντο πραγμάτων. Ἅ δὴ πάντα καλῶς ἔχειν ἐπιψηφισάμενος καὶ αὐτὸς, κοινωνεῖν αὐτοῖς εἵλετο καὶ τῶν βουλευμάτων καὶ τῶν κινδύνων μέχρι παντός. Ἐδέδοκτο δὲ τούτοις ἅμα τῷ βασιλεῖ, πρὸς μηδένα μηδαμῶς ἕτερον τῶν Ῥωμαίων ἐκφανῆ γενέσθαι τὰ βουλευόμενα, ὅτι μὴ τουτοισὶ τοῖς τρισὶ, δομεστίκῳ δηλαδὴ τῷ μεγάλῳ καὶ τῷ Συναδηνῷ πρωτοστράτορι καὶ Συργιάννῃ. καὶ Γενουΐταις Λατίνοις ἑτέροις τρισὶ, φίλοις μὲν οὖσι δεδοκιμασμένοις τῷ βασιλεῖ, δυναμένοις δὲ μεγάλα πρὸς τὴν εἰς

Jacobi Pontani notæ.

(80) *Ab Ansaldo Auria gens Auriarum clarissima originem habuit. Ansaldus natus est ex quadam matrona nobili, cui nomen Oria fuit, ex prisca familia, Volta dicta, quæ nunc, ut diximus, Cataneorum est ; quam posteaquam Arduinus ex provincia Narbonensi regulus oriundus, propter venustatem formæ atque familiæ nobilitatem ambivisset, in matrimonium tandem accepit. Nam cum profectionem in Palæstinam religionis ergo instituisset, casu Genuam delatus in hujus præstantissimæ feminæ ex occasione, ut fit, familiaritatem et consuetudinem incidit, adeo, ut formæ pulchritudine illectus, postmodum in Voltarum familiam receptus, ad nominis, et familiæ avitæ differentiam, Oriæ uxoris suæ nomen retinuerit.* Bizarus in *Historia Genuensium*, lib. 1.

(81) *Familia Spinularum celeberrima et laudatissima, a Guidone Spinula Beli vicecomitis filio, viro egregio animi corporisque dotibus originem traxit.* Bizarus. Φρερίγω ex Italo elisum pro Φρεδερίκω.

(82) Plurimas Genuensium antiquas familias re- D censet Bizarus libro 1, inter quas hujus nulla mentio, sed bene additum ab eodem his verbis : *Et pleræque aliæ, quarum hac tempestate exsolevit memoria, et vix aliqua earum exstant ullius antiquæ nobilitatis indicia. Verum interea non me latet, atque omnino verisimile est, plurimas familias, successu temporis, mirum in modum extenuatas et inclinatas, cum aliis familiis, suo tempore integris et florentibus coaluisse, et quasi in eas insitas, et translatas fuisse, adeo ut postmodum abolito et antiquato pristino nomine illius familiæ, in quam transivissent, nomen assumpserint.* Cum suspicaretur porro, Raphon ex Raphaele corruptum esse, viri clarissimi Marci Velseri sententia opinionem meam confirmavit. Visum, inquit, monere, Raphones quidem haud dubie Raphaeles videri, depravato in hanc faciem vocabulo, Genuensi idiotismo, qui inter Italicas dialectos crassissimus est. Et Raphaelem sane Doriam maritimis præfecturis illa ætate claruisse, historiæ ostendunt, neque Folieta in

Digitized by Google Распознавание текста ABBYY FR

Χριστούπολιν ἐκ Βυζαντίου συγκαταπράξασθαι φυγὴν αὐτοῖς. Ἐπηγγείλαντο γὰρ αὐτοὶ, τρεῖς μὲν τριήρεις οἰκείοις ἀναλώμασι πληρώσειν, ἑπτὰ δ' ἑτέρας ἐκ βασιλέως λαβόντες χρήματα· ὡς δέκα τὰς συμπάσας γενομένας, καὶ πρὸς τὴν ἀπόδρασιν, εἰ δεήσει, συνάρασθαι τῷ βασιλεῖ, καὶ πρὸς τῇ Χριστουπόλει συμμαχούσας καρτερῆσαι, ἄχρις ἂν ὁ βασιλεὺς εὖ διάθοιτο τὰ κατ' αὐτόν. Ὀνόματα δ' αὐτοῖς, ἀπὸ μὲν τοῦ τῶν Ὁρίων γένους, Ῥάφων τε Ὅρια· ἀπὸ δὲ τοῦ Σπινουλῶν, Φρερίγω Σπίνουλα· ἐκ δὲ τῶν Ντεμὰρ, Ῥάφων Ντεμάρ. Αὖθις δ' ἅμα τοῖς δυσὶ βουλευομένῳ τῷ βασιλεῖ περὶ τοῦ ποτέραν χρὴ τῶν πόλεων ἀποδιδράσκοντας ἑλέσθαι, ὡς ἂν καὶ ὁ πρωτοστράτωρ τὴν δοκοῦσαν αὐτῷ τὸ νικᾷν ἔχειν εἰσενέγκῃ ψῆφον, καὶ τὴν μὲν Χριστούπολιν τῇ παρὰ τοῦ Κράλη συμμαχίᾳ παραζευγνύοντος, τῇ Ἀδριανοῦ δὲ τὴν πολυανθρωπίαν καὶ τὴν ἐγκαθιδρυμένην ἐκεῖ στρατιὰν, καὶ τὸ πλείστους εἶναι τῶν οἰκούντων ἐκεῖ τὰ τοῦ νέου βασιλέως ἠρημένους· ὁ πρωτοστράτωρ μὲν τὴν εἰς Ἀδριανούπολιν ᾑρεῖτο. Οὕπω δὲ πέρας τῆς βουλῆς λαβούσης, ἀνέστησαν. Εἶτ' αὖθις ἅμα δομεστίκῳ τῷ μεγάλῳ μόνῳ καὶ βασιλεῖ περὶ τῶν αὐτῶν τούτων βουλευομένων, καὶ συνιδόντων ὡς Συργιάννῃ μὲν καὶ τῷ μεγάλῳ δομεστίκῳ τῇ Θρᾴκῃ τῶν γαμετῶν ἐνδιατριβουσῶν, ῥᾴδιόν ἐστιν ὅποι βούλονται ταύτας ἀπαγαγεῖν, πρωτοστράτορι δὲ τῆς γαμετῆς ἅμα δυσὶ θυγατριδίοις τῇ Ἀδριανοῦ πόλει ἐγκαθιδρυμένης, πολὺ τὸ δύσκολον μετακινεῖσθαι· εἶτα καὶ τοῦτο προσεπινοουμένων, ὡς καὶ τὸ τοσαύτην ἀνάγκην τῷ πρωτοστράτορι ἐπαγαγεῖν, ἀγνωμοσύνης ἂν εἴη πολλῆς· καὶ τὸ δυσκόλως ἔχοντα πρὸς ταῦτα τῆς κοινωνίας ἀπωθεῖσθαι, καὶ ἀβουλίας ἅμα καὶ ἀδικίας· τοῦτο μὲν, εἰ πρὸς πάντα βέλτιστον ἄνδρα μικρᾶς ἀπώσαιντο αἰτίας ἕνεκα· ἀδικίας δ', ὅτι αὐτοὶ προσκαλεσάμενοι καὶ προσεταιρισάμενοι, καὶ σπουδὴν πολλὴν καὶ προθυμίαν πρὸς τὸ σὺν αὐτοῖς κινδυνεύειν εἰσενεγκόντα νῦν ἀπωθοῦνται, ἔδοξε θεῷ θαρρήσαντας, καὶ ὑποψίαν κινδύνου μικρὰν τοῦ ἑταίρου χάριν ἀναδεξαμένους, τὴν εἰς Ἀδριανούπολιν μᾶλλον ἐπιψηφίσασθαι. Οὕτω πέρας ἐπιθέντες τῇ περὶ τούτου βουλῇ, καὶ τῷ πρωτοστράτορι δῆλα καταστήσαντες τὰ τῆς γνώμης, ἀνεπτέρωσάν τε πρὸς τὸ πράττειν, καὶ προθυμότερον ἀπέδειξαν ἑαυτοῦ.

A duobus [puta cum magno domestico et Syrgianne] consultante imperatore, utram urbium confugio constituere oporteret, quo et protostrator, quam pro meliore duceret, sententiam proferret, et cum Christopoli quidem auxilia a Crale exspectanda, cum Adrianopoli vero populi frequentiam, ibidemque locatam militarem copiam, ac civium denique multitudinem sibi faventium conjungente, et protostratore Adrianopolin præoptante, antequam certum quid decernerent, surrexerunt. Post iterum domestico et imperatore solis super eadem quæstione inter se agentibus, nec ignorantibus, Syrgianni et domestico facile factu esse, uxores in Thracia manentes, quo placeret, abducere, protostratori contra, Adrianopoli conjugem cum duabus B filiolis habenti, sedem mutare perdifficile fore: deinde et hoc secum volventibus, nec tantam necessitatem, nisi admodum injuste illi imponi posse: et reluctantem a communione repellere, non injustum modo, verum etiam stolidum videri: illud quidem, quia virum omnimodis optimum adeo levi de causa excluderent, hoc vero, quia eum nunc removerent, quem prius invitassent, et ad numerum suum allegissent, quique ad discrimina communiter adeunda **28** promptam et alacrem animi voluntatem attulisset: hæc, inquam, reputantibus complacuit, divina bonitate confusos, eum nonnulla suspicione periculi, ob majus bonum Adrianopolin potius decernere. Finita deliberatione sensum suum protostratori indicant, qui ad rem C aggrediendam mirabiliter excitatus semetipso evadit erectior.

Ἀλλὰ τὰ μὲν κατ' αὐτοὺς τοιαῦτα. Βασιλεὺς δ' ὁ πρεσβύτερος τῇ πρὸς τὸν ἔγγονον ὀργῇ λίαν παροξυμμένος, οὔτε προσιόντα καθημέραν προσηγόρευε τὸν ἔγγονον, οὔτε μὴν πρὸς τὴν οἰκίαν ἀπιόντα πάλιν προσρήσεως ἠξίου τινός. Ἀλλ' οὐδὲ βελτίονος ἢ φαύλου λόγου ἐπὶ τέσσαρσιν ὅλοις μησὶ μετέδωκε, πλὴν ὅτι τοῦ νέου βασιλέως ἐξεπίτηδες ὀσημέραι τοῖς βασιλείοις καὶ ὑπὲρ τὸ δέον προσκαρτεροῦντος, ὁρῶν ὁ βασιλεὺς τῆς προσεδρείας τὴν ἀκαιρίαν, ὥσπερ ὑπ' ἀνάγκης συνωθούμενος, Ἄπελθε λοιπὸν πρὸς τὴν σὴν οἰκίαν, ἔλεγε τῷ ἐγγόνῳ, μηδέν τι τούτου προστιθεὶς πλέον. Οὐ μὴν ἀλλὰ καὶ μετὰ τῶν τῆς συγκλήτου καὶ τῶν ἐν ἀξιώμασι τοῦ νέου βασιλέως τῷ πάππῳ παρισταμένου, οὐδέποτ' ἐπέτρεψε

Et horum quidem ejusmodi status et conditio fuit. Senior autem imperator iracundia percitus in nepotem, neque in dies singulos ad se ventitantem, recedentemve salutatione, neque totis quatuor mensibus ullo vel dextro, vel sinistro sermone D dignari: nisi quod eo de industria citra decorum quotidie palatium obeunte, importunam assiduitatem intuens, veluti vi adactus in hanc vocem aliquando erupit, nullo præterea verbo addito: Mane de cætero domi tuæ. Enimvero nec cum senatoribus suis et magistratibus sibi assistentem unquam sedere jussit, sed aliis ejus jussu considentibus, ipse quoque necessario considebat, omnibus ad illum respicientibus, quassoque capite

Jacobi Pontani notæ.

elogiis dissimulat. Verum Temar familiæ quod vestigium reperiemus? In Genuensium Annalibus sæpius obvii Uso di mare, sive antique Uso de mare, et Uso de mar, quos Folieta Usus marios appellat. Illos ipsos, abjecta prima vocula, ut a vulgo brevitatis amante fieri solet, Demar, atque inde Temar dictos fuisse, admodum apparet probabile. Hæc Velserus. Raphon Temar sine dubio est Raphael Temar.

Digitized by Google Распознавание текста ABK/FR

significantibus, se stante ipso non sessuros; quod adolescentem mordebat acrius, ut et quibus fidebat, diceret, velle se domino et imperatore (hoc etenim modo avum semper nominabat) cæteris sessionem mandante, sibi autem minime, stare diutius; hortantibus autem (83) ad sedendum, responderet: Vobis, non mihi, facultas ab imperatore domino data est. Quapropter vos jussa implentes, sedere convenit, me autem stare, donec similiter sedere jubear. His apud eos, quibus audebat fidere, dolorem suum testabatur. Itaque magnus domesticus eum consolans, cum alia tanquam carmina ad leniendam ægrimoniam accinebat, tum illi Salomonis (84) obtemperandum aiebat, præcipientis patientiam et tolerantiam ostendendam in tempore. Secundum hæc junior imperator et amici per familiarem quemdam Syrgiannem certiorem faciunt, cupere se, ut Constantinopolin, reversionis suæ honestam aliquam causam commentus, advolet; res enim hac melius, illac deterius ire. Qui multo cum studio celeriter adest, et cum imperatore ac sociis collocutus, intelligit quod dictum fuerat: res melius procedere, ad protostratorem, alterum, res deterius ire, ad imperatorem avum pertinere, qui nepotem odisset **29** implacabilius. Edocetur nihilominus aliá, quæ post ejus in Thraciam discessum evenerant. Tum quid res tempusque postulet, et quinam ex urbe regina urbium se queant subducere, disquirunt. Primus itaque protostrator in hæc verba disserit: ·

A καθεσθῆναι· πρὸς δὲ τοὺς ἄλλους τῆς ἐπιτροπῆς γινομένης, ἐξ ἀνάγκης ἐκαθέζετο καὶ αὐτὸς, πάντων πρὸς αὐτὸν ὁρώντων, καὶ τοῖς νεύμασι δηλούντων, ὡς οὐδ' ἂν αὐτοὶ καθεσθεῖεν ἐστηκότος αὐτοῦ. Ὁ δὲ καὶ μᾶλλον τὸν νέον ἔδακνε βασιλέα, ὡς καὶ πρὸς οὓς εἶχε λέγειν θαῤῥεῖν, ὡς βούλοιτο τοῦ κυρίου καὶ βασιλέως (τοῦτον γὰρ ἀεὶ τὸν τρόπον τὸ τοῦ βασιλέως καὶ πάππου προέφερεν ὄνομα), τοῖς ἄλλοις ἐπιτρέποντος τὴν ἀνάκλισιν, αὐτῷ δὲ μὴ. ἑστάναι ἐπιπόλυ. Ἐπιτρεπομένων δ' αὐτῶν, Ἀλλ' ὑμῖν μὲν, εἰπεῖν, πρὸς τοῦ κυρίου καὶ βασιλέως τὴν καθέδραν ἐπιτετράφθαι, ἐμοὶ δὲ μή. Διόπερ ὑμᾶς μὲν καθεσθῆναι προσήκει, τὸ προσταττόμενον ἐκπληροῦντας· ἐμὲ δ' ἑστηκέναι ἄχρις οὗ τὸ ἐπίταγμα φθάσῃ καὶ πρὸς ἐμέ. Τοιαῦτ' ἔλεγε πρὸς οὓς ἐθαῤῥει, τὸ τῆς ψυχῆς ἄλγος ἀνακαλύπτων· ἐφ' οἷς αὐτὸν ὁ μέγας δομέστικος παραμυθούμενος, ἄλλα τε κατεπῇδε τῆς λύπης, καὶ τὸ Σολομώντειον ἔλεγε δεῖν ἐκπληροῦν, ὑπομονὴν ἐνδεικνύμενον καὶ καρτερίαν κατὰ καιρόν. Τὸ δ' ἑξῆς ὁ νέος βασιλεὺς καὶ οἱ ἀμφ' αὐτὸν, διά τινος τῶν οἰκείων μηνύουσι Συργιάννῃ πρὸς τὴν Κωνσταντίνου ταχέως ἐπανελθεῖν, εὐπρόσωπόν τινα πλασάμενον αἰτίαν τῆς ἐπανόδου. Τὰ γὰρ κατ' αὐτοὺς πράγματα, πῇ μὲν ἐπὶ τὸ βέλτιον, πῇ δ' ἐπὶ τὸ χεῖρον χωρεῖν· ὁ δὲ σὺν σπουδῇ πολλῇ κατὰ τάχος ἐπανελθὼν, καὶ συγγενόμενος βασιλεῖ καὶ τοῖς ἑταίροις, καὶ τὸ μὲν ἐπὶ τὸ βέλτιον προκεχωρηκέναι σφίσι τὰ πράγματα, τοῦ πρωτοστράτορος Συναδηνοῦ χάριν εἰρῆσθαι μαθών· τὸ δ' εἰς τὸ χεῖρον, διὰ τὸ μᾶλλον ἐκπεπολεμῶσθαι τῷ

B

ἐγγόνῳ τὸν βασιλέα, καὶ τἆλλα ἐκδιδαχθεὶς ὅσα δὴ συμβεβήκει μετὰ τὸ εἰς Θρᾴκην αὐτὸν ἀπᾶραι, περὶ τοῦ τί χρὴ πράττειν ἐβουλεύοντο κατὰ σφᾶς· καὶ ὅπως ἂν αὐτοὺς γένοιτο τῆς βασιλίδος τῶν πόλεων ἀκινδύνως ὑπεξελθεῖν. Πρῶτος τοίνυν εἶπεν ὁ πρωτοστράτωρ Συναδηνός·

CAPUT IX.

Protostrator imperatorem seniorem in custodiam dandum, Syrgiannes interficiendum, magnus domesticus in priore sententia consistendum suadet. Reprehensus a Syrgianne de pertinacia, sapienter se tuetur, et utrumque refellit.

Magnum ego et manifestum periculum huic negotio inesse animadverto. Si enim nos quomodocumque clam hac urbe egressos, imperator senex armis continuo fuerit persecutus, quibus tandem machinis præsentissimo discrimini elabemur? Est autem, uti reor, virorum prudentium, et incolumitatis suæ amantium, certa pericula saluti suæ non anteponere (85). Ex urbe igitur clam exire, imperatore potentissimo adversario a tergo relicto, et ita gravem suspicionem commovere, non longe ab extrema pernicie abesse judico (86): et securitatem multam adepturos, si comprehensum, quod facile poterimus, custodiæ mandemus; sic enim nemine adversante, nullo plane negotio

C Ἐμοὶ πολύν τινα καὶ προφανῆ τὸν κίνδυνον ἐκ τῶν πραγμάτων ἐστὶ συνορᾶν. Εἰ γὰρ ἡμῶν ὅπως ποτὲ ταυτησὶ τῆς πόλεως ὑπεξελθόντων, ἐπιστρατεύσει καταπόδας ὁ βασιλεὺς, τίς μηχανὴ μὴ οὐχὶ τὸ παραυτίκα πρὸς ἔσχατον ἑλθεῖν κινδύνου; Ἔστι δὲ ἀνθρώπων, οἶμαι, σωφρονούντων καὶ βουλομένων σώζεσθαι, μὴ τοὺς προδήλους ἀνθαιρεῖσθαι κινδύνους τῆς ἐν βεβαίῳ κειμένης σωτηρίας. Τοῦ τοίνυν τῆς πόλεως ὑπεξελθεῖν, δυνατώτατον ἀνταγωνιστὴν ὄπισω καταλιπόντας τὸν βασιλέα, οὕτως ὑποψίαν δεινὴν παρέχοντας, μακρὰν ἀφεστηκέναι παντὸς κακοῦ, καὶ πολλὴν τὴν ἀσφάλειαν ἡμῖν παρέχειν, τὸ τοῦτον κατασχόντας, ὃ δυνήσεσθαι δοκῶ ῥᾳδίως, κατακλεῖσαι φρουρᾷ. Οὕτω γὰρ οὐδενὸς ἀνταγωνιζο-

Jacobi Pontani notæ.

(83) In Græcis lego, προτρεπομένων, perspicue id postulante sententia.

(84) Ecclesiastici cap. XVIII: *Ante languorem humilia te, et in tempore infirmitatis ostende conversationem tuam.* Græce sic legitur in Septuaginta: Πρὶν ἀῤῥωστῆσαί σε ταπεινώθητι, καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν. Græca illa Cantacuzeni Latinis potius respondent.

(85) Cic. 1 Off. *Nunquam omnino periculi fuga committendum est, ut imbelles timidique videamur. Sed fugiendum etiam illud, ne offeramus nos periculis sine causa, quo nihil potest esse stultius.*

(86) Necessario ante μακρὰν particula negans in Græco adjicienda est, prætermissa a librario. Itaque interpretando adjecimus. — Interpres legit οὐ μακράν. Frustra, quippe aliter vertere debuit.

Digitized by Google Распознавание текста ABBYY FR

μένου, ῥᾷστα κρατήσομεν ἁπάντων. Συργιάννης δὲ μετ' ἐκεῖνον εὐθύς, Καὶ τοῦθ' ὅπερ εἴρηκας, ἔφη, πολλοὺς ἔχον ἐξετάζοντι φανεῖται τοὺς κινδύνους. Πρῶτον μὲν γὰρ οὐ μικρὸν ἔργον τὸ κατασχεῖν, πολλῶν περὶ αὐτὸν εὐνοϊκῶς διακειμένων καὶ τῶν τῆς συγκλήτου, καὶ τῶν ἐν τέλει, καὶ μισθοφόρων ἀεὶ πολλῶν διατριβόντων ἐν βασιλείοις· ἔπειθ' ὅτι καὶ τοῦτ' εἰ μετὰ πολλῶν τῶν κινδύνων κατορθωθείη, τότ' ἤδη χαλεπωτέροις περιπεσούμεθα κινδύνοις, πολλὰς ὑποπτεύοντες ἐκ τῶν φυλάκων καὶ τῶν πραγμάτων τὰς μεταβολάς. Ὅτε τοίνυν καὶ ἀμφοτέρωθεν ὑποψία δεινή, βέλτιον βραχείᾳ καιροῦ ῥοπῇ τῆς ζωῆς ἀποστερῆσαντας, βεβαίως ἄρχειν αὐτοῦ τε οὐκ ἀμυνουμένου, καὶ τῶν ἄλλων οὐδενὸς διακινδυνεύειν ὑπὲρ αὐτοῦ κειμένου βουλησομένου. Τὴν δὲ τοιαύτην βουλὴν ἐξήνεγκε μὲν κατὰ βασιλέως ὁ Συργιάννης ἐξ ἑαυτοῦ μὲν, ἐνῆγε δ' εἰς αὐτὴν μάλιστα καὶ Ἀπόκαυχος, ἐκσπόνδως πρὸς βασιλέα ἐξ αἰτιῶν διακείμενος παραλόγων· μὴ δι' αὐτοῦ δὲ δυνάμενος εἰσάγειν τὴν γνώμην (οὕπω γὰρ ᾠκείωτο βασιλεῖ τοσοῦτον ὡς καὶ μετέχειν βουλῆς), φίλῳ ὄντι τῷ Συργιάννῃ τὰς βουλὰς ὑπετίθει ὡς αὐτῷ παῤῥησίᾳ βουλευσομένῳ. Πρὸς ταῦθ' ὁ μέγας δομέστικος, Ἐμοὶ τὸ πρῶτον, ἔφη, τῶν βουλευμάτων τῶν ἁπανθρώπων κρίνοντι, τὸ δεύτερον, οὐδ' ὠμότητος καὶ ἀπανθρωπίας ὑπερβολὴν ἐλλείπειν οὐδεμίαν φαίνεται. Διὸ συμφέρειν ἡγοῦμαι τούτων ἀποστάντας ἁπάντων, τῶν προτέρων ἔχεσθαι βουλευμάτων, καὶ σκοπεῖν οὐχ ὅπως βασιλεῖ κακῶν ἀνηκέστων αἴτιοι φανῶμεν, ἀλλ' ὅπως ἡμᾶς αὐτοὺς ἀπαθεῖς διατηρήσωμεν κακῶν (εἰς τοῦτο γὰρ καὶ συνελήλυθεμεν, ὅπως τῷ μὲν τῶν βασιλέων ἀδικουμένῳ, Θεοῦ συναιρομένου, καὶ τὴν ζωὴν διατηρήσωμεν καὶ τὴν τιμήν)· τῷ δὲ, μηδεμιᾶς ἀκολουθούσης ἀνάγκης, μηδ' εἰς τὴν τιμὴν παρενοχλῆσαι, μήτοι γε τὴν ζωήν. Τούτων οὕτως ἀλλήλοις ἐναντία βουλευομένων, ὁ μὲν βασιλεὺς καθῆστο σιγῇ, τῶν λεγομένων ἐπακροώμενος· ὁ Συργιάννης δὲ τὸν λόγον ἀναλαβὼν, ἐκ τῶν ἐναντίων ἀντιλέγων πρὸς τὸν μέγαν δομέστικον ἔφη· Τῆς ἀνθρωπίνης φύσεως τὸ ἐνδεὲς ἐχούσης, καὶ τῆς τελείας τῶν ὄντων γνώσεως ἀπολειπομένης, οὐδένα δεῖν οἶμαι τοῖς ἀπ' ἀρχῆς δεδογμένοις ἐμμένειν, ἂν μετὰ ταῦτα βελτίω τἀναντία φαίνηται, ἢ εἰ τοῦτο κρατήσῃ, οὐκ ἂν φθάνοι πάντ' ἄνω καὶ κάτω γενόμενα. Ἂν γὰρ μήτ' ἔμπορος, μήθ' ὁ γεωργὸς, μήθ' ὁ κυβερνήτης πρὸς τὰ δοκοῦντα λυσιτελῆ μεθαρμόζηται, ἀλλ' ἀναγκαίως ἐμμένῃ τοῖς ἀπ' ἀρχῆς δεδογμένοις, ταχέως ὁ μὲν κυβερνήτης ἑαυτῷ συγκατεδύσῃ τὴν ναῦν ἐναντίων κινηθέντων πνευμάτων· ὁ δ' ἔμπορος ἐπανήξει κενὸς χρημάτων· ὁ γεωργὸς δὲ πρὸς τῇ τῶν πόνων ἀποστερήσει, καὶ βαθὺν ὀφλήσει γέλωτα. Προσθήσομεν δέ τι καὶ τῶν οἰκείων παραδειγμάτων. Οὐκ ἂν οὐδὲ στρατηγὸς τοῖς ἀπ' ἀρχῆς

A rerum summa potiemur. Tum Syrgiannes exeipiens, Et hoc quod dixisti, inquit, si quis cogitatione perlustrarit, multis obnoxium periculis inveniet. Primum enim arduum opus est illum comprehendere, quando et ex proceribus, et ex magistratibus, et ex meritoriis militibus, qui frequentes in palatio semper visuntur, multi suam in eum benevolentiam navant. Deinde ut hoc fauste transigamus (quamvis non sine pluribus periculis) in discrimen sævius incidemus, cum e custodibus plures suspectos habere et rerum vicissitudinem metuere cogemur. Quoniam igitur utrinque male metuendum est, præstat, ut mea fert opinio, seni quod restat vitæ momentum præcidere, atque ita certum et constans imperium indipisci, quando-

B quidem nec ipsum se ulciscetur, et qui pro mortuo aliquid periculose inceptet, nullus exsistet. Tale consilium Syrgiannes contra avum ex se quidem dabat; sed in primis Apocaucho sollicitante, qui ob causas quasdam non legitimas, ab imperatore seniore alienior, quia ore suo sententiam dicere non poterat, quod in junioris familiaritatem necdum adeo penetraverat, **30** ut etiam in consilium adhiberetur, et Syrgiannem diligebat, eidem istuc, ut liberrime consulturo suggesserat. Contra hæc sic ingressus est magnus domesticus: Et prima sententia mihi inhumana, et altera sævitiæ atque immanitatis modum omnem exsuperare videtur. Quamobrem spectata utilitate, ab hisce

C consiliis recedendum, ac prioribus adhærescendum constituo, providendumque, non quonam pacto imperatorem atrocissime multemus, sed qua ratione a nostris ipsorum cervicibus exitium prohibeamus (hujus enim ergo convenimus, ut alterius quidem injuria læsi vitam honoremque, Deo nos bene adjuvante, tueamur); alterius autem, nulla impellente necessitudine, ne honori quidem, quid dicam vitæ? incommodemus. Illis isto modo judiciis sententiaque discrepantibus, junior imperator sedens, tacitus quæ dicebantur auscultabat. Tum Syrgiannes magno domestico sic occurrit: Cum ingenii humani imbecillitas perfectam rerum cog-

D nitionem simul (87) assequi nequeat, nemini in his quæ ab initio ei visa sunt, conquiescendum puto, si postmodum contraria meliora apparuerint; alioqui aliud alio ferri, miscerique ac perturbari omnia necesse est. Si enim nec mercator, nec agricola, nec gubernator perspectæ commoditati se accommodaverit, verum in suscepto semel proposito perseverare obstinate imbiberit, hic ventis adversis surgentibus cito navem secum summerget, negotiator crumena vacua redibit; arator præter laboris frustrationem publica etiam irrisione

Jacobi Pontani notæ.

(87) Verissimum est, quod ait Aristoteles *Eth.* I. *Off.* M. Tullius, omnes homines trahi et duci ad cognitionis et scientiæ cupiditatem, et veri videndi a natura nobis ingeneratum desiderium. Sed quia cognitio nostra necesse est per sensus ad animum veniat, quomodo nec simul omnia sensibus percipere, sic nec omnia eodem tempore simul cognoscere possumus. Itaque perfectam cognitionem quasi gradatim acquirimus.

Digitized by Google Распознавание текста ABBYY FR

ludetur. Quin etiam exempla e re nostra adjicia-
mus. Nullus ductor placitorum priorum tenax, de
hostibus tropæum eriget ; imo turpiter et effemi-
nate victus seque militemque perditum ibit. Nam
si copias suas adversariis longe majores, et bello
exercitatiores censens, idcirco prælio dimicandum
decreverit, deinde in conspectum hostium veniens,
eos et numero, et usu, et armorum apparatu mul-
tis partibus superiores viderit, et quia anticipatam
opinionem deserere non vult, inconsiderate ac te-
mere signis illatis conflixerit, ecquid talem ducem
insano parum interesse negabimus? Certe neuti-
quam. Itaque et tu mihi in præsens admirationem
commoves, homo a pueritia usque ad hoc ætatis in
militia et militaribus versatus laboribus, dum af-
firmas, quæ a principio statuerit quispiam, iis
affixum esse oportere, nec scis vel uno temporis
puncto **31** rerum plurimarum commutationes so-
lere fieri. Adhæc magnus domesticus sic respondit:
Ego vero mortalium adhuc nullum, saltem paulu-
lum monte valentem, ita perpetuam in prima ali-
qua voluntate permansionem sibimet indixisse
credo, ut eam postea, tametsi meliora se offerrent,
immutare detrectaverit. Te quoque ipsum arbitror
non potuisse tam immodice mihi conviciari, aut
de rebus adeo commode ac vere loqui, nisi pariter
mecum sentires. Tantum autem ab illo disto, quem
tu me describis, ut tam in publicis quam privatis
deliberationibus, cum sententiam probabilem et
rei propositæ utilitatem opinione mea maxime at-
tingentem sæpenumero protulissem, deinde ubi
ad facta ventum fuerit, aut ab alio, quem minus
prudentem judicarem, aut a memet persuaeus, in
alia omnia discesserim. In hoc autem negotio, de
quo nunc disceptamus, non quæ vobis, sed quæ
mihi videntur, probanda existimo, idque pluri-
bus de causis. Primum enim manus in imperato-
rem, et unctum Domini (88) injicere, eique ani-
mam exstinguere, non apud homines solum
universos venia caret, sed, uti credimus, etiam a
Deo hujusmodi facinora acerbissima mercede pen-
santur. Deinde non istuc nobis a principio propo-
suimus, ut alterum imperatorem neci daremus,
alterum in solio collocaremus : sed sollicito ad
justitiam respectu, studiosius ad ei opitulandum
incubuimus, qui et de imperio, et de vita conser-
vanda laboraret. Absurdum est igitur, huic juste
imperium vindicare, illi injuste etiam spiritum, et
sanguinem eripere : et quæ, si in alium designa-
rentur ab aliis, crudelissima duceremus, iis multo
crudeliora nos ipsos in imperatorem machinatos
videri : et velut in trutina, rebus in una lance de-
vergentibus, ad similem inæqualitatem ex contra-

A ἐμμένων βεβουλευμένοις, τρόπαιον ἀπὸ τῶν πολε-
μίων ἀναστήσει· ἀλλ' αἰσχρῶς καὶ ἀγεννῶς ἡττη-
θεὶς, συγκινδυνεύσει τοῖς στρατιώταις. Ἂν γὰρ
συμβῇ τυχὸν τὴν μὲν ἑαυτοῦ στρατιὰν πολλαπλα-
σίονα τῶν πολεμίων καὶ πρὸς τὰ πολεμικὰ μᾶλλον
ἠσκημένην ἡγεῖτθαι, καὶ διὰ τοῦτο δεῖν βουλεύσηται
μάχην συνάπτειν, εἶτ' ἐπὶ τῶν πραγμάτων ἐλθὼν, τὴν
τῶν ἐναντίων ἰδῃ καὶ τῷ πλήθει καὶ τῇ ἀσκήσει καὶ
τοῖς ὅπλοις ὑπερέχουσαν πολλῷ τῷ μέτρῳ· διὰ δὲ
τὸ μὴ λῦσαι τὰ δεδογμένα, ἀλογίστως συμπλέκηται
καὶ παραβόλως, οὐκ ἂν ἐγγὺς τοῦ μαίνεσθαι φαίημεν
τὸν στρατηγὸν ἐκεῖνον; Παντί που δῆλον. Διό μοι
καὶ σὲ νῦν ἔπεισι θαυμάζειν, οὕτως ἀποφηνάμενον
ὡς χρὴ τοῖς ἐξ ἀρχῆς δεδογμένοις ἐμμένειν, ἐκ
πρώτης ἡλικίας ἐς τόδε χρόνου, στρατείαις καὶ τοῖς
B ἐκ στρατείας ἐνδιατρίψαντα πόνοις, τοῦτο δὲ ἠγνο-
ηκότα, ὡς μία καιροῦ ῥοπὴ πολλῶν ποιήσει πραγμά-
των μεταβολάς. Ἐπὶ τούτοις ὁ μέγας δομέστικος
εἶπε τοιάδε· Οὐδένα νομίζω τῶν καὶ ὁπωσοῦν μετ-
ειληχότων φρενῶν οὕτως ἑαυτὸν οἷς ἐξ ἀρχῆς ἐβου-
λεύσατο πεπεικέναι βεβαίως ἐμμένειν, ὥστε μὴ με-
ταβάλλειν, ἑτέρων ἐν ὑπτέρῳ φαινομένων βελτιόνων.
Καὶ σὲ δὲ αὐτὸν οὐκ ἂν εὐπορήσειν ἐπ' ἐμοὶ λοι-
δορίας ὑπερβολῆς, ἣ οὕτω περὶ τῶν πραγμάτων λέ-
γειν ἔχειν, ἐν διαφορᾷ καταστάντα. Ἐγὼ δὲ τοσού-
του δέω ὁποῖον εἶναί φατε, ὥστε κἀν τοῖς δημοσίοις,
κἀν τοῖς ἰδίοις, ψῆφον ὡς καλῶς ἔχουσαν, καὶ τοῦ
λυσιτελοῦντος τὸ δοκεῖν ἐς τὰ μάλιστα ἐφικνουμένην
περί τινος πολλάκις ἐξενεγκὼν, ἤδη δὲ καὶ πρὸς τὸ
πράττειν χωρῶν, ἔπειτ' ἢ ἑτέρῳ τὸ ἧσσον ἔχειν ἐπὶ
C τῷ φρονεῖν δοκοῦντι, ἢ αὐτὸς ἐμαυτῷ τὴν ἐναντίαν
πεισθεὶς εἰλόμην. Ἐφ' οἷς δὲ νυνὶ σκοποῦμεν, μάλι-
στα μὲν ὧν ὑμεῖς βουλεύεσθε, ἀποσχέσθαι, ὧν δ
ἐμοὶ δοκεῖ, δεῖν ἔχεσθαι νομίζω πολλῶν ἕνεκεν αἰτιῶν.
Πρῶτον μὲν γὰρ τὸ χεῖρα κινῆσαι κατὰ βασιλέως,
καὶ τῷ Θεῷ κεχρισμένου, καὶ σωτηρίαν ἀποστερῆ-
σαι ψυχῆς, οὐ μόνον πάσης ἐν ἀνθρώποις ἀπεστέρη-
ται συγγνώμης, ἀλλὰ καὶ παρὰ Θεῷ τὰς ἐσχάτας
τῶν τοιούτων ἔργων πεπείσμεθα κεῖσθαι τὰς ἀντι
δόσεις. Ἔπειτα δὲ, οὐδὲ τοῦτο ἐξ ἀρχῆς ὑπεθέμεθα,
ὥστε τὸν μὲν ἀνελεῖν, τὸν δ' ἐγκαθιδρῦσαι τοῖς θρό-
νοις τῶν βασιλέων· ἀλλὰ πολύν τινα τὸν δικαίου
ποιούμενοι λόγον, ἀμύνειν τῷ νέῳ προὐθυμήθημεν
βασιλεῖ, ἀδικουμένῳ τε περὶ τὴν ἀρχὴν, καὶ δεδοι-
D κότι περὶ τὸ ζῆν. Ἄτοπον οὖν, τῷ μὲν σὺν τῷ δικαίῳ
τὴν ἀρχὴν κατακτᾶσθαι, τὸν δ' ἀδίκως ἀφαιρεῖσθαι
καὶ τὴν ζωήν· καὶ ἃ περὶ τὸν ἕνα πραττόντων ἑτέ-
ρων, τῶν ἀτοπωτάτων ἐδόκει, τούτων χαλεπώτερα
περὶ τὸν ἕτερον ἐξειργασμένους αὐτοὺς ὀφθῆναι· καὶ
ὥσπερ ἐν ζυγοῖς τῶν πραγμάτων ἐφ' ἑτέρῳ μέρει
βαρυνομένων, ἐπὶ τὴν ἴσην ἀμετρίαν πρὸς τοὐναν-
τίον αὐτοὺς καταπιέσαι, δέον ἐπὶ τὸ ἴσον ἀναγα-
γεῖν. Οὐ μὴν οὐδὲ τὸ δήσαντας φρουρεῖν, τοῦ ἅπαξ

Jacobi Pontani notæ.

(88) Loquitur, ut David de Saule consuevit, lib. III Reg. 1. Interpretes Bibliorum frequentissime vocem Græcam χριστὸς retinuerunt, ut I Regum : *Loquimini coram Deo et christo ejus.* In Psalmis : *Nolite tangere christos meos. Salvavit Dominus christum suum.* Apud Lucam de Simeone : *Non visurum se mortem, nisi prius videret christum Domini;* et sexcenties alibi. Dicitur autem, τὸ *unctus Domini*, aut, *christus Domini*, cum significatione maxima, est et verbum gravissimum.

Digitized by Google Распознавание текста ABK/FR

ἡμερώτερον ἀποκτεῖναι. Τοῖς γὰρ ἐν ἕθει τοῦ θεραπεύεσθαι καὶ δορυφορεῖσθαι, φοβερώτερον τοῦ ἀποθανεῖν, τὸ παρ' ἀξίαν κακοπραγεῖν. Διὸ καὶ πολλοὶ τῶν ὑμνουμένων παρὰ Ῥωμαίοις αὐτοκρατόρων μᾶλλον εἵλοντο ἀποθανεῖν, ἢ ζῶντες αἰσχρῶς δουλεύειν ἀτυχήσαντες περὶ τὰς μάχας· καὶ χωρὶς δὲ τούτων, τὸ παρὰ τῶν φυλάκων ὡς δεσμώτῃ προσεχόντων περιῦβρίζεσθαι καὶ λοιδορεῖσθαι, παντὸς ἂν εἴη πικρότερον ὕδατος Στυγός. Ἔτι δ' οὐδ' ἀσφάλειαν ἡμῖν παρέχει τὸ δήσαντας φρουρεῖν. Ἂν γὰρ ὁτῳδήτινι τρόπῳ δυνηθείη τὰ δεσμὰ διαφυγεῖν, ὅπερ ἡμῖν πρόσεστι νῦν, τὸ δοκοῦντας ἀδικεῖσθαι καρποῦσθαι τὴν ἁπάντων εὔνοιαν, ἐκείνῳ περιστήσεται· καὶ σφοδρότερον πολεμήσει συμμάχοις προθύμοις καὶ τοῖς περιοίκοις βαρβάροις καὶ Ῥωμαίοις χρώμενος. Ὅτε τοίνυν, τὸ μὲν ἀποκτεῖναι ἀλαστόρων καὶ ἀνδροφόνων ἐπιτιμίαν, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ παισὶν ἡμετέροις ἔπειτα προσάπτει, τὸ δ' εἴρξαντας φρουρεῖν, μετὰ τοῦ αἰσχροῦ καὶ τοὺς ἐσχάτους ὑποπτεύει κινδύνους, καὶ λυσιτελὲς ἅμα καὶ δίκαιον εἶναι νομίζω, τῶν προτέρων ἐχομένους λογισμῶν, τὸν ἡμέτερον βασιλέα διασώζειν ἀμυνομένους ἄν τις ἐπίῃ. Ἀλλ' ἐρεῖς, Τί οὖν; ἂν ἐπιστρατεύῃ βασιλεὺς ἡμῖν, οὐ μαχούμεθα αὐτῷ, οὐδ' ἀποκτενοῦμεν, ἂν οὕτω συμβαίνῃ; Μάλιστα μὲν οὖν ἀμυνούμεθα πάσῃ δυνάμει· ἀλλ' οὐ τὸν αὐτὸν ἔχει τό τε κατάρχειν καὶ τὸ ἀμύνασθαί τινα, λόγον. Τῷ μὲν γὰρ πρὸς τῷ αἰσχρῷ πρόσεστι καὶ τὸ ἀδικεῖν· τὸ δ' ἀμύνασθαι, πρὸς τῷ δικαίῳ καὶ τὴν ἀπὸ τῶν ἔργων εὔκλειαν ἔχει. Ἂν γὰρ συμβῇ τὸν προκατάρχοντα παθεῖν κακῶς, οὐ τῷ ἀμυνομένῳ τὴν ἀπόβασιν, ἀλλὰ τῷ ἐπιόντι λογίζεσθαι, τῶν ἔργων δίκαιον. Ἡμῖν μὲν οὖν ἐπ' ἀμφότερα γυμνάζουσι τὸν λόγον ἑκατέροις εἴρηται πολλά. Βασιλεῖ δὲ πάντων ἀκροωμένῳ ἐξέσται τὸν τῶν ἁλιέων τρόπον τῆς σαγήνης πολλὰ περισχούσης τὰ χρήσιμα ἐκλεξαμένῳ, τῶν ἀχρήστων ἀποσχέσθαι. Ἐπὶ τούτοις καὶ τῶν ἄλλων συνθεμένων, καὶ τὴν διάκρισιν τῶν λόγων ἀναθεμένων τῷ βασιλεῖ, εἶπε καὶ αὐτὸς τοιαῦτα·

A ria parte alteram lancem deprimere, cum ambas potius ad æquamentum, seu æquilibrium componere debeamus. Nec vero mitius eum habebimus, si vinctum in custodiam trudamus, quam si semel jugulaverimus. Qui enim tam officiose coli, satellitioque semper stipari consueverunt, iis (89) amplitudine et dignitate sua orbatis adversos casus volvere, letho ipso horribilius est. Hinc plures Romanorum imperatores, quorum celebris est apud posteros memoria, præliis usi adversis, mori, quam indignam hostibus servitutem servire, maluerunt (90). Præterea a custodibus, ut ad vinctum attentis, probra et contumelias perpeti, tales animos quavis aqua Stygia cruciat amarius (91).

32 Huc accedit, quod nihilo securiores erimus, B si catenis injectis eum carceri mandaverimus. Quippe si arte aliqua inde elapsus fuerit, quod hodie abunde datur nobis, ut, cum inique nobiscum videatur actum, omnium favore ac benevolentia perfruamur, tunc illi dabitur, et vicinis Barbaris Romanisque impigre adjuvantibus, infestiore in nos Marte pugnabit. Quia igitur e medio tollere imperatorem, nobis liberisque nostris nefariorum atque homicidarum notam inuret, in carcerem autem compingere, præter facti infamiam etiam summorum malorum suspicionis ac formidinis plenum est: ex æquo et bono futurum sentio, in pristino consilio permanere, et imperatorem nostrum juniorem, si qua vis exstiterit, tutum præstare. Ilic tu objicies: Quid? si C senior arma nobis intulerit, non contra pugnabimus? non eum, si sors ita ferat, trucidabimus? Maxime imo pugnabimus, et quidem nervis omnibus; verum aliud est præoccupare, et aliud resistere. Illud et turpe ad famam, et injustum; hoc et gloriosum, et justum numeratur. Quod si damnum acceperit qui antevertit, rerum exitum non defensori, sed invasori condecebit ascribere. Ab utroque igitur nostrum in utramque partem velut exercitationis causa satis dictum est. Restat ut imperator auditis omnibus a principio, more piscatorum, quasi e sagena multos pisces concludente, utilia deligat, inutilia rejiciat. Hoc ipsum ubi et reliqui duo assensu firmarunt, et dijudicationem controversiæ eidem detulerunt, sic profatus est:

Jacobi Pontani notæ.

(89) Id præcipue tragici poetæ nobis egregie D ponunt ante oculos, dum heroas et heroinas sua infortunia, tristissimamque, et beatæ quondam, ac felici longe disparem conditionem deplorantes inducunt. Exempla multa suppeditabit unus Euripides. Nec tam jucundum est, ex afflicto ac perdito beatum, quam acerbum ac luctuosum, ex beato miserum et calamitosum evadere. Seneca, *De tranquillitate animi*, cap. 8: *Tolerabilius est, facilinsque non acquirere, quam amittere. Ideoque lætiores videbis quos nunquam fortuna respexit, quam quos deseruit.*

(90) Enumerat Valer. Max. lib. III, cap. 2, *De fortitudine*, P. Crassum, qui cum Aristonico bellum in Asia gessit, Scipionem Pompei socerum, Catonem Uticensem. Quibus adde ex Suetonio Othonem. Primus hoste lacessito, ab eo est interfectus, reliqui sua manu necem sibi intulerunt, ne servirent. Sed Catonis facinus cum ab aliis, tum etiam a Cicerone laudem invenit. Putat enim, cum ei incredibilem tribuisset natura gravitatem, eamque ipse perpetua constantia roborasset, semperque in proposito, susceptoque consilio permansisset, necem potius sibi consciscere, quam tyranni Cæsaris vultum aspicere debuisse. *Off.* I.

(91) Ipsa Styge est illis odiosius, nam et ab odio palus illa fabulosa nomen habet. Impatiens est injuriæ contumeliæque nobilis animus, et nobilium illustriumque hominum plerumque etiam nobiles animi.

Digitized by Google Распознавание текста ABBYY FR

CAPUT X.

Nepos insignem observantiam in avum ostendit, et crudelia potius ab ipso pati, quam in eum facere paratus est. Quæ fortuna dabitur, ea se usurum. Si se deserant socii, acerbe laturum. Ejus voluntate collaudata, protostrator et Syrgiannes, dum licet, Byzantio discedendum statuunt. Quæritur ecquid imperatrix assumenda, an Constantinopoli relinquenda sit.

Qui de rebus gravioribus consilii capiendi causa deliberant, eos etiam numerum conficere oportere autumo. Unde olim Romani et Græci, quique sub populari, quique sub optimatum potestate et imperio degebant, consilia e pluribus congregabant, recte sentientes, hoc modo ab honesto et conducibili haud facile deflexum iri. Quin et de veteribus quidam, et e nostro ovili sapiens (92), salutem esse dicit, ubi multa consilia : sibimet autem inimicum pronuntiat hominem inconsultum. Cum itaque vos et plures sitis, et in dando consilio excellatis, deque præsenti negotio multa disseruerilis, licitum erit et mihi, quemadmodum piscatoribus, ut dixistis, e plena sagena delectis melioribus, cætera foras mittere. Proferam ergo ipse quoque meo judicio optima : vestrum unicuique integrum erit, quæ probaverit amplecti. De rebus expetendis ac fugiendis, jucundis et injucundis nequaquam unus et idem est omnium hominum sensus, sed ut quisque iis afficitur, ita de illis judicat. Fas sit igitur mihi quoque nunc in consultatione ita proloqui, ut affectus sum. Usque eo nihil dirum, et immane vel vitæ, vel dignitatis meæ gratia in dominum meum et imperatorem perpetrari velim, ut si forte districto ense in me jugulabundus irrueret, pedibus salutem meam expedire contenderem. Sin quippiam fugienti obstaret, adeo me non delectaret ad defensionem converti, ut velata facie, cum silentio plagam mallem accipere ; metuens ne aspectu illius vehementius turbatus, ac velut de statu mentis dimotus insilirem, ferrumque ei extortum longius projicerem : cum hoc ipsum scelesti facinoris loco ducam, quoquo modo contra parentem manus tollere. Sic me de avi honore sentire, Deum omnia perspicientem testor. Eodem animo vos esse desidero, certos plane, ne mutire quidem super hac re amplius, neque conari, me in diversum trahere : nec enim hilum proficietis. Si ergo priora consulta vestra, eaque salutaria sequentes, instantia pericula fugiendo declinare vultis, bene est, et ego ad numerum vestrum me aggrego, nec discriminum communionem recuso. Sin autem illa, ut ex timiditate et ignavia profecta improbantes, in secundis cogitatis nulla interposita dubitatione consistere decrevistis, ac me in alia omnia discedente, vos, quæ mihi placent haud profutura ducitis, ego sane hujusmodi factorum consortium nunquam cupiverim : vos quæ securitati vestræ conducere creditis, quoniam potestas est, amplectimini. Deo

A Τοῖς περὶ μεγάλων πράγματων βουλευομένοις ἀναγκαῖον εἶναι νομίζω, καὶ πολλοῖς εἶναι τὸν ἀριθμόν. Διὸ καὶ Ῥωμαῖοι καὶ Ἕλληνες τὸ παλαιὸν, καὶ δημοκρατούμενοι, καὶ τῶν ἀρίστων ἀρχόντων, ἐκ πλειόνων τὰς βουλὰς συνεκρότουν τοῦ καλοῦ καὶ συμφέροντος, οὕτως; οὐκ ἂν οἰόμενοι ῥᾳδίως ἁμαρτεῖν ὀρθῶς φρονοῦντες. Καὶ τῶν παλαιῶν δέ τις σοφὸς τῆς ἡμετέρας αὐλῆς ἐν πολλῇ βουλῇ τὴν σωτηρίαν εἰρηκεν εἶναι, καὶ πολέμιον ἑαυτῷ τὸν ἀσύμβουλον ἀπεφήνατο. Καὶ ὑμῶν τοίνυν καὶ πολλῶν καὶ περὶ ταῦτα ἀρίστων ὄντων, καὶ λόγοις οὐκ ὀλίγοις περὶ τοῦ πράγματος χρησαμένων, ἐξέσται κἀμοὶ, ὃν εἰρήκατε τῶν ἁλιέων τρόπον, πολλὰ τῆς σαγήνης καταγαγούσης, τὰ χρήσιμα ἐκλεξαμένῳ ἀπορρίψαι τὰ μὴ τοιαῦτα. Ἐρῶ τοίνυν καὶ αὐτὸς ἃ μοι δοκεῖ βέλτιστα εἶναι· ὑμῖν δ' ἐξέσται ἑκάστῳ ἃ δοκεῖ συμφέροντα ἑλέσθαι. Οὐ πᾶσιν ἀνθρώποις τὰ αὐτὰ αἱρετὰ καὶ φευκτὰ, καὶ ἡδέα καὶ μὴ τοιαῦτα δοκεῖ, ἀλλ' ὅπως ποτὲ ἔχουσι περὶ αὐτὰ, τοιαύτας καὶ περὶ αὐτῶν ἐξάγουσι τὰς κρίσεις. Ὡς ἔχω τοίνυν καὶ αὐτὸς περὶ τῶν προκειμένων ἐρῶ. Τοσούτου δέω τοῦ τι τῶν ἀνηκέστων καὶ ζωῆς ἕνεκα καὶ τιμῆς περὶ τὸν ἐμὸν κύριον καὶ βασιλέα γενέσθαι βούλεσθαι, ὥστ' εἰ συμβέβηκε τὸν αὐτὸν ξίφος ὡς ἀποκτενοῦντά με σπασάμενον ἐπιέναι, φυγῇ μὲν ἂν ἐπραγματευσάμην τὴν σωτηρίαν· εἰ δὲ κώλυμά τι μεταξὺ φεύγοντι συμβέβηκε τῆς φυγῆς, τοσοῦτον ἀπέχω τοῦ συστραφεὶς ἀμύνεσθαι βούλεσθαι, ὥστ' ἐγκαλυψάμενος, ἐδεχόμην ἂν σιγῇ τὰς πληγὰς, δείσας μὴ πρὸς ἐκεῖνον ὁρῶν, καὶ οἷον τῷ πάθει, τῶν φρενῶν ἐκκρουσθεὶς, πρὸς τὸ λαβεῖν ἐξ αὐτοῦ κινηθῶ, καὶ μακρὰν ἀπορρίψαι τὸ ξίφος, ἐπειδὴ καὶ τοῦτο τῶν ἀνοσίων κρίνω, καθ' ὁντινα τρόπον χεῖρας ἀνασχεῖν τῷ πατρί. Τοιαύτην ἔχειν γνώμην περὶ τῆς εἰς τὸν πάππον τιμῆς τὸν πάντα ἐφορῶντα μαρτύρομαι ὀφθαλμὸν τοῦ Θεοῦ. Διὸ δὴ καὶ ὑμᾶς βούλομαι οὕτως ἔχειν σαφῶς πεισθέντας, μηδένα περὶ τούτου λόγον κινεῖν, μηδὲ μεταπείθειν ἐπιχειρεῖν· ἔσεσθε γὰρ ἡνυκότες πλέον οὐδέν. Εἰ μὲν οὖν ἐθελήσετε τῶν ἐξ ἀρχῆς ἐχόμενοι λογισμῶν, τὴν σωτηρίαν ἑαυτοῖς πορίζομένους φυγῇ τὸν ὑφορώμενον κίνδυνον διαδιδράσκειν, εὖ ἂν ἔχοι, καὶ τὴν κοινωνίαν αὐτὸς ἀσπάζομαι τὴν ὑμετέραν, καὶ συγκινδυνεύειν ὑμῖν αἱροῦμαι· εἰ δὲ τῆς προτέρας ἀτολμίαν καὶ ἀνανδρίαν καταγνόντες βουλῆς, ἐμμένειν ἀσφαλῶς κεκρίκατε τοῖς δευτέροις, μὴ πειθομένου δ' ἐμοῦ, οὐδ' αὐτοὶ λυσιτελεῖν ἑαυτοῖς ἅπερ ἐγὼ βούλομαι ἡγεῖσθε, ἐγὼ μὲν τῶν τοιούτων ἔργων κοινωνεῖν ὑμῖν οὐκ ἂν ἐλοίμην ποτέ. Ὑμᾶς δὲ τὸ οἰκεῖον ἀσφαλὲς ἕξεστι περισώζοντας, ἃ συμφέρειν ὑμῖν αἴεσθε ἑλέσθαι. Χάριν

Jacobi Pontani notæ.

(92) Salomon est iste, Proverb. cap. II, 24. Vides quemadmodum tangat sacras Scripturas? Nam *e nostro ovili* est, ἐκ τῆς ἡμετέρας αὐλῆς, apud Joannem cap. X. Salomon est ex nostro ovili, quia Deum verum, quem nos agnoscimus et colimus, ipse quoque agnovit et coluit.

Digitized by Google Распознавание текста ABK/FR

δὲ πολλὴν ὁμολογῶ τῷ Θεῷ, ὅτι τῆς εἰς ἐμὲ εὐνοίας A
οὐδὲν οὐδέπω καὶ νῦν ὑμῖν ἀπήνεγκε τῶν δυσχερῶν·
οὐδὲ περὶ ὧν ἐβουλευσάμεθα κατάδηλον οὐδὲν γέγο-
νεν οὐδενὶ πλὴν ὑμῶν. Ἐγὼ δὲ ὡς ἂν οἷός τε ὦ, καὶ
ὡς ἂν ὁ Θεὸς διδῷ, τὸν ὑπὲρ ἐμαυτοῦ κίνδυνον δια-
κυβερνήσω. Οἶδα μὲν οὖν ὡς ἂν συμβῇ μαχόμενόν
με πεσεῖν, πολλὰ μὲν ἐπιθρηνήσετε κειμένῳ, πολλὰ
δὲ πολλάκις ἀνακλαύσεσθε τὸν φίλον, εἰ δή τι καὶ
μνήμης ἄξιον ἐνεδειξάμεθα φιλίας εἰς ὑμᾶς. Εἰ δ'
ἔτι περιόντι πάλιν ἐθελήσετε προσελθεῖν, μηδαμῶς
ὑμῖν ἐμπόδιον τὸ νῦν ἡμᾶς χωρίζεσθαι καταστήτω·
εὑρήσετε γὰρ ἀεὶ τὸν αὐτὸν ὄντα καὶ φιλικῶς ὥσπερ
καὶ νῦν διακείμενον πρὸς ὑμᾶς. Μὴ νομίσητε δὲ
ἐμὲ μήτε ἀλύπως ἐπὶ τῷ χωρισμῷ ὑμῶν διακεῖ-
σθαι, μήθ' ὡς τοῦ μηδενὸς ἀξίους ὑμᾶς οὕτως ἐκ
τοῦ παραυτίκα ἀπωθεῖσθαι. Ἐξ ὅτου γὰρ περὶ τῶν B
τοιούτων ἠρξάμην λέγειν, πολλῶν τὴν διάστασιν
ὑμῶν ἐννοῶν αἰσθάνομαι τῶν ἀλγηδόνων· οἶδα δ' ἐν
τῷ μετὰ ταῦτα καὶ πλειόνων αἰσθησόμενος καὶ σφο-
δροτέρων. Φέρειν δὲ ἀνάγκη, τῶν πραγμάτων ἀσυμ-
βάτως ἐχόντων. Εἰ μὲν οὖν, ὥσπερ εἶπον, ἐθελήσετε
τῶν προτέρων ἐχομένους λογισμῶν, ὑπὲρ μὲν τῆς
ἡμετέρας σωτηρίας φροντίσαι, μηδὲν δὲ κατὰ βασι-
λέως βουλεύσασθαι τῶν ἀπεικότων, καὶ ἐμὲ κοινωνὸν
ἕξετε τῶν πραττομένων· εἰ δ' ἑτέρως ὑμῖν δοκεῖ,
οὐδὲν ἄλλο λοιπὸν, ἢ πολλὰ τῆς εἰς ἐμὲ φιλίας ἐπευ-
ξάμενον ἀγαθὰ, καθ' ἑαυτὸν ἃ μοι δοκῶ συμφέροντα
πράττειν. Τοιαῦτα καὶ τοῦ βασιλέως εἰπόντος, ἐπὶ
πολὺ μὲν πρὸς ἀλλήλους ἐώρων, τὸ τῆς γνώμης θαυ-
μάζοντες ἐπὶ τὰ καλὰ βεβηκός, ὡς μηδὲν τῆς πρὸς C
τὸν βασιλέα καὶ πάππον αἰδοῦς ὑφεῖναι, καίτοι πολ-
λοῖς αὐτὸν τοῖς λυποῦσιν ἀμειβομένου. Εἶθ' ὁ πρω-
τοστράτωρ ἀπεκρίνατο τοιαῦτα· Ἡμῖν, ὦ βασιλεῦ,
τὸ συμφέρον σοί τε καὶ ἡμῖν αὐτοῖς σκοποῦσιν, ἃ
λυσιτελεῖν ἐδοκοῦμεν, ἐφθεγξάμεθα. Ἃ δὲ περὶ βα-
σιλέως ἐφθεγξάμεθα, οὐκ αὐτὸ τοῦτο μόνον ὅπως
κακόν τι πάθοι σκοποῦντες ἐβουλευσάμεθα, ἀλλ'
ὅπως μὴ μετὰ τὸ φανερῶς εἰς τὸν πόλεμον κατα-
στῆναι, τίς ὑπολείποιτο μετὰ σοῦ προδοκία δεινοῦ·
τοῦτο γὰρ ἡμῖν περὶ πλείστου σκοπεῖται· ἐπεὶ δ'
ὡς ἠκούσαμεν τῆς εἰς τὸν βασιλέα καὶ πάππον
ἀσφαλείας τε καὶ τιμῆς τὴν οἰκείαν σωτηρίαν καὶ
ἀσφάλειαν ἐν δευτέρῳ λογίζῃ, θαυμάζειν μὲν ἔπεισι
τῆς μεγαλοψυχίας καὶ τῆς δικαιοσύνης, πείθεσθαι δὲ
οἷς ἂν ἐθέλῃς, καὶ ταῦτα νομίζειν καὶ δίκαια καὶ
συμφέροντα, ἅπερ ἂν καὶ σοὶ συνδοκῇ. Εἰ δέ τι καὶ
πρότερον διηνέχθημεν περὶ τοὺς λόγους, οὐκ ἀλλή-
λοις ἐναντία βουλευόμενοι, ἀλλ' ὅπως μηδὲν τῶν D
δεόντων ἀνεξέταστον διαφύγῃ. Τοιγαροῦν ἐπεὶ τῆς
ἀμφιβολίας παυσαμένης εἰς ἓν συνήλθομεν ταῖς
γνώμαις, οὐδὲν ἄλλο λείπεται ἢ τοὺς λόγους καταλι-
πόντας, χωρεῖν ἐπὶ τὸ πράττειν τὰ δεδογμένα. Καὶ
Συργιάννης κατὰ γνώμην αὐτῷ εἰπόντος εἰρῆσθαι,
καὶ τοῦτο προσθέντος· ὡς Τῆς εἰς τὸν βασιλέα καὶ
πάππον αἰδοῦς καὶ κηδεμονίας, ὦ βασιλεῦ, πολλαί
σοι παρὰ τῷ μεγάλῳ καὶ οὐρανίῳ βασιλεῖ κεῖσονται
χάριτες· καὶ ἢ μεταβαλεῖ τὰς γνώμας τῶν ἐπιβου-
λευόντων, ἢ κακοῦν ὡρμημένων, αὐτὸς ὑπὲρ ἡμῶν
πολεμήσει· τοῦ τε βασιλέως τῆς εἰς αὐτὸν εὐνοίας

singulares ago gratias, quod usque ad hanc diem A
nulli vestrum sua in me inclinatio voluntatis quid-
quam creavit incommodi : neque extra vos ulli
mortalium nostrarum consultationum arcana pa-
tefacta sunt. Quod ad me attinet, ut potero, et
ut Deus annuerit, in periculo meo me tractabo.
Equidem non ignoro, si in pugna occubuero, 34
vos morti meæ illacrymaturos affatim, frequenti-
que ac longo fletu amicum prosecuturos, si modo
aliquod amicitiæ meritum memoria haud indignum
in vos collocavi. Quod si ad superstitem denuo vos
adjungere volueritis, non erit ullo impedimento
ista quæ nunc fit inter nos dissociatio : eumdem
quippe me semper, atque ut nunc, vestri amantem invenietis. Ne vero arbitremini, aut hanc se- B
parationem mihi non molestam accidere, aut vos,
ceu homines nauci a me rejici in præsentia. Ex
quo enim hunc sermonem orsus sum, ex cogita-
tione distractionis nostræ doloribus multis cumu-
latus est mihi animus : etsi me in posterum plura
et vehementius doliturum sciam. Sed quoniam res
in tranquillum conferri non possunt, quod ferre
oportet, feramus. Ergo si, ut dicebam, antegressis
cogitationibus insistentes, saluti nostræ prospi-
cere, et adversus avum nihil inconveniens medi-
tari institueritis, rebus agundis comitem me pro-
fitebor : sin alia vobis mens, hoc unum relin-
quitur, ut multa bona ob declaratam in me bene-
volentiam vobis a Deo precatus, ipse mihi ad utili-
litatem meam promus condus fiam. His auditis illi C
diu inter se aspicere, et admirari ingenium juve-
nis, adeo ad honestatem grassantis, ut de pudore
et reverentia erga avum nihil diminueret, quam-
vis ille tristia multa remetiretur. Dein protostra-
tor sic incipit : Nos, imperator, de tuis atque nos-
tris commodis solliciti, quæ eo facere putabamus,
edisseruimus. Quod autem de avo consuluimus, in
eo non hoc unum spectavimus, ut malo multare-
tur, verum ut ne ad bellum apertum veniretur,
tuoque capiti casus aliquis gravior impenderet :
id enim est, quod omnium minime velimus. Et
cum securitatem honoremque avi tuæ saluti in-
columitatique præferas, quod intelleximus, subit
nos hujus magnanimitatis et justitiæ admiratio,
et quæ voles præstabimus, justaque et utilia tuo D
judicio metiemur. Quod vero antea oratione dis-
crepuimus, non id studio dissentiendi factum est,
sed ut ne quid eorum quæ tempus postularet, nos
indiscussum præteriret. Proinde cum omni ambi-
guitate sublata sententiis congruamus, hoc solum
restat, ut omissis sermonibus, ad id quod datur,
aggrediamur. Postquam Syrgiannes deinde ex sua
item mente locutum protostratorem pronuntiavit,
et hoc ad commendationem nepotis adjecit, ob 35
hanc reverentiam atque curam avi multa illum
apud magnum, cœlestemque imperatorem manere
præmia, qui aut malevolorum consilia mutaturus,
aut ad nocendum prorumpentibus pro defensore
obviam iturus esset : ubi nepos quoque de bene-

Digitized by Google Распознавание текста ABK/FR

volentia et obsequio sibi præstitis gratias amplas egit, fugiendum esset nec ne quæsiverunt. Et quia semper diem supervenientem malum aliquod majus pârere videbant, et iram avi magis magis que corroborari, ex eo ducta conjectura videlicet, quod nunquam vel verbo appellare nepotem dignaretur : et quia in timore erant, ne si quid inopinatum derepente exstitisset, id ipsum effugere nequirent, dum tempus ad eam rem sineret, et libertas suppeditaret, Byzantio excedendum statuerunt. Imperator quanquam eos id quod res esset dixisse, et scopum tetigisse fateretur, tamen excelso et patienti animo usque ad ipsum discriminis articulum exspectandum esse monuit, cum senem aliam mentem induturum, et a conceptis maleficiis destiturum confideret. Nunc autem de conjuge mea decernendum est, inquit, utrum eam fugientibus nobis pone sequi oporteat. Hæc e Germanis erat principis Brunsuicensis (93), apud suos eminentissimi et splendore generis inter omnes sui ordinis facile præcipui filia. Protostratori igitur et Syrgianni faciendum videbatur, uti imperatoris conjugem assumerent, quando et ipsi suas secum haberent : quin omnem lapidem movendum, ut et imperatrix cum imperatore esset.

καὶ εὐπειθείας πολλὴν ὁμολογήσαντος χάριν αὐτοῖς, εἰ φευκτέα ἢ μή, ἐσκόπουν. Ὁρῶντες δὲ ἀεὶ τὴν ἐπιοῦσαν μεῖζόν τι φύουσαν κακὸν, καὶ τοὺς κατὰ βασιλέως, τοῦ πάππου καὶ βασιλέως θυμοὺς ἐπὶ μᾶλλον αὐξομένους ἐκ τοῦ μηδαμοῦ τεκμαιρόμενοι μηδὲ λόγου τινὸς ψιλοῦ τούτῳ μεταδιδόναι · καὶ δεδοικότες μή τινος τῶν ἀδοκήτων ἐκ τοῦ αἰφνιδίου συμβάντος, οὐδ' αὐτὸ τοῦτο διαδρᾶναι δυνηθεῖεν, ἐδόκει νῦν ὡς καιρὸν ἔχουσι καὶ ἀδείας εὐπορουσῖν, ἀφίστασθαι τοῦ Βυζαντίου. Βασιλεὺς δὲ αὐτοὺς ταῦτα μὲν ἦ ἔχουσιν εἰρηκέναι καὶ καλῶς στοχάσασθαι ἔφη, ἔτι μέντοι γε καρτερίας καὶ μεγαλοψυχίας προσδεῖν, ἄχρι καὶ αὐτῆς τῶν κινδύνων τῆς ἀκμῆς. Ἠλπιζε γὰρ ἀεὶ μεταβαλεῖν, καὶ τῶν μελετωμένων ἀποστήσεσθαι τὸν βασιλέα. Τὸ δὲ νῦν ἔχον, περὶ τῆς βασιλίδος, ἔφη, τῆς ἐμοὶ συνοίκου σκεπτέον εἰ χρὴ καὶ ταύτην φεύγουσιν ἡμῖν συνέπεσθαι. Ἦν δ' ἐκ Γερμανῶν αὕτη θυγάτηρ δουκὸς ντὶμ προυζουὴκ τοῦ παρ' αὐτοῖς ἐπιφανεστάτου, καὶ λαμπρότητι πάντας τοὺς ὁμοφύλους ὑπερβάλλοντος τοῦ γένους. Τοῖς μὲν οὖν δυσὶ τῶν ἀναγκαίων ἐδόκει καὶ τὴν τοῦ βασιλέως γαμετὴν συμπαραλαβεῖν, διὰ τὸ καὶ αὐτοὺς τὰς γυναῖκας ἔχειν μεθ' ἑαυτῶν, καὶ διὰ τοῦτο δέον εἶναι πάσῃ μηχανῇ χρήσασθαι ὥστε καὶ τὴν βασιλίδα συνεῖναι τῷ βασιλεῖ.

CAPUT XI.

Cantacuzeni rationes, cur imperatrix Constantinopoli relinquenda. Syrgianne ad præfecturam suam in Thraciam dimisso reliqui hærent Byzantii. Magnus contostaulus, et magnus logotheta Metochites viri clarissimi imperatorem senem frustra ab incepto dimovere nituntur.

At enim Cantacuzenus magnus domesticus seorsum ab iis sentiens, opinionis suæ momenta his verbis explicavit : Primum discessio nostra clandestine, et anxie nobis satagentibus futura est ; id feminis ad hujusmodi operum laborem infirmis, et natura nequaquam idoneis, summum periculum conflabit ; et nos ipsi non mediocre habemus formidare discrimen, si facto in ipso deprehensi fuerimus. Adhæc, etiamsi fortuna favente hoc operis bene processerit, tamen posteriora non perinde evenient. Nam si ab avo manus ad nos insequendos **36** mittatur, alterum e duobus cogemur, aut uxoribus relictis porro fugere, quod nos timiditatis, ignaviæ, dementiæ, temeritatis criminibus maculabit (ut omittam quod imperatrici dedecoris auctores erimus, quæ pro captiva abducetur), aut ejus, imperatricis inquam, causa pauci cum multo pluribus pedem conferentes interfici : quorum utrumvis eligere, a prudentia abhorret plurimum. Præterea neque ad quos proficiscimur, constantem erga nos fidem gerunt. Quod cum ita sit, non

Καντακουζηνὸς δ' ὁ μέγας δομέστικος τἀναντία φρονῶν ἦν, καὶ τὰς αἰτίας προσετίθει · Πρῶτον μὲν γὰρ, ἔφασκε, τῆς ἀναχωρήσεως ἡμῶν λαθραίας γινομένης καὶ κατεσπουδασμένης, ἐπικινδυνότατον γυναιξὶ πρὸς τὰ τοιαῦτα τῶν ἔργων ἀσθενῶς ἐχούσαις καὶ ἀφυῶς · καὶ ἡμῖν δὲ αὐτοῖς οὐ μικρὸς ὁ κίνδυνος ὑποπτεύεται, ἐπ' αὐτῶν τῶν ἔργων καταφώρους γινομένοις · ἔπειτα εἴτε καὶ τύχῃ χρησαμένοις τοῦτο πρὸς τὸ ῥᾴδιον ἀποβαίη, ἀλλ' οὐχ ὁμοίως ἀπαντήσει καὶ τὰ μετὰ ταῦτα. Εἰ γὰρ πρὸς βασιλέως στρατιὰ πρὸς δίωξιν ἡμῶν ἀποσταλῇ, δυοῖν ἀνάγκη θάτερον ἑλέσθαι, ἢ τὰς γυναῖκας καταλιπόντας χρήσασθαι φυγῇ, ὃ δειλίας καὶ ἀνανδρίας, ἔτι τε ἀνοίας καὶ ἀβουλίας ἡμῖν ἔγκλημα περιάψει, πρὸς τῷ καὶ ἀδοξίας αἰτίους τῇ βασιλίδι γεγονέναι δίκην ἀγομένῃ δοριαλώτου, ἢ ταύτης. Ἕνεκα πολλαπλασίοις ὀλίγους συμπλεκομένους ἀποθνήσκειν, ὧν οὐδέτερον ἑλέσθαι προσήκει σωφρονοῦντας. Πρὸς δὲ τούτοις, οὐδὲ πρὸς οὓς ἀπερχόμεθα βέβαια τὰ τῆς πίστεως ἡμῖν · καὶ διὰ τοῦτο οὐ μέλλειν οὐδὲ κατατρίβειν τὸν καιρὸν ὁμαλῶς βαδίζοντας καὶ ἀνειμέ-

Jacobi Pontani notæ.

(93) Quis neget hic nomen proprium corruptum esse? Divinet igitur lector vocabulum hujus principis ; nam quod sequitur, nomen est provinciæ Brunsuicensis, et dicetur lib. II, cap. 5, Germanis cum imperatoribus Constantinopolitanis fuisse hospitium et amicitiam. Hæc autem mulier, Irene dicta, sine liberis decessit, de quo infra, cap. 40. — In Græco δουκὸς ντὶμ προυζουὴκ, ubi nil omnino corruptum est, quod ait interpres, sed ita scribendum : δουκὸς ντὶ Μπρουζουὴκ, id est, Italice, *duca di Brunzuic*, nam ejus linguæ magnus usus Constantinopoli, ut conjicere est ex locorum appellationibus, ut Φράντζα, et Σαβωΐα, etc., litteræ autem ντ valent δ apud Græcos inferiores, ut infra patebit sæpius : μπ valent β ut μπαλότα pro *baleta*, et Μπαΐουλος, *Bailus*, nomen Venetum.

Digitized by Google Распознавание текста ABK/FR

νως, ἀλλὰ κατεσπουδασμένως καὶ σὺν τάχει πολλῷ χρή· ἵνα μὴ πρὸ τοῦ ἡμᾶς ἀφικέσθαι, τὴν ἄφιξιν ἡμῶν πυθόμενοι, βουλεύσωνται κατὰ σφᾶς, μὴ εἰσδέξασθαι ἡμᾶς τῇ πόλει, καὶ γένωνται παράδειγμα καὶ ταῖς ἄλλαις τὰ ἴσα δρᾶν, ἀλλ' αὐτοὺς ἡμᾶς ἀγγέλλειν τε τὴν ἄφιξιν ἡμῶν, καὶ κατέχειν τὴν πόλιν· οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ γαστρὸς ἔχειν τὴν βασιλίδα, οὐ μικρὸν κώλυμα πρὸς τὸ ἀνδράσι φεύγουσιν ἀκολουθεῖν. Δι' ἃ δὴ πάντα προσήκειν ἡγοῦμαι, ταύτην μὲν ἐᾶν καθ' ἡσυχίαν μένειν, ἡμᾶς δὲ διακινδυνεύειν· κἂν μὲν ἡμῖν τὰ πράγματα χωρήσῃ κατὰ νοῦν Θεοῦ βουλομένου, τότ' ἤδη καὶ τὴν βασιλίδα μεταλαλεῖσθαι ὅπου περ ἂν ᾖ βασιλεύς, εἰ δ' ἐναντίως ἢ ἐλπίζομεν ἀποβαίη, αὐτὴν γοῦν ἐν ἀσφαλείᾳ εἶναι. Τούτοις τοῖς λόγοις ὡς καλῶς ἔχουσιν ἐπιψηφισάμενος ὁ βασιλεὺς σὺν τοῖς ἄλλοις, ἐσκέπτοντο περὶ τοῦ πότε καὶ ὅπως τὴν ἀναχώρησιν χρὴ ποιεῖσθαι. Ὁρῶντες δὲ καὶ τοὺς ἐπιλοίπους τῆς συγκλήτου καὶ τοὺς ἐν τέλει ἐν δεινῷ τιθεμένους τὴν τῶν βασιλέων διαφοράν, καὶ κακῶν νιφάδα; τῷ κοινῷ τῶν Ῥωμαίων οὐ μετρίας προσδοκῶντας καὶ περὶ τούτων πρὸς ἀλλήλους ἀεὶ διαλεγομένους, καὶ προσδοκίμους ὄντας καὶ βασιλεῖ διαλέξεσθαι περὶ τοῦ μὴ δεῖν νεωτερίζειν, ἀλλ' ἐᾶν τὸν ἔγγονον ἐπὶ σχήματος εἶναι, ὡς μεγάλων κακῶν αἰτίας ἐσομένης καὶ ταραχῆς τῆς τοιαύτης ἐπιχειρήσεως, ἐπεὶ ἔδοξε καρτερεῖν τὸ μέλλον ἀποβήσεσθαι σκοποῦντας, ἐξαποστέλλουσι πρὸς Θρᾴκην τὸν Συργιάννην τῆς ἀρχῆς ἐπιμελησόμενον, αὐτοὶ δὲ προσεκαρτέρουν τῇ Κωνσταντίνου. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ὁ μέγας κονσταῦλος Μιχαὴλ ὁ Τορνίκης (μητρόθεν μὲν κατὰ γένος προσήκων τῷ πρεσβυτέρῳ τῶν βασιλέων, καὶ πολλῆς εὐμενείας ἀπολαύων παρ' αὐτῷ καὶ τιμῆς, οὐ μόνον διὰ τὴν συγγένειαν, ἀλλ' ὅτι καὶ φρενὸς ἦν βαθείας, καὶ τοὺς τρόπους ἀγαθὸς, καὶ πρὸς τὰς ἐπαρχίας ὧν ἦρξε βασιλέως διδόντος, εὐνομώτατος καὶ σπουδαιότατος ἐφάνη), οὗτος δὴ τῇ πρὸς αὐτὸν εὐμενείᾳ τοῦ βασιλέως θαῤῥήσας, προσῆλθέ τε καὶ διελέχθη κρύφα περὶ βασιλέως τοῦ νέου, τὸ ἄτοπον, ὡς εἰκὸς, τῶν μελετωμένων ὑποδεικνὺς, καὶ ὡς πολλῶν ἔσοιτο συμφορῶν αἴτιον τῇ βασιλείᾳ Ῥωμαίων, ἄν τε κατορθωθῇ τὸ μελετώμενον, ἄν τε μή. Τὸ δ' αὐτὸ τοῦτο καὶ Μετοχίτης λογοθέτης ὁ μέγας, ὃς μεσιτεύων μὲν τότε τῇ διοικήσει τῶν βασιλικῶν πραγμάτων ἦν, ἄλλως δὲ ἀγχίνους, καὶ οὐ μόνον τῆς καθ' ἡμᾶς, ἀλλὰ καὶ τῆς ἔξω σοφίας εἰς ἄκρον ἐληλακώς· τὴν γὰρ ἀστρονομίαν ἀπό τινος Βρυεννίου φαύλας τινὰς καὶ οὐκ ἀκριβεῖς πάνυ παραλαβὼν ἀρχὰς, αὐτὸς ἰδίοις πόνοις ἐξηκριβώσατο,

A cunctandum, neque æquabili et lento passu bonum tempus conterendum : sed enixe et accelerato gradu ambulandum est, ne antequam perveniamus, incolæ adventu nostro præcepto, unanimi consensu urbe nos arceant, reliquisque urbibus ad similem audaciam exemplo suo præeant : sed ut ipsimet nuntium adventus nostri apportemus, urbemque occupemus. Illud insuper imperatrici ad comitandam virorum fugam non levi impedimento est, quod uterum fert. Ob hæc omnia æquum judico, ut illa se non moveat; nos autem fortunam subeamus, et, si quidem res, Deo bene juvante, ad voluntatem fluxerit, tum jam ipsa quoque eo accersatur, ubi conjux fuerit; sin secus, ipsa saltem secura degat. His ut præclare dictis, B imperator et reliqui suffragantes, quando, quove pacto secederent, circumspiciebant. Cæterum cum perspicerent, etiam reliquos tum proceres, tum magistratus dissidio imperatorum graviter offendi, calamitatumque densissimos imbres communi Romanorum inde metuere, et eas crebris usurpare sermonibus, exspectarique ut iidem cum imperatore agerent, ne quid novi et inusitati inceptaret, sed nepoti ornamenta imperatoria permitteret; quod alioqui molitio senis ingentium incommodorum ac motuum futura esset materia, durandum, et quo res evaderet, observandum esse censuerunt. Itaque Syrgianne in Thraciam ad præfecturæ suæ munus dimisso, cæteri Constantinopoli hærere perseverant. In hoc rerum statu ma- C gnus contostaulus Michael Tornices (qui materno genere imperatorem seniorem attingebat, nec postremum gratiæ et auctoritatis locum apud eum tenebat, non tantum quia cognatus, sed quia non vulgari prudentia, et morum probitate egregius, atque a provinciis, quas imperatoris concessu administrarat, æquitatis et integritatis laudem maximam reportaverat), **37** hic igitur fretus ea gratia qua valebat, clam aliis ad imperatorem accessit, et cum eo super nepote collocutus, quam aliena a ratione tentaret, non immerito ostendit, quamque varias in imperium Romanum calamitates inveheret, sive meditata feliciter, sive contra irent, demonstravit. Id ipsum et magnus logotheta D Metochites (94) præstitit, qui tum domum imperatoriam, sive aulam regebat (95), vir alioqui solers, et non Christianis modo, sed externis etiam litteris politissimus. Etenim cum astronomiæ principia a quodam Bryennio minuta et imper-

Jacobi Pontani notæ.

(94) *Erat tum potens apud imperatorem ac rerum omnium moderator Metochites Theodorus, logotheta generalis. Sic autem ab imperatore amabatur, tantique fiebat, ut nullum ejus arcanum ignoraret*, etc. Gregoras lib. VII.

(95) Græce sic est, ὃς μεσιτεύων μὲν τότε τῇ διοικήσει τῶν βασιλικῶν ἦν, quod *rerum omnium pro imperatore moderatorem, seu vicarium imperatoris* transferri posse non puto. Etenim isti μεσάζοντες, seu μεσιτεύοντες τοῖς πράγμασι τοῦ βασιλέως, seu τῆς βασιλίδος (nam et illa suum μεσίτην habuit *mediatorem*, ad verbum) videntur non alii fuisse quam magistri aulæ, *Hoffmeister*, curatores, præfecti et administri rerum domus imperatoriæ, quos jureconsulti vocant comites rerum privatarum, qui quidem assidui erant apud principes, eorum jussa excipientes et exsequentes. Πράγματα igitur βασιλικὰ quæ fuerint hoc loco, jam, ut reor, perspicis.

Digitized by Google Распознавание текста ABBYY FR

fecta accepisset, ipse in eo studio accuratissima diligentia sua tantos processus effecit, ut deinde quoque permulti in eadem scientia ipso præceptore progressus eximios adepti sint. Quod cum imperator admirans, Gregoram ejus auditorem percunctaretur, qui tandem Metochites a tam tenuibus profectus initiis, ad plenam hujus disciplinæ cognitionem aspirare potuisset, audivit ab eo, nihil esse mirum, ex parva lampade luculentam facem accendi. Laudavit respondentis acumen imperator (96), et imagine obvia, ac familiari naturam rei ante oculos ponente delectatus est. Ergo hic magnus logotheta cum propter intelligentiam atque doctrinam liberalem, et in negotiis obeundis dexteritatem ab imperatore familiariter admodum diligeretur, ausus est et ipse de nepote illum admonere, suadereque ne semel fixa et rata convelleret, neve imperium eidem ablatum, alteri, cui minime deberetur, transditum vellet : si non ob aliud, at certe ne tanti tumultus inde cierentur. Hæc et similia imperatori occinentes illi duo, lapides videbantur loqui (97) : nam quod a primordio decreverat, ab eo deduci nullis machinis poterat, suamque malignitatem in nepotem rebus ipsis exserebat. Aiunt, hoc tempore in seipsum descendisse, et quasi cura altiore defixum, neminem quidem allocutum, sibimet autem frequenter interrogantem dixisse : Ergone natura ipsa potentius erit istuc odium? Quod verbum aliorsumne, an ad nepotem pertineret, scire pro certo nemo potuit; omnes tamen in hanc partem potius, quam in aliam interpretati sunt, et pro argumento futurarum miseriarum habuerunt. In his hiems desiit.

ὡς καὶ μετὰ ταῦτα πολλοὺς ἐν ἐπιστήμῃ τοῦ μαθήματος σὺν ἀκριβείᾳ γενέσθαι παρ' αὐτοῦ διδαχθέντας· ὃ καὶ θαυμάζοντος βασιλέως, καὶ πρός τινα τῶν ἐκείνῳ φοιτησάντων ἐρομένου, ὁ Γρηγορᾶς οὗτος ἦν, πῶς ὁ Μετοχίτης ἐκ φαύλων τῶν ἀρχῶν ὡρμημένος, οὕτως ἠδυνήθη πρὸς τελείαν ἐξεύρεσιν τοῦ μαθήματος ἐλθεῖν, Οὐ θαυμαστὸν, φάναι, βασιλεῦ, τὸν ἐρωτηθέντα, ἐκ λαμπάδος μικρᾶς πυρσὸν ἀναφθῆναι μέγαν, ἐπαινέσαι τε τοῦτον τῇ ἀγχινοίᾳ τὸν βασιλέα, καὶ τὸ οἰκεῖον τῆς εἰκόνος θαυμάσαι. Οὗτος δὴ οὖν ὁ μέγας λογοθέτης, διά τε τὴν σύνεσιν καὶ τὴν σοφίαν, καὶ τὴν ἣν εἶχεν ἐπιτηδειότητα πρὸς τὴν διοίκησιν τῶν πραγμάτων πολλῆς ἀπολαύων παρὰ βασιλέως οἰκειότητος καὶ εὐμενείας, ἐθάρρησε καὶ αὐτὸς τῷ βασιλεῖ προσελθὼν περὶ τοῦ ἐγγόνου διαλεχθῆναι, πείθειν ἐπιχειρῶν ὡς οὐ δεῖ τὰ καθεστῶτα κινεῖν, οὐδὲ τὸν ἔγγονον τῆς βασιλείας ἀποστεροῦντα, ἑτέρῳ μηδαμῶς προσήκοντι παρέχειν, εἰ μή τι ἄλλο, τὰς ἀπὸ τούτου ταραχὰς συμβησομένας εὐλαβούμενον. Ἐκεῖνοι μὲν οὖν τοιαῦτα, καὶ ἕτερ' ἄττα διελέχθησαν βασιλεῖ· ἐδόκουν δὲ λίθους ἔχειν. Ὁ γὰρ βασιλεὺς ἀνεπιστρόφως εἶχετο τῶν ἀπαρχῆς δεδογμένων, καὶ τὴν πρὸς τὸν ἔγγονον δυσμένειαν αὐτοῖς πράγμασιν ἐπεδείκνυ. Λέγεται δ' ἐν τούτοις τοῖς καιροῖς καὶ βασιλεὺς εἰς ἑαυτὸν συννενευκὼς, καὶ περί τινος δοκῶν φροντίζειν, πρὸς μηδένα δὲ διαλεγόμενος, αὐτὸς πρὸς ἑαυτὸν πολλάκις εἰπεῖν ὥσπερ ἐπερωτῶν· Καὶ τῆς φύσεως ἐπικρατεστέρα φανεῖται ἡ ἔχθρα ἄρα; εἴτε δὲ πρός τι τῶν μελετωμένων ἄλλο ὁ λόγος ἀπετείνετο, εἴτε περὶ τῆς εἰς ἔγγονον ἔχθρας ἦν, οὐδεὶς σαφῶς ἠδυνήθη μαθεῖν· πάντες μέντοι πρὸς τοῦτο τὸν λόγον ἐξέλαβον, καὶ τεκμήριον ἐποιοῦντο τῶν μελλόντων κακῶν. Ἐν τούτοις μὲν οὖν ὁ χειμὼν ἐτελεύτα.

38 CAPUT XII.

Ab avo citatur nepos, et a protostratore de illius versutia monetur. Iterum citatus, in palatium venit, protostratore prosequente et foris exspectante. Supervenit magnus domesticus; quid actum sit cognoscit; consilium suum edictat. Mos Genuensium et Venetorum, Dominico die imperatorem veneraudi. Genuenses ternas triremes celeriter armant. Protostratoris ad pugnam ardor.

Vere novo, Nonis Aprilibus (98), Dominica ante diem Palmarum, avus nepoti per ministerium mandat, ne quoquam concedat, sed ad se confestim accedat. Qui secum animo versans, et curiosius indagans, quidnam ista denuntiatio sibi vellet, cum causam accitus nullam posset conjicere, interroga-

Ἄρτι δ' ἔαρος ἀρχομένου, Ἀπριλλίου μηνὸς πέμπτῃ ἱσταμένου τῇ πρὸ τῶν Βαΐων Κυριακῇ, ὁ βασιλεὺς τῷ βασιλεῖ καὶ ἐγγόνῳ μηνύει ἑτέρωθι μηδαμοῦ πορευθῆναι, πρὸς αὐτὸν δὲ ἀφικέσθαι, καὶ τὸ νῦν εἶναι. Ὁ δὲ τί ποτ' ἂν εἴη τὸ λεχθὲν ἐν νῷ στρέφων καὶ περιεργαζόμενος, καὶ μηδαμοῦ τὴν αἰτίαν συμβαλεῖν

Jacobi Pontani notæ.

(96) Animadverte laudari obiter Gregoram, propter scite dictum. Lib. IV reprehenditur acerrime, sed a moribus. Ipse tamen Gregoras non semel Cantacuzeni honorifice meminit, ut præfatione ad Lectorem ostendimus. Quod dicit paulo ante, Gregoram fuisse Metochitæ discipulum, id ipsemet libro VIII testatur his verbis : *Nam posteaquam in recens ædificato monasterio Choræ me collocavit, maximi fecit, et pene in germani filii loco me dilexit : adeo, ut astronomicam disciplinam, quam solus eo tempore perfectissime noverat, mihi traderet, nec tantas opes invideret, et sæpe apud imperatorem ac proceres gloriaretur, me a se hæredem doctrinæ suæ institutum esse.*

(97) Peccatum est forte a librario, et scriptum ἔψειν pro εἰπεῖν. Si non est, tum inanem operam significabit; non enim mollescit lapis, dum coquitur, ignibus tamen ad calcem redigitur. Sed malo legere εἰπεῖν, ut sensus sit, nimis dura videbantur loqui, ut est lapis. Itaque et Plautus Aulularia : *Cerebrum mihi dicta tua excutiunt, soror : lapides | loqueris.*

— In Græco nihil mutandum. *Lapides coquere*, proverbium pro *nihil aut incassum agere.*

(98) Quomodo tam sero novum ver? Græce enim est, ἄρτι δ' ἔαρος ἀρχομένου. Adultum est potius Nonis Aprilibus. Ita sane secundum cœli cursum. Sed potest tunc novum esse, si tum primum verna tempestas incipiat, quam hoc anno 1601 et superiore experti sumus cum Martio mense haud incepisse. Quo pacto aliter locus explicetur, non dispicio.

Digitized by Google Распознавание текста ABBYY FR

ἔχων, ἤρετο τὸν μηνύσαντα, καὶ ἀξίωσιν προσθεὶς, εἴ τι σύνοιδεν ἀπαγγέλλειν· ὁ δ' ἔλεγε βέβαιον μὲν οὐδὲν εἰπεῖν ἔχειν, στοχάζεσθαι δὲ, τὸν πάππον βούλεσθαι καὶ βασιλέα τοῦ πατριάρχου καὶ ἀρχιερέων παρόντων λόγου τινὰς πρὸς σὲ διελθεῖν· οἵ τινες δὲ οἱ λόγοι καὶ πρὸς τί φέρουσι, σαφῶς εἰδέναι μηδαμῶς. Εἶτα μικρὸν ἐπισχών· Ὥσπερ μὲν ἔφην, ἀκριβῶς οὐκ οἶδα, εἶπε, περὶ ὧν οἱ λόγοι· εἰκάζειν μέντοι μὴ προσηνεῖς τινας ἔσεσθαι καὶ ἡμέρους, ἀλλ' ὡς ἐπὶ δίκῃ καλεῖσθαι· ἐδεῖτό τε μικρὸν ἀναμείναντα, καὶ μέλετῃ μικρᾷ προσασχοληθέντα, ὡς εὐθύνας ὑφέξοντα, πρὸς ἀπολογίαν ἕτοιμον ἥκειν. Ὁ βασιλεὺς δὲ χάριν αὐτῷ τῆς καλοκαγαθίας ὁμολογήσας, καὶ ἀγαθῶν ἀμοιβὴν προσεπευξάμενος παρὰ Θεοῦ, εἶτα καὶ τοῦτο εἰπὼν, ὡς κατὰ γνώμην αὐτῷ γένοιτ' ἂν τὸ πολλῶν παρόντων δικαζόμενον ἀπολύσασθαι τὰ ἐγκλήματα, ἀπαγγέλλειν ἐκέλευε τῷ πάππῳ καὶ βασιλεῖ, ὡς ἀφίξεται ὅσον οὔπω. Ἐκεῖνος μὲν οὖν τὴν παρὰ Θεοῦ βοήθειαν ἐπευξάμενος· ἐν τοῖς παροῦσι τῷ βασιλεῖ, καὶ προσκυνήσας ἀπῆλθε. Βασιλεὺς δ' εὐθὺς τοὺς ἑταίρους μετεκαλεῖτο. Ἀλλ' ὁ μὲν μέγας δομέστικος, θείου αὐτῷ τοῦ Ταρχανειώτου, ἀδελφῆς τοῦ πρώτου βασιλέως Μιχαὴλ υἱοῦ τεθνηκότος, παρῆν ἐκεῖ πενθήσων ἐπὶ κειμένῳ τῷ συγγενεῖ. Ὁ πρωτοστράτωρ δὲ διατριβῶν οἴκοι, ἀφίκετό τε πρὸς βασιλέα εὐθὺς, καὶ τὴν αἰτίαν τῆς κλήσεως ἐρρώτα μαθεῖν. Βασιλεὺς δὲ τά τε παρὰ βασιλέως μηνυθέντα, καὶ ὅτι δίκης ἕνεκα καλοῖτο γνωρίζει, καὶ ὡς ἥξειν ἐπηγγείλατο κατὰ τάχος, προσθεὶς καὶ τοῦτο, ὡς κατὰ γνώμην ἂν αὐτῷ γένοιτο δικασθῆναι, δυνησομένῳ ῥᾳδίως αὐτὸν μὲν οὐδενὶ τῶν ἐγκαλουμένων ἐνεχόμενον ἀποδεῖξαι, τὸν δὲ κύριον καὶ βασιλέα, ψυχῆς ἰδίας θέλησιν ἐκδικοῦντα. Ὁ πρωτοστράτωρ δὲ, Πάνυ μοι δοκεῖς ἁμαρτάνειν, ἔφη, τοῦ ὄντος, ὦ βασιλεῦ· καὶ ὡς ἔοικεν, ὧν πρὸς σὲ περὶ τῆς τοιαύτης κρίσεως ὁ μέγας δομέστικος εἰρηκεν ἐπελάθου, ἃ δή που καὶ σοὶ αἱρῆσθαι τότε καὶ ἡμῖν ὀρθῶς ἐδόκει. Σοῦ γὰρ εἰρηκότος, Ὡς βουλοίμην ἂν ἐπὶ τοῦ βασιλέως καὶ πάππου δίκης τυχὼν, ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ τοῦτο μὴ δυνηθεὶς, μὴ τὴν βασιλείαν μόνον, ἀλλὰ καὶ αὐτὴν ἀφαιρεθῆναι ζωὴν, ὃ δ' ἠύξατο μὴ ζῶν ἰδεῖν τοιαύτην ἡμέραν ἐν ᾗ γενήσεταί σοι τῷ βασιλεῖ καὶ τῷ πάππῳ δικαζόμενον ἰδεῖν, οὐ γὰρ δίκης, καταδίκης δὲ μᾶλλόν ἐστιν ἀληθὲς τὴν ἡμέραν προσειπεῖν ἐκείνην. Ἑνὸς γὰρ ὄντος τοῦ δικάζοντος καὶ τοῦ κατηγοροῦντος, οὐδὲν ἄλλο λείπεται συνάγειν. Ἄλλως τ' οὐδὲ τῶν ἀνοήτων ὁ βασιλεὺς, ὥσθ' οὕτως ἀπερισκέπτως ὁρμηθῆναι πρὸς τὴν δίκην, ὡς καὶ καιρὸν ἀπολογίας σοι παρασχεῖν, καὶ ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ καὶ ἀδικούμενον ἑαυτὸν ἀποδεῖξαι· ἀλλὰ βαθείας ὢν καὶ συνετῆς, ὡς ἴσμεν, φρενὸς, καὶ δεινὸς πράγμασι χρῆσθαι, τότ' ἐπὶ τῆς δίκης σε καταστήσει, ὅτε πρὸς τὸ αὐτῷ δοκοῦν πάντα προκατασκευασάμενος, οὐδενὸς ἄλλου λεί-

A bat, et precibus orabat nuntium, ut si quid nosset ne celaret. Tum ille, nihil se exploratum habere quod affirmaret; in suspicionem autem delabi, avum patriarcha et episcopis præsentibus eum constituisse alloqui. Verum quidnam, et quo fine dicturus sit, sibi neutiquam liquido constare; et parumper conticescens, Sicut narravi, inquit, satis perspectum non habeo, quid verborum sit facturus; auguror tamen, molle ac mansuetum nihil locuturum, sed te velut in judicium arcessi. Quare aliquandiu præmediteris licet, ut rationem reposcendus, paratus ad respondendum venias. Nepos ut bono viro gratias agens, et præmium a Deo comprecans, atque hoc insuper addens, sibi optatum fore, coram multis judicio contendentem crimina objecta refellere, renuntiare avo jubet, mox se affuturum. Apparitor divinam ei opem tali statu precatus, et ut imperatorem veneratus, recedit. Extemplo socios convocat. Porro magnus domesticus, Tarchaniota sororis primi Michaelis imperatoris, et majoris materteræ suæ filio rebus humanis erepto, ad exanime corpus luctus causa abierat: protostrator domi manens illico adest, cur vocatus sit quærit. Nepos et quid sibi ab avo mandatum, et se reum citari, ac sine mora se stiturum refert. Addit etiam, se judicium ex animo subiturum, cum nihil negotii sit ostendere, tum se vacare omni crimine, tum dominum et imperatorem semet de maligna voluntate sua ulcisci (99). Subjecit protostrator: Longe mihi a vero lapsus videris, imperator, atque ut verisimile fit, quæ de tali judicio a magno domestico audivisti, quæque tum et a te, et a nobis, ut recte dicta accipiebantur, eorum te occupavit oblivio. Nam cum tu ita prædicasses, velle te, si apud avum causam diceres, aut objecta diluere, aut, si id minus posses, non imperio tantum, verum etiam vita carere, ille emori optabat potius quam videre diem illum, quo tu judicio cum avo contenderes: non enim judicii, sed condemnationis diem revera appellare convenit. Cum enim idem sit futurus judex, qui accusator, aliud ratiocinando colligi nihil potest. Præterea non ita est insipiens, ut tam inconsiderate ad judicium feratur, tibique tempus etiam ad responsionem concedat, quo aut innocentem te ostendas, si bene, aut nocentem, si male responderis; sed cum sit, quod scimus, præstanti prudentia, et rerum gerendarum callidus, tum demum in judicium te adducet, quando ejus arbitratu præstructis omnibus, unum hoc restabit, ut sententia de te, tanquam de scleratissimorum facinorum manifesto, et ob id quibusvis suppliciis excarnificando (ut sic apud exteros etiam justitiæ opinionem auferat) pronuntietur. Hæc illis in colloquio agitantibus, ecce alius ab imperatore apparitor,

Jacobi Pontani notæ.

(99) Ut facit senex apud Terentium, in *Heautontimorumeno*:

Interea usque illi de me supplicium dabo.

Sed aliam ob causam ille, et ob aliam iste. Præterea, ille volens ac prudens, hic invitus.

Digitized by Google Распознавание текста ABK/FR

qui nepotem urgeret ad regiam. Quia ergo aliter nequibat, quo vocabatur, ivit, multa plenus mœstitudine propter magni domestici absentiam, quicum consilia sua conferre potuisset. Haud multo post domesticus quoque palatium ingreditur, junioremque imperatorem apud avum intus, protostratorem foris sedentem invenit, ipso vultu perturbationem ac sollicitudinem intimam ostentantem. Tum sic eum compellat : Aspectus tuus meditabundo similis te in re quapiam magni ponderis cogitationem defixisse significat. Hic protostrator, Maxime, inquit, et cogitatione defixus, et gravissimo casu afflictus sum. Quam ob causam tandem? Quod, inquit, Andronicus ab avo in judicium vocatus, cum vehementer cuperet prius tecum colloqui, ea facultate exclusus est. Et quoniam moras interponere non licebat, ipse ad imperatorem introivit, me timore non levi de se suspensum reliquit : cum præsertim recogito, quid tu nobis de istoc judicio dixeris. Rursum quærente magno domestico, quid interea loci rationibus suis appositum, et tempori accommodatum præstitissent : Nihil, ait protostrator; nam quia inter binos vocatus intervallum permodicum intercessit, **40** et ad imperatorem festinato abeundum fuit, haud quidquam quod in rem esset effecimus. Quid? de famulitio tuo aut nepotis cur hic nemo visitur? Visebantur vero, inquit, at ego formidans, ne eorum præsentia, aliis secus ratiocinantibus, aliquid suspicionis et damni afferret, eos domum remisi. Hoc loco domesticus eorum imprudentia magnopere incusata, quod nullum tempus periculosius et ad vim faciendam opportunius exsistere posset, quo proinde famuli velut ansam haberent, minime fucatam benevolentiam amoremque suum erga juniorem imperatorem declarandi, ipsum quibus cingeretur discriminibus eripiendo : Age, inquit, tu coactis de ministris et amicis tuis quotquot poteris, hic præstolari jube; ego hinc digressus, ipsius nepotis nihilominus meosque congregabo. In unam deinde multitudinem conglobati, adjuncto item imperatore, quod opinor nos posse, ad Sophiæ Dei Verbi sacrosanctam ædem (1) nos

A ποιτο, ἢ τὴν ἀπόφασιν ἐξενεγκεῖν κατὰ σοῦ· καὶ τοῦτο, ἵνα καὶ τοῖς ἔξω δίκαια δοκοίη ποιεῖν, ὡς ἐπὶ τοῖς ἀνοσιωτάτοις σοῦ φανερῶς ἑαλωκότος καὶ διὰ τοῦτο δικαίως πάσχοντος ὁτιοῦν. Τοιαῦτα πρὸς ἀλλήλους ὁμιλούντων, αὖθις ἦκε μηνυτὴς ἕτερος ἐκ βασιλέως, ἐπισπεύδων τὴν ἐν βασιλείοις ἄφιξιν τῷ ἐγγόνῳ· δδ' (οὐ γὰρ ἐξῆν ἑτέρως δρᾷν) ἀφικνεῖται πρὸς τὸν βασιλέα καὶ πάππον, λύπῃ πολλῇ τηκόμενος τὴν ψυχήν, διὰ τὸ τὸν μέγαν ἀπόντα δομέστικον μὴ περὶ τῶν παρόντων ἐσχηκέναι συνδιασκέψασθαι. Εὐθὺς δὲ μετὰ μικρὸν καὶ ὁ μέγας δομέστικος ἦκεν ἐν βασιλείοις, καὶ τὸν μὲν βασιλέα παρὰ τῷ βασιλεῖ καὶ πάππῳ ἔνδον εὗρισκεν ὄντα· τὸν πρωτοστράτορα δ' ἔξω καθήμενον, καὶ τῇ ὄψει τὴν ἔνδον ταραχὴν τῆς καρδίας καὶ τὴν φροντίδα ὑποδεικνύν-

B τα· εἶπέ τε πρὸς αὐτόν· Δοκεῖς μοι περί τινος σκέπτεσθαι τῶν μεγάλων τῇ ἔξωθεν ὄψει καὶ τῇ συνοίᾳ. Ὁ δ' ἔφη καὶ σκέπτεσθαι, καὶ περιστάσεσι προσομιλεῖν ταῖς ἐσχάταις· τοῦ δ', Ὅτου χάριν; ἀντερομένου, Ὁ βασιλεὺς, ἔφη, παρὰ βασιλέως τοῦ πάππου κληθεὶς ἐπὶ δίκην, σοὶ μὲν συντυχεῖν πολλὰ ζητήσας, οὐκ ἠδυνήθη· τοῦ καιροῦ δὲ οὐκ ἐπιτρέποντος διαμέλλειν, αὐτὸς μὲν εἰσῆλθε πρὸς βασιλέα, ἐμοὶ δὲ φόβον οὐ μικρὸν ἐνέθηκε περὶ αὐτοῦ, μάλιστα τῶν σῶν λόγων ἐνθυμουμένῳ, οὓς πρὸς ἡμᾶς περὶ τῆς δίκης ταυτησὶ διεξῆλθες. Τοῦ δ' αὖθις ἐπανερομένου. Τί δ' ἡμῖν ἄχρι νῦν ἁρμόζον τῷ καιρῷ

C καὶ τοῖς πράγμασιν εἴργασται; Οὐδέν, εἶπεν ὁ πρωτοστράτωρ· βραχυτάτου γὰρ ὄντος τοῦ μεταξὺ τῶν ἀγγελιῶν χρόνου, καὶ τὴν ὡς βασιλέα ἄφιξιν κατεπείγοντος, οὐδὲν ἐπράξαμεν τῶν δεόντων. Πῶς δ' οὐ πάρεισιν ἐνταῦθα τῶν βασιλέως οἰκετῶν, ἢ καὶ τῶν σῶν τινες, ἐρομένου, Παρῆσαν μὲν, εἶπεν ὁ πρωτοστράτωρ· δείσας δ' ἐγὼ μὴ παρόντας ὁρώντων, καὶ ἄλλων ἄλλα λογιζομένων. ἐκ τούτου συμβῇ τις ὑποψία καὶ βλάβη, ἐκέλευσα ἀπιέναι. Ὁ δὲ πυλὰ καταμεμψάμενος τῆς ἀβουλίας, καὶ μηδένα καιρὸν ἄλλον εὑρήσειν ἐπικινδυνότερον ἢ βιαιότερον εἰπὼν ὥστε τὴν ἄδολον αὐτῶν εὔνοιαν καὶ ἀγάπην ἐνδεικνυμένους πρὸς βασιλέα τῶν περισχόντων ἀπαλλάττειν κινδύνων, Σὺ μὲν, ἔφη, τῶν σῶν οἰκετῶν ὁπόσους ἂν ἐξῇ καὶ τῶν φίλων συναγαγὼν, ἐνταῦθα κέλευσον μένειν· ἐγὼ δ' ἐξελθὼν αὖθις

Jacobi Pontani notæ.

(1) Filio Dei, qui est Verbum, et sapientia Patris, a Constantino primum excitatum est hoc templum, ut scribit Nicephorus Callistus, lib. VII, cap. 49. Laudatur a nostro historico lib. IV, cap. 4, ubi terræ motu quassatum, et ex parte collapsum narratur. Procopius de ædificiis Justiniani : *Totum templum in cineres redactum, Justinianus, quanquam multo post, ita reparavit et expolivit, ut quisquis de priori templo audiverit, is monstrata præsenti vetustate, optare possit, illud jamdudum periisse, ut in præsentem faciem mutatum cernat.* Paulo infra : *Extructa igitur ecclesia est in spectaculum plane pulcherrimum, iis quidem, quos videre contigit, stupendum : illis vero qui audiunt, incredibile prorsus.* Lege cætera. In Turcograecia, ubi Constantinopolis capta et vastata describitur, templum hoc verbis istis deploratur : Πῶς κατεδέξατο ἡ ἐπ' ὀνόματι τοῦ Θεοῦ Λόγου κτισθεῖσα ἁγία Σοφία;

D ὁ ἐπίγειος οὐρανὸς, ἡ νέα Σιὼν, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος· τὸ καύχημα πάσης τῆς οἰκουμένης· τὸ ἄλσαλμα τῶν ἐκκλησιῶν ἡ ὑπερέχουσα πάντων τῆς γῆς κτισμάτων. Ὦ τοῦ θαύματος! Ὦ, τοῦ Θεοῦ περιώνυμος ναὸς ἐγένετο ναὸς τῶν Ἰσμαηλιτῶν, τῶν ἀθέων Φρίξον, ἥλιε, στέναξον, ἡ γῆ, καὶ κλονουμένη βόησον, ἀνεξίκακε Κύριε, δόξα σοι· *Quomodo contumeliam ferre tantam potuit, quæ de nomine Logi condita fuit sancta Sophia? Illud terrestre cœlum : nova illa Sion, quam construxit ipse Dominus, non homo; gloria illa universi orbis terrarum; illud decus ecclesiarum; eminentissimum illud omnium per totum mundum ædificiorum. O rem miram! Nobilissimum Dei templum templum factum est Ismaelitarum, impiorum illorum et infidelium. Horresce, sol, ingemisce, tellus, et concutere. Exclama, Gloria, tibi tolerantissime malorum Domine.*

Digitized by Google Распознавание текста ABK/FR

τοὺς βασιλέως συναθροίσω καὶ τοὺς ἐμούς· εἰς ἓν δὲ συνελθόντες, καὶ τὸν νέον βασιλέα παραλαβόντες, (ὅπερ οἶμαι δυνήσεσθαι) πρὸς τὸν τῆς Σοφίας ἀπελευσόμεθα τοῦ Θεοῦ Λόγου θεῖον νεών, τὴν σωτηρίαν διὰ τῆς ἀσυλίας τῆς ἐκείνου πραγματευσόμενοι, εἶτα διαπρεσβευσάμενοι πρὸς βασιλέα, ἀμνηστίαν αἰτήσομεν τῶν τολμηθέντων· τὸν δὲ, δείσαντα τὴν στάσιν, ὥσπερ εἰκὸς, ὅρκῳ καὶ βασιλεῖ καὶ ἡμῖν, καὶ τὴν ἀσφάλειαν πιστώσασθαι καὶ τὴν ἀμνηστίαν τῶν εἰργασμένων. Τοῦ νέου δὲ βασιλέως ἀπαλλαγέντος τοῦ περισχόντος νῦν ἐξαπίνης κινδύνου, τότ' ἤδη βουλευσαμένοις ὅπερ ἂν δοκῇ βέλτιον, ἐξέσται πράττειν κατ' ἐξουσίαν. Ἢ γὰρ ἐκ τῆς ἠπείρου μίαν τῶν τῆς πόλεως πυλῶν διατεμόντες ἐκπεσούμεθα νυκτὸς, ἢ τῶν ἐκ Γεννούας τοῦ βασιλέως φίλων τριήρη μίαν, ἢ καὶ δύο πληρωσάντων ἐπιβησόμεθα, καὶ πρὸς τὰς παραλίους τῆς Θράκης πόλεις (αὗται δ' εἰσὶν ἡμέτεραι διὰ τὸ τὸν Συργιάννην αὐτῶν ἐπιτροπεύειν) διασωθησόμεθα· καὶ οὕτω μακρὰν γενόμενοι τῶν κινδύνων, ἃ δοκεῖ συμφέρειν ἐν ὑστέρῳ πράξομεν. Τὸ δὲ νῦν ἔχον, πάσῃ δεῖ χρήσασθαι καὶ ἀνδρίᾳ καὶ προθυμίᾳ, καὶ αὐτὴν, εἰ δέοι, τὴν ζωὴν προθύμως προϊεμένους, ὥστε τῶν περισχόντων ἐξαρπάσαι κινδύνων τὸν βασιλέα, καὶ μὴ περιϊδεῖν αὐτὸν ἅμα τῷ δικαίῳ διαφθαρέντα· καὶ ἰατρῶν γὰρ τοὺς ἐμπειροτέρους ὁρῶμεν καὶ στρατηγῶν, πρὸς τὰ κατεπείγοντα μᾶλλον ἱσταμένους τῶν νοσημάτων καὶ τῶν πολέμων. Ταύτης τῆς βουλῆς καὶ πρωτοστράτορι βελτίστης εἶναι κριθείσης, ἐδέδοκτο πρὸς τέλος ἐξάγειν· καὶ πρωτοστράτωρ μὲν εὐθὺς πέμψας, μετεκαλέσατο τῶν οἰκετῶν καὶ τῶν φίλων ὅσους ἐνῆν· οἱ δὲ παρῆσαν σὺν τάχει· ὁ μέγας δὲ δομέστικος ἀπελθὼν, ὅσους ἐνῆν τῶν βασιλικῶν καὶ τῶν ἰδίων συναγαγὼν, τοὺς δὲ διεσκεδασμένους ὅταν ἐπανήξωσι παραγγείλας ἰέναι πρὸς τὰ βασίλεια, ἐπανῆλθε σὺν τάχει. Τούτων δ' οὕτω σὺν σπουδῇ πραττομένων, ἐπεὶ Κυριακὴ ἦν, ἔθος δ' ἐπεκράτησεν ἐκ πολλοῦ ἐν τῇ πρώτῃ ταύτῃ τῆς ἑβδομάδος ἡμέρᾳ Γεννουίτας τε καὶ τοὺς ἐκ Βενετίας Λατίνους ἀφικνουμένους εἰς τὰ βασίλεια τιμῆς τε ἕνεκα καὶ ὁμολογίας τοῦ ὑπὸ βασιλεῖ τῶν Ῥωμαίων τετάχθαι, ἄλλο μὲν οὐδὲν, μόνην δὲ προσκύνησιν ἀπονέμοντας, πάλιν οἴκαδε ἀπιέναι. Ἦκον καὶ τότε οἱ ἐκ Γεννούας πράξοντες τὰ εἰωθότα, ἐν οἷς ὁ μέγας δομέστικος τοὺς δύο τῶν εἰρημένων τοῦ

A recipiemus : ibi denique ut in asylo (2) tuendæ ac tegendæ saluti nostræ incumbemus. Postmodum missis ad avum oratoribus, ut ausus in se nostros oblivione sempiterna deleat (3) rogabimus. Et quia seditionem, quod credibile est, timeat, ut jurejurando nepoti nobisque tum securitatem, tum commissorum illam oblivionem promittat. Postquam ex hoc tam subito periculo evaserit, tum deinde ubi consuluerimus, quod præstare videbitur, ejus agundi libera potestas erit. Aut enim a continente una urbis porta (4) effracta noctuabundi erumpemus, aut Genuates nepoti amicos, triremem unam, binasve instructas auxilio poscemus, et ad maritimas Thraciæ civitates (quæ, quoniam a Syrgianne reguntur, a nobis sunt) incolumes profugiemus. B Atque ita procul periculis, quæ in rem nostram existimaverimus, de cætero exsequemur. Nunc animis opus et pectore firmo : nunc, si res flagitabit, ipsa quoque anima intrepide impendenda, quo imperatorem juniorem e medio discrimine extrahamus ; nec eum in causa justa rapi ad interitum patiamur, siquidem et medicos, et belli duces experientiores, morbis ac pugnis ingravescentibus acrius instare videmus. Hoc consilium ubi et protostrator pro optimo amplexus est, visum ad effectum perducendum. Et ille quidem protinus famulos, et amicos quotquot potuit coegit, quos cito pedes attulerunt. Idem magnus domesticus in suis et nepotis, quantum licuit, contrahendis præstans, absentesque, cum primum domum **41** revertissent, ad palatium occurrere jubens, brevi eodem rediit. His studiose ac sedulo peractis, quia Dominica agebatur, et mos longinquitate invaluerat, principe hebdomadis die, Genuenses, ac Venetos Latinos, honoris et subjectionis profitendæ gratia in regiam ventitare, adoratoque imperatore domum regredi, venerunt et tum Genuenses, solemne officium persoluturi. Inter hos magnus domesticus, duobus ex illis tribus, quorum supra mentionem faciebamus, nepotis fautoribus repertis, promissa eis redegit in memoriam, atque insuper de summa auxilii necessitate edoctos ad triremes instruendas dimisit. Illi abeuntes, et pro tempore diligentiam adhibentes, intra horas viginti, ternas omnibus re- D bus ornant. Quæ intuens protostator, multosque

Jacobi Pontani notæ.

(2) Ἄτυλος, cui necesse non est timere, ne spolietur, ne, quæ habet, præda fiant. Item, quem spoliare nefas est, tutus a violentia, sacrosanctus. Templa porro asyla dicuntur, ex quibus nefas est abstrahi eum, qui ad illa confugit. Servius in II *Æneid.* vocari putat asylum, quasi asyrum, a non abstrahendo. Multa asyla recenset Alexander ab Alexandro, lib. III, cap. 20.

(3) Ἀμνηστία, id est, injuriarum offensionumque oblivio. Hoc verbo Athenienses in sedandis discordiis usos affirmat Cicero, I *Philippica*. Et Thrasybulus, auctore Æmilio Probo, legem tulit, reconciliata pace, ne quis anteactarum rerum accusaretur, neve multaretur : eamque illi *legem oblivionis* appellarunt. Sed legem quidem ἀμνηστίας appellatam concedit Muretus : verbo autem usos μὴ μνησικακεῖν, hoc est, *non esse retinendam injuriæ memoriam*, seu, *animum malevolum ob injuriam illatam non suscipiendum*, et hoc idem fuisse in lege positum probat, Variar. lect. lib. II, cap. 15.

(4) De viginti tribus portis urbis Constantinopolitanæ, vide Joannis Leunclavii Pandecten historiæ Turcicæ, quo libro Annales sultanorum Othmanidarum, seu Osmanidarum illustravit, nobisque ad hasce notas plurimum commodavit : quando bonam partem Turcici imperii peragravit, et curiose, imo vero diligenter accurateque omnia inquisivit. Vide item Petrum Gyllium in Thracio Bosphoro.

Digitized by Google Распознавание текста ABK/FR

tam de nepotis, quam de suis domesticis circumastantes conspiciens, spe bona confirmatus mirifice lætabatur, et amore magno pugnandi exardescebat. Verumtamen præter Apocauchum nemo causam evocationis noverat : illi enim soli quod agebatur patefecerant : alii ob aliquid singulare convenisse suspicabantur, eo argumento, quod qui equos haberent, eos ad palatium mittere jussi essent. nisi quod quæ de Michaele Catharo fama jactabat (quæ jam omnium aures compleverat), ea se ut novum quiddam et audituros, et visuros etiam sperabant. Et illi quidem in his erant.

A βασιλέως φίλων εὑρών, καὶ τῶν τε ὑποσχέσεων ἀναμνήσας, ἔτι δὲ τὴν ἀναγκαιοτάτην τῆς βοηθείας χρείαν ἀναδιδάξας, ἐξαπέστειλε τὰς τριήρεις ἐφοπλίζειν. Οἱ δ' ἀπελθόντες καὶ σπουδῇ χρησάμενοι τῷ καιρῷ προσηκούσῃ, ἐντὸς ὡρῶν εἴκοσι τρεῖς πληροῦσι τριήρεις. Ταῦτα καὶ πρωτοστράτωρ ὁρῶν, καὶ ἐν ἐλπίσιν ἤδη χρησταῖς γενόμενος, ὑπερήδετό τε, καὶ ὁρμῆς ἐπληροῦτο, πολλοὺς περὶ αὐτοὺς τῶν τε βασιλικῶν καὶ τῶν ἰδίων ἀθροιζομένους ὁρῶν. Οὐδεὶς μέντοι τῶν συναθροιζομένων τὴν αἰτίαν τῆς συνόδου συνῄδει πλὴν Ἀποκαύχου· ἐκείνῳ γὰρ μόνῳ τὴν αἰτίαν ἐκοινώσαντο τῶν πραττομένων· οἱ δ' ἄλλοι, τινὸς μὲν ἕνεκα μεγάλην τὴν μετάκλησιν ὑπενόουν εἶναι, καὶ τεκμήριον ἐποιοῦντο τὸ τοὺς ἵππους ἔχοντας ἰέναι πρὸς τὰ βασίλεια κελευσθῆναι, εἶχον δὲ εἰδέναι σαφὲς οὐδέν, πλὴν τὰ περὶ τοῦ Καθαροῦ τῆς φήμης διαθρυλλούσης (διεδέδοτο γὰρ ἤδη πρὸς πάντας), ἰδεῖν τι καὶ ἀκοῦσαι καινότερον ἤλπιζον. Οἱ μὲν ἐν τούτοις ἦσαν.

CAPUT XIII.

Junior imperator egressus, magnum domesticum requirit. Quid utrinque actum mutuo indicant. Historia inseritur de dilato senioris consilio. Denuo per eunuchum, et ad judicium quidem, cum magna vocantis miseratione et lacrymis arcessitur nepos. Ad officium tuli tempore sibi præstandum socios cohortatur. Promittunt omnia, ipsumque ad palatium comitantur.

Imperator minor ad exteriora palatii alvi dolore simulato egressus, magnum domesticum vestigabat. Quo invento dolens ac mœstus, Tu vero, bone vir, inquit, ubi hactenus fuisti? Ille contra magno cum affectu, Quo me nolentem rei necessitudo compulit. Deinde narrat quæque statuerint hactenus, quæque egerint. Nepos gratias agit, et interrogatus quid ipsis porro faciendum sit, de judicio futuro ait nullum relinqui dubium : hucusque autem avum nihil cuiquam **42** ex iis qui affuissent verborum fecisse, posseque nihilominus adhuc fieri, ut meditata, suo adventu videlicet dissipata, etiam nunc differat : quomodo nimirum paucis ante diebus usuvenerit, cum vetere instituto magni canonis officium canebatur (5) : quem even-

B Βασιλεὺς δ' ὁ νέος νύξιν ὑποκριθεὶς τῆς γαστρὸς καὶ πρὸς τοὺς ἐξωτέρω τῶν βασιλείων ἐξελθὼν οἴκους, τὸν μέγαν δομέστικον ἀνεζήτει· εὑρὼν δὲ, σὺν ἄλγει καὶ ἀθυμίᾳ ψυχῆς, Σὺ δ', ὦ ἀγαθὲ, ἦρετο, ὅπου μέχρι νῦν ἦς; Ὁ δὲ περιπαθέστερον ἀπεκρίνατο· Ὅπου μὲν οὐκ ἠβουλόμην, ἡ δ' ἀνάγκη τῶν πραγμάτων συνώθει. Εἶτ' ἐξαγγελίας ὅσα τε ἐβουλεύσαντο καὶ ὅσα ἔπραξαν ἄχρι τότε, τῆς μὲν βουλῆς αὐτοῖς ὁ βασιλεὺς καὶ τῶν πραττομένων χάριτας ὡμολόγει· ἐρωτηθεὶς δ' ὅ τι δέοι πράττειν αὐτούς, τὴν μὲν δίκην ἔφησε γενήσεσθαι μέλλειν ἀναμφιβόλως, μέχρι δὲ νῦν μηδὲν εἰρῆσθαι πρὸς μηδένα τῶν ἀφικνουμένων τῷ πάππῳ καὶ βασιλεῖ. Ἐνδέχεσθαί γε μὴν καὶ νῦν ὑπερθέσθαι τὸν βασιλέα τὰ μελετώμενα, τῇ παρουσίᾳ τῇ ἐμῇ διασκεδα-

Jacobi Pontani notæ.

(5) Ex Triodio quodam libro rituali Græcorum de magno canone describemus, quæ interpretatus est noster Jacobus Gretserus, Notis in orationes Patrum de sancta cruce : *Eodem die (quinta scilicet quintæ hebdomadis in Quadragesima) canimus officium magni canonis. Hunc vere ex omnibus canonibus maximum optime et ingeniose composuit et conscripsit sanctus Pater noster Andreas, archiepiscopus Cretæ, cognomento Hierosolymitanus, ex Damasco oriundus, qui decimo quarto ætatis suæ anno grammaticæ studia aggressus, et in omni disciplinarum genere probe exercitus, Hierosolymam pervenit, vitamque monasticam iniit, qui sancte et pie vitam peragens, in quieto illo et a turbis remoto vivendi instituto, multa quidem cum alia Ecclesiæ Dei fructuosa ingenii sui monumenta reliquit, tum varias orationes et canones, crebrior tamen et copiosior in panegyricis orationibus exstitit. Ex multis autem aliis hunc quoque magnum canonem, infinita contritione animique compunctione refertum, elaboravit. Collecta enim in unum universa Veteris et Novi Testamenti historia, canticum hoc composuit, ab Adamo videlicet, usque ad Christi ascensionem apostolorumque prædicationem : quo quidem omnem animam cohortatur, ut ea quæ in historia videt esse bona et laudabilia, pro viribus sectetur; quæ vero mala, fugiat et aversetur, semperque ad Deum recurrat, per pœnitentiam, per lacrymas, per confes-*

C *sionem, et per alia hujusmodi Deum placandi eique placendi media. Quin adeo canon hic canorus est, et in animas tam facile influit, ut et mentem, etsi præduram, satis emolliat, et ad recipiendum id quod bonum et honestum est, excitet : dummodo corde contrito et debita cum attentione psallatur. Fecit autem hunc canonem eo tempore, quo magnus Sophronius patriarcha Hierosolymitanus Vitam Mariæ Ægyptiacæ litteris mandavit : quæ et ipsa compunctionis plenissima est, lapsisque et peccatoribus multum consolationis affert, si modo a pravis operibus desistere velint. Lege autem receptum est, ut hac die legatur hac de causa. Cum enim sancta Quadragesima ad finem tendat, ne homines segniores effecti spiritualia certamina negligentius ineant, vitamque sobriam et temperantem valere jubeant, maximus adest Andreas, qui, velut aliptes, per historias magni canonis, enumerando insignium virorum virtutem, et improborum casum et eversio-*

D *nem, eos qui laboribus insistunt, alacriores, et ut ita dicam, generosiores facit, ut viriliter ea, quæ supersunt, capessant. Sanctus vero Sophronius oratione sua sobrios et ipse reddit, et ad Deum excitat, ne corruant, neve desperent, licet aliquibus peccatis irretiti fuerint. Quanta enim sit Dei humanitas et clementia in illos, qui ex toto corde præteritæ vitæ noxas relinquere cogitant, narratio de Maria Ægyptiaca abunde docet. Appellatur*

Digitized by Google Распознавание текста ABBYY FR

σθέντα, ὥσπερ δὴ καὶ πρότερον ὀλίγαις ἡμέραις συμβέβηκεν, ὅτ' ἔθος ἡμῖν τὴν τοῦ μεγάλου κανόνος ψάλλεσθαι ἀκολουθίαν. Ἄξιον δὲ διηγήσασθαι καὶ τὸ τότε συμβάν. Τοῦ μεγάλου λογοθέτου τοῦ Μετοχίτου ἐν ὥρᾳ μάλιστα χειμῶνος διὰ τὴν σμικρότητα τῆς ἡμέρας, οὐ δὶς τῆς ἡμέρας, ἀλλ' ἅπαξ εἰωθότος τοῖς βασιλείοις ἐπιδημεῖν καὶ διημερεύειν, καὶ αὐτὴν τὴν τοῦ μεγάλου κανόνος ἡμέραν διημερεύσαντος τοῖς βασιλείοις, καὶ ἤδη νυκτὸς ἐπελθούσης οἴκαδε ἀπελθόντος, ὁ βασιλεὺς κατὰ τάχος μετεκαλέσατο παρὰ τὸ πρότερον εἰωθός. Τοῦτο δὲ οἱ τοῦ μεγάλου λογοθέτου παῖδες, Δημήτριος καὶ Νικηφόρος ἰδόντες, καὶ περί τινων καινοτέρων τὴν τοῦ πατρὸς ἀήθη μετάκλησιν ὡς εἰκὸς ὑπολογισάμενοι (οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῶν μελετωμένων κατὰ τοῦ νέου βασιλέως ἀνήκοοι ἦσαν), ἤκουσι πρὸς βασιλέα τὸν νέον, καὶ τὸ συμβὰν ἀπαγγείλαντες, ἃ δέοντα ἂν νομίζοι περὶ ἑαυτοῦ ἐδέοντο δρᾷν. Ὁ βασιλεὺς δὲ τούτους μὲν ἀπέπεμψεν ἐπαινέσας· μετὰ δὲ τῶν φίλων διασκεψάμενος, ἐδόκει δεῖν, ἐπεὶ καὶ μετ' οὐ πολὺ τῆς ἑορτῆς χάριν καιρὸς ἀφίκεσθαι πρὸς τὰ βασίλεια (ἄλλως γὰρ εἶχεν ἂν ὑποψίαν ἡ ἄφιξις), ἐλθεῖν καὶ πρὸ τοῦ καιροῦ. Κἂν μὲν περί τινων ἄλλων ἡ διάσκεψις ᾖ, τῆς ἑορτῆς χάριν δόξομεν ἀφικέσθαι· ἂν δὲ περὶ ἡμῶν, παυθήσεσθαι τὴν βουλὴν ἡμῶν παρόντων· ὃ δὴ καὶ συμβέβηκε. Τοῦ πρεσβυτέρου γὰρ βασιλέως πρὸς τὸν μέγαν λογοθέτην περὶ ὧν ἐδεῖτο διαλεγομένου, καὶ τοῦτο μόνον εἰπόντος, περὶ μὲν τοῦ τίνα χρὴ τρόπον γενέσθαι βουλὴν ζητεῖν, περὶ δὲ τοῦ γενέσθαι ἢ μὴ, μὲν [leg. οὐ] ζητεῖν (ὡς ὕστερον ἐκ τῶν ἐκεῖ παρόντων πρὸς ὑπηρεσίαν τῷ βασιλεῖ μαθεῖν ἀκριβῶς ἐξεγένετο)· καὶ ὁ νέος παρῆν βασιλεὺς, καὶ ἡ βουλὴ διελέχυτο· εἴτε περὶ τῶν προκειμένων ἢ τινων ἄλλων ἦν, οὐδαμῶς φανεροῦ γεγενημένου. Τούτου δὴ τότε καὶ ὁ βασιλεὺς εἰς μνήμην ἐλθὼν, ἔλεγε πρὸς τοὺς ἑταίρους, ὡς Ἴσως ὥσπερ τότε τὰ τῆς βουλῆς, οὕτω δὲ καὶ νῦν τὰ τῆς

A tum non erit alienum exponere. Cum magnus logotheta Metochites hibernis mensibus potissimum, propter dierum brevitatem non bis, sed semel duntaxat ad palatium accedere, ibique lucem totam transigere consuesset, et magni canonis diem ipsum ibi consumpsisset, jamque nocte se domum recepisset, imperator senior præter consuetudinem repentino eum vocat; cujus filii, Demetrius et Nicephorus insolito huic accersitui quippiam novum subesse verisimillimum cogitantes (nec enim ipsos quoque latebant quæ adversus juniorem imperatorem pararentur), eumdem juniorem adeunt, quodque acciderat exponunt, orantes, ut quæ necessaria factu pro seipso censuerit, ea ne prætermittat. Ille laudibus affectos dimittit, neque cum amicis B communicata, placuit, quandoquidem paulo post, festi diei causa, palatium ingrediendum esset (alioqui enim suspicionem moveret ejus eodem adventus), tempus antecapere. Et si quidem aliis de rebus consulet, diei festi gratia venisse videbimur, inquit; sin de nobis, nostra præsentia consultationem disturbabit; quod etiam evenit. Etenim cum imperator senior magno logothetæ, de quibus rogabat respondisset, et hoc tantum adjecisset, quo pacto consultaretur quærendum: an consultaretur, non quærendum (id quo postea ex apparitoribus probe cognitum est); et junior imperator aderat, et consilium ad nihilum recidit; sive id de re præsenti, sive de quibusdam aliis esset; id enim haud C rescitum est. Hujus itaque eventus memor tunc imperator dicebat cæteris, fortasse quomodo tum consultationem, sic nunc judicium avum esse dilaturum. Sed aliter fuit; nam judicium certo certius constitutum ac paratum erat. Adhuc enim eo cum magno domestico sermocinante, numerumque congregatorum exquirente, illoque respondente, nunc quidem esse centum, brevi ad trecentos fore;

Jacobi Pontani notæ.

autem magnus canon, ut forte quispiam dixerit, propter sententiarum pondus et gravitatem, quarum feracissimus est canonis hujus auctor, in his componendis præclare exercitatus. Cumque cæteri canones triginta aut paulo amplius, troparia contineant, iste ad ducenta et quinquaginta progreditur, quolibet ex illis ineffabilem stillante dulcedinem et voluptatem. Jure igitur optimo et convenienter sanctum est, ut magnus iste canon et compunctionis plenissimus in magna Quadragesima psallatur. Hunc præclarissimum et maximum canonem, et orationem in Mariam (Ægyptiacam) ipsemet Pater noster Andreas primus Constantinopolim tulit, quando ab Hierosolymorum patriarcha Theodoro ad sextam synodum subsidio missus est. Tunc enim monasticam vitam adhuc profitens, cum adversus Monothelitas fortiter decertasset, Ecclesiæ Constantinopolitanæ clero ascriptus est, deinceps in eadem diaconus et pupillorum curator et altor constituitur, et non longo post tempore archiepiscopus Cretæ ordinatus est. Postea proxime apud locum, qui Hicrisus dicitur, cum Mitylenem pervenisset, migravit ad Dominum, cum sedis suæ fructum copiosum percepisset. Ejus intercessione miserere nostri, Deus.

Cæterum quinta hebdomas fuit Græcis ea, quæ nobis quarta. Nam Græci auspicantur Quadragesimam die lunæ post Dominicam, quam vocant τυρινήν, seu τυροφάγον, quæ est Dominica Quinquagesimæ apud nos. Et prima Quadragesimæ hebdomas finitur Dominica orthodoxiæ, seu prima Quadragesimæ, quæ apud nos est *Invocavit*. Si ergo a Dominica τῆς τυροφάγου numeres hebdomadas usque ad quintam feriam, post quartam Dominicam Quadragesimæ, invenies eam de qua loquimur esse quintam, non quartam Quadragesimæ hebdomadem. Quæ omnia liquent ex Rituali Græcorum libro, qui Typicon Sabæ inscribitur, in quo titulus cap. 35, talis est: Εἴδησις τοῦ τύπου τῆς τετάρτης Κυριακῆς τῶν νηστειῶν, καὶ τῆς μετ' αὐτὴν ἑβδομάδος. Est autem hæc hebdomas quinta. Subjungitur enim τῇ δευτέρᾳ τῆς πέμπτης ἑβδομάδος, καὶ εὐθὺς ἀρχόμεθα τοῦ μεγάλου κανόνος. Et ut rem exemplo illustrem. Hoc anno 1600 agunt Græci, qui fastos Gregorianos sequuntur, festum magni canonis feria quinta post *Lætare*, qui est quintus Aprilis, et quinta hebdomas Quadragesimæ Græcæ, ducto initio a die lunæ post Dominicam Quinquagesimæ. Et hæc omnia sunt certissima ex libris ritualibus. Nam Græcorum Quadragesima septem hebdomadibus constat, et sex duntaxat Dominicis. Hæc me his ipsis verbis idem Gretserus noster monuit, quibus mecum utaris licet.

Digitized by Google Распознавание текста ABK/FR

ad unum viros fortes, et ad præliandum exercitatos, si abeundum sit, etiam plures, et ignotos accursuros : de his, inquam, illis sermonem miscentibus, Deumque precantibus, **43** judicium ampliaret, quoad coiissent, qui pro ipsis decertaturi sperabantur, missu avi adest eunuchus Michael Callicrenites ; et priusquam vocem edat, lacrymis gemitibusque infaustum se apportare nuntium ostendit. Deinde præfatus, maluisse se tellure ima sibi dehiscente ad Manes descendere (6), et hac jucundissima luce privari, quam adeo mala nuntiare : Dominus, inquit, et imperator avus tuus te ad causam dicendam vocat. Tum ille : Haud aspernandum tuæ in me propensionis testimonium, quas fundis lacrymas : tamen, quid ita fles, cum necdum eventus pateat ? Fieri siquidem potest, ut cum albo calculo (7) discedam. Ipsa res, suscipit Callicrenites, me in fletum solvit. Etenim cum avus pro more in throno, patriarcha ad latus in sella, arbitri dextra sinistra sederent, tibi soli scamillum e regione et remotius mandatu imperatoris positum est. Quo viso, condemnationis tuæ locum illam sedeculam interpretans, optavi, ut dicebam, hodie mihi terram dehiscere. Verum Deus, qui prophetam suum Danielem de lacu leonum liberavit, et tres pueros a Babylonia fornace intactos præstitit, collatasque in Susannam scelestorum judicum calumnias detexit, idem te nunc qua premeris necessitate superiorem reddat, angelum suum mittens, qui te antecedat, et sapientiam tibi atque intelligentiam largiatur, qua objecta facile, ceu telas arancarum dissolvas. Hæc ubi precatus est eunuchus, Dei voluntas fiat, ait imperator ; jubetque avo renuntiari, se imperata facturum ; et conversus ad amicos, sic eos compellat : Si unquam alias, nunc tempus venit, quo virtutem, diligentiam, prudentiam, tolerantiamque vestram, tam formidoloso tempore declaretis. Enimvero cum multi sæpe et numero, et aliis rebus vobis impares, animorum facta conspiratione, admirabilia et obstupescenda prospere gesserint, vos ita freqentes ac tales longe utique justius est, præclaris et laudabilibus facinoribus efficiendis vobismet ipsis dignos apparere, et aut vitam honestam vivere, aut gloriosam mortem oppetere, hanc solam mentem vos decere arbitrantes. Ego ad tribunal vado ; quod si divino munere rursum conjungemur, interque nos amabiliter iterum intuebimur, erit cur gratias Numini persolvamus. Sin quid aliud illi de nobis complacitum est, ego his verbis postremum vos salutatos volo : vos **44** autem nobilitati virtutique vestræ paretote. Ad ista cum uterque dicere aliquid percuperet, protostratore cunctante, magnus

A δίκης ὁ βασιλεὺς ὑπερθήσεται. Τὸ δ' οὐκ εἶχεν οὕτως· ἀλλ' ἀναμφιβόλως ἡτοίμαστο τὰ τῆς δίκης. Ἔτι γὰρ δομεστίκῳ τῷ μεγάλῳ διαλεγομένου βασιλέως, καὶ τὸν ἀριθμὸν ζητοῦντος μαθεῖν τῶν συνηγμένων ἀνδρῶν, καὶ τούτου πρὸς αὐτὸν ἀποκριναμένου, Ὡς νῦν μέν εἰσιν ἑκατὸν, μικρᾷ δὲ παρελθούσῃ ὥρᾳ συνελεύσονται καὶ μέχρι τριακοσίων, πάντες ἀνδρεῖοι καὶ μάχεσθαι ἠσκημένοι· εἰ δεήσει δὲ ἀπέρχεσθαι, καὶ ἄλλοι πλείονες συνδραμοῦνται καὶ οὓς οὐκ ἴσμεν· περὶ τούτων δὴ διαλεγομένων, καὶ Θεοῦ δεομένων τὴν τῆς δίκης ὥραν παραταθῆναι, ὥστε συναθροισθῆναι τοὺς ἐλπιζομένους ὑπὲρ αὐτῶν μαχεῖσθαι, ἦκεν ἐκ βασιλέως τοῦ πρεσβυτέρου πρὸς τὸν νέον ἀπεσταλμένος ὁ Καλλικρηνίτης Μιχαὴλ ἐκτομίας· καὶ πρὶν φθέγξασθαι,

D Ἐξ δὲ ἡμέρας μετὰ τὴν ἅλωσιν ἐνστρατοπεδευσάμενοι Ἀπρῳ, τῇ ἑβδόμῃ ἅπαντες ἐστρατοπέδευσαν ἐν Γαρέλλῃ. Οἱ ταύτην δὲ οἰκοῦντες, εἴτε καὶ εὐνοϊκῶς διακείμενοι πρὸς τὸν νέον βασιλέα, εἴτε καὶ παρὰ τῶν Ἀπρίων διδαχθέντες σωφρονεῖν, ἅμα τῷ προσκληθῆναι προσεχώρησαν τῷ νέῳ βασιλεῖ, καὶ παρέδοσαν ἑαυτοὺς ἀμαχεί. Πολλαῖς δὲ ἀμειψάμενος αὐτοὺς ὁ βασιλεὺς εὐεργεσίαις, ἅρας ἐκεῖθεν, ἦλθεν εἰς Ῥαιδεστόν. Προσχωρησάντων δὲ καὶ Ῥαιδεστηνῶν, ἐπεὶ καὶ πρὸς αὐτοὺς τὴν εἰς τὸ εὖ ποιεῖν ἐπεδείξατο φιλοτιμίαν, ἦλθεν εἰς Σεργέντζιον· προσχωρήσαντος δὲ καὶ αὐτοῦ, τὴν πρὸς Σηλυβρίαν ἦσε Σηλυβριανοὺς ὧν ἕνεκα τῆς εἰς αὐτὸν εὐνοίας παρὰ τῆς ἐκ Βυζαντίου στρατιᾶς ἐζημίωνται τοῦ χειμῶνος τὴν χώραν κατατρεχόντων, εὐεργεσίαι,

Digitized by Google Распознавание текста ABK/FR

καὶ εὐχαριστίας ἀμειψόμενος. Ἐγγὺς δὲ Σηλυβρίας γενομένοις ἔδοξε καταβάντας τῶν ἵππων διαναπαύσασθαι μικρόν. Στρατοπεδεύονται δὴ παρὰ τῷ φρουρίῳ Σάκκων, πολεμίῳ μὲν ὄντι διὰ τὸ Συργιάννῃ μὲν προσχωρῆσαι, ξκαὶ τοὺς ἐκ Βυζαντίου στρατιώτας ἐπὶ τῷ Σηλυβριανοὺς ὑπερδέχεσθαι κατατρέχειν· καταφρονουμένῳ δὲ ἄλλως διά τε τὴν ὀλιγότητα καὶ ἀπειρίαν τῶν ἐνοικούντων] (ἀγρόται γὰρ ἦσαν πάντες γηπόνοι), καὶ τὴν φαυλότητα τῶν τειχῶν. Οἱ δ' ἐν αὐτῷ τῷ φρουρίῳ ἐγκεκλεισμένοι, ὥσπερ ἀγνοήσαντες ἑαυτοὺς, καὶ τῶν περικειμένων ὡς οὐδενῶν καταφρονοῦντες, ὕβριζόν τε ἀπὸ τοῦ τείχους καὶ πολλὰς κατέχεον λοιδορίας καὶ βασιλέως καὶ τῶν συνόντων. Γελάσας δὲ ἐφ' οἷς ὑβρίζετο ὁ βασιλεὺς, εἰ οἶνος εἴη πολὺς παρ' αὐτοῖς ἐπυνθάνετο τῶν παρόντων. Τῶν δὲ οὐδ' ἀρκούντως εὐπορεῖν ὕδατος ἀποκριναμένων, Οὐκοῦν, ἔφη, τῶν μελαγχολᾶν ποιουσῶν ἐνεπλήσθησαν βοτανῶν. Κελεύσας δὲ αὐτοῖς τινα παραινέσαι καὶ σωφρονεῖν καὶ σιγᾷν, αὐτὸς ἅμα τοῖς ἄρχουσι πρὸς ἐπίσκεψιν ἐξῆεσαν τῶν σκοπῶν. Οἱ δὲ δυστυχεῖς ἐκεῖνοι Σάκκιοι οὐδὲν μᾶλλον ὑφίεσαν τῶν ὕβρεων καὶ τῶν φωνῶν, ἀλλ' ἐχρῶντο πάσῃ δυνάμει. Τὸ δὲ τῶν στρατιωτῶν οἰκετικὸν, πρὸς τὴν ὑπερβολὴν τῶν ὕβρεων ἀχθεσθέντες, αὐτοῖς ἠξίουν τοὺς δεσπότας ἐπιτρέψαι τὸ ἔργον. Ἐπιτρεψάντων δὲ αὐτῶν ἐπιδραμόντες εἷλον αὐτοβοεὶ, πανταχόθεν ὑπερβάντες τὸ τεῖχος· ἦν γὰρ εὐάλωτον· τοῖς προστυχοῦσι χρησάμενοι ξύλοις ἀντὶ κλιμάκων· καὶ πρὸς διαρπαγὴν ἐτράποντο τῶν ἔνδον. Εἷσω δὲ μιᾶς οἰκίας ἀνημμένου πυρὸς, ἀνελθόντων ἐπ' αὐτὴν πολλῶν, κατέπεσε τὸ τέγος ἐπὶ τοῦ πυρός. Ἐκ χόρτων δὲ ξηρῶν οὔσης ἐστεγασμένης, φλὸξ ἀνήφθη παραχρῆμα λαμπρά. Εὐθὺς δὲ προσεπελάβετο καὶ τῶν ἄλλων· ἦσαν γὰρ ὁμοίως αὐτῇ κατεσκευασμέναι· πύλης δὲ οὔσης τῷ φρουρίῳ μιᾶς, ἐπεὶ καὶ αὐτὴ διὰ τὸν φόβον παρὰ τῶν ἐνοικούντων ἀπῳκοδομήθη, ἄλλως δ' ὅτι καὶ ἡ πρώτως ἀναφθεῖσα οἰκία παρ' αὐτῇ ἦν, οἱ μὲν τῶν εἰσελθόντων, ἅμα δὲ καὶ τῶν ἐποίκων τοῦ χωρίου ὡς εἶχον ἐπὶ τὸ τεῖχος ἀνελθόντες, ἐξέπιπτον ῥίπτοντες ἑαυτοὺς ἡμιφλεγεῖς. Οἱ δὲ, ἅμα τοῖς κατοικοῦσι τὸ χωρίον ἀνθρώποις τε καὶ κτήνεσιν ὑπὸ τοῦ πυρὸς ἐναπειλημμένοι, οὐκ ἔχοντες, ὅ τι χρήσωνται, πρὸς

A Juxta castellum igitur Saccos castrametantur, hostile quidem (nam a Syrgianne stabat, Byzantinumque militem ad Selybrianos per eruptionem vexandos susceperat), **90** cætera contemnendum, quod ipsum per se exiguum, quod incolæ rudes ac imperiti (omnes siquidem erant rustici, cum terra rationem habentes), quod muri humiles ac demissi. Qui igitur intus se incluserant, uti semet ignorantes, imminentes sibi ut nullius pretii mortales in contemptum vocabant, ac de muro cum insolentia voces contumeliosas identidem contra imperatorem, ejusque copias effundebant. Qui renidens ad convicia (94), ab astantibus quærebat, multumne apud eos vini esset (95). Illis respondentibus : Ne aquæ quidem satis : Itaque, subjecit, herbis ipsaniam generantibus se ingurgitarunt. Tum eos admoneri jubet, uti se modeste gerant, et linguas contineant ; et cum principibus exercitus ad metas speculandas digreditur (96) At infelices illi Saccii nihilo magis de protervitate et maledictis remittere : sed quasi id palmarium foret, omnem in eo facultatem suam experiri. Injuriarum magnitudine offensa gravius militum servitia (97) [ut sunt calones et lixæ] dominos rogant, uti ipsis negotium vindicandi committant. Impetrant, et primo impetu, truncis ac trabibus obvils loco scalarum usi, muros, quod facile fuit, occupant, et ad diripiendos indigenas discurrunt. Forte in casa quadam ignis luculentus ardebat : C quam cum multi conscendissent, tectum ex cespite arefacto contextum in focum decidit : quo casu de subito exsuperantibus flammis, ad contiguas ædes similem in modum ædificatas incendium pervasit. Unica erat oppidulo porta, qua propter metum obstructa, et quia domus primo incensa prope erat, nonnulli qui irruperant, et quidam de colonis ipsis, cum murum fugiendi causa, ut poterant, ascendissent, inde se semiustulati præcipites foras dabant. Alii simul cum incolis et jumentis ab ignibus intercepti, nescientes quo se converterent, in gemitus et lamentabiles voces prorumpebant. Et erat profecto res digna lacrymis, acerbitate ustionis hominibus et pecudibus

B

Jacobi Pontani notæ.

(94) Cur non, cum, ut sequitur, pro insanis eos haberet? Etiam Socrates hominem parum sanum sibi conviciantem, non magis in judicium, quam asinum, si calces sili illisisset, vocandum arbitrabatur. In contemnendis maledictis animi altitudo mire elucet. Unum hoc, quod laudari possit de Nerone apud Suetonium legi, cap. 39 : *Mirum*, inquit, *et vel præcipue memorabile, nihil eum patientius quam maledicta et convicia hominum tulisse, neque in ullos leniorem, quam qui se dictis aut carminibus lacessissent, exstitisse.*

(95) Τὸν οἶνον οὐκ ἔχειν πηδάλιον, *vinum non habere clavum* dicebatur proverbio, ut refert Athenæus, lib. x. Ebrietas namque nihil consulte, nec moderate vel dicere, vel facere consuevit, cum per eam ratio, quæ sobrios regere tanquam clavus debet, obruatur. Ibidem hoc profertur :

Οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνην ἀναβάλλει.

D *Insanire facit sanos quoque copia vini.*

Plato lib. I *De legibus*, non solum senem, sed etiam temulentum bis puerum fieri affirmat.

(96) In Græco est σκοποὺς, quod quid illic sit, non satis liquet, etiam si *metas* transferas. Fortasse *speculas* appellare debui.

(97) Adjecimus de nostro per parenthesin (*ut sunt calones et lixæ*) explicationis causa videlicet. Habuisse autem milites suos servos, etiam ex hac historia pluribus locis cognoscitur. Et erant servi, ut equi saginarii, ferendis armis, annona, et sarcinis, quos ad restituendam disciplinam militarem removerunt P. Scipio Africanus apud Numantiam, Metellus in Africa. Valerius, lib. VII, cap. 7 ; Frontinus, lib. IV, cap. 1. Vide Joan. Antonii Valtrini, *De militia veterum Romanorum*, lib. III, cap. 8, quod est de generibus hominum, qui castra sequerentur.

Digitized by Google Распознавание текста ABBYY FR

confuse vociferantibus. Totus exercitus, ipseque imperator cum ducibus, cæteris posthabitis, oppidulum circumsistebant, ad succurrendum parati. Quod cum nequirent (jam siquidem ignis omnia ædificia depascebatur), ipsi quoque præ commiseratione fletum non tenebant. Flammis absumpti sunt de iis qui deforis per murum se ingesserant, sex : ex habitatoribus autem feminæ, pueri, et grandiores natu tres et viginti supra centum ; insuper animantes, et reliqua res familiaris **91** quantacunque.

Non mediocriter hoc alieno infortunio mœstus imperator, Selybriam ire instituit, ubi transactis quorum causa venerat, Chariopolin rèmeavit, missionemque dedit exercitui, mille apud se retentis : mandans uti præfinitis diebus, quanquam non arcessiti, rursus adessent. Verum magnus stratopedarcha Palæologus, Rhodopes præfecturarum dux, creditas sibi urbes omnes exercitumque, ut supra demonstravimus, a juniore ad seniorem imperatorem avertere, animosque subigere, et ad hujus obsequium inclinare potuit : unum autem quemdam genere Dacum, pecuarium (98), Syrmpanum vocabulo, fortunis exutum, quod nepoti faveret, postquam sæpe illum fustuario multavit, duos etiam dentes radicitus excussit, maxillamque ferro candenti inurendam curavit, nec eum tamen a fide transversum agere valuit, cum manicis in custodiam dedit. Inde cum aliquando effugisset, aliosque pastores armis militaribus nudos (99), magno sibi numero ascivisset, et copiis ad Palæologum coercendum eo missis se immiscuisset, in Rhodopeios ferebatur. Qui erant in oppidis, cernentes agrestes universos contra se conspiratos, et instantem ac prementem imperatoris exercitum, timentesque ne intestina seditione excitata pessumirent, communata sententia ad eum se contulerunt, vinctumque ducem in custodia tam diu habuerunt, quoad re intellecta imperator de eo certum statueret : ipsi cum Syrmpano ad illum profecti sunt ; pars ut præstitæ benevolentiæ præmium adipisceretur : pars (quotquot nimirum a seniore prius steterant) ut delicti gratiam impetraret. Quos imperator ut adversus se bene meritum ingratos verbis mollibus castigavit : et præcipiens, ne de cætero ad defectionem et sacramentum violandum faciles essent, offensionumque oblivionem promittens, venia est impertiA ὁλοφυρμοὺς ἐτράποντο καὶ οἰμωγάς· καὶ ἦν δακρύων ἄξιον τὸ γινόμενον, ἀνθρώπων ὁμοῦ καὶ βοσκημάτων ἐπὶ τῇ καύσει βοώντων τε καὶ ὁλοφυρομένων. Ἡ στρατιὰ δὲ πᾶσα καὶ βασιλεὺς αὐτὸς ἅμα τοῖς ἐν τέλει τῶν ἄλλων ἀμελήσαντες, περιέστησαν τὸ φρούριον προθυμούμενοι βοηθεῖν, μὴ δυνάμενοι δὲ (πάντων γὰρ ἤδη ἐπελάβετο τὸ πῦρ), εἰς θρήνους ὑπὸ συμπαθείας ἐτράπησαν καὶ αὐτοί. Ἀνάλωνται δὲ ὑπὸ τοῦ πυρὸς, ἀπὸ μὲν τῶν ἔξωθεν εἰσελθόντων, ἓξ· γυναῖκες δὲ καὶ παῖδες καὶ οἱ ξῶντες τῶν τὸ χωρίον κατοικούντων, τρεῖς καὶ εἴκοσι καὶ ἑκατὸν, καὶ βοσκήματα καὶ ἡ ἄλλη περιουσία, ὅσα ἦν.

Ἐλύπησε μὲν οὖν οὐ μετρίως τὸ τοιοῦτον πάθημα τὸν βασιλέα. Ἀναστὰς δὲ ἐκεῖθεν, ἦλθεν εἰς Σηλυβρίαν· καὶ ὧν ἕνεκα ἦλθε διαπραξάμενος ἐκεῖ, B ἐπανέζευξεν εἰς Χαριούπολιν, καὶ διέλυσε τὴν στρατιὰν πλὴν χιλίων οὓς ἐπέταξεν αὐτῷ συνεῖναι, ἐν ἡμέραις ῥηταῖς κελεύσας πάλιν ἀκλήτους πρὸς αὐτὸν ἐπανελθεῖν. Ὁ μέντοι τῶν κατὰ τὴν Ῥοδόπην ἐπαρχιῶν στρατηγὸς Παλαιολόγος ὁ μέγας στρατοπεδάρχης, τὰς ὑπ' αὐτὸν πάσας πόλεις καὶ τὴν στρατιάν, ὥσπερ ἔφημεν, ἀπὸ τοῦ νέου βασιλέως πρὸς τὸν πρεσβύτερον ἀποστήσας, πάντων μὲν ἴσχυσε καὶ τὰς γνώμας παραστήσασθαι, καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ πεῖσαι προσέχειν. Ἕνα δὲ τῶν ἀπὸ τοῦ Δακικοῦ γένους νομάδα Συρμπάνον ὠνομασμένον, τῶν ὄντων ἀποστερήσας ὅτι τῷ νέῳ προσέκειτο βασιλεῖ, πολλαῖς τε αἰκίαις ὑποβαλὼν, δύο τε τῶν ὀδόντων ἐκριζώσας, καὶ τὴν παρειὰν κατακαύσας σιδήρῳ, ὡς οὐκ ἴσχυσεν ἀποστῆσαι τοῦ C νέου βασιλέως, καθείρξας εἶχεν ὑπὸ κλοιοῖς. Οὗτος δὴ τοῦ δεσμωτηρίου τότε διαδρὰς, καὶ κολλοὺς ἑτέρους προσεταιρισάμενος νομάδας ψιλοὺς, καὶ τῇ παρὰ τοῦ νέου βασιλέως ἐνταυθοῖ πεμφθείσῃ τῷ Παλαιολόγῳ πολεμεῖν συμμίξας στρατιᾷ, ἐπέθετο τοῖς ἐν τῇ Ῥοδόπῃ. Ὁρῶντες δὲ οἱ ἐν ταῖς πόλεσι τούς τε ἀγρότας ἐκπολεμωθέντας αὐτοῖς ὁμοῦ πάντας, καὶ τὴν στρατιὰν ἐπικειμένην, καὶ δείσαντες μὴ καὶ τῶν ἔνδον ἀπόλωνται στασιασάντων, μεταβαλόντες προσέθεντο τῷ νέῳ βασιλεῖ. Καὶ δήσαντες τὸν στρατηγὸν εἶχον ἐν φρουρᾷ, ἄχρις ἂν ὁ βασιλεὺς πυθόμενος περὶ αὐτοῦ ᾖφον ἐνέγκῃ. Αὐτοὶ δ' ἅμα Συρμπάνῳ ἦκον ὡς βασιλέα, οἱ μὲν ἀποληψόμενοι γέρα τῆς εἰς αὐτὸν ἐννοίας, ὅσοι δ' ἦσαν πρότερον D τῷ πρεσβυτέρῳ προστεθειμένοι βασιλεῖ, ἐξαιτήσοντες συγγνώμην. Ὁ βασιλεὺς δὲ τῶν μὲν ἀφεστηκότων καθαψάμενος μετρίως ὡς ἀγνωμόνων περὶ αὐτὸν εὖ δράσαντα φανέντων, πραγγελίας τε μὴ εὐχερεῖς ἔτι πρὸς τὰς ἀποστασίας καὶ τὰς παραβά-

Jacobi Pontani notæ.

(98) Νομάδα. Vox Numida Latinis non eos tantum populos, qui certam Africæ partem, Numidiam vocatam, tenuerunt, significat, qui quod initio pastoritiam vitam colebant, hoc nomen obtinuerunt : verum etiam alios populos, qui pecuarii erant. Ac Numidæ vocabulum Græco deflexum est, hi enim populi Νομάδες dicuntur. Sic etiam Vitruvius Arabes vocat, his verbis : *Item Joppæ in Syria, Arabiaque Numidarum, lacus sunt immani magnitudine.* Nicander :

Τῷ μὲν Γερραῖοι Νομάδες χαλκήρεας αἰχμάς.

Hæc Turnebus, lib. I, cap. 27. Jam igitur qua notione hunc Dacum Νομάδα nominet intellexisti. Nomadum sæpius faciet mentionem.

(99) Ψιλοὺς qui scilicet præter gladium, aut arcum nihil haberent armorum; hoc enim valet vox Græca, et ὁπλίταις ψιλοὶ opponuntur. Puto autem hos nec leviter quidem fuisse armatos, sed rem gessisse *stipitibus duris, sudibusve præustis*, ut in IX *Æneid.* pastores Latini contra Trojanos advenas.

Digitized by Google Распознавание текста ABK/FR

σεις τῶν ὅρκων εἶναι· αὐτός τε ἀμνηστήσειν ὧν αὐ- A tus, et paulo post humaniter domum abire jussit.
τοῖς ἡμάρτηται εἰπών, ἠξίωσε συγγνώμης, μετὰ Qui autem in fide perstitissent, eos quoque pro
μικρὸν δὲ καὶ εὖ ποιήσας, οἴκαδε ἐπέταξεν ἀπιέ- dignitate collaudatos et donis donatos dimisit,
ναι. Τοὺς δὲ τῇ εἰς αὐτὸν ἐμμείναντας πίστει ἐπαι- duce illis præfecto Tarchaniota domestico, cui
νέσας τε ἅμα καὶ δωρεαῖς ἀμειψάμενος ἀξίως, mandatum erat, uti magnum stratopedarcham im-
ἐξαπέστειλε μὲν αὐτούς, στρατηγὸν αὐτοῖς ἐπιστή- peratori vinctum mitteret, coram quo altero die
σας τὸν Ταρχανειώτην δομέστικον, ᾧ ἐπετέτραπτο astans Syrmpanus, quidpiam illum velle videba-
τὸν μέγαν στρατοπεδάρχην δεσμώτην ὡς βασιλέα tur. Quo animadverso, Dic, ait, si quid habes.
ἀποστεῖλαι. Εἰς τὴν ὑστεραίαν δὲ ὁ Συρμπάνος ἐπὶ Syrmpanus statim se humi abjiciens petere, ut sibi
τοῦ βασιλέως ἑστηκὼς, ἐδόκει βούλεσθαί τι πρὸς ignosceretur, 92 si subulcus, et barbarus, et
βασιλέα εἰπεῖν· συνεὶς δὲ ὁ βασιλεὺς, εἴ τι βούλοιτο rusticus imperatorem verbo appellare auderet.
ἐκέλευε λέγειν. Ὁ δ' ἅμα τῷ προσταχθῆναι πρὸς Jussus ut omni timore deposito loqueretur, pro
τοῦδαφος ἑαυτὸν καταβαλὼν, συγγνώμης ᾔτει τυ- magno stratopedarcha orare occepit, ut ei ipsi,
χεῖν, εἰ συβώτης ὢν καὶ βάρβαρος καὶ ἀγροῖκος, quod Rhodopeios a fide in dominum suum ab-
ἐτόλμησε φθέγξασθαί τι πρὸς βασιλέα. Τοῦ βασι- duxisset, ignosceretur. Percunctante imperatore,
λέως δὲ προστάξαντος λέγειν δεδοικότα μηδὲν, B simulatene, an vere et ex animo ita rogaret,
ὑπὲρ τοῦ μεγάλου ἐδεῖτο στρατοπεδάρχου, ὥστε καὶ Vere, inquit; et ad confirmationem juramentum
αὐτὸν ἐφ' οἷς εἰς βασιλέα ἥμαρτε τοὺς κατὰ τὴν adjecit; addiditque, ex officio esse, quanquam
Ῥοδόπην ἀποστήσας, τυχεῖν συγγνώμης. Τοῦ βασι- peccasset, tamen ut cognato veniam non negare.
λέως δὲ ἐρομένου εἰ πρὸς εἰρωνείαν ἢ πρὸς ἀλή- Rursum imperator: An tu oblitus es, quibus, et
θειαν τυχεῖν δεῖται· ὁ δ' ἔφασκε, Πρὸς ἀλήθειαν· quot malis ille te mactaverit? Bona tibi, liberos,
καὶ ὅρκον προσετίθει πίστεως χάριν· δέον δ' εἶναι, et uxorem eripuit, dentes excussit, plagis multis
εἴ τι καὶ ἥμαρτε, προσήκοντα πρὸς γένους ἀξιῶσαι corpus tuum dilaceravit, ad extremum maxillam
συγγνώμης. Ἐπιλέλησαι δ', εἶρηκεν αὖθις ὁ βασι- ferro, ut atrocissimorum scelerum damnato, ustu-
λεὺς, ὅσα σε εἴργασται κακὰ, ἀποστερήσας μὲν lavit, ac perpetua cicatrice deformem reliquit. In
τῶν ὄντων, καὶ παίδων καὶ γυναικὸς, ἔτι δὲ καὶ summa, cedo, quid te movit, ut ejus causam ag-
ὀδόντων αὐτῶν, πολλαῖς τε αἰκίαις καταξάνας τὸ res? Quid vero majus, inquit, quam qui paulo
σῶμα, καὶ τέλος ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτῳ ante in servis illius censebatur, eum nunc Dei
ἁλωκότων τὴν παρειὰν κατακαύσας σιδήρῳ ὡς concessu, ac tuo munere in tantam claritatem
μηδὲ τὰς οὐλὰς ἐξαλειφθῆναι δύνασθαι; ὅλως δὲ C venire, ut deprecatione sua etiam cognatos impe-
τί σε τὸ πεῖσάν ἐστιν, ὑπὲρ ἐκείνου δεῖσθαι; Τί δ' ratoris formidato supplicio eximat? Admirans im-
ἂν εἴη μεῖζον, ἔφασκεν, ὦ βασιλεῦ, ἢ τὸν οὕπω perator, sic eum delesse injuriarum memoriam:
χθὲς καὶ πρώην ἐν τοῖς δουλεύουσιν ἐκείνῳ τεταγ- Si tu, ait, tam iniqua et infanda ab illo passus,
μένον, νῦν εἰς τοσοῦτον ἥκειν περιφανείας, Θεοῦ homo barbarus, sorte infimus, nihilo minus quan-
καὶ σοῦ, βασιλεῦ, εὐηργετηκότος, ὡς καὶ τοὺς βα- tum in te est, mala bonis compensas, me minora
σιλεῖ προσήκοντας κατὰ γένος ἐξαιτεῖσθαι δύνα- passum, et imperatorem, inexorabilem iram fovere
σθαι, καὶ τῶν προσδοκωμένων ἀπαλλάττειν κακῶν; non decet. Igitur vel te deprecatore in me com-
Θαυμάσας δὲ ὁ βασιλεὺς τὴν ἐπὶ τοῖς κακοῖς ἀμνη- missa negligens, ecce veniam illi tribuo. Actis
στίαν τοῦ βαρβάρου, Εἰ σύ γε, ἔφη, τοσαῦτα ὑπ' gratiis, et iterum iterumque dictis imperatori lau-
αὐτοῦ ἀδικηθεὶς καὶ κακῶς παθὼν, βάρβαρος ὢν dibus, barbarus denuo petit: nempe ut idem stra-
καὶ φαῦλος τὴν τύχην, τοῖς ἐναντίοις ἀμείβῃ ὅσον topedarcha nec honore, nec reditibus, nec bonis
ἔξεστι ποιῶν εὖ, οὐδ' ἐμὲ δίκαιον μετριώτερα ἀδι- imperatoriis excidat. Tantum studium erga noxium
κηθέντα, βασιλέα τε ὄντα, ἀπαραίτητον ὀφθῆναι amplius suspiciens imperator, etiam hoc annuit;
πρὸς ὀργήν. Τοίνυν καὶ τῆς σῆς ἱκετείας ἕνεκα et adhuc ad pedes ejus jacenti, testimonium da-
τὰ ἡμαρτημένα παρορῶν, ἀξιῶ συγγνώμης. Εὐχα- D tæ veniæ in pittacio exaratum, et ut mos est, fi-
ριστήσας δὲ ὁ βάρβαρος ἐπὶ τούτοις, καὶ πολλάκις dei ergo imperatoris manu addita præbetur: quo
ἐπευφημήσας τὸν βασιλέα, καὶ δευτέραν δέησιν accepto, vestigia imperatoris exosculatus, cum læ-
προσετίθει, τὸ τὸν αὐτὸν μήτε τῆς ἀξίας ἀποστε- titia recessit.
ρηθῆναι μήτε τῶν προσόδων καὶ τῶν δωρεῶν τῶν βασιλικῶν. Ἔτι δὲ μᾶλλον τὴν ὑπὲρ τοῦ ἠδικηκότος σπουδὴν θαυμάσας ὁ βασιλεὺς καὶ ταύτην τὴν δέησιν ἐπλήρου. Ἔτι δὲ αὐτοῦ πρὸς τοὺς πόδας βασιλέως κειμένου, τὰ τῆς συγγνώμης γράμματα διαχαραχθέντα, καὶ τῇ βασιλικῇ πιστωθέντα χειρὶ ἐπεδόθησαν αὐτῷ· ὁ δὲ λαβὼν, καὶ τὴν γῆν κατασπασάμενος ἐφ' ἧς ὁ βασιλεὺς εἱστήκει, χαίρων ἀπῆλθε.

93 CAPUT XXXI.

De Thessalonica et Constantino despota felices nuntii. Ad imperatorem monachi habitu indutus perducitur; in carcerem datur. Qui Xenam imperatricem violaverant, puniuntur publice. Lemnus ad juniorem aciicit. Persæ seniori auxilio venientes, metu junioris verculsi, domum turpiter revertuntur. Fugiunt etiam Byzantii.

Τῇ αὐτῇ δὲ ἡμέρᾳ ἐκ Θεσσαλονίκης ἄγγελος ἐλθὼν ἀπήγγειλε βασιλεῖ, ὡς στάσεως ἐν αὐτῇ γε- Eodem die Thessalonica veniunt nuntii, factionibus ibidem natis, ab eo stantes vicisse, ur-

Digitized by Google Распознавание текста ABK/FR

bemque illi subjecisse. Constantinum despotam in monasterium Chortætum, civitati vicinum confugisse, comprehensum custodia detineri. Imperator confestim Thessalonicam mittit, qui hominem adducant; prius jurejurando astrictos, neque se despotam occisuros, neque aliis occidendum permissuros. Profecti, in schemate monastico, quo se mortis metu velaverat, antequam illi Thessalonicam aspirarent, Didymotichum perducunt (1). Proquesebantur eum Thessalonicensium et de senatu, et de militibus complures, atque etiam ecclesiæ illius antistes Jeremias, item Gerasimus lauræ (2), quæ est in Atho sancto monte (3) præfectus. Parum vero abfuit, quin stipatores imperatoris audacia ac furore militari despotam in frusta concidissent, nisi illum præsentia sua imperator conservasset. Præcepit autem in carcerem tradi. Præteritis diebus aliquot, despota hominem certum ad imperatorem allegans gratias agit, quod se e faucibus fatis eripuerit: et simul rogat, quoniam modo quodam et occasione monachi habitum cepisset, etiam legitima monasticæ instituta sibi exsequi liceret, ne coactus, sed libens eum cepisse videretur. Imperator suspicione tactus, non desiderio vitæ commutandæ, sed carceris evadendi hoc ab se peti, metropolitanum et lauræ præfectum Gerasimum mittit, qui dicant, illum in præsens haud convenientia petere. Nam, ne a custodibus habeatur male, sed quiete potiatur, hoc illi concessum iri: dimitti nunc e carcere neuti quam posse. Proinde id rogare parcat. At despota viros illos sacratos prehensans, idem enixius orare, ut qui non hypocrisi, aut necessitate, sed sincero potius animo hoc vitæ genus delegisset. Quæ cum ad imperatorem referrent, ipsorum arbitrio eum permisit. Eodem tempore Thessalonica **94** adducti sunt in vinculis, qui Xenam, impe-

A νομένης, οἱ τῷ νέῳ βασιλεῖ προσκείμενοι ὑπερσχόντες, Θεσσαλονίκην περιεποίησαν αὐτῷ, τὸν δεσπότην δὲ Κωνσταντῖνον εἰς τὸ περὶ αὐτὴν φροντιστήριον τὸ Χορταΐτου διαβράντα κατασχόντες ἔχουσιν ἐν φρουρᾷ. Ὁ βασιλεὺς δὲ εὐθὺς τοὺς ἄξοντας αὐτὸν ἔπεμψεν εἰς Θεσσαλονίκην, ὅρκοις πρότερον αὐτοὺς κατασχών, ὡς οὔτ' αὐτοὶ ἐκόντες, οὔθ' ἑτέροις παραχωρήσουσι τὸν δεσπότην ἀποκτεῖναι· οἱ καὶ ἀπελθόντες ἦγαγον αὐτὸν εἰς Διδυμότειχον μοναχῶν ἠμφιεσμένον σχῆμα. Περιεβάλετο δὲ αὐτὸ καὶ πρὶν αὐτοὺς εἰς Θεσσαλονίκην ἐλθεῖν δέει τοῦ μὴ ἀποθανεῖν. Συνῆλθον δὲ αὐτοῖς πρὸς τὸν νέον βασιλέα τῶν Θεσσαλονικέων καὶ τῆς συγκλήτου καὶ τῆς στρατιᾶς πολλοί, καὶ ὁ τῆς κατ' αὐτὴν Ἐκκλησίας πρόεδρος Ἱερεμίας, καὶ Γεράσιμος ὁ τῆς

B κατὰ τὸ ἱερὸν ὄρος τὸν Ἄθω ἐξηγούμενος λαύρας. Ἡ μέν τοι περὶ τὸν νέον ἠθροισμένη βασιλέα στρατιὰ, ἀταξίᾳ στρατιωτικῇ χρησάμενοι, ὀλίγου δεῖν κατέκοψαν ἂν τὸν δεσπότην, εἰ μὴ αὐτὸς ἐρρύσατο παρὼν ὁ βασιλεύς· ἐκέλευσε δὲ εἰρχθῆναι. Τισὶ δὲ ὕστερον ἡμέραις ὁ δεσπότης διά τινος ἐδεῖτο τοῦ νέου βασιλέως, ἅμα καὶ πολλὰς χάριτας ὁμολογῶν, ὅτι [δι' αὐτὸν οὐκ ἐτεθνήκει, ὡς ἐπεὶ καθ' ὁποιονδήτινα τρόπον τὸ τῶν μοναστῶν περιεβάλετο σχῆμα, καὶ τὰ νενομισμένα ἐπ' αὐτῷ τελεσθῆναι πάντα, ὡς ἂν μὴ δοκοίη βίᾳ, ἀλλ' ἑκὼν περιβεβλῆσθαι. Ὁ βασιλεὺς δὲ ὑποπτεύσας μὴ βίου μεταβολῆς ἐπι-

C θυμίᾳ, ἀλλ' ὅπως ἀπολυθείη μὴ εἴργεσθαι, τοιαῦτα αἰτεῖν, τὸν Θεσσαλονίκης πέμψας μητροπολίτην, καὶ τὸν τῆς λαύρας ἐξηγούμενον Γεράσιμον, οὐχ ἁρμόζοντα αἰτεῖν αὐτὸν μεμήνυκεν ἐν τῷ παρόντι. Τὸ μὲν γὰρ μὴ κακῶς ὑπὸ τῶν φρουρούντων πάσχειν, ἀλλ' ἀναπαύλης ἀπολαύειν, ἐξέσται· τὸ δὲ ἀπολυθῆναι τῆς εἰρκτῆς, ἀδύνατον τὸ νῦν εἶναι. Διὸ μηδὲ τοιαῦτα δεῖσθαι. Ὁ δ' ἔτι μᾶλλον ἐδεῖτο περὶ τῶν αὐτῶν, τῶν ἱερῶν ἐκείνων ἐπιλαβόμενος

Jacobi Pontani notæ.

(1) De perductione ista Constantini despotæ Thessalonica Didymotichum, et causa ejus, militum in eum fremitu, et carcere, de quibus principio hujus capitis fusius agit Gregoras, lib. VIII: *His*, inquit, *sub hiemis exitum actis, veris initio a seniore imperatore triremis, cum arcanis litteris ad Constantinum despotam mittitur, quibus jubebat, ut eadem navi viginti quinque seditiosos, qui Thessalonicensem populum ad res novas moliendas incitarent, vinctos mitteret. At illi, priusquam hoc fieret, periculo suo cognito, clum populo concitato, et turribus conscensis, sacra tintinnabula pulsant, inchoandæ seditionis signum. Statim igitur concursu ad ædes despotæ facto, ipsum quidem non repererunt* (*præmonitus enim in arcem se receperat*), *sed obvios quosque partim occiderunt, partim bonis ereptis in carcerem conjecerunt, dejectisque domibus, et omnibus opibus direptis, arcis portas incenderunt.* Lege quæ sequuntur.

(2) Omissis lauræ significatis quæ in vitio ponuntur, e quibus unum illo in proverbio, *Samiorum Lauræ*, Suidas in hac voce *Lauræ*, docet significare quoque στενωπὸν et angiportum. Videtur ergo idem nomen ad monachorum habitacula, seu monasteria translatum fuisse ob vilitatem, et angustias ædificii, et cellularum. Hinc subdit Suidas, καὶ λαῦρα ἡ στενὴ κατοικία τῶν μοναχῶν. Et apparet nomen hoc monasteriis tributum, cum SS. Sabbas et Euthymius floruerunt, crebro enim in illorum historiis occurrit: nec satis scio an antea usurpatum fuit. Vocat quidem Metaphrastes monasteria lauras in Vita Andronici tomo primo, qui sub Theodosio Magno, vel paulo post vixit; sed id facit Metaphrastes ex more sui sæculi, non ejus de quo scribit. Sicut autem ex modestia et submissione domicilia sua vocarunt mandras a cavernis et stabulis armentorum, ita fortasse humilitatis causa hoc vocabulum angustam habitationem denotans, ad suas sedes transtulerunt: et forte ipsa appellatione revocare sibi in memoriam voluerunt illud, εἰσέλθετε διὰ τῆς στενῆς πύλης: *Intrate per angustam portam.* Est enim via in cœlum laura, hoc est, στενωπός. Hæc noster Jacobus Gretserus.

D

(3) Mons hic Macedoniæ notissimus e scriptoribus non semel in hac historia nominatur. Etiam hodie ὄρος ἅγιον dicitur, ubi 23 supersunt monasteria, singula quondam ducentis aut trecentis calogeris habitata (calogeros, id est, bonos senes, monachos illos nominat Græcum vulgus) contraque vim prædonum ac piratarum munita. Nunc diminuto licet numero, adhuc eorum est magna ibi copia. A Turcis vocatur Monastir, ut refert Leunclavius. Et quicunque alio venirent hujus montis monachi, propter arctiorem disciplinam, majoremque opinionem sanctimoniæ, majori erant in honore ac pretio.

Digitized by Google Распознавание текста ABK/FR

ἀνδρῶν, ὡς οὐ πρὸς ὑπόκρισιν, οὐδὲ πρὸς ἀνάγκην, ἀλλ' ἀληθείᾳ μᾶλλον τὴν πρὸς τὸν τοιοῦτόν βίον αἱρούμενος μεταβολήν. Ἃ δὴ καὶ πυθόμενος παρ' αὐτῶν ὁ βασιλεὺς, ἐπέτρεψεν ἃ βούλοιτο ποιεῖν περὶ αὐτοῦ. Ἤχθησαν δὲ ἐπὶ τῶν αὐτῶν καιρῶν ἐκ Θεσσαλονίκης πρὸς βασιλέα δεσμῶται καὶ οἱ τὴν βασιλίδα Εἰρήνην τὴν τούτου μητέρα, ὑπερ ἔφθημεν εἰπόντες, ἐλκύσαντες βίᾳ, ὅ τε Παλαιολόγος Κωνσταντῖνος καὶ Ἰωάννης ὁ Ζαρίδης, καὶ ὁ πρωταλιάγατωρ Σεναχηρείμ· ὧν τοὺς μὲν δύο, βασιλέως προστεταχότος, ἐπὶ τῆς δημοσίας ἐθεάτρισαν ἀγορᾶς ἀφηρημένους τὸ γένειον, καὶ τὰς τρίχας τῆς κεφαλῆς. Τὸν Παλαιολόγον δὲ ὁ πρωτοστράτωρ ἐξῃτήσατο, ἀνεψιὸν αὐτοῦ ὑπάρχοντα, μὴ ταὐτὸν παθεῖν· εἰς δεσμωτήριον δὲ ἐνεβλήθη· ὀλίγῳ δὲ ὕστερον αὐτόν τε καὶ τοὺς ἄλλους ὁ βασιλεὺς ἠξίωσε συγγνώμης. Ἐν τοῖς αὐτοῖς δὲ καιροῖς καὶ οἱ Λήμνιοι τοῦ πρεσβυτέρου βασιλέως ἀποστάντες, ἦκον ἐπὶ τὸν νέον, ἅμα τε τὴν ἀποστασίαν αὐτῶν ἀπαγγελοῦντες, καὶ τὸν ἄρξοντα αἰτήσοντες τῆς Λήμνου. Εὐεργετηθέντες δὲ παρὰ βασιλέως καὶ ἡγεμόνα λαβόντες ὥσπερ ἠτοῦντο, οἴκαδε ἐπανῆλθον. Τούτων γινομένων, ἐκ Σηλυβρίας ἠγγέλθη τῷ βασιλεῖ ὡς Περσικὴ στρατιὰ κατὰ συμμαχίαν τοῦ πάππου καὶ βασιλέως ἐκ τῆς ἕω διαβᾶσα, ἅμα τῇ ἐκ Βυζαντίου στρατιᾷ ὅσον οὔπω ἐλεύσονται κατ' αὐτοῦ. Ὡς δὲ ἐπύθετο τὴν μὲν κατὰ τῶν ὁμοφύλων τῶν Περσῶν ἐπαγωγὴν, ἐθαύμασε τῶν ἀντιτεταγμένων. Αὐτὸς δὲ ὁρμῇ τινι ἀσχέτῳ κατὰ τάχος ἅρας ἐκ Διδυμοτείχου, εὐθὺ τῆς ἐπερχομένης ἦει στρατιᾶς, ὡς μαχούμενος ᾗ ἂν συντύχοι. Εἰς τρίτην δὲ ἡμέραν ἥ τε ἐκ Βυζαντίου στρατιὰ ἅμα τοῖς Πέρσαις, καὶ βασιλεὺς ὁ νέος μεταξὺ Τζουρουλόης καὶ Σηλυβρίας συνῆλθον. Συνιδόντες δὲ οἱ Πέρσαι, καὶ οἱ ἐκ Βυζαντίου Ῥωμαῖοι ὡς οὐδὲ ἀντιβλέψαι δυνήσονται πρὸς τὴν μετὰ βασιλέως στρατιὰν, οὐδὲ παρατάξασθαι ὑπομείναντες οὐδὲ πλησίον ἐλθεῖν, ἀλλ' ἔτι πορρωτέρω ὄντες, μεταστραφέντες ἔφευγον κατὰ κράτος· ἰδίᾳ μὲν οἱ Πέρσαι, ἰδίᾳ δὲ οἱ Ῥωμαῖοι. Ὁ βασιλεὺς δὲ φεύγοντας ἰδὼν, καὶ αὐτὸς εἰς δύο τὸ στράτευμα διελὼν, ἐκέλευε διώκειν. Ἐπιπολὺ δὲ τῆς διώξεως

ratoris matrem, ut supra diximus, per vim a Deiparæ statua temploque abstraxerant, Constantinus Palæologus, Joannes Zaridas, et Sennacherim protallagator: quorum duo, imperatoris mandatu abrasa barba et capillis (4), publice in foro, velut in theatro ad spectandum omnibus ignominiæ causa sunt propositi: Palæologum protostrator ut consobrinum precibus suis dedecore prohibuit: sed in carcerem datus est, cui post breve tempus, ut duobus aliis, imperator ignovit. Paulo post et Lemnii ad juniorem desciscentes, venerunt, simul ut eam rem illi nuntiarent, simul ut insulæ præfectum ab eo poscerent; qui benefice tractati, et præsidem, uti rogaverant, adepti, domum reverterunt. Dum hæc aguntur, Selybria nuntiatur, Persas ex oriente ad avum adjuvandum trajecisse (5), et cum Byzantinis conjunctos, mox contra juniorem venturos. Audito Persas, alioqui inimicos, ad subsidium adversus homophylos a sene ascitos, incitatissimo impetu, et celeriter Didymoticho movens, adventantibus recta obviam procedit, manus conserturus, ubicunque occurrissent. Tertio die Byzantini cum Persis Zurulum inter et Selybriam in eum incidunt. Cum scirent autem se ne intueri quidem imperatoris exercitum ausuros, nec aciem contra instituere, nec propius ferre gradum sustinuerunt: sed procul adhuc distantes, totis viribus in pedes hac Persæ, illac Romani se conjecerunt. Conspecta fuga, imperator ipse quoque divisis copiis fugientibus instare jussit. Quod cum diu esset factum, et nihil tamen effectum (fugitores enim illi alas in pedibus habebant [6]), hi cum tribus Persis, illi cum quinque Romanis, quos vivos ceperant, regrediebantur. Equis vectariis, qui agmen fugiens sequi non poterant, impedimentis, atque etiam servis militum magno numero potiti sunt. Progressus imperator prope Selybriam tentoria fixit. Persæ et Romani fugæ beneficio servati, Byzantium cum venissent, seni imperatori sese victos narrabant, ac Persæ naves simul ad trajiciendum petebant: quos ille ut Byzantii manerent flectere non poterat, opponentibus, se frustra contritum

Jacobi Pontani notæ.

(4) Verbis Græcis puto rasuram, non attonsionem, seu detonsionem significari. Alibi tamen bis, ter verbo περικείρειν utitur, et semel περιελεῖν. Quare liceat fortasse transferre detonsa barba, et capillis. Genus ignominiæ, Græcis, ut apparet, usitatum, Romanis minime, quos non delectabat καρηκομῶντας, aut πωγωνίατας esse: nisi sordidatos et reos, tum enim barbam impexam, et squalentem, capillumque submittebant. At Græcis id honori fuit; quapropter magni apud eos dedecoris loco habitum, ita deformatum in foro spectandum, et irridendum exhiberi. Videtur autem mos admodum antiquus decalvari ludibrii causa. Nam I Paralip. cum David legatos misisset ad consolandum Hanonem filium Naas, regis Ammonitarum, ille suorum suasu pueros David decalvavit, et rasit. Hinc David præcepit, ut manerent in Jericho, donec cresceret barba eorum. Quin id apud Hebræos in luctu fieret, contra quam apud Romanos, multis e locis sacræ Scripturæ constat.

(5) Observa, pro Turcis, qui jam tum Asiam minorem obtinebant, et in fines Romanos sæpe grassabantur, id quod in progressu disces, semper a nostro Persas, nunquam Turcas appellari, ut facit Gregoras. Idque vel propter odium Turcici nominis, vel propter religionis communionem: ambæ siquidem gentes, Turcæ et Persæ, sectæ Mahometanæ.

(6) *Non erat, ut fugientes possent assequi.* Cur? quia nimis celeriter fugiebant. Cur tam celeriter? quia multum timebant: timor autem pedibus addit alas, ut magnus vates ait, Ergo sensum commode, ut reor, expressimus, tametsi a verbis discessimus, quod bono et laudabili interpreti sæpe faciendum est. Nos si id rarius fecimus, timori nostro, qui primum in hoc curriculum ingredimur, aliquid condonetur.

Digitized by Google Распознавание текста ABK/FR

iri, et cum aliis Byzantiis obsessos, nihil ei profuturos ; nam extra mœnia non sese tantum, **95** verum nec ipsum eorum archisatrapam cum toto exercitu suo in acie adversus juniorem imperatorem consistere posse. Romanis qui aderant vera eos dicere attestantibus, conscensis navibus in Orientem transmiserunt.

A γενομένης, ὡς ἤνυον οἱ διώκοντες οὐδὲν (ἦσαν γὰρ οἱ φεύγοντες οὐκ ἐν ἐφικτῷ), οἱ μὲν τρεῖς τῶν Περσῶν ζωγρήσαντες, οἱ δ' ἕτεροι πέντε Ῥωμαίων, ἐπανέστρεψαν τῶν ἄλλων διασωθέντων. Ἵππων δὲ τῶν μὴ δυνηθέντων ἕπεσθαι τῇ στρατιᾷ, καὶ σκευῶν στρατιωτικῶν καὶ οἰκετῶν ἐκράτησαν πολλῶν· ἐλθὼν δὲ ὁ βασιλεὺς ἐστρατοπέδευσεν ἐγγὺς Σηλυβρίας. Οἱ μέντοι διασωθέντες τῇ φυγῇ Ῥωμαῖοι καὶ Πέρσαι, εἰς Βυζάντιον πρὸς τὸν πρεσβύτερον βασιλέα ἐλθόντες, ἀπήγγελλον τὴν ἧτταν. Ἅμα δὲ καὶ ναῦς οἱ Πέρσαι πρὸς τὴν διάβασιν ἠτοῦντο· βασιλεὺς δὲ ἐπεχείρει πείθειν αὐτοὺς μένειν ἐν Βυζαντίῳ· ὡς δὲ οὐκ ἐπείθοντο, αὐτοί τε φάσκοντες κατατριβήσεσθαι μάτην, καὶ βασιλεῖ μηδὲν λυσιτελήσειν ἅμα ταῖς ἄλλοις πολιορκούμενοι Βυζαντίοις· μηδὲ γὰρ ἂν ἔξω τειχῶν μὴ ὅτι γε αὐτούς, ἀλλ' οὐδ' αὐτὸν ἂν τὸν ἀρχισατράπην αὐτῶν ἅμα τῇ ὑπ' αὐτὸν πάσῃ δυνάμει πρὸς τὸν νέον ἀντιτάξασθαι δυνήσεσθαι βασιλέα, καὶ τῶν παρατυχόντων ὡς ἀληθῆ λέγουσιν ἅμα συνειπόντων Ῥωμαίων, ναῦς λαβόντες, ἐπεραιώθησαν πρὸς τὴν ἑω.

CAPUT XXXII.

Legatio senioris ad nepotem. Dolet se delusum; ad pacem inclinat. Respondetur, pacem cordi futuram. Cum magno domestico decernitur ad obturandum os sycophantis omnia in manus avi tradenda. Qua de re cum principibus totoque exercitu agit imperator, magno domestico et protostratore palam approbantibus ejus sententiam; in quam tamen nobilitas et duces ægre concedunt.

Postquam Persici auxilii spes decollavit, et insularum auditi motus, Lemno jam aperte alium dominum colente, reliquis in fide labascentibus, et prope diem defectionem minitantibus : urbibus item continentis pluribus simul ad junioris imperium aggregatis, omni ex parte anxius animi senior, rursus legationem mittendam judicavit. Huic muneri Isaacium sacri montis Atho præpositum, virum alioqui intelligentem, et virtutis multo studiosissimum deligit, illique in legatione dicenda hæc injunxit : Si homines aut ab initio ad malum inflexibiles a Deo fabricati essent, aut cum voluntate libera fabricati, in innocentia, quemadmodum oportebat, perseverassent, nulla fuissent, quæ postea plurima in vita hominum perperam commissa sunt. Quia vero propter primam transgressionem natura humana in deterius labilis evasit, ex eo usque ad hoc momentum temporis, illo, qui fuit ab orbis primordio noster adversarius, admitente, omnia sursum ac deorsum feruntur permiscenturque : quale quiddam nunc et in nobis experimur. Cum enim debuissem tuum in me propensum animum quæque filium decet erga patrem reverentiam, ac venerationem ex ipsis factis tuis] didicisse, calumniatores apud me tuos, quasi adversum me dolos et fraudes machinarere, ut inimicos repellere, ego circumscriptus, quemadmodum rebus ipsis te mihi probare conarere, non attendi : sed fictis eorum sermonibus præoccupatus, in pace bellum excitavi. Jam rerum experientia temeritatem, et dementiam meam cognoscens, memet jure incuso. Tibi ut bene morato, meique ut antea cupido, et observanti, quinam ab armis ad otium redeamus, curæ erit. Hactenus senior. At nepos in hunc modum : Gratias ingentes **96** ago regum regi Deo, quod bonitate sua etiam in me usus, neque sivit ut ipse quidpiam contra dominum meum et imperatorem vel cogitatione, vel actione molirer; neque obtrectatores meos non tandem redarguit,

B Ὡς δ' ἡ τε ἐκ τῆς Περσικῆς συμμαχίας τοῦ πρεσβυτέρου βασιλέως περιηρέθη ἐλπὶς, τά τε κατὰ τὰς νήσους πανήρως εἶχε, τῆς μὲν Λήμνου ἤδη καὶ φανερῶς ἀφεστηκυίας, τῶν ἄλλων δὲ κλονουμένων, καὶ ὅσαν οὔπω τὴν ἀποστασίαν καὶ αὐτῶν ἀπειλουσῶν, καὶ αἱ κατὰ τὴν ἤπειρον πρὶν ὑπήκοοι τῷ πρεσβυτέρῳ βασιλεῖ πλείους τῶν πόλεων ἤδη συναπέστησαν πρὸς τὸν νέον, ἀπορίᾳ πάντοθεν περιαχθεὶς, πρεσβείαν δεῖν ἔγνω πρὸς βασιλέα αὖθις τὸν ἔγγονον πέμπειν. Πέμπει δὴ τὸν κατὰ τὸν Ἄθω τοῦ ἱεροῦ ὄρους πρῶτον τὸν Ἰσαάκ, καὶ ἄλλως μὲν ὄντα συνετὸν, οὐχ ἥκιστα δὲ ἀντιποιούμενον καὶ ἀρετῆς, τοιαῦτα πρὸς βασιλέα τὸν ἔγγονον πρεσβευόμενος δι' αὐτοῦ· Εἰ μὲν ἦ κατ' C ἀρχὰς ἀκίνητοι πρὸς τὸ κακὸν οἱ ἄνθρωποι ἐδημιουργοῦντο παρὰ Θεοῦ, ἦ ὥσπερ ἦν δέον αὐτεξούσιοι γεγονότες ἔμειναν ἐν τῷ ἀγαθῷ, οὐδὲν ἂν τῶν μετὰ ταῦτα παραβαθέντων ἐτολμήθη. Ἐπεὶ δὲ διὰ τὴν παράβασιν εὐόλισθος πρὸς τὸ χεῖρον ἡ τῶν ἀνθρώπων γεγένηται φύσις, ἐξ ἐκείνου μέχρι καὶ νῦν πάντ' ἄνω καὶ κάτω καὶ τοῦ ἐξ ἀρχῆς ἀντικειμένου γίνεται συνεργοῦντος, ὁποῖόν δή τι νῦν συμβέβηκε καὶ ἡμῖν. Δέον γὰρ ἐμὲ τὴν πρὸς ἐμέ σου εὔνοιαν καὶ πρὸς πατέρα παιδὶ πρέπουσαν, αἰδώ τε καὶ τιμὴν αὐτοῖς ἔργοις καταμαθόντα, τοὺς σὲ διαβάλλειν ἐπιχειροῦντας ὡς κατ' ἐμοῦ συσκευαζόμενον δόλους, ὡς ἐχθραίνοντας ἀπωθεῖσθαι, ἐγὼ δὲ ἀπατηθεὶς, ταῖς μὲν διὰ τῶν σῶν ἔργων ἀποδείξεσιν οὐ προσέσχον, λόγοις δὲ πεπλασμένοις παρὰ τῶν D συκοφαντῶν πεισθεὶς, ἤγειρα πόλεμον οὔσης εἰρήνης· νυνὶ δὲ αὐτοῖς ἔργοις τὴν ἀβουλίαν καταμαθὼν, ἐμαυτὸν μὲν ὥσπερ δίκαιον καταμέμφομαι· σοὶ δὲ τούς τε τρόπους ἀγαθῷ ὄντι, καὶ τὴν εἰς ἐμὲ αἰδὼ καὶ εὔνοιαν ἴσην διατηροῦντι, ὅπως εἰς εἰρήνην ἐκ πολέμου πάλιν τὰ πράγματα ἡμῖν ἥξει μελήσει. Ὁ μὲν οὖν τοιαῦτα εἶπε. Βασιλεὺς δὲ ὁ νέος, Χάριτας, εἶπεν, ὁμολογῶ πολλὰς τῷ βασιλεῖ τῶν βασιλευόντων Θεῷ, ὅτι τῇ αὐτοῦ χρηστότητι χρησάμενος καὶ περὶ ἐμὲ, οὔτ' αὐτόν τι κατὰ τοῦ ἐμοῦ κυρίου καὶ

Digitized by Google Распознавание текста ABK/FR

βασιλέως ἢ βουλεύσασθαι συνεχώρησεν ἢ πρᾶξαι, οὔτε τοὺς συκοφάντας ἀνελέγκτους ἄχρι τέλους διατελεῖν· ἀλλ' αὐτὸν βασιλέα μάρτυρα ἔχειν παρέσχεν, ὡς οὔτ' αὐτὸς ἀδικῶ, οὔθ' οἱ συκοφαντοῦντες ἀδικίας ἐνέλιπον οὐδεμίαν ὑπερβολήν. Εἰ δὲ ὁ βασιλεὺς αὐτὸς ὑπὸ διεφθαρμένων ἀνθρώπων ἀπατηθεὶς εἴργασταί ἃ μὴ δέον, ἀλλ' ἡμεῖς γε γονέας τε εἰδότες τιμᾶν, καὶ ἄν τι καὶ ἀδικώμεθα ἀνέχεσθαι, ὅσον ἂν παράσχοι Θεὸς βουλευσάμενοι δράσομεν περὶ τῶν προκειμένων. Ὁ μὲν οὖν πρέσβις, τοιαύτης ἀποκρίσεως παρὰ βασιλέως τυχών, ἀπῆλθεν εἰς τὸ στρατόπεδον ὡς ἐκεῖ περιμενῶν, ἄχρις ἂν ὁ βασιλεὺς βουλευσάμενος ἀποκρίνηται περὶ τῆς εἰρήνης. Ὁ βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίχῳ, ὅ τι χρὴ ἐβουλεύοντο πράττειν περὶ τῶν προκειμένων, ὅπως ἡ εἰρήνη γένοιτο τοιαύτη, σκοποῦντες ὡς μηδεμίαν πρόφασιν ἔχειν τοὺς συκοφάντας πρὸς ἀλλήλους διαβάλλειν τοὺς βασιλέας, καὶ πόλεμον ἐπὶ λύμῃ τῶν κοινῶν πραγμάτων κινεῖν. Ἐδόκει δὴ λυσιτελεῖν αὐτοῖς τε ὁμοῦ καὶ τὴν στρατιὰν καὶ πόλεις πάσας καὶ τὴν διοίκησιν τῶν κοινῶν πραγμάτων τῷ βασιλεῖ ἐπιτρέψαντας, αὐτοὺς ὑπ' ἐκεῖνον ἄγεσθαι, καὶ εἰς ὑπηκόους τελεῖν τὰ προστατ τόμενα ἐκπληροῦντας. Οὕτω γὰρ τοὺς διαβάλλοντας χώραν εὐδεμίαν ἂν σχεῖν, πάντων ὁμοῦ χρημάτων ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως διοικουμένων. Εἰς τὴν ὑστεραίαν δὲ ὁ νέος βασιλεὺς τοὺς ἐν τέλει πάντας καὶ ἡγεμόνας καὶ τοὺς λογάδας τῆς στρατιᾶς εἰς ἐκκλησίαν συναγαγών, εἶπε τοιάδε· Τὰ ἐκ τοῦ πολέμου φυόμενα κακὰ καὶ μάλιστα τοῦ ἐμφυλίου, καὶ πολλαχόθεν μὲν ἄλλοθεν ἔξεστι καταμαθεῖν· μάλιστα δ' ἄν τις αὐτὰ κατίδοι καὶ ἀπὸ τοῦ νυνὶ ἐμοῦ τε μεταξὺ καὶ βασιλέως κινηθέντος πολέμου. Ἐν γὰρ ὀλίγῳ χρόνῳ τοσοῦτον αὐτοὶ ὑφ' ἑαυτῶν διεφθείραμεν τῆς δυνάμεως ἡμῶν, ὅσον οὐδ' ὁμοῦ πάντες οἱ πρόσοικοι ἡμῖν βάρβαροι ἐπιστρατεύσαντες ὁμονοοῦσι κατεργάσασθαι ἴσχυσαν ἄν. Ὃ δὴ καὶ αὐτοὶ καλῶς συνιδόντες ἐν ἀρχαῖς μάλιστα τοῦδε τοῦ πολέμου, πρεσβείαν ἀποστείλαντες πρὸς βασιλέα περὶ εἰρήνης, ἐδεῖσθε κἀμοῦ συνειδότος. Ὡς δ' ἠνύετε ὑμεῖς οὐδέν, ἐπρεσβευόμην καὶ αὐτὸς περὶ τῶν ἴσων, πολλὰ διόμενος βασιλέως μὴ περιϊδεῖν ἡμᾶς αὐτοὺς ὑφ' ἑαυτῶν ἐν τῷ πρὸς τοὺς ὁμοφύλους πολέμῳ διαφθαρέντας, καὶ τὴν εἰρήνην ὥσπερ τι μέγιστον τῶν εὐεργετημάτων ἤτουν. Τότε μὲν οὖν ἡμῶν δεομένων ἐκεῖνος οὐ προσεδέξατο τοὺς περὶ τῆς εἰρήνης λόγους· νυνὶ δὲ εἰς τοῦτο Θεὸς περιέστησε τὰ πράγματα, ὥστ' αὐτοὺς τοὺς μὴ προσδεχομένους τότε τὴν εἰρήνην, ἥκειν παρ' ἡμᾶς δεομένους περὶ τῶν ὁμοίων. Οὗ δὴ ἕνεκα πρῶτον μὲν ἡγοῦμαι προσήκειν ἡμᾶς πολλὰς τῆς εὐεργεσίας χάριτας ὁμολογεῖν Θεῷ κρείττους ἀεὶ τῶν ἀντιτεταγμένων ἀποδεικνύντι· ἔπειτα δὲ ἀσμένως προσδέχεσθαι καὶ τὴν εἰρήνην· καὶ μὴ διὰ τὴν μικρὰν ταύτην εὐτυχίαν αὐθάδεις φαίνεσθαι καὶ θρασεῖς· ἀλλ' ἐκεῖνον εἶναι νομίζοντας τὸν καιρὸν, ἡνίκα βουλομένοις ἡμῖν ἀναγκαία ἐδόκει ἡ εἰρήνη, οὕτω πάλιν καὶ βουλεύεσθαι καὶ ψηφίζεσθαι περὶ αὐτῆς. Οὕτω τοῦ βασιλέως εἰρηκότος, ὁ μέγας δομέ-

quando ipsum imperatorem mihi testem apposuit nec me ullam illi irrogasse injuriam, et criminatores ad me injuriis onerandum nihil fecisse reliqui. Et quamvis ille a perditis hominibus deceptus ab officio discessit, tamen nos, qui parentes honorare, et licet ab iis etiam indigne habeamur, sufferre ac perpeti novimus, rem perpendemus, et quantum Deus concesserit, faciemus. Legatus adepto hoc responso in castra abiit, exspecturus ibi, dum post consultationem certi aliquid acciperet. Imperator cum magno domestico, quid in re præsenti agere conveniat exquirit, et considerat quanam ratione ejusmodi pax constituatur, qua imperatoribus de altero apud alterum detrahendi, bellumque cum pernicie reipublicæ commovendi sycophantis omnis occasio præcidatur. Statutum, conducere, si simul seipsos, exercitum, urbes universas, totius imperii gubernacula seni committant, a quo pro subjectis regantur, et cujus jussa facitent. Sic, illo solo rerum domino, materiam obtrectandi nullam fore. Die postero imperator coactis in concionem optimatibus ac ducibus universis, cum flore exercitus, hoc maxime modo disseruit: Quæ incommoda bello, ac præsertim civili, importentur, cum aliunde multis exemplis, tum præsertim ex eo perspicere datur, quod nunc inter me avumque meum flagrat. Brevi enim tempore tantum ipsi potentiam nostram attrivimus, quantum nec omnes simul circumfusi barbari, nobis concordibus atterere et imminuere potuissent. Quod cum vos haud fugeret, exordio statim belli hujus legatione ad imperatorem, me non inscio missa, pacem petivistis. Quia vos nihil impetrabatis, ego legationem iteravi, impense avum orans, ne nos ejusdem gentis homines mutuis armis deleri pateretur, et pacem pro munere summo exposcens. Tum igitur nos rogantes ille audire noluit: nunc, divino nutu, qui pacem tum repudiabant, eamdem a nobis impetrare satagunt. Quare primum par esse duco, nos de tanto beneficio grates Deo persolvere, qui hactenus semper inimicis nos superiores reddidit. **97** Deinde etiam non invitos pacem admittere, nec propter hoc nescio quid felicitatis in superbiam et confidentiam delabi, sed existimare, nunc illud esse tempus, quo consultantibus nobis pax necessaria apparebat; proindeque similiter in præsentia de ea deliberare atque statuere. Mox ut finem loquendi fecit imperator, magnus domesticus his verbis secutus est: Quid officium a nobis postularet, imperator perfecte docuit: nec est quod quisquam addere dictis possit. Nam rebus prosperis non efferri atque inflari, modestorum ac fortium virorum: et parentes revereri, ac honorare, jussum pariter ac necessarium esse ostendit. Præterea ejusdem gentis societate nobis devinctorum curam gerendam, eorumque salutem in primis diligendam, ut ea non solum propter æmulationem non contemnatur, sed ejus tuendæ causa, si ita necesse sit, etiam de propriis aliquid libenter amit-

Digitized by Google Распознавание текста ABK/FR

tatur, idque bonorum ac prudentium munus videri. Quibus enim incommodis quispiam necessarios suos et homophylos conflictari patitur, iisdem ipse nescius conflictatur : et solum cives suos vicisse, non vicisse, sed turpissimè victum esse arbitremur licet. Caput ac summa horum est, Deum universorum inspectorem, quia nos oblata prosperitate probe, atque, ut convenit, ac sine fastu uti, nec inde sævos et immanes evasisse videt, multis hujuscemodi ac majoribus etiam beneficiis prosecuturum. Si igitur justa et necessaria, si cum salute et gloria vestra consociata sunt quæ consuluntur, hoc unum superest, ut nos quoque assentiamini. Ego ipse quæ dicta sunt approbo, idemque sentio : pacem accipiendam pronuntio, et pro mea parte ratam habeo. Hæc illo prolocuto protostrator censuit, quod imperator de pace accipienda verba fecisset, et magnus domesticus ei suffragatus esset, recte factum, et cæteri omnes, ingratis quidem, statim tamen manus dederunt. Pace omnium sententiis decreta, rursum quæsivit imperator, ecquid pacem componi talem oporteret, quæ firma ac certa semper maneret, et posthac suspicione prætextuque belli careret omnimodis. Tum magnus domesticus, ut qui antea cum eo commentatus esset, de genere pacis talia dixit, e quibus non de industria venire, sed necessitate quadam ad pacta et conditiones, pacis causa subeundas compelli videretur. Sic ergo fatus est : Pacificatio, imperator, **98** non amplius ejusmodi suscipienda est, ut calumniatoribus speciosis occasionibus facultas suppetat, vestrum utrumvis apud alterum insimulandi, et bellum incendendi : quod non solum vobis cum ignominia vestra maximas opportunitates corrumpat, sed etiam universis, qui in ditione vestra, ac potestate sunt, genus omne malorum inferat. Quod enim duabus animantibus robore et magnitudine corporum insignibus acciderit (7), hoc vobis usuvenit. Nam quomodo illis in se mutuo irruentibus, ac præliantibus, quæ intra pedes sunt, omnia conteri ac disperdi consentaneum est, cum tamen illa nihil quemquam læserint : sic vobis invicem bellantibus, subjecti innocentes pereant oportet. Quocirca non modo uti pax componatur, sed ut composita ne vacillet ac dissolvatur videndum est. Etenim si, quemadmodum antehac, non pacem stabilem, sed tanquam inducias facturi sumus, omnino nullam fieri satius est. Quid namque aliud exspectandum, quam ut qui fœdus priores perfidiose ruperunt, scelere se obstringant? Hæc ubi principes ac milites auribus hauserunt, talia eum

A στικος ἐφεξῆς, Οὐδὲν ἐνέλιπεν ὁ βασιλεὺς, ἔφη, τοῦ μὴ διδάξαι τῶν δεόντων ἡμᾶς· ὥσθ' ἕτερόν τινα ἔχειν τοῖς εἰρημένοις προσθεῖναι. Τό τε γὰρ ἐν ταῖς εὐτυχίαις μὴ φυσᾶσθαι, σωφρόνων καὶ ἀνδρείων ἀπέδειξεν ὃν ἀνδρῶν· καὶ τὸ τοὺς γεγεννηκότας αἰδεῖσθαί τε καὶ τιμᾶν, καὶ δίκαιον ἅμα καὶ ἀναγκαῖον. Καὶ τὸ τῶν ὁμοφύλων κήδεσθαι καὶ περὶ πλείστου τὴν σωτηρίαν αὐτῶν ποιεῖσθαι, καὶ μὴ διὰ φιλονεικίαν φθειρομένους περιορᾶν, ἀλλ', εἰ δεῖ, τὶ καὶ τῶν οἰκείων προΐεσθαι τοῦ σώζεσθαι ἕνεκα αὐτοῖς, οὐ μόνον ἀγαθῶν, ἀλλὰ καὶ συνέσει κεχρημένων ἀνθρώπων εἶναι. Οἷς γὰρ ἄν τις τοὺς οἰκείους καὶ ὁμοφύλους φθειρομένους περιορᾷ, τοῖς αὐτοῖς τούτοις αὐτόν ἐστι φθείρεσθαι ἀγνοοῦντα· καὶ μόνην τὴν κατὰ τῶν ὁμοφύλων νίκην, ἥτταν αἰσχίστην
B ἀλλ' οὐ νίκην νομίζειν χρή. Κεφάλαιον δὲ ἐπὶ τούτοις ὡς ὁ πάντα ἐφορῶν Θεὸς τῇ περιούσῃ εὐτυχίᾳ ὀρθῶς καὶ ὡς προσῆκε καὶ μετὰ ἀτυφίας ὁρῶν χρωμένοις ἡμᾶς, καὶ μὴ ὠμούς τινας, καὶ ἀπανθρώπους γεγενημένους καὶ τὴν φύσιν ἀγνοήσαντας, ἑτέρων πολλῶν τοιούτων, ἢ καὶ πλειόνων καὶ θαυμασιωτέρων εὐεργετημάτων ἀξιώσειεν ἄν. Εἰ οὖν δίκαιά τε ὁμοῦ καὶ ἀναγκαῖα τὰ βεβουλευμένα, καὶ πρὸς τὸ εὐδοξεῖν καὶ τὸ σώζεσθαι λυσιτελοῦντα, οὐδὲν ἔτι λεῖπον ἢ ἐπιψηφίζεσθαι καὶ ὑμᾶς. Αὐτὸς γὰρ ὀρθῶς τε οἰόμενος ἔχειν τὰ εἰρημένα καὶ ὁμοίως περὶ τῶν αὐτῶν φρονῶν, γνώμην δίδωμι δέχεσθαι τὴν εἰρήνην, καὶ τὸ ἐμὸν μέρος ἐπικυρῶ. Τοιαῦτα καὶ τοῦ μεγάλου δομεστίκου εἰρηκότος, ὅ τε πρωτοστράτωρ ἐπε-
C ψηφίζετο δέχεσθαι τὴν εἰρήνην, ὀρθῶς τόν τε βασιλέα εἰρηκέναι, τόν τε μέγαν δομέστικον συνειπεῖν αὐτῷ, εἰπών. Καὶ οἱ λοιποὶ πάντες εὐθὺς, ἄκοντες μὲν, ἐπεψηφίζοντο δ' οὖν ὅμως· πάντων δὲ ἐπιψηφισαμένων τὴν εἰρήνην, ἐπυνθάνετο αὖθις ὁ βασιλεὺς, εἰ τοιαύτην δέοι τὴν εἰρήνην γενέσθαι ὥστε βεβαίαν εἶναι ἐς, καὶ μηδεμίαν ὑποψίαν ὕστερον ἢ πρόφασίν τινα πολέμου ἔχειν. Ὁ δέ γε μέγας δομέστικος, οἷα δὴ πρότερον ἅμα βασιλεῖ ὁποίαν τινὰ δεῖ εἰρήνην γενέσθαι βεβουλευμένος, τοιούτους ἐποιεῖτο τοὺς λόγους, ὡς δοκεῖν οὐκ ἐξεπίτηδες, ἀλλ' ἀνάγκῃ τινὶ πρὸς τὰς ἐπὶ τοῖς τοιούτοις ὁμολογίας συνωθεῖσθαι. Δέον γὰρ, ἔλεγεν, εἶναι, ὦ βασιλεῦ, μὴ πάλιν ἡμῖν τὰς ἐπὶ τῇ εἰρήνῃ συμβάσεις τοιαύτας γενέσθαι, ὥστε τοὺς συκοφάντας ἐγχωρεῖν προφά-
D σεων εὐπροσώπων εὑποροῦντας ὑμᾶς τοὺς βασιλέας πρὸς ἀλλήλους διαβάλλειν καὶ τὸν πόλεμον κινεῖν, οὐ μόνον ὑμῖν ἀδοξίαν ἅμα καὶ εἰς τὰ καιριώτατα ζημίαν, ἀλλὰ καὶ τῷ ὑπηκόῳ παντὶ παντοίων προξενοῦντας φορὰν κακῶν. Παραπλήσιον γὰρ συμβαίνει καὶ ἐφ' ἡμῖν, ὁποῖον ἂν καὶ ἐπὶ δυοῖ τῶν ἐπὶ ῥώμῃ καὶ μεγέθει θαυμαζομένων συμβαίη ζώων.

Jacobi Pontani notæ.

(7) Εἰκὼν et parabola festiva, qua nocumenta subjectorum ex discordiis et bellis principum ac dominorum breviter depinguntur. Animantia magna et robusta accipe, verbi gratia duos tauros, qualium pugnam Virgilius describit lib. XII.

Ac velut ingenti Syla, summove Taburno,
Cum duo conversis inimica in prælia tauri
Frontibus incurrunt, pavidi cessere magistri :
Stat pecus omne metu mutum, mussantque juvencæ,
Quis pecori imperitet, quem tota armenta sequantur.
Illi inter sese multa vi vulnera miscent,
Cornuaque obnixi infigunt, et sanguine large
Colla, armosque lavant : gemitu nemus omne remugit.
Haud aliter Tros Æneas, et Daunius heros
Concurrunt clypeis : ingens fragor æthera complet.

Digitized by Google Распознавание текста ABK/FR

Ἐκείνων τε γὰρ ἀλλήλοις ἀντεπιόντων καὶ συῤῥηγνυμένων, τὰ ἐν ποσὶ πάντα συντρίβεσθαι καὶ διαφθείρεσθαι εἰκὸς, ἀδικοῦντα μηδέν· καὶ ὑμῶν ἀπόλλυσθαι τοὺς ὑπηκόους μαχομένων. Οὗ δὴ ἕνεκα, οὐ μόνον ὅτι εἰρήνην γενέσθαι δεῖ σκοπεῖν, ἀλλ' ὅπως καὶ βεβαία καὶ ἀκατάλυτος μενεῖ. Ὡς εἴ γε μέλλοιμεν ὥσπερ καὶ πρότερον, οὐκ εἰρήνην, βεβαίαν, ἀλλ' ὥσπερ ἀνακωχὰς τοῦ πολέμου ποιεῖν βέλτιον μηδὲ γενέσθαι τὴν ἀρχήν. Οὐδὲν γὰρ ἕτερον ἢ ἐπιορκίας ἐγκλήμασι τοὺς προτέρους παρασπονδίσαντας ἐνέχεσθαι περιέσται. Τῶν τοιούτων δὲ λόγων οἵ τε τῆ, συγκλήτου καὶ τῆς στρατιᾶς ἀκούσαντες ὅτι μὲν κατασκευάζων τοιαῦτα ὁ μέγας δομέστικος ἐδημηγόρει, ἤσθοντο οὐδ' ἐπὶ μικρόν. Νομίσαντες; δὲ οὐκ ἄλλοθέν ποθεν αὐτὸν αἰνίττεσθαι βεβαίαν ἔσεσθαι τὴν εἰρήνην, ἢ ἀπὸ τοῦ βασιλέα τὸν νέον ἦν τε κατεῖχε πρότερον μοῖραν τῆς ἀρχῆς καὶ ὧν προσείληφεν ἐν τῷ νῦν πολέμῳ τὰ πλείω κατασχόντα ἐς τὰ μάλισ α γενέσθαι δυνατὸν, τὸν δὲ πρεσβύτερον ἠσθενηκότα διὰ τὸ τῆς ἀρχῆς ἀφῃρῆσθαι πολλὰ, ἀτολμότερον πρὸς τὸ νεωτερίζειν ἂν γενέσθαι, καὶ δίκαια καὶ συμφέροντα πάντες εἶπον τὸν μέγαν δομέστικον εἰρηκέναι, καὶ τοιαύτην δεῖν ἐθορύβησαν τὴν εἰρήνην εἶναι. Ὁ βασιλεὺς δὲ ἤδη τοῖς οἰκείοις λόγοις πάντας προκατειλημμένους συνορῶν, Κἀμοὶ τὰ ἴσα, εἶπε, συνδοκεῖ· τό, τε γὰρ πρὸς ἀλλήλους ἡμᾶς πολεμεῖν, καὶ αὐτοῖς ἡμῖν καὶ τοῖς ὑπηκόοις ἀλυσιτελές· καὶ τὸ παράδειγμα οἰκεῖον μάλ.στα ᾧ προσείκασεν ὁ μέγας δομέστικος τὸν πρὸς ἀλλήλους πόλεμον ἡμῶν. Ἀνάγκη γὰρ ὑμᾶς τε τοὺς ὑπ' ἀμφοτέροις στρατευομένους ἐν ταῖς μάχαις ὑπ' ἀλλήλων ἀποθνήσκειν, καὶ τὰς κτήσεις ἐξ ὧν αἵ τε ἰδιωτικαὶ καὶ οἱ δημόσιοι διαφθείρεσθαι πρόσοδοι. Καὶ τὸ μὴ βεβαίαν αὖθις, ἀλλ' ὑφ' ὁτουοῦν διαλυθήσεσθαι προσδοκωμένην γενέσθαι τὴν εἰρήνην, μάλιστα ἀσύμφορον ἡμῖν. Διὸ δεῖ σκεψαμένους αὐτοὺς, πᾶσαν πρότερον πολέμου πρόφασιν περιελεῖν· πολέμου δὲ πρόφασις πᾶσιν ἀνθρώποις, ἢ οἰόμενον ἀδικεῖσθαι ἀμύνεσθαι ἐθέλειν, ἢ πολέμου ἄρχειν αἱρούμενον ἀδικεῖν· ἐὰν δέ τις ἀγαγὼν ἑαυτὸν ἐγχειρίσῃ τῷ πολεμοῦντι, πᾶσαν πρόφασιν πολέμου περιεῖλεν. Εἴτε γὰρ ᾤετο ἀδικεῖσθαι, τὸν ἀδικοῦντα ἔχων ἡσυχάσει, εἴτε προύθυμεῖτο πλεονεκτεῖν, πλέον ἔχων οὗ προσεδόκησε καὶ οὕτω παύσεται τοῦ πολεμεῖν. Διὸ δεῖ καὶ ἡμᾶς βεβαίας εἰρήνης ἐπιθυμοῦντας Θεῷ τε θαῤῥήσαντας, καὶ τῇ σφετέρᾳ αὐτῶν πράξει ὡς ἀγαθῇ, πᾶσαν τὴν ἀρχὴν ἡμῶν τε αὐτῶν καὶ πόλεων καὶ προσόδων, ἐγχειρίσαι τῷ βασιλεῖ· οὕτω δὲ πράξαντες, πᾶσαν πρόφασιν τῶν συκοφαντῶν διαβολῆς περιελοῦμεν· ἐκείνων δὲ πεπαυμένων κακουργεῖν,

ipsos labentur bellicosissimi, custodiæ, seu præsidii causa eo miserat. Eorum duces Itiles et Temeres ex Alanis oriundi, et Inas ex Hungaris, summus imperator Ibanes (19) Rossus, manu promptus, et artis imperatoriæ scientissimus. Hi post fata regis nihilominus urbem tuebantur. Cæterum tunc circumsessi, instructis velut ad prælium ordinibus nequaquam egrediebantur : obstructis autem portis, de mœnibus se fortiter defensabant, nec parum obsessores vexabant. Obsedit eos imperator mensibus continuis quatuor, quotidie muris oppugnationem admovens. **108** Sed cum expugnationem desperaret, Germanus quidam machinarum muralium egregius artifex, qua urbs ad aggressionem commode sita videbatur, spe magna illum complevit ; cujus jussu machinationem fabricatus est, domum ligneam, suppositis rotis sedecim, capacem hominum centum, qui intus eam propellerent. Supra domum turrim ligneam addidit, habentem tabulata quinque : in quorum singulis octo starent, qui e Latinis arcubus (tzangra vocant [20]) sagittis jaciendis propugnatores a muro fugarent. Qua absoluta, et sagittariis, quique ad eam protrudendam delecti erant, ingressis, sublatis signis, et clangente tuba, totus exercitus mœnia oppugnabat, turris sensim, et instar animalis cujusdam procedebat : nemo enim intus delitentium ulla ex parte apparebat : ita nec tangi de loco superiore poterant. Ut intra teli jactum venit, qui in turri erant, oppidanos sagittis appetere. Ii nescientes quid contra inciperent, ac tot tela propter summam vim atque impetum arma quævis penetrantia, in mediumque corpus subeuntia excipientes, partim moribundi concidere, partim vulnerati restare. Nec diu restantes, stationibus decedere, ac mœnia deserere ; quibus cum turris jamjam admovenda esset, res interim miranda contigit. Ante urbem antiquitus cisterna aquæ recipiendæ condita, et lignis tabulisque cooperta, paulatim eo terra accumulata apparere desierat ; et jam pridem incolarum nemo ejus ullam notitiam habebat. Asseres illi, seu tabulæ, currus, et quidquid onerum transportaretur, sustentabant. At vero turris cum desuper impelleretur, confractis tabulis in cisternam decidens, pene obruta est ; eorum tamen qui intus erant nemo periit. Ac Philippopolis quidem quamquam huc redacta, nihilo minus servata est. Præsidiarii namque redeunte virtute in præcordia, rursum muros ascendere, ac propugnare, et hostis oppugnationem intermittere.

A λιν κατασχεῖν, δείσας μὴ αὖθις οἱ Ῥωμαῖοι ἐπελθόντες, διὰ τὴν ὀλιγανδρίαν ὥσπερ καὶ αὐτὸς ἔλωσιν αὐτὴν, ἅμα δ' ὅτι καὶ ἐν ὁρίοις ἦν τῆς ἐκείνου καὶ Ῥωμαίων ἡγεμονίας, χιλίους μὲν ἱππέας λογάδας ἐξ Ἀλανῶν καὶ Μυσῶν. Καὶ δὶς τοσούτους πεζοὺς πελταστὰς, οἳ δοκοῦσι μαχιμώτατοι εἶναι παρ' αὐτοῖς, τὴν πόλιν ἔπεμψε φρουρεῖν. Ἄρχοντες δὲ ἦσαν αὐτῶν, ὅ τε Ἰτίλης καὶ ὁ Τεμήρης τὸ γένος Ἀλανοί· καὶ Ἰνᾶς ὁ ἐξ Οὔγκρων, στρατηγὸς δὲ ἐπὶ πᾶσιν Ἰβάνης ὁ Ῥὼς κατά τε χεῖρα γενναῖος καὶ ἐμπειρότατος στρατηγεῖν· οἳ καὶ τετελευτηκότος τοῦ βασιλέως αὐτῶν, οὐ κατέλιπον τὴν πόλιν, ἀλλ' ἐφρούρουν μένοντες. Τότε δὲ πολιορκούμενοι ὑπὸ βασιλέως, ἔξω μὲν πυλῶν ὡς ἐς μάχην παραταξόμενοι προῆλθον οὐδαμῶς. Τὰς πύλας δὲ ἀποικοδο-
B μήσαντες, ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς, καὶ ἐκάκουν πολλὰ τὴν βασιλέως στρατιάν. Ἐπολιόρκησε μὲν οὖν αὐτοὺς ὁ βασιλεὺς ἐπὶ τέτταρσι μησὶ συνεχῶς ὁσημέραι τειχομαχῶν. Ἀπαγορεύοντος δὲ τὴν παράληψιν ἤδη, ἐκ Γερμανῶν τις περὶ τειχομαχικὰς μηχανὰς ἐξησκημένος, ὡς ἐν ῥᾳδίῳ τῆς ἐπιειρήσεως ἐδόκει ἡ πόλις κεῖσθαι, ἐλπίδας τῆς ἁλώσεως οὐ φαύλας ὑπετίθει τῷ βασιλεῖ, καὶ ἐδημιούργει τὸ μηχάνημα προστάξαντος βασιλέως. Ἦν δὲ τοιόνδε· ἐπὶ τροχοῖς ἑκκαίδεκα οἰκίαν κατεσκεύασε ξυλίνην, δυναμένην ὑποδέξασθαι ἄνδρας ἑκατόν, οἳ ἔμελλον τὴν μηχανὴν κινεῖν ἔνδοθεν ὠθοῦντες. Ὑπεράνω δὲ τοῦ οἰκήματος, ξύλινον πύργον κατα-
C στρώματα ἔχοντα πέντε, ὡς ἐν ἑκάστῳ δὴ καταστρώματι τῶν ἐκτόξων λατινικῶν τῶν λεγομένων τζαγγρῶν, ἀφιέντων βέλη ἐσομένων ὀκτὼ, οἳ ἔμελλον τοὺς ἐπὶ τοῦ τείχους βαλλόντας ἀπώσεσθαι. Τελεσθείσης δὲ ἤδη τῆς μηχανῆς, καὶ τῶν τε ὁπλιτῶν καὶ τῶν ἐπὶ τῷ κινεῖν τὸν πύργον τεταγμένων, ἡ μὲν ἄλλη πᾶσα στρατιὰ τῶν σημαίων ἀρθέντων, καὶ τῆς σάλπιγγος σημηνάσης ἐτειχομάχουν· πύργος δὲ ὑπὸ τῶν ἔνδοθεν ὠθούντων κινούμενος, ἦει βάδην, ὡς δοκεῖν αὐτὸν ἐμπνεόντα κινεῖσθαι· οὐδὲ γὰρ ἐωρᾶτό τις τῶν ἔνδοθεν οὐδαμόθεν. Διὸ οὐδὲ βάλλεσθαι δυνατὸς ἦν. Ὡς δὲ ἐνὶ ἐφικτῷ ἐγίνοντο τοῦ τοξεύειν, οἱ μὲν ἀποτοῦ ξυλίνου πύργου, ἔβαλλον τοὺς ἀπὸ τῶν τειχῶν. Αὐτοὶ δὲ μήτε τι ἀντιδρᾶν ἔχοντες, καὶ τῶν ἀπὸ τῶν τζαγγρῶν ἀφιεμένων βελῶν διὰ κραταιότητα καὶ ῥύμην διὰ
D παντὸς ὅπλου χωρούντων καὶ διαδυομένων, τραυματιζόμενοι ὑπ' αὐτῶν. Οἱ δὲ καὶ ἀποθνήσκοντες, μικρὸν μὲν ἐκαρτέρησαν, ἔπειτα ἀπέστησαν, τὸ τεῖχος ἔρημον καταλιπόντες. Μέλλοντος δὲ ὅσον οὔπω τοῦ ξυλίνου πύργου τοῖς τείχεσι τῆς πόλεως συμμίγνυσθαι, τοιοῦτόν τι συνέβη. Πρὸ τῶν τῆς πόλεως τειχῶν ἦν ἐκ παλαιοῦ κατεσκευασμένη στοὰ

Jacobi Pontani notæ.

(19) *Ibanes* nomen Scythicum pro *Joannes;* Blachi autem Ἰβαγχὸν dicebant, ut auctor Nicetas.

(20) Nomine Latinorum intellige non Græcos, hoc est Italos, sed Gallos, Germanos : et quicumque nimirum Ecclesiam Romanam audiunt. Quæramus ergo ab his, utrum genus quoddam arcus sic appellitent. Τζαγγάτορες genus militum pedestrium, quod confertim possunt, quamvis justo agmine procedere, a verbo orientali saga, quod est copiosum, densum, confertum, quasi dicas spissigrados. Facit hos spatharios scholiastes Curopalatæ, et a tzaconibus, id est, sagittariis distinguit ; qui tamen, si tzangri sunt arcus, videntur etiam ipsi fuisse sagittarii, indeque potius, quam ab orientali verbo saga nominati. — A *tzangra* tzangratores, arcubalistarii fuerunt, quorum usus in bellis tunc temporis plurimus.

Digitized by Google Распознавание текста ABK/FR

πρὸς ὑποδοχὴν ὕδατος· ξύλοις δὲ καὶ σανίσι στε- A γασθεῖσα, ἐπιτεθείσης ἄνωθεν καὶ γῆς, ἦν ἐν τῷ ἀφανεῖ, καὶ οὐδεὶς οὔτε τῶν ἐγχωρίων ἐκ χρόνων ἤδει παλαιῶν κατακεκρυμμένην. Ἀμάξας μὲν οὖν καὶ ὅσα δι' αὐτῆς διήρχετο βάρη, ἔστεγον τὰ ξύλα· ὡς δὲ ὁ πύργος ἐγένετο κατ' αὐτῆς, διαθραυσθέντων τῷ βάρει, κατεχώσθη ἐν τῇ στοᾷ. Τῶν μὲν οὖν ἔνδον ὄντων, ἀπέθανεν οὐδείς, ἀλλὰ διεσώθησαν πάντες. Ἡ μέντοι Φιλιππούπολις, παρὰ τοσοῦτον ἐλθοῦσα διέφυγεν ἁλῶναι. Οἱ γὰρ ἔνδον ἀναθαρσήσαντες, ἀναβάντες ἠμύνοντο ἐπὶ τὸ τεῖχος, καὶ ἡ λοιπὴ στρατιὰ ἐπαύσαντο τειχομαχοῦντες. Ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς οἱ τῶν Μυσῶν δυνατοὶ τοῦ βασιλεύσαντος αὐτῶν Τερτερῆ ἀδιαδόχου ἀποθανόντος, τὸν τῆς Βεδύνης ἄρχοντα Μιχαὴλ τοῦ παρ' αὐτοῖς δεσπότου τοῦ Στρεαντζιμήρου υἱὸν ἐκ Μυσῶν καὶ B Κομάνων τὰς τοῦ γένους ἕλκοντα σειρὰς προσκαλεσάμενοι ἀπέδειξαν βασιλέα ἑαυτῶν, καὶ τὸν Τίρνοβον (ἐν ᾧ καὶ τὰ βασίλεια αὐτῶν ἐστι) παρέδοσαν, καὶ τὴν ἄλλην ἀρχήν. Ὁ δὲ τήν τε ἰδίαν στρατιὰν συναγαγὼν καὶ ἐξ Ὀγχροβλάχων κατὰ συμμαχίαν οὐκ ὀλίγην, ἔτι δὲ καὶ Σκυθικὴν παραλαβών, βασιλεῖ μὲν τῷ Ῥωμαίων Φιλιππούπολιν πολιορκοῦντι ἐπιέναι οὐκ ἐγνώ δεῖν. Ἤδει γὰρ ἀξιόμαχος οὐκ ὤν· κατὰ δὲ τῶν μετὰ τὴν Τερτερῆ τελευτὴν τοῖς Ῥωμαίοις προσθεμένων πόλεων ἐχώρει ἐν τοῖς ὀρεινοῖς, κειμένων ἀσφάλειαν παρέχουσι τοῖς συστρατευομένοις αὐτῷ Σκύθαις καὶ τοῖς ἄλλοις συμμάχοις οὖσι τοξόταις, καὶ καθήμενος ἐδῄου τὴν γῆν καὶ τὰς πόλεις ἐπολιόρκει. Ὡς δὲ ἠγγέλθη ταῦτα C τῷ βασιλεῖ, μετὰ τῶν ἐν τέλει βουλευσαμένων ἐδόκει τὴν μὲν πολιορκίαν Φιλιππουπόλεως καταλιπεῖν. Κατὰ δὲ Μιχαὴλ, ὡς αὐτῷ μαχεσομένοις χωρεῖν. Οὕτω δὲ βουλευσαμένοις, τὸν μὲν τῶν Μυσῶν δεσπότην Βοησίλαν οἴκαδε ἐκέλευεν ὁ βασιλεὺς ἀπελθόντα, ἐπεὶ πλησίον ἦν, καὶ αὐτὸν καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν, ὧν ἂν δέοιτο πρὸς τὴν μάχην παρασκευασάμενον, εἰς τρίτην ἡμέραν εἰς Ποτοῦκαν ἐλθεῖν· (ὃ πόλισμα ἦν κατεσκαμμένον ἔκ τινος ὡς ἔοικε πολέμου. Ἀπεῖχε δὲ τοῦ τόπου οὗ ἐστρατοπεδεύετο Μιχαὴλ, μιᾶς ἡμέρας ὁδὸν) ὡς ἐκεῖ τοῦ βασιλέως αὐτὸν περιμενοῦντος. Ὁ μὲν οὖν οἴκαδε εἰς Κόψιν ἀπῆλθεν ἐξαρτυσόμενος τὰ πρὸς μάχην. Βασιλεὺς δὲ, Στεπιμάχου καὶ Τζεπαίνης Βρυέννιον τὸν Γεώργιον στρατηγὸν καταστήσας, στρατιάν τε D ὁρκοῦσαν πρὸς φυλακὴν καταλιπὼν ὥστε μὴ κακῶς ὑπὸ τῶν Φιλιππουπολιτῶν ὑπεκθεόντων τὴν χώραν πάσχειν, αὐτὸς ἅρας παντὶ τῷ στρατεύματι, ἦλθεν εἰς Ποτοῦκαν, ὡς ἐκεῖ τὸν Βοησίλαν κατὰ τὸ σύνθημα περιμενῶν· στρατοπεδευομένῳ δὲ ἐκεῖ ἀπήγγειλέ τις ἐλθών, ὡς ἐτεθνήκει Βοησίλας ἐξαπίνης· τότε μὲν οὖν ἐδόκει ψεύδεσθαι ὁ ἄνθρωπος, καὶ οὐδὲν λέγειν ὑγιές· μετὰ μικρὸν δὲ καὶ δεύτερος ἐλθὼν ἀπήγγελε τὰ ἴσα, καὶ οὐδ' αὐτὸς ἀξιόχρεως

A Sub idem tempus Mœsorum principes rege Tertere sine hærede mortuo, Michaelem Streantzimeri apud eos dynastæ cujusdam filium, Bidynæ præfectum, e Mœsis, et Komanis (21) per avos trahentem genus advocant, regemque suum declarant, Trinobo sede regia (22), cum reliquo principatu ei tradito. Hic copiis suis in unum conductis, cum non spernendis Ungroblachorum Scytharumque auxiliis Romanorum imperatorem **109** Philippopolin obsidentem, lacessendum, quod se illi imparem sciebat, non putavit. Urbes autem quæ post obitum Terteris se Romanis dediderant, in montanis sitas (quæ loca Scythas aliosque socios sagittarios tuebantur) obsidebat, et earum agros devastabat. Quæ cum imperatori nuntiarentur, adhibitis in B consilium optimatibus, Philippopoli obsidionem solvendam, Michaeli occurrendum, et bello cum eo experiundum constituit. Deinde Boesilæ Mœsorum despotæ, cum manu quam ducebat domum abire (haud enim procul distabat), comparatisque ad pugnam necessariis, tertio die ad Potucam adesse mandavit (id erat oppidulum bello, ut apparebat, eversum, et a castris Michaelis unius diei itinere distabat); se enim illic eum exspectaturum. Boesilas ita facturus, domum, Copsin videlicet, discessit. Imperator Georgio Bryennio Stenimachi, et Zepænes urbium duce instituto, et quod satis esset militum ad præsidium relicto, ne a Philippopolitanis furtim excurrentibus regio infesta haberetur, C ipse cum toto exercitu Potucam, Boesilam ibi ex condicto exspectaturus, proficiscitur. Castris ibidem locatis, Boes lam repentino mortuum intelligit. Visus mentiri nuntius, ac nihil pro sano dicere. Paulo post alter advolat. Sed neque hic fide dignus existimatus. Accessit tertius, qui et revera mortuum, et se e prærupto loco corpus exanime Copsin ad exsequiarum honores reportari conspexisse affirmavit. Hic, quia Romanus, quia oculos (qua nulla est indubitatior probatio) testes adhibebat, fidem meruit. Placuit igitur conflictu cum Michaele abstinendum; quandoquidem id temporis non erat cum hostibus conferendus Romanorum exercitus; et quia illi montuosis locis tendebant, et altis cingebantur vallibus, habebant- D que sagittariorum magnam vim, quæ in locorum illis difficultatibus et angustiis nocere quamplurimum posset. Præterea, quia non parvum agmen Romani exercitus ad pugnam desiderabatur. Nam qui sub Boesila merebant circiter tria millia, propter ejus mortem rediturі desperabantur; et in oppugnatione Philippopolitana vulnerati multi (amplius enim tres non occubuerunt), domum quisque suam ad curationem petiverant; et apud Bryennium ad Stenimachi aliorumque oppidorum

Jacobi Pontani notæ.

(21) Male ante *Romanis*. Fuerunt autem origine Scythæ ad Istri ostia. Gregoras I b. II.

(22) Tripliciter hujus urbis nomen scriptum reperio, *Trinobus*, *Ternobus*, *Tornobus*. Nicetas omnium Hæmi urbium munitissimam et præstantissimam, firmis circumdatam mœnibus, amne interceptum, in vertice montis ædificatam scribit lib. I; Gregoras lib. 3, Bulgarorum regiam facit.

Digitized by Google Распознавание текста ABK/FR

110 præsidium non pauci relicti erant. His omnibus de causis prælio temperare ac reverti imperator conducibilius judicavit. Reversus est itaque Adrianopolin, ægre ferens, quod sibi hostes ulcisci non licuisset. Post diem octavum litteræ ad eum perferuntur, in quibus scriptum erat, Boesilam vivere. Fungos comederat: exinde præcordiis frigore nimio obstupefactis, veternus eum sensibus oppressis adeo occuparat toto triduo, ut pro mortuo duceretur. Tandem amicis theriacam, et quæ medicis antidota dicuntur, exhibentibus, tandem sensum recepit.

A εἰς πίστιν ἐδόκει, τρίτος δὲ μετ' ἐκείνους ἐλθών, ὅτι τε ἐτεθνήκει ἔλεγεν ὄντως καὶ ὡς αὐτὸς αὐτὸν ἴδοι ἀπὸ τοῦ κρημνοῦ εἰς Κόψιν ἀναγόμενον ἐπὶ κλίνης τεθνηκότα ἐπὶ τῷ τυχεῖν ὁσίας· καὶ ἐπεπίστευτο οὗτος ὅτι τε Ῥωμαῖος ἦν, καὶ ἀπόδειξιν ἐναργῆ παρείχετο τὴν ὄψιν. Ἐδόκει δὴ οὖν διὰ ταῦτα τῷ βασιλεῖ οὐ μαχητέα εἶναι πρὸς Μιχαήλ. Οὐ γὰρ ἦν ἀξιόμαχος τοῖς πολεμίοις τότε ἡ τῶν Ῥωμαίων στρατιά, ἅμα μὲν διὰ τὸ τοῖς ὀρεινοῖς ἐνστρατοπεδεύειν αὐτοὺς, καὶ φάραγγας βαθείας περιβεβλῆσθαι τοξείαν ἔχοντας πολλὴν μέγιστα βλάπτειν ἐν ταῖς δυσχωρίαις δυναμένην. Ἅμα δ' ὅτι καὶ τῆς παρεῖναι πρὸς τὴν μάχην στρατιᾶς Ῥωμαίων ὀφειλούσης, ἀπελείπετο οὐκ ὀλίγη. Οἵτε γὰρ ὑπὸ Βοησίλαν τεταγμένοι περὶ τρισχιλίους ὄντες, διὰ τὴν Βοησίλα τελευτὴν οὐκ ἦσαν προσδόκιμοι παραγενήσεσθαι, καὶ ἐν ταῖς κατὰ τὴν Φιλιππούπολιν τειχομαχίαις πολλοὶ γενόμενοι τραυματίαι, (ἀπέθανον γὰρ οὐ πλείους τῶν τριῶν,) οἴκαδε ἕκαστος ἀπῆλθον θεραπευθησόμενοι· καὶ παρὰ Βρυεννίῳ διὰ τὴν Στενιμάχου καὶ τῶν ἄλλων πόλεων φυλακὴν κατελείποντο ἱκανοί. Δι' ἃ δὴ πάντα λυσιτελεῖν μᾶλλον ἐδόκει τῷ βασιλεῖ μὴ μαχεσάμενον ἀναστρέφειν· ἐπανῆκεν οὖν εἰς Ἀδριανούπολιν βαρέως ἐνεγκών, ὅτι οὐκ ἐξεγένετο αὐτῷ τιμωρήσασθαι τοὺς πολεμίους. Μετὰ δὲ ὀγδοήν ἡμέραν ἀφίκετο πρὸς βασιλέα γράμματα Βοησίλα λέγοντα ὅτι ζῇ. Μήκητας δὲ φαγὼν, τῶν περὶ τὴν καρδίαν μορίων νεκρωθέντων, κάρῳ κατασχεθῆναι καὶ ἀναισθησίᾳ βαθείᾳ ἐφ' ἡμέρας τρισὶν, ὡς δοκεῖν ἤδη ἀπηλλάχθαι τοῦ ζῆν. Μετὰ δὲ ταύτας, τῶν περὶ αὐτὸν θηριακῇ καὶ τοῖς παρὰ τῶν ἰατρῶν λεγομένοις ἀντιδότοις χρησαμένων, μόλις εἰς αἴσθησιν ἐπαναγαγεῖν.

CAPUT XXXVII.

Philippopolis casu recuperatur. Michael Boesilam obsidet, qui a suis proditur. Michael Romanorum fines depopulatur; ei imperator duellum offert, quod facere abnuit. Veniens Constantinopolin imperator, bellum ad bellum Barbaris inferendum sollicitat, cujus consilium magnus domesticus confirmat, et contra Mœsos omnia sua pollicetur.

Atque hæc juniorem imperatorem impediverunt, B ut dixi, quo minus cum Michaele et auxiliaribus ejus congrederetur. Ipse autem Michael quas obsidebat urbes, subsidia Romanorum desperantes, ad deditionem adigebat, et Philippopolin præsidium receus cum novo duce transmittens, Ibanem cæterosque duces ac milites ad præmia pro laboribus in obsidione toleratis, et virtute ostentata revocabat Dux novi præsidii, jam urbi vicinus, ad Ibanem super adventu suo mittit, et cur veniat, adjungit. Ibanes cum ducibus sibi subservientibus militibusque universis, venientibus obviam foras prodit, et una pernoctat postridie urbem illis traditurus. Sub eamdem noctem etiam Bryennius Philippopolin veniens, in insidiis subsedit, die nimirum illucescente, prædam pecoris abacturus. C Is ut Ibanem cum ducibus, et præsidio ad successores excipiendos oppido egressum inaudivit, ad mœnia gradum fert. Urbani tempus venisse rati, quo Mœsorum jugum excuterent, portis reclusis illum cum Romanis introducunt. Sic quod imperator diuturna obsidione, multisque et assiduis oppugnationibus non potuit, id Bryennius, Deo opitulante, citra laborem transactum 111 reddidit, ac Philippopolin Romanis restituit. Ibanes dilueulo urbem captam cognoscens, cum reliquis suis domum repedavit. Postea Michael Boesilam, Copsin, et alia quatuor oppidula possidentem vehementer ursit, missoque milite obsedit, qui plus annum, imperatore, et pecunia, et equitibus ac peditibus ferente suppetias, viriliter restitit. Tandem cum

Τοιαῦτα μὲν ἐγένετο κωλύματα τῷ νέῳ βασιλεῖ τοῦ μὴ πρὸς Μιχαὴλ τὸν Μυσῶν βασιλέα διαγωνίσασθαι καὶ τοὺς συμμάχους. Αὐτὸς δὲ Μιχαὴλ, τὰς μὲν πολιορκουμένας πόλεις παρεστήσατο ὁμολογίᾳ τὴν ἐκ βασιλέως Ῥωμαίων ἀπηγορευκυίας ἐπικουρίαν. Πρὸς δὲ τὴν Φιλιππούπολιν, στρατιάν τε ἀκμάζουσαν ἑτέραν ὥς τε φρουρεῖν αὐτὴν ἀπέστειλε καὶ στρατηγόν. Τὸν δὲ Ἰβάνην καὶ τοὺς πολιορκηθέντας στρατιώτας ἅμα τοῖς σφετέροις στρατηγοῖς, μετεκαλεῖτο ὡς ἀμειψόμενος τῶν πόνων ἕνεκα καὶ τῆς ἀνδρίας, ἣν ἐν τῷ πολιορκεῖσθαι ἐπεδείξαντο. Ὁ δὲ τῆς πεμφθείσης στρατιᾶς στρατηγὸς, ἐπειδὴ ἐγγὺς Φιλιππουπόλεως ἦν, πέμψας πρὸς Ἰβάνην, τήν τε ἄφιξιν αὐτῶν καὶ ἐφ' ὅ, τι ἥκοιεν ἐδήλου. Ἰβάνης δὲ ἅμα τοῖς ὑπ' αὐτὸν ἄρχουσι τῆς στρατιᾶς, καὶ τοὺς φρουροὺς ὅσοι ἦσαν παραλαβών, εἰς ὑπάντησιν ἐξῆλθε τῶν ἐρχομένων, καὶ διενυκτέρευσεν ἔξω μετ' αὐτῶν ὡς ἐς τὴν ὑστεραίαν αὐτοῖς τὴν πόλιν παραδώσων. Ὑπὸ δὲ τὴν αὐτὴν νύκτα καὶ ὁ Βρυέννιος εἰς Φιλιππούπολιν ἐνήδρευσεν ἐλθών· ὡ ἅμα ἕῳ τὰ τῆς πόλεως βοσκήματα διαρπάσων. Πυθόμενος δὲ ὡς ὁ Ἰβάνης καὶ ἡ φρουροῦσα στρατιὰ ἅμα τοῖς σφετέροις στρατηγοῖς εἰς ὑπάντησιν ἐξῆεσαν τῶν διαδεξομένων, ἀναστὰς ἦλθεν ἐγγὺς τειχῶν. Οἱ δὲ κατοικοῦντες τὴν πόλιν νομίσαντες καιρὸν εἶναι τῶν Μυσῶν ἑαυτοὺς ἐλευθεροῦν, ἀνοίξαντες τὰς πύλας, τὸν Βρυέννιον ἅμα τῇ Ῥωμαίων εἰσεδέξαντο στρατιᾷ. Καὶ ὁ βασιλεὺς διὰ τῆς χρονίου πολιορκίας καὶ τῶν πολλῶν καὶ συνεχῶν οὐκ ἠδυνήθη καταπράξασθαι τειχομαχιῶν, τοῦτο Βρυέννιος Θεοῦ συναιρομένου κατώρθωσεν ἀπόνως καὶ

Digitized by Google Распознавание текста ABK/FR

τὴν Φιλιππούπολιν ἀνεστήσατο Ῥωμαίοις. Ὁ δὲ Ἰβάνης ἅμα ἕῳ τὴν ἅλωσιν τῆς πόλεως πυθόμενος καὶ οἱ ἄλλοι, ἀνεχώρησαν ἐπ' οἶκον. Μετὰ δὲ τοῦτο Μιχαὴλ ὁ τῶν Μυσῶν βασιλεὺς τῷ Βοησίλᾳ, τῆς τε Κόψεως καὶ ἑτέρων τεττάρων κρατοῦντι φρουρίων, ἐπέκειτο σφοδρῶς καὶ ἐπολιόρκει πέμπων στρατιάν. Μέχρι μὲν οὖν ἐνιαυτοῦ καὶ περαιτέρω ὁ Βοησίλας πρὸς τὸν πόλεμον ἀντεῖχεν ἰσχυρῶς, καὶ τοῦ βασιλέως βοηθοῦντος, καὶ χρήμασι καὶ ἵππῳ καὶ πεζῇ στρατιᾷ. Μετὰ δὲ τοῦτο διὰ τὰς συνεχεῖς ἐφόδους καὶ τὸ πανταχόθεν ἀποκεκλεῖσθαι τὰς πρὸς τὸ ζῆν ἀφορμὰς, τοὺς ὑπ' αὐτὸν ὁρῶν τῷ Μιχαὴλ ταῖς γνώμαις προστιθεμένους, καταλιπὼν αὐτοὺς, ἀφίκετο πρὸς βασιλέα. Οἱ δὲ, ἑαυτούς τε καὶ τὰ φρούρια παρέδοσαν Μιχαήλ. Μετὰ δὲ τὸ ταύτην κατασχεῖν, πανστρατιᾷ εἰσέβαλεν ἐς τὴν Ῥωμαίων· καὶ τὰ ἀνωτερικὰ μέρη τῆς Θρᾴκης ἐλῃσάτο πάντα ἄχρι Βήρας ἐπελθών, ἐν ἡμέραις μάλιστα δυσκαίδεκα· ἐκράτησε δὲ λείας οὐ πολλῆς διὰ τὸ τοὺς γεωργοὺς ἐκ προνοίας τοῖς φρουρίοις καὶ ταῖς πόλεσιν ἐγκατακλεισθῆναι. Βασιλεὺς δὲ ὁ νέος ἐν Διδυμοτείχῳ διατρίβων, οὐκ ἀντεπεξῆλθε Μυσοῖς διὰ τὸ μὴ στρατιὰν ἠθροισμένην ἀξιόμαχον ἔχειν. Αὐτῇ δὲ συνεῖχετο χαλεπῇ διὰ τὸ μὴ δύνασθαι ἀμύνασθαι τοὺς πολεμίους. Σφαδάζων δὲ καὶ ἐκκαιόμενος τῷ θυμῷ, ἐπανιόντι μηνύει τῷ Μιχαὴλ, Ὡς σὺ μὲν ἐκ παρασκευῆς τὴν ὑπὸ σὲ ἀθροίσας στρατιὰν, εἰσέβαλες εἰς τὴν ἡμετέραν, καὶ ἐκάκωσας ὅσον ἐξῆν. Ἐμοὶ δὲ τὸ νῦν ἔχον ἀδυνάτως ἔχοντι ἐκ παρατάξεως διαγωνίσασθαι, ἥδιστ' ἂν μόνῳ γένοιτο διαγωνίσασθαι πρὸς μόνον. Αὐτὸς δὲ ἀπεκρίνατο, μήτε ἐγκέφαλον ἂν σχεῖν χαλκέα, εἰ ἐνὸν τοῦ πεπυρακτωμένου τῇ πυράγρᾳ ἅπτεσθαι σιδήρου, ὁ δ' ἀντὶ ταύτης τῇ χειρὶ χρῷτο· αὐτόν τε γέλωτα πολὺν ὀφλήσειν, εἰ μὴ τῇ στρατιᾷ πολλῇ τε καὶ ἀγαθῇ οὔσῃ, ἀλλὰ τῷ ἰδίῳ σώματι διακινδυνεύοι. Διὸ οὐδὲ πράξειν ἃ προκαλεῖται παρ' αὐτοῦ. Αὐτὸν δὲ τῷ ὑπερβάλλοντι πρὸς τοιαῦτα ἐξάγεσθαι τοῦ θυμοῦσθαι· μετὰ μικρὸν δὲ φιλίας αὐτοῖς γενησομένης ἰσχυρᾶς, ἅμα ἀλλήλοις ἑτέροις μαχοῦνται πολεμίοις. Τοιαῦτα ἀποκρινάμενος ὁ Μιχαὴλ, ἐπανέζευξεν εἰς Μυσίαν. Βασιλεὺς δὲ ὁ νέος ἐκ Διδυμοτείχου εἰς Βυζάντιον ἐλθὼν, λύπης ἀνάπλεως ὢν διὰ τὴν εἰσβολὴν, Οὐ δίκαιόν ἐστιν, ἔλεγε, πρὸς τὸν πάππον πολλήν τε καὶ ἀγαθὴν ἔχοντας στρατιὰν, καὶ δυναμένους καὶ αὐτοὺς εἰς τὴν τῶν πολεμίων ἐσβαλλόντας ἐκ τοῦ ὁμοίου τὴν

A suos propter assiduos impetus, et undique præclusa vitæ subsidia in Michaelem animis propendere cerneret, iis relictis ad imperatorem perfugit : tum oppidula illa se statim Michaeli dediderunt. Qua regiuncula auctus, toto cum exercitu in provinciam Romanam incubuit, superioremque Thraciam ad Beram usque universam diebus duodenis depopulatus est : tametsi prædas ita opimas non egit, quod agricolæ id præsentientes, in urbes et castella se receperant. Imperator Didymotichi se tenens, propter copias non sufficientes, exire contra Mœsos non audebat : dolensque vehementius, quod hostibus paria reponere non posset, et pede terram feriens (23), atque ira succensus, Michaeli revertenti significat, ipsum quidem dedita opera B coactis copiis in Romanorum provinciam irrupisse, eique incommodasse quantum potuerit : sibi vero perjucundum fore, quando æquo campo adversa acie nequeat, singulari certamine cum eo depugnare. Respondit Mœsus, cerebro carere fabrum, qui, cum ferrum ignitum forcipe fas sit contingere, ipse id nuda manu contrectet. Similiter se ludos, ac jocum futurum, si non per exercitum, et præsertim genere, ac numero tam firmum, sed per suum ipsius corpus periculum subierit. Quare nec se facturum, quo ab illo provocetur, et illum huc immoderata ira provehi, brevi arcta consociatos amicitia, junctim cum hostibus præliaturos. Hoc responso dato Michael in Mœsiam perrexit. Impe- C rator Didymoticho Byzantium veniens, propter eam incursionem mœroris plenus sic avum compellavit, ut diceret, iniquum esse, cum in promptu haberent copias non modicas, et virtute egregias, possintque hostium fines æque incursare cum maleficio, aut desides, et otiosos prorsus sedere (24) : aut missu legatorum fœdera petere : atque ita re ipsa confiteri, ad injurias tantummodo accipiendas idoneos, ad remetiendas autem debiles, et impotentes esse. Rogare igitur avum, **112** uti expeditionem sibi in illos committeret : de quibus ubi ob illata detrimenta pœnas sumpsisset, tum denique, si fructuosum videatur, fœdus posse cum illis pacti ; edoctis jam satis, non sibi expedire, Romanos invadendo antevertere. His verbis junior D seniorem ad bellum barbaris faciendum exstimulabat, quorum sermoni præsens magnus domesticus ;

Jacobi Pontani notæ.

(23) Indignantium gestus. Cic., *Tuscul.* II, de Cleanthe Stoico, qui Heracleoten Dionysium æque Stoicum a disciplina Zenonis idcirco defecisse audiens, quia malus esset dolor, contra quam Zeno docuisset : malus autem, quia ipse, qui plurimos annos in philosophia consumpsisset, eum ferre non potuisset, pede terram percutiens, versum ex Epigonis protulit. *Audisne hæc Amphiarae sub terram abdite ?* Zenonem significabat, a quo illum degenerare dolebat. Idem I, *De Orat.* Quid multa ? Pedem nemo in illo judicio supplosit. Laudat rara Comificio, lib. III, rara supplosio pedis in oratore. Quintil., lib. II, cap. 3, pedis supplosio, ut loco est opportuna, ut ait Cicero (in Bruto) in contentionibus incipiendis, aut finiendis ; ita crebra et inepti est hominis, et desinit judicem in se convertere.

(24) Καθῆσθαι idem est Græcis, quod nobis est sedere, vel potius idem nobis est sedere, quod illis καθῆσθαι, pro, negligentem, pigrum, cunctantem, remissum esse in aliquo negotio, nihil agere. Demosthenes, I, Olynthiaca objurgans Atheniensis de segnitie, qui se a Philippo cingi undique non viderent, nec tanto malo remedium quærerent, Καὶ κύκλῳ τε πανταχοῦ μέλλοντας ὑμᾶς, καὶ καθημένους περιστοιχίζεται. Cic. in Pisonem, *an potest ulla esse excusatio, non dicam male sentienti ; sed sedenti, sed cunctanti, dormienti in maximo reipublicæ motu consuli ?* Virgilius III, *Georg.*

...et meliora deos sedet omina poscens.

Digitized by Google Распознавание текста ABK/FR

Injuries inquit, accipere, et incommoda injuste perpeti a quocunque, cum æque malum sit in omnibus, pro lædentis persona tamen plus minusve cruciat (25). Hinc est quod mortales præstantioribus haud gravate se subjiciunt, illisque serviunt : de paribus autem, si nocuerint, vindicare se postulant maluntque etiam discrimen gloriæ incurrere, ne serviant, quam in præsentia florentem statum, dum horribiliora pertimescunt. Jam qui nos lacessunt Mœsi, non solum non majores, sed multis etiam partibus inferiores nobis sunt. Nam et vos principes nostri illorum reges prudentia, virtute, bellicis artibus longe antecellitis, melioresque ac plures quam illi duces habetis : et ei regioni imperatis, quæ et frequentia copiarum, et amplitudine, ac numero civitatum, et annuis vectigalibus, et omni genere apparatus illorum regionem longo intervallo superat. Nefas est igitur eos, quamquam infirmiores, spiritus nihilo minus concipere ut nobis noceant, vos au em potentia vestra uti nolle, sed impune eos vagari sinere. Hoc ergo, imperatores, munus vestrum esse arbitror, eos compescere. Quod ad me attinet, fateor, alioqui non invitum (et merito) voluntati vestræ inservire : ad hoc autem bellum quod instat, non solum manus, sed etiam impensam, et quidquid mihi servorum est, et quantum maximum queo studium, alacritatemque, pro tuendis civium commodis, et pro gloria nominis vestri conferre paratus sum. Quem animum item reliquis genere illustrioribus inesse mihi persuadeo. Ac si vobis videtur, jubeatis licet, et nos qui de consilio sumus, conventum agentes, inter nos de isto bello deliberationem habebimus.

A ἐκείνων κακοῦν, ἢ ἀργοὺς καὶ ἀπράκτους καθῆσθαι παντελῶς, ἢ πρὸς σπονδὰς χωρεῖν πέμψαντας πρέσβεις αὐτοῖς ἔργοις ὁμολογοῦντας ὡς πάσχειν μόνον ἐπιτήδειοι κακῶς, οὐκέτι δὲ καὶ ἀντιδρᾶν ἐς μὲν τοὺς πολεμίους δυνατοί. Οὗ δὴ ἕνεκα δέομαί σου, βασιλεῦ, τὴν ἐπ' ἐκείνοις καὶ ἡμῖν ἐκστρατείαν ἐπιτρέψαι· τιμωρησαμένοις δὲ τοὺς πολεμίους τῆς ἀδικίας τῆς εἰς ἡμᾶς, τότ' ἤδη εἴγε φαίνοιτο λυσιτελεῖν, τὰς πρὸς αὐτοὺς ποιήσομεν σπονδὰς ἐγνωκότας ἀκριβῶς ὡς ἀλυσιτελὲς αὐτοῖς τὸ προεπιχειρεῖν ἡμῖν. Τοιαῦτα μὲν ὁ νέος εἴρηκε βασιλεὺς τὸν πρεσβύτερον πρὸς τὸν κατὰ τῶν βαρβάρων πόλεμον ἐξορμῶν. Παρὼν δὲ καὶ ὁ μέγας δομέστικος αὐτοῖς διαλεγομένοις, Τὸ ἀδικεῖσθαι, εἶπε, καὶ κακῶς πάσχειν ὑφ' ὑτουοῦν ἐν πᾶσιν ἴσον ὄν, μεῖζω ἢ
B ἐλάσσω τὴν ὀδύνην παρὰ τὸ ἀξίωμα τῶν ἀδικούντων φέρει. Διὸ καὶ πάντες ἄνθρωποι τοῖς κρείττοσι μὲν δουλεύουσιν ἀνεπαχθῶς· ἀμύνεσθαι δὲ ἀξιοῦσι τοὺς ἴσους ἂν ἀδικῶνται· καὶ μᾶλλόν τοι αἱροῦνται τὸν κίνδυνον ὑπὲρ τοῦ μὴ δουλεύειν, καὶ τῆς εὐκλείας ἢ τὴν ἐν τῷ αὐτίκα ῥᾳστώνην ὀέει τῶν μὴ φοβερώτερα παθεῖν. Οἱ νυνὶ δὲ πολεμοῦντες; ἡμῖν Μυσοί, οὐχ ὅπως μείζους, ἀλλὰ καὶ ἐλάσσους ἡμῶν εἰσι πολλῷ τῷ μέτρῳ. Οἵ τε γὰρ βασιλεύοντες ἡμῶν ὑμεῖς, τῶν ἐκείνων βασιλέων καὶ φρονήσει καὶ ἀνδρίᾳ καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους ὑπερέχετε πολλῷ· καὶ στρατηγοῖς ἔχετε χρῆσθαι καὶ πλείοσι καὶ βελτίοσιν ἐκείνων· χώρας τε ἄρχετε κατὰ πάντα ὑπερεχούσης, καὶ πλήθει στρατιᾶς καὶ μεγέθει πόλεων καὶ
C ἀριθμῷ, καὶ προσόδοις ἐτησίοις, καὶ τῇ ὅλῃ κατασκευῇ. Ἄτοπον οὖν ἐκείνους μὲν ἐκ τοῦ ἐλάττονος ὁρμωμένους ἡμᾶς κακοῦν, ὑμᾶς δὲ μὴ χρῆσθαι τῇ σφετέρᾳ αὐτῶν δυνάμει, ὀλλ' ἐᾷν αὐτοὺς ἀτιμωρήτου. Τοῦτο μὲν οὖν ὑμῖν προσήκειν ἡγοῦμαι τοῖς βασιλεῦσιν. Ἐγὼ δὲ, καὶ ἄλλως μὲν πρόθυμος πρὸς τὸ τοῦ προστάγμασιν ὑμῶν ἐξυπηρετεῖν δίκαιος εἶναι ὁμολογῶ· πρὸς δὲ τὸν ἐνεστῶτα νυνὶ πόλεμον τουτονὶ οὐκ αὐτοχειρίᾳ μόνον, ἀλλὰ καὶ χρήμασιν ἰδίοις καὶ οἰκέταις ὑπέρ τε τῆς τῶν ὁμοφύλων ὠφελείας, καὶ τῆς εὐδοξίας τῶν βασιλέων ὑμῶν, τὴν δυνατὴν ἑτοιμός εἰμι εἰσφέρειν καὶ σπουδὴν καὶ προθυμίαν. Οἶομαι δὲ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ὁμοίως ἐμοὶ τῶν ἐπιφανεστέρων διακεῖσθαι. Εἰ δ' ὑμῖν δοκεῖ καὶ προστάττετε τοῦτο, καὶ καθ' ἑαυτοὺς ὑμεῖς οἱ τῆς συγκλήτου ποιήσαντες ἐκκλησίαν ὅ, τι χρὴ πράττειν βουλευσόμεθα περὶ τοῦδε τοῦ πολέμου.

113 CAPUT XXXVIII.

Consultatio de bello in barbaros suscipiendo. Præclara magni domestici oratio, qua bellum a necessario, ab honesto et facili suadetur. Additur pro epilogo liberalissima promissio. Protostrator, et comites junioris imperatoris idem sentiunt. Consiliarii senioris dissentiunt, privatam utilitatem præ communi spectantes. Laudat alteram partem, et magnum domesticum senior; suos vituperat, et cum nepote porro deliberat.

Laudata viri sententia, senior imperator habendi senatus dat negotium. Tum et qui cum nepote advenerant, et qui penes avum Byzantii erant, homines nobiles, jussu imperatorum in aulæ medio ad consulta dum considunt; silentioque paulisper facto, Byzantii hortabantur junioris comites,

D Ἐπαινέσαντος δὲ τοῦ πρεσβυτέρου βασιλέως καὶ ἐπιτρέψαντος τὴν βουλὴν, οἵ τε μετὰ τοῦ νέου βασιλέως ἐλθόντες καὶ οἱ τῷ πρεσβυτέρῳ συνόντες ἐν Βυζαντίῳ τῶν ἐπιφανῶν, προστεταχότων τῶν βασιλέων, ἐν μέσαις ταῖς βασιλείοις ἐκαθέσθησαν αὐλαῖς, βουλευσόμενοι περὶ τοῦ πολέμου. Σιγῆς δὲ

Jacobi Pontani notæ.

(25) Honori est quodammodo a potentioribus, et illustrioribus accipere injuriam, sicut interfici quoque a viris fortibus et inclytis : videmur enim tunc nos quoque in aliquo pretio esse, sine quibus majores nobis quæ velint, consequi non possint. Sed lædi a contemptis, et abjectis ideo dolet amplius, quia cum injuria ad nos quoque contemptus pervenit, utpote qui despecti fuerimus a validissimis.

Digitized by Google Распознавание текста ABK/FR

γενομένης ἐπὶ μικρὸν, οἱ ἐν Βυζαντίῳ τοὺς μετὰ τοῦ νέου προύκαλοῦντο βασιλέως ἐλθόντας ἐφ' οἷς συνήγαγον τὴν ἐκκλησίαν λέγειν, ὡς αὐτῶν ἅττα ἂν λέγωσιν ἀκουσομένων. Ἐκείνων δὲ τὸν μέγαν δομέστικον προτρεπομένων λέγειν ὡς καὶ αὐτῶν τὰ ἴσα καὶ βουλομένων καὶ φρονούντων, ὁ μέγας δομέστικος εἶπε τοιάδε· Ἄνδρες συστρατιῶται, ἐν ἴσῳ πάντες ἄνθρωποι δικαιοῦσι, τῷ τε τῆς ὑπαρχούσης δόξης ὑφιεμένῳ μέμφεσθαι διὰ μαλακίαν, καὶ τὸν τῆς μὴ προσηκούσης θρασύτητι ἐφιέμενον μισεῖν. Διὸ καὶ αὐτὸς, οὐ τῆς μὴ προσηκούσης ἡμῖν δόξης ἀντέχεσθαι παρελήλυθα συμβουλεύσων, ἀλλὰ τὴν ὑπὸ τῶν προγόνων εἰς ἡμᾶς ἀγῶσι καὶ πόνοις διασωθεῖσαν, ἀτολμίᾳ τῇ πρὸς τὰ δεινὰ ἐλάσσω μὴ ποιεῖν. Μὴ θαυμάσητε δὲ εἰ βασιλεῦσι περὶ τῶν τοιούτων βουλεύεσθαι προσῆκον, αὐτὸς ὑμῖν προὔθηκα τὴν βουλήν. Ἡγοῦμαι γὰρ καὶ πόλιν αὐτονομουμένην καὶ βασιλείαν πλείω τοὺς ἰδιώτας ὠφελεῖν σύμπασαν ὀρθουμένην, ἢ κακῶς πάσχουσαν ἀθρόαν, καθ' ἕκαστον δὲ εὐπραγοῦσαν τῶν πολιτῶν. Δυστυχῶν μὲν γὰρ ἐν εὐπραγούσῃ τῇ πατρίδι μάλιστ' ἄν τις διασώζοιτο· εὖ δὲ φερόμενος; ἐν ἀτυχούσῃ, οὐδὲν ἧττον συναπόλλυται. Ὁπότε οὖν καὶ πόλις καὶ βασιλεία πρὸς μὲν τὰς ἰδίας συμφορὰς οἷόν τε ἀντέχειν, εἷς δὲ ἕκαστος ἀδύνατος πρὸς τὰς ἐκείνης, πῶς οὐ χρὴ παντὶ τρόπῳ πάντας ἀμύνειν αὐτῇ; Ἃ μὲν οὖν εἰς ἡμᾶς ὁ τῶν Μυσῶν ἐξύβρισε βασιλεὺς, πάν ες ἀκηκόατε καὶ αὐτοί. Τῶν ἄλλων γὰρ λῃστείαις χρωμένων, ἢ εἴποτε καὶ ἐσβάλλοιεν στρατιᾷ, ὄχρι τῆς ἄκρας ἀφικνουμένων, καὶ ἅμα τῷ αἰσθήσιν παρασχεῖν, ἀποδιδρασκόντων εἰς τὴν ἰδίαν, αὐτὸς ὥσπερ οὐκ εἰς πολεμίαν, ἀλλ' εἰς τὴν ἰδίαν ποιούμενος τὰς στρατοπεδείας, ἀσφαλῶς καθήμενος ἐδῄου τὴν γῆν ἡμῶν ἐπὶ δυοκαίδεκα ἡμέραις. Καὶ προῆλθέ γε ἄχρι Βήρας καὶ Τραιανουπόλεως, τέμνων αὐτήν. Εἰ τῳ δὲ δοκεῖ διὰ τὸ ἐκ προνοίας ἐν ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθέντας ἐλάσσω ἢ ἐχρῆν γενέσθαι τὴν ζημίαν ἀνεκτὸν εἶναι, ἴστω ἐξαπατῶν ἑαυτόν. Ἐὰν γὰρ μὴ νῦν τιμωρησώμεθα αὐτοὺς ἀξίως, καὶ δευτέραν ἐσβολὴν ποιήσονται καὶ τρίτην· καὶ οὐ μόνον τοὺς τῶν πόλεων δήμους ἀπ' ἐλασσόνων ὁρμωμένους ἀποστερήσουσι καὶ τούτων, ἀλλὰ καὶ ἡμᾶς τοὺς δυνατοὺς πολλὰ καλὰ κτήματα ἔχοντας κατὰ τὴν χώραν ζημιώσουσι πολλά. Διὸ δὴ καὶ παραινῶ ὑμῖν, ὁμόσε χωρεῖν τοῖς πολεμίοις, μὴ φρονήματι μόνον τῶν προγόνων, ἀλλὰ καὶ καταφρονήματι χρωμένους. Ἐκεῖνοί τέ γὰρ ἐκ τοῦ ἀεὶ νικᾷν τοὺς Μυσοὺς, ἐχυρωτέραν ἔχοντες τὴν τόλμαν, καταφρονητικῶς ἐπῆσαν αὐτοῖς, καὶ ἡμῖν ἐὰν τῆς ἐκείνων ἀρετῆς καὶ προθυμίας φανῶμεν ζηλωταὶ, τὸ αὐτὸ ἐξέσται. Ἔχομεν δὲ καὶ πολλὰ ἐνέχυρα ἀσφαλῆ τοῦ περιγενέσθαι ἂν αὐτῶν ἐν τῷ πολέμῳ· ἥ τε γὰρ ἡμετέρα στρατιὰ πλείων, καὶ τὰ πολέμια κραταιοτέρα· ὑμῶν τε τῆς συγκλήτου πολλοὶ τῶν ἐκείνων βασιλέων, οὐ φρονήσει μόνον, ἀλλὰ καὶ ἀνδρίᾳ καὶ πείρᾳ τῇ πρὸς στρατηγίας ὑπερέχετε πολύ· χρήμασί τε οὐκ ἐκ τῶν κοινῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων ἐρρώμεθα μᾶλλον ἐκείνων. Οἷς εἰ μὴ χρησαίμεθα νῦν, ὁπότε

ut de iis quorum causa convenissent, dicerent, se quæcumque dixerint audituros. Cum illi has partes ad magnum domesticum deferrent, quicum eadem vellent ac sentirent, exorsus est ille hunc in modum: Omnes homines, viri commilitones, adæque justum rentur, et de præsenti gloria sua propter infractionem animi decedentem reprehendere, et laudem sibi minime congruam confidenter appetentem aversari. Quocirca non ego in medium prodeo, ut vobis gloriæ non debitæ asserendæ auctor sim; sed ut ejus, quam majores vestri magnis contentionibus laboribusque partam ad vos transmiserunt, per ignaviam ad res duras et periculosas non obscurandæ consilium impertiam. Ne vero mirum accidat, si cum talis deliberatio imperatores deceat, ego eam vobis proponam. Sic enim statuo, et civitatem liberam, et regnum plus privatis commodaturum, si universum felix sit ac beatum, quam si civibus interea singulis felicibus, ipsum totum simul affligatur. Nam infortunatus quispiam in patria fortunata servari facillime queat: fortunato autem in patria misera nihilominus cum aliis pereundum est. Quando igitur civitas, aut regnum suas ab se calamitates prohibere potest, et per se unusquisque proprias non potest, qui tandem ei non omni ratione ab omnibus succurrendum est? Jam quæ Mœsorum rex insolenter in nos admiserit, nec vos utique latent. Nam cum prædones alii, quamvis nonnunquam etiam turmatim irruperint, simul ad fines pervenerunt, et adesse animadversi sunt, in sedes suas refugere soleant; iste perinde quasi non in hostium, sed in suis terris haberet sub signis exercitum, nullo metu fines nostros insedit diebus duodecim agris usque Beram, 114 et Trajanopolin depopulationem hostiliter intulit. Quod si quis putat, quia re provisa agrestes se cum pecoribus, castellis atque urbibus incluserint, minus detrimenti acceptum esse quam potuisset, et idcirco tolerabile videri, næ ille vehementer errat. Nisi nunc eos pro eo ac merentur puniverimus, iterum ac tertium irrumpent: neque solum tenuiores cives suis facultatibus spoliabunt; sed nos quoque opulentos, qui multas ac nobiles tota regione possessiones habemus, damnis non qualibuscunque afficient. Quamobrem hortor vos, ut non modo qua altitudine animi, verum etiam qua illorum despicientia majores vestri consueverunt, in hostes feramini. Nam illi quod Mœsos semper vincerent, tutius audentes, contemptim in eos invadebant: et nobis, si eorum virtutem alacritatemque æmulabimur, idem licebit. Multa porro ac non dubia victoriæ pignora suppeditant. Primum enim copiæ nostræ majores sunt. Deinde apparatus bellicus validior; multique de hoc consessu nostro regibus ipsorum et prudentia, et fortitudine, et rei militaris usu præstant. Adde, quod pecunia qua publica, qua privata plus illis possumus: ea si hoc tempore non utimur, num quando cum emolumento nostro usuri simus, equidem dubito. Quo-

Digitized by Google Распознавание текста ABK/FR

niam ergo rebus omnibus antesumus, doceamus illos, non in alienam provinciam irruere fructuosum, sed sua secure perfrui, jucundum esse : et in hoc bello imperatores nostros et sumptu, et servis, et laterum nostrorum oppositu adjuvemus, honoremque et decus Romani principatus, quo gaudemus, a contemptu Barbarorum omnes, nullum laborem detrectantes, conservemus. Quæ igitur de bello impigre capessendo a me dicta sunt, ea nec hostes ipsos (si justi rerum æstimatores esse volent), reprehensuros puto. Me vero eodem ardore alacriter adjuvandi incensum esse, facta ipsa documento erunt. Fortitudine enim, intelligentia, et bellandi scientia plerosque vestrum priores ferre, haud ægre concesserim : verum alacri ad opus voluntate, et conferendis insuper ad utilitatem civium, ad imperatorum dignitatem, ad nostram ipsorum celebritatem sumptibus, et servis domesticis, et hoc ipso corpore meo, nemini me secundum numerari volo. Ergo quasi non de gloria solum, verum etiam de futura securitate consultemus, ita sententias dicamus, et ad bellum accingamur : neve a majoribus nostris **115** degeneremus, quorum opera periculisque effectum est, ne ab istis contemni possemus : sed multo formidabilius arbitremur, partam claritudinem per desidiam posse amittere, quam in ea retinenda casus adversos experiri. Hactenus magnus domesticus, quem excipiens protostrator : Nolim cogitatis, inquit, vos, qui præsentes estis, hæc tantummodo magnum domesticum consulere, et ad eo promptum afferre studium ; nobis quoque universis idem videri scitote ; nec unquam res nostras feliciter ituras, ni diligentiam et animos majoribus nostris, nostroque et ipsorum nomine dignos susceperimus. Iis junioris imperatoris comitatus ad unum assensit. At senioris optimates non duxerunt pro necessariis quæ dicebantur, tametsi ea palam ut inutilia coarguere non auderent : sed multa deinceps acervantes, quibus etiam, et quietem potius eligendam astruerent, discordes surrexerunt ; non quod in tam perplexo negotio certum consilium, ut apparebat, reperire nequirent, sed revera, quod communi posthabito sua ipsorum compendia sectarentur. Non procul inde ex occulto imperatores hos sermones auscultabant ; tacenteque juniore, senior suos valde effeminatos atque inconsultos judicabat : nepotis contra ut consilio bonos, publicorumque commodorum cupidos suscipiebat atque commendebat. In primis vero magnum domesticum prudenter admodum, et ad tempus accommodate, studioseque consuluisse pronuntiabat : et se in illo avi materni expressam intueri imaginem, qui tam celeriter arripuisset, et tam idonce explicasset, et promptissime confecisset, quæ res postulasset : ut decreverit, si absque successore ex se nato de vita exiret, Romanis suadere, illum potissimum sibi imperatorem præficerent. Hunc in modum senior illos damnabat, hos laudibus extollebat, et cum nepote

A ἂν ἀπολαύσαιμεν τῆς ἐξ αὐτῶν ὠφελείας ἀπορῶ. Ὡς οὖν ἐν πᾶσιν ὑπερέχοντες αὐτῶν διδάξωμεν αὐτοὺς οὐ τὸ ἐς τὴν ἡμετέραν εἰσβάλλειν δῃ λυσιτελὲς, ἀλλὰ τὸ τὴν ἰδίαν ἀσινῆ καρποῦσθαι ἀγαπητόν· καὶ προθύμως συναγωνισώμεθα κατὰ τόνδε τὸν πόλεμον τοῖς ἡμετέροις βασιλεῦσι καὶ χρήμασι καὶ οἰκέταις, καὶ τοῖς σώμασιν αὐτῆς, τῇ τε τῆς Ῥωμαίων ἡγεμονίας τιμῇ ἀπὸ τοῦ μὴ ὑπὸ τῶν βαρβάρων καταφρονεῖσθαι, ἢ ἀγαλλόμεθα πάντες, βοηθῶμεν καὶ μὴ φεύγωμεν τοὺς πόνους. Ἃ μὲν οὖν εἶπον, προθύμως ἅπτεσθαι τοῦ πολέμου παραινῶν ὑμῖν, οὐδὲ αὐτοὺς ἂν λογισαμένους ὡς οὐ καλῶς ἔχουσιν ἀντειπεῖν δοκῶ. Ὅτι δὲ πρὸς τὴν ἴσην παρεσκεύασμαι καὶ αὐτὸς καὶ σπουδὴν καὶ προθυμίαν, ἐξ αὐτῶν ἔσται [*ad oram ms.* ἐξέσται] τῶν ἔργων τὴν ἀπόδειξιν πα-

B ραλαβεῖν. Ἀνδρίᾳ μὲν γὰρ καὶ συνέσει καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους, πολλοῖς ἂν ὑμῶν συγχωρήσαιμι τὸ πλέον ἔχειν· τῇ προθυμίᾳ δὲ τῇ κατὰ τὰ ἔργα, καὶ τῷ ὑπὲρ τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς βασιλέων τῶν ἡμετέρων τιμῆς καὶ ἡμῶν αὐτῶν εὐδοξίας, καὶ χρήματα καὶ οἰκέτας καὶ αὐτὸ τὸ σῶμα ἐπιδοῦναι, οὐδενὸς εἶναι δεύτερος ἀξιῶ. Ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς εἰσέπειτα ἀσφαλείας βουλευόμενοι, οὕτω καὶ ψηφισώμεθα καὶ ἀγώμεθα τοῦ πολέμου· καὶ μὴ χείρους φαινώμεθα τῶν προγόνων, οἳ μετὰ πόνων καὶ κινδύνων τὸ μὴ ὑπὸ τῶν τοιούτων περιφρονεῖσθαι παρέδοσαν

C ἡμῖν· ἀλλὰ πολὺ φοβερώτερον νομίζωμεν τὴν οὖσαν εὐδοξίαν ἀπραγμοσύνῃ ἂν ἀφαιρεθῆναι, ἢ κτώμενοι ἀτυχῆσαι. Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπεν. Ὁ πρωτοστράτωρ δὲ μετ' αὐτὸν, Μὴ νομίζετε, εἶπεν, ὦ παρόντες, τὸν μέγαν δομέστικον μόνον τοιαῦτα καὶ βουλεύεσθαι καὶ προθυμεῖσθαι· ἀλλὰ καὶ ἡμῖν ἅπασι ταῦτα συνδοκεῖν. Καὶ μὴ ἂν τὰ ἡμέτερα ὀρθωθῆναι εἰ μὴ καὶ σπουδὴν καὶ τόλμαν ἀξίαν καὶ τῆς τῶν προγόνων καὶ ἡμῶν αὐτῶν ἀναλάβωμεν εὐδοξίας. Τὰ ἴσα δὲ καὶ οἱ τῷ νέῳ βασιλεῖ συνόντες συνεπεψηφίσαντο πάντες. Τοῖς δ' ἐν Βυζαντίῳ τῷ

D πρεσβυτέρῳ συνοῦσι βασιλεῖ, ἀναγκαῖα μὲν οὐκ ἐδόκει τὰ εἰρημένα, οὐ μέντοι καὶ ὡς ἀλυσιτελῆ ἐτόλμησαν φανερῶς ἀντειπεῖν. Ἀλλὰ πολλὰ ἐφεξῆς συνείροντες ἐξ ὧν κατεσκεύαζον δῆλως, ὡς δεῖ τὴν ἀπραγμοσύνην μᾶλλον αἱρεῖσθαι, ἀνέστησαν ἀσύμφωνοι ταῖς γνώμαις· τὸ μὲν δοκεῖν ἐξ ἀπορίων τι ὠνεῖς ἀμηχανίαν καθιστάμενοι, τὸ δ' ἀληθὲς, οὐχὰ τῷ κοινῷ λυσιτελεῖ, ἀλλ' ἃ αὐτοῖς ἰδίᾳ διαφέρει σκοποῦντες. Ἐπηκροῶντο δὲ καὶ οἱ βασιλεῖς ἔνδοθεν τῶν λεγομένων, ὄντες οὐ μακράν. Βασιλεὺς μὲν οὖν ὁ νέος ἐφθέγξατο οὐδέν· ὁ δέ γε πρεσβύτερος τῶν μὲν αὐτῷ συνόντων ἀνανδρίαν τε πολλὴν κατεγίνωσκε καὶ ἀβουλίαν· τοὺς δὲ τῷ ἐγγόνῳ συνόντας ἐθαύμαζε τῆς εὐβουλίας, καὶ τῆς ὑπὲρ τοῦ κοινῇ συμφέροντος σπουδῆς ἐπῄνει. Μάλιστα δὲ τὸν μέγαν δομέστικον συνετῶς ἄγαν καὶ καιρίως βεβουλευμένον, καὶ ἀκριβεῖς ἔλεγεν αὐτῷ τοῦ πρὸς μητρὸς πάππου χαρακτῆρος ἐνορᾶν, ὃς οὕτως ἦν τά τε δέοντα συνεῖναι ὀξὺ, καὶ ἑρμηνεῦσαι ταῦτα ἱκανὸς, καὶ καταπράξασθαι δραστηριώτατος, ὡς παρ' ἐμοὶ κριτῇ, εἴγε ἐτελεύτων ἐξ ὀσφύος οὐκ ἔχων διάδοχον τῆς

Digitized by Google Распознавание текста ABBYY FR

μαίοις προστήσασθαι ἑαυτῶν. Οὕτω μὲν ὁ βασιλεὺς τῶν μὲν κατέγνω, τοὺς ἑτέρους δὲ ἠξίωσεν ἐπαίνων. Αὐτὸς δ' ὅ τι χρὴ πράττειν ἅμα τῷ νέῳ βασιλεῖ περὶ τοῦ προκειμένου ἐβουλεύοντο πολέμου. Ἐξετάζοντες δὲ τὸν λόγον ὃν πρὸς βασιλέα τὸν νέον ὁ βασιλεὺς Μυσῶν μεμήνυκε Μιχαὴλ (ὡς εἴσω ὀλίγου χρόνου διὰ τὴν ἐσομένην αὐτοῖς φιλίαν συστρατευόμενοι πρὸς τοὺς ἑτέρωθί που μαχοῦνται πολεμίους), καὶ μηδὲν ἕτερον στοχάζεσθαι δυνάμενοι, ἢ ὅτι Μιχαὴλ τὴν βασιλέως ἀδελφὴν, ἣ τῷ προβεβασιλευκότι Μυσῶν συνῴκει, βούλεται γυναῖκα ἀγαγέσθαι, ἐπεψηφίζοντο τὸν μὲν βασιλέα τὸν νέον ἐξελθόντα Βυζαντίου, στρατιὰν συναθροίζειν ὡς ἐς τὴν Μυσίαν ἐσβαλοῦντα. Εἰ μὲν οὖν ἐν ταῖς ἡμέραις τῆς πρασκευῆς ὁ τῶν Μυσῶν πρεσβείαν πέμψας βασιλεὺς χωρίοις πρὸς σπονδὰς ἐπὶ τῷ τὴν βασιλέως γῆμαι ἀδελφὴν, τὴν στρατιὰν πάλιν κατὰ πόλεις διαλυθῆναι· εἰ δὲ μὴ ἐπικηρυκεύοιτο, εἰς τὴν Μυσίαν ἐσβαλεῖν. Ἐπὶ τούτοις μὲν οὖν ὁ νέος βασιλεὺς ἐξῆλθε τοῦ Βυζαντίου, καὶ συνήθροιζε τὴν στρατιάν.

A de bello suscipiendo cogitationes suas communicabat. Cum autem verba perpenderent, quæ Michael Mœsorum rex imperatori juniori renuntiari jusserat (propter futuram inter eos amicitiam sociatis armis alicubi cum hostibus belligeraturos), quoniam aliud divinare nihil poterant, quam eumdem Michaelem Andronici minoris germanam sororem Theodoram Sphentisthabo regi defuncto antea nuptam statuisse uxorem ducere, convenit uti junior extra Byzantium copias colligeret, **116** in Mœsiam irrupturus. Si interea dum id molirentur, Mœsus per legatos ob sororem ejus ducendam ad fœdus se offerret, milites oppidatim dimitterentur; si id non faceret, in incepto pergeretur. Posthæc junior imperator Byzantio exiens militem co- B gebat.

CAPUT XXXIX.

Legatio Mœsorum regis ad Andronicum juniorem de amicitia ob ductam ejus sororem instituenda. Mittuntur vicissim legati, qui pacem confirment. Mos imperatorum, quo Scytharum satrapas sibi devincirent. De aliquot eorum incursionibus in Thraciam, et felici cum iisdem conflictu. Alios persequitur imperator; et flumine intercedente ab utraque ripa fit colloquium.

Μεταξὺ δὲ συναθροιζομένου, ἐκ Μυσῶν βασιλέως ἀφίκοντο πρὸς βασιλέα τὸν νέον πρέσβεις, ὁ Γρίδος καὶ ὁ Πάντζος, λέγοντες ὡς ὁ βασιλεὺς αὐτῶν βασιλεῦσι Ῥωμαίων ἐθέλων εἶναι φίλος, τὴν βασιλέως ἔγημεν ἀδελφὴν, ἣ τῷ πρὸ αὐτοῦ βεβασιλευκότι Μυσῶν συνῴκει, καὶ τὰ νενομισμένα ἐτελέσθησαν ἐπὶ τοῖς γάμοις. Προσήκειν οὖν τὰς μὲν διαφορὰς ἁπάσας καὶ προφάσεις τοῦ πολέμου ἐκποδὼν γενέσθαι· αὐτοὺς δὲ εἰρηνικὰς θεμένους σπονδὰς, τὸν ἐς ἀεὶ χρόνον ἀναμίγνυσθαι Ῥωμαίους C Μυσοῖς καὶ μηδὲν ἀλλήλους ἀδικεῖν, ἀλλ' ὥσπερ ὑπὸ μίαν ἡγεμονίαν πάντας τελεῖν. Ἀσμένως δὲ αὐτοὺς δεξάμενος ὁ βασιλεὺς, καὶ δώροις ἀμειψάμενος βασιλικῶς, καὶ τὴν γεγενημένην ἐπιγαμίαν κατὰ γνώμην αὐτῷ γεγενῆσθαι εἰπὼν, εἶτα καὶ αὐτὸς πρὸς τὸν Μυσῶν βασιλέα καὶ κηδεστὴν, τὸν Παλαιολόγον Ἀνδρόνικον τὸν μέγαν στρατοπεδάρχην, καὶ Ἰωάννην τὸν Ἀπλησφάρην πρέσβεις ἅμα συνεξέπεμψεν αὐτοῖς βεβαιώσοντας τὴν εἰρήνην, καὶ διῆγον ἔνσπονδοι οἱ Ῥωμαῖοι καὶ οἱ Μυσοὶ μέχρι πολλοῦ. Τήν τε στρατιὰν ἐκέλευσεν ἐπ' οἴκου ἕκαστον διαλυθῆναι, καὶ τῷ πάππῳ καὶ βασιλεῖ διὰ γραμμάτων τὰ γεγενημένα ἐδήλου. Ἀλλὰ ταῦτα μὲν τοῦτον συνηνέχθη τὸν τρόπον. Τὸ δὲ ἐξ Ὑπερβορέων Σκυθικὸν, πλῆθει τε ἀναρίθμητον σχεδὸν ὂν, καὶ δυνατώτατον τῶν ἁπασαχοῦ ἐθνῶν, ἐν μὲν τοῖς παλαιοτέροις χρόνοις ἐτησίως εἰς τὴν Ῥωμαίων εἰσέβαλλον, τὰ μέγιστα ἐκάκου, τὸ προστυχὸν ἐξανδραποδιζόμενον ἅπαν. Συνιδόντες δὲ οἱ βασιλεῖς Ῥωμαίων, ὡς μάχῃ πρὸς αὐτοὺς διαγωνίζεσθαι ἀδύνατοι εἶεν, δώροις καὶ φιλοφροσύναις τοὺς αὐτῶν θεραπεύοντες

Dum exercitus conquiritur, adsunt oratores e Mœsia, Gridus et Pantzus, quorum oratio hæc continebat: Regem ipsorum expetentem imperatorum Romanorum amicitiam, sororem imperatoris in matrimonium accepisse, solemniaque nuptiarum consummata esse. Decere igitur discordias omnes et belli prætextus tolli e medio; Romanosque Mœsis percusso pacis fœdere in perpetuum conjungi, et mutuum temperare ab omni injuria, et omnes velut sub uno principatu censeri. Excepit eos libenter imperator, donavitque regaliter, et affinitatem istam sibi optabilem accidisse testificatus est. Deinde ad eumdem regem jam sororis maritum cum iisdem oratoribus Andronicum Palæologum magnum stratopedarcham, et Joannem Aplesphærem ad pacem sanciendam misit: perstiteruntque Romani et Mœsi in fœderis communione diu. Militibus item domum redire jussis, de tota re ad avum perscripsit. Et hæc quidem isto modo evenerunt. Scythæ autem ad montes Hyperboreos incolentes, infinita propemodum gens, et omnium ubique gentium potentissima, prisca memoria anniversarie fines Romanorum incursantes, plurimam cladem dabant, quidquid occurrisset in servitutem D abripientes. Imperatores Romani ad certamina cum illis miscenda parum se posse animadvertentes, muneribus et humanitate quadam eorum satrapas demulcendo, vastitatem ab iis redimebant: quos præcipue emolliebat, et Romanis conciliabat, quod ex imperatoria familia uxores nanciscerentur: hoc enim etiam **117** decertatione dignum ducunt (26),

Jacobi Pontani notæ.

(26) Apud Curopalatam ita scriptum est: Καὶ ἐπειδὴ ὁ μὲν Ἀλέξανδρος τῶν Μακεδόνων Βασιλεὺς ἦν, ἡ δὲ Μακεδονία ὑπὸ τὴν τοῦ βασιλέως Ῥωμαίων χεῖρα εὑρίσκεται, τὰ μὲν ἔθνη διδόασι μεγάλην τιμὴν τῷ βασιλεῖ, ὡς διαδόχῳ πατρικοῦ ὀπτηρίου τοῦ Ἀλεξάνδρου· τὰ δ' αὖ ἑσπέρια ὡς τοῦ μεγάλου Κων-

Digitized by Google Распознавание текста ABK/FR

propterea quod imperatorem Romanum Alexandri Macedonum et Persarum regis successorem esse arbitrantur. Scientes id Romani imperatores eximia pulchritudine virgines, non generosas tantum, sed plebeias quoque in palatio alebant, et plenis jam annis nubiles Scytharum satrapis collocabant: qui hujuscemodi commento et tali ratione deliniti, perdiu quieverunt. Sed quo anno Michael imperator Palæologorum secundus e rebus humanis excessit, partem Mœsiæ et Odryses usque Adrianopolin incursarunt, haud magna cum pernicie, quod numero pauci erant. Anno sequenti, juniore imperatore causa belli adversus avum juxta Constantinopolin considente, ingens eorum multitudo Thraciam populabunda pervasit. Sed ideo parum nocuit, quod præfecti rem subodorati, per agros sparsim habitantes in oppida coegerant. Septima demum indictione [a. 1324] inchoata, duodenæ myriades [id est, centum viginti millia] se intulerunt, cum myriarchis et chiliarchis suis Tætach et Toglu Torgan, duobus summis imperatoribus. Et hanc depopulationem, castris in media Thracia positis, diu, nempe ad quadraginta dies exercuerunt, multisque mortalibus servitute multatis, et immani præda capta, eam quammaxime attriverunt. Imperator nepos universum exercitum congregare non potuit, quod ejus bona pars in diversis urbibus præsidiarios agebat: congregato autem quantum licuit, circumeundo manipulos hostium investigabat, ut injurias pro viribus persequeretur. Quod cum diebus quinisdenis continenter frustra fecisset, Adrianopolin concessit; ubi, quoniam ea urbs commeatu abundabat, militem multum reliquit, paucisque et magno domestico assumptis, Didymotichum se convertit, Inter quam urbem et Adrianopolin, apud Promusulum castellum, in Scytharum globum, cum captis mancipiis et ingenti præda venientem incideruntquos pro natura loci videbant ipsi quidem, sed ab illis minime videbantur. Consulto prius magno domestico, visum in eos impetum dare, tametsi amplius triplo plures apparebant: erant autem plures decies. Nam et alii juxta tendebant, qui prope Hebrum latitabant (27), et pugna cœpta eos

σατράπας, τὸ μὴ ὑπ' αὐτῶν διαφθείρεσθαι ἐκαρτουντο. Μάλιστα δὲ αὐτοὺς ἐξημέρου καὶ φιλίως διετίθει πρὸς Ῥωμαίους τὸ ἐκ τῶν βασιλικῶν οἴκων γυναῖκα; ἄγεσθαι ἑαυτοῖς· περιμάχητον γὰρ αὐτοῖς τὸ τοιοῦτο, διὰ τὸ τὸν βασιλέα Ῥωμαίων Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν βασιλέως οἴεσθαι διάδοχον εἶναι. Ὅ δὴ καὶ οἱ Ῥωμαίων βασιλεῖς εἰδότες, παρθένους τὴν ὄψιν διαπρεπεῖς, οὐκ εὖ γεγονυίας μόνον, ἀλλὰ καὶ ἐξ ἀσήμων γενῶν, ἐν τοῖς βασιλείοις ἐκτρέφοντες, ὡς θυγατέρας ἑαυτῶν ὁπότε δέοι τοῖς Σκυθῶν σατράπαις κατηγγύων. Καὶ διὰ τοιούτων ἐπινοιῶν καὶ τρόπων θεραπευόμενοι ἐπὶ πολλοῖς ἔτεσιν οὐκ ἐσέβαλον εἰς τὴν Ῥωμαίων. Τοῦ δὲ ἔτους οὗ Μιχαὴλ ὁ Ῥωμαίων βασιλεὺς, τῶν Παλαιολόγων ὁ δεύτερος, ἐτεθνήκει, τὴν Μυσίαν Σκυθικὴ καταδραμόντες στρατιὰ, μέρος τι αὐτῆς καὶ τὴν Ὀδρυσσῶν ἄχρι Ἀδριανουπόλεως ἐπῆλθε, καὶ ἐζημίωσεν οὐ πολὺ, ἅτε καὶ τῆς στρατιᾶς εὐαριθμήτου οὔσης. Τοῦ δὲ ἐπιόντος ἔτους, τοῦ νέου βασιλέως διὰ τὸν πρὸς τὸν πάππον πόλεμον περὶ Βυζάντιον ἐστρατοπεδευμένου, Σκυθικὴ στρατιὰ οὐκ ὀλίγη ἐς τὴν Ῥωμαίων ἐσβαλοῦσα, πᾶσαν μὲν ἐπέδραμε τὴν Θρᾴκην, ἐζημίωσε δὲ οὐ πολλὰ διὰ τὸ τοὺς ἄρχοντας τῶν κατὰ Θρᾴκην πόλεων τὴν ἔφοδον προγνόντας, τοὺς κατὰ τὴν χώραν ἐσκεδασμένους ἀνθρώπους συστεῖλαι εἰς τὰς πόλεις. Ἑβδόμῃ δὲ ἰνδικτιῶνος ἱσταμένης, ἐκ τῶν Σκυθῶν δυοκαίδεκα μυριάδες ἐσέβαλον εἰς τὴν Ῥωμαίων. Ἐστρατήγουν δὲ αὐτῶν μυριάρχοί τε καὶ χιλίαρχοι κατὰ τὸν ἀριθμόν· καὶ αὐτοκράτορες στρατηγοὶ δύο, Ταιτὰχ καὶ Τογλοὺ Τοργάν. Ἐχρόνισαν μὲν οὖν οἱ Σκύθαι μάλιστα ἐν τῇ ἐσβολῇ ταύτῃ· τεσσαρακοστῇ γὰρ ἡμέρᾳ μετ' αὐτὴν ἐν μέσῃ καθήμενοι τῇ Θρᾴκῃ αὐτὴν ἐδῄουν· καὶ πλῆθός τε ἀνδραπόδων εἶλον καὶ λείαν ἑτέραν οὐκ ἀριθμητὴν, καὶ τὰ μέγιστα ἐκάκωσαν τὴν βασιλέως γῆν. Βασιλεὺς δὲ ὁ νέος τὴν μὲν ὑπὸ Ῥωμαίους ἅπασαν οὐκ ἠδυνήθη συναθροῖσαι στρατιὰν (διεσκεδασμένοι γὰρ κατὰ πόλεις ἐφύλαττον ἕκαστος τὴν αὐτῶν)· ὅσους δὲ ἐνῆν μάλιστα συναθροίσας ἀνιχνεύων περιῄει, εἴ που μέρει τινὶ τῆς Σκυθικῆς στρατιᾶς ἐντυχὼν, ὅσον ἂν ἐξῇ ἀμύναιτο αὐτούς. Ἐπὶ πεντεκαίδεκα μὲν οὖν ἡμέραις τὸ αὐτὸ ἐποίει συνεχῶς· μηδὲν δὲ ὧν ἠβούλετο ἀνύων, εἰς Ἀδριανούπολιν ἐλθὼν, τὸ μὲν πολὺ

Jacobi Pontani notæ.

ηκούσης ἐξήταζεν ἀκριβείας · ἦ γὰρ ἂν οὐκ ἂν ἐμὲ νῦν ἀναιδείας καὶ ἀφοβίας, καὶ, τὸ μέγιστον, ἐδίωκεν ἐπιορκίας. Τὸ μὲν γὰρ μὴ προκατειλῆφθαι τὸν δικαστὴν τὴν γνώμην, ἐξάγειν μάλιστα ὀρθὰς ποιεῖ τὰς κρίσεις. Ὅ δὲ μὴ τοῦτον τὸν τρόπον, σφάλλεσθαι ὡς τὰ πολλὰ ἀνάγκη. Ἐὰν γὰρ τάς τε κατὰ τοὺς προτέρους πολέμους αἰτίας γεγενημένας δι' ἃς αἵ τε ξυνθῆκαι προὐχώρησαν καὶ οἱ ὅρκοι, ὅθεν τε κἀκ τίνος συνεώρα καὶ τὴν ἐμὴν πρὸς τὴν τοῦ πολέμου κατάλυσιν ἐπιμέλειαν καὶ σπουδὴν καὶ προθυμίαν, ἔτι τε ἦν ἐνεδειξάμην ἐν τῷ παρασχόντι παντὶ κηδεμονίαν καὶ εὐπείθειαν καὶ στοργὴν πρὸς αὐτὸν, οὐκ ἂν νῦν τοιαῦτα ἔφευγον ἐγώ. Ἀλλὰ τῶν τε παρόντων ἂν αὐτὸς ἐγὼ καὶ τῶν προσδοκωμένων οἱ Ῥωμαῖοι κακῶν ἦμεν ἀπηλλαγμένοι, βασιλεύς τε αὐτὸς θορύβου τε παντὸς ἔξω, καὶ τῆς ἀπὸ τοῦ ἐκοντὶ Ῥωμαίοις ἐπὶ φθορᾷ δοκεῖν τὸν πόλεμον ἐπάγειν δυσκλείας γινομένης. Νυνὶ δὲ, ὡς ἔοικεν, ἐκείνων ἁπάντων ἐπιλελησμένος, ἃ ὑμεῖς πάντες ἀκηκόατε, κατεγόρηκέ μου πολλὰ καὶ δεινά. Ἐγὼ δὲ καίτοι δεινῶν ὄντων τῶν ἄλλων ἁπάντων, ἠνεσχόμην ἂν σιγῇ αἰδοῖ τε τῇ πρὸς βασιλέα, καὶ τοῦ μὴ τῆς ἀπολογίας ἕνεκα τῶν μέμψιν τινὰ αὐτῷ οἰσόντων εἰπεῖν εἰς ἀνάγκην τι ἐλθεῖν. Τὸ δὲ ἐπιορκίαν ἐμαυτῷ προστρῖψασθαι, ἐνὸν ἀσφαλῶς καὶ μετὰ πολλοῦ τοῦ περιόντος τὴν δίκην διαφυγεῖν, οὔθ' ὅσιον ἡγημαι, οὔτ' ἀνεκτόν. Διὸ καὶ πειράσομαι ἐμαυτὸν ὡς οἷόν τε τάς τε σπονδὰς καὶ τοὺς ὅρκους ἀκεραίους ἄχρι νῦν μάλιστα διατετηρηκότα ἀποδεῖξαι· ἂν δ' ἐκεῖνον διά τούτων ἀποφαίνω καὶ τοὺς ὅρκους λελυκότα καὶ τὰς σπονδὰς, μηδεμίαν ἐμοῦ καταγινώσκειν ἰταμότητα μήτε προπέτειαν ἀξιῶ, ἀλλὰ τῇ τοῦ πράγματος λογίζεσθαι ἀνάγκῃ τὴν κατηγορίαν. Πρῶτον μὲν οὖν ἐκεῖνο ἂν εἴποιμι ὡς τοὺς ἐπὶ ταῖς συνθήκαις ὅρκους, οὐκ αὐτὸς ὁμώμοκα μόνος, ἀλλὰ καὶ βασιλεὺς, καὶ τὴν αὐτὴν ἀνάγκην ἑκατέροις ἀπαραβάτους τηρεῖν εἶναι · ἂν δὲ ἐξ ἑνὸς παραβαθῶσι, μηκέτι τὸν ἕτερον ἂν ἀμύνηται ἐνέχεσθαι ταῖς αἰτίαις· ὃ δὴ καὶ βασιλεὺς αὐτὸς ἐδίκασε καλῶς φθάσας. Λελυκότος γὰρ ἐμοῦ τοὺς ὅρκους καὶ τὰς σπονδὰς, οὐδεμιᾷ φησιν αὐτὸς ἐνέχεσθαι αἰτίᾳ, ἄν τι βλάπτῃ ἀμυνόμενος· καὶ ὑμεῖς δὲ, ὑπολαμβάνω, τὸ αὐτὸ συμφαίητε, ὀρθῶς ἂν ἔγωγε εἴποιμι καὶ δικαίως. Πάνυ δὲ ἡδέως ἐδειξάμην ὅτι καὶ Κωκαλᾶς ὁ μέγας λογαριαστὴς συμπάρεστιν ἡμῖν. Συμβαλεῖται γὰρ ἐμοὶ πρὸς τὴν ἀπολογίαν οὐ μικρά τινα ἐπὶ μαρτυρίαν, ἀχθησόμενος ὧν μέλλω λέγειν. Καίτοιγε αὐτὸς κηδεστὴς ὢν πρωτοβεστιαρίου τοῦ θείου τοῦ ἐμοῦ, ὅ τι τε κατηγοροῦμαι, καὶ ὁποίας ποιήσομαι τὰς ἀπολογίας παρεγένετο ἀκούσαι, ὡς ἂν εἰδέναι ἔχῃ πρὸς τὸν κηδεστὴν γράφων, ἀπαγγέλλειν τάλη-

Jacobi Pontani notæ.

clamatoria, et conficta, sine dubio. Solet enim Gregoras ille ita ludere, et poetam magis agere, quam historicum.

(70) Quo pacto nactus sit hasce litteras, ita docet Gregoras : *Cæterum litteræ, quas ad Cralem Serviæ, ad despotam, ad alios præfectos scriptas esse diximus, partim ab itinerum custodibus exceptæ sunt, eæ nimirum, quæ chartæ inscriptæ fuerunt; partim iis deceptis, perlatæ sunt tenui linteo, et albo inscriptæ, tabellariorum vestibus solerter insutæ. Nam imperator junior cum in aliis angustiis, tum circa Christopolin custodes collocarat, qui omnes prætereuntes excutiebant, num litteras Byzantio afferrent, quos fallere verdifficile erat.*

Digitized by Google Распознавание текста ABBYY FR

θές· ἐγὼ δὲ τὸ καὶ αὐτὸν παρεῖναι μάλιστα ἀπεδεξάμην. Σκέψασθε τοίνυν, ὁπότερος παραβέβηκε τοὺς ὅρκους. Παρέξομαι δὲ οὐ λόγους εὐπρεπεῖς πρὸς τὴν ἀπολογίαν, οὐδὲ μάρτυρας ἀνθρώπους διεφθαρμένους, οἷς ἂν τινι καὶ ἀπιστεῖν καὶ παραγράφεσθαι ἐξεῖναι, ἀλλ' αὐτὰ τὰ βασιλέως γράμματα μαρτυρήσειν ἐκ πολλοῦ καὶ μετ' ἐπιμελείας καὶ φρονήσεως τὸν πρὸς ἐμὲ πόλεμον κεκινηκότα. Καὶ πρῶτον ἀναγνωσθήτω ἡμῖν τὸ τοῦ βασιλέως πρόσταγμα, ὃ πρωτοβεστιαρίῳ ἀπέστειλε τῷ ἐμῷ θείῳ, Ἰουλίῳ μηνὶ τῆς δεκάτης ἰνδικτιῶνος, ἔχον ἐπὶ λέξεως οὕτως· Περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε, κύριε Ἀνδρόνικε Παλαιολόγε, ἡ ἀναφορὰ ἣν ἀνέφερες τῇ βασιλείᾳ μου, ἀπεσώθη, καὶ ἐξ αὐτῆς ἐγνώρισα ὅσον ἔγραψες καὶ ἀνέφερες. Ἀπεδεξάμην γοῦν πολλὰ τὴν σπουδὴν καὶ ἐπιμέλειαν καὶ τὸν εἰς τοῦτο ἀγῶνά σου· καὶ πάλιν εἰς τὸ ἔμπροσθεν ἐπιμελήθητι ἵνα τελεσθῇ. Καλὰ γὰρ γινώσκεις ὅτι οὐ δι' ἄλλό τι ἀπεστάλης εἰς τὸ αὐτόθι κεφαλατίκιον παρ' ὃ διὰ τὴν δουλείαν αὐτήν. Ἐπεὶ γοῦν καὶ πρὸ τῆς σῆς ἀναφορᾶς ἀπέστειλε καὶ ὁ Κράλης ἀποκρισιάριον αὐτοῦ ἐνταῦθα, καὶ ἐδήλωσε πρὸς τὴν βασιλείαν μου ὅπως ἤδη κατεστάθη μετὰ σοῦ, καὶ εὑρίσκεται ἕτοιμος ἵνα κατὰ πᾶσαν τὴν αὐτοῦ δύναμιν βοηθήσῃ ἡμῖν, μὴ μόνον μετὰ τοῦ φωσάτου αὐτοῦ, ἀλλὰ καὶ αὐτὸς παρὼν, πάλιν ἐπιστώθη ταῦτο ἡ βασιλεία μου ἔτι πλέον ἀπὸ τῆς σῆς ἀναφορᾶς. Ποίει γοῦν τὴν δουλείαν σου μετὰ πολλῆς συντομίας, ὅτι καὶ ἡ βασιλεία μου ἐπιμελῶς πράττει, καὶ πρόσεξαι μή πως προλάβωμεν ἡμεῖς ὑμᾶς. Τοῦτο μὲν δὴ τοιοῦτον. Ἐγὼ καὶ δευτέραν παρέξομαι μαρτυρίαν, πρὸς τὸν αὐτὸν πρόσταγμα βασιλέως Σεπτεμβρίῳ γραφὲν ἐνδεκάτης ἰνδικτιῶνος· Περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε, οἶδας ὅσον διωρίσατο πρὸς σὲ ἡ βασιλεία μου περὶ τῶν δουλειῶν ὧν ἀνετέθης· καὶ ὅτι δέον σε σπουδάσαι μήπως προλάβῃ ὑμᾶς ἡ βασιλεία μου· καὶ ἰδοὺ ὡς βλέπω οὕτω μέλλει γίνεσθαι. Ἐγὼ γὰρ ἄλλο οὐδὲν ἐκδέχομαι ἢ ἀπὸ τῶν αὐτόθι μήνυμα. Ποῦ γοῦν ἐστιν ἡ ἐπιμέλειά σου; ποῦ ἐστιν ἡ σὴ ὑπόσχεσις; ἀπὸ γὰρ τοῦ Ἰουλίου μηνὸς οὐδὲν ἐγνώρισά τι ἀκριβῶς ἀπὸ τῶν αὐτόθι, ἀλλ' ἢ μόνον ἀπὸ τῆς φήμης, καὶ ἃς (84) γνωρίσω κατὰ πᾶσαν συντομίαν, ὅτι, ὡς ἀνωτέρω εἴρηται, οὐδὲν ἄλλο ἐκδεχόμεθα, ἢ τὸ μήνυμα ὑμῶν·

A Primum recita Patribus ad verbum, quod mense Julio, indictione decima mandatum ad protovestarium misit : Desideratissime nostræ majestati mi nepos, domine Andronice Palæologe, (82) protovestiarie, quam ad nos misisti relationem, tuto pervenit, ex qua quæ voluisti, cognovimus omnia, tuumque in hoc studium, diligentiam, contentionemque vehementer probavimus. Rursum cura sedulo, ut perficiatur. Probe enim intelligis, non alia de causa illuc ad gerendam præfecturam te missum esse (83), quam ut huic rei inservires. Quoniam igitur et ante relationem tuam Crales apocrisiarium suum huc misit, nostræque majestati significavit, quo sitis jam inter vos animo, et ad nos omni
B qua valet potentia adjuvandos paratus est, non fossato tantum, sed sua quoque præsentia, ex relatione tua denuo major rei fides nobis facta est. Præsta igitur officium tuum quam citissime, nam nec nos operæ parcemus, et cave ne forte a nobis antevertamini. Et hoc quidem hujusmodi. Exhibebo et alterum mandatum loco testimonii, scriptum ad eumdem mense Septembri, indictione undecima. Recita : Desideratissime majestati nostræ cognate mi, Andronice Palæologe protovestiarie, meministi, quid ad te scribentes statuerimus de negotio administrando, et quomodo monuerimus, dares operam sedulo, ne posses a nobis anteverti. Et ecce ita futurum est, ut video. Ego enim aliud non exspecto, quam ab iis qui illic sunt, signum aliquod. Ubi di-
C ligentia tua? Ubi promissa? A mense enim Julio nihil expresse cognovimus ab iis qui ibi versantur, nisi e fama tantum. Et tibi quam brevissime indicamus, ut supra dixi mus, non aliud quam signum a vobis exspectare. Et Cocalas hic protovestiario genero suo scribens, eum de magna negligentia et inertia accusat, deque promissis non servatis reprehendit; aitque imperatorem ex eo tristitiam cepisse, et se erubescere, quia pollicitus sit ipsum quam studiosissime celerrimeque promissa confecturum. Ne autem quæ recitatæ sunt litteræ, quia **145** obscuriores sunt, ad alios quosdam pertinere videantur, alias afferam, unde et superiores illas de me conscriptas, et bellum contra me quasi præconis voce promulgatum fuisse constabit. Datæ sunt men-
D se Octobri, indictione undecima. Recita : Deside-

Jacobi Pontani notæ.

(81) Imitamur morem Romanum ; ipsi enim oratores non recitabant leges, edicta, aut similia. Nec ipsemet Andronicus hic videtur legisse litteras istas ; non enim dicit ἀναγνώσω, sed ἀναγνωσθήτω, *legantur*. Facimus ergo a notario, seu tabellione legi, id enim decentius est.

(82) Nepos, quia sororis Annæ filius, etsi cum adjuncto solemus dicere de fratrum aut sororum filiis, ex fratre, ex sorore nepos.

(83) Quos a capite capitaneos, et Germani quidam *Hauptmann* vocant belli duces, a recentioribus Græcis κεφαλάδαι παρὰ τὴν κεφαλὴν dicuntur; unde κεφαλατίκιον capitaneatus, *Hauptmannschaft*. Jam quemadmodum apud Germanos capitanei nomen non illis tantum tribuitur, qui habent sub se milites, sed præfectis quoque totius regionis, etiam extra militiam, ut in Austria præfectus Lincensis appellatur *Landshauptmann*, et in Tyroli præfecti multis locis idem nomen habent; sic apud Græcos præfecti urbium, seu territoriorum κεφαλάδαι nominabantur, et ditio, cui præerant, κεφαλατίκιον, *die Hauptmannschaft*. Sicut nos vulgo nomen præfecturæ Germanice, *die Pflege*, ad totam regionem referimus, cui quis præfectus est. Glossarium a Rigaltio editum κεφαλατίκιον exponit, ἡγεμονία. Hactenus Gretserus.

(84) Quamquam istud ἃς sit Græcum, si modo integer Hesychius, sitque hæc particula in Græco vulgari, nil tamen integri sensus facit. Interpres autem legisse videtur καὶ σοὶ γνωρίζω κατὰ πᾶσαν, etc.

Digitized by Google Распознавание текста ABBYY FR

ratissime majestati nostræ m nepos, domine Andronice Palæologe protovestiarie, relationes omnium vestrum ad nos perlatæ sunt ac perlectæ, gratissimumque nobis factum est a singulis secundum omnia quæ retulistis. Respondimus et explicavimus mentem nostram et separatim omnibus, per Calergum (85), seu potius per amatissimum cognatum nostrum dominum Michaelem Asanem, consobrinum tuum. Ex eo quisque vestrum latius cognoscet, quid majestas nostra statuerit. Ne fortassis autem a mari in terram bello translato ignoretis quid generatim censuerimus, en censemus et vobis significamus etiam per aridam, tot et tales illic inveniri, ut si vel unus duntaxat vestrum ibidem viseretur, sufficere posset ad prælium cum nepote nostro ineundum : quanto magis cum tam multi, tam pugnaces inveniamini, nihil dicendum est amplius? Et nunc pardum nostrum e catenis emittimus. Vos quod prudentia hortabitur facitote : nos jam erumpimus. Hæc mandavit avus sororis suæ filio, nihil habens, in quo me accusaret, sed prior ipse a sacramento fœderis desciscens. Ut porro videatis, cum administris usum pluribus ad bellum adversum me adornandum, et jampridem se ad idem comparasse, alia proferetur adhuc epistola, nempe Cocalæ hujus ad protovestiarium generum data. Recita : Graviter molesteque ferebat ante dominus noster imperator, nos, ac te præsertim, nihil litterarum mittere nec referre quid ageremus, et quo in statu versaremur. Nunc, quoniam scripsistis, laudat factum : reprehendit tamen, quod ita improvide relationes vestras miseritis. Nam si eæ in manus nepotis forte incidissent, in confesso est, cognosci potuisse, multo ante et sollicita cura hoc bellum inchoatum fuisse. Haud recte vos quidem, sed quemadmodum in præsenti nos mandatum et epistolam in puclum conjecimus (87) (in quo inesse quippiam quis cogitaret?). Sic vos facite, et jam nunc incipite. Nam ecce et imperator (id quod ex mandato discetis) opus aggreditur. Quanquam, ut mihi videtur, vos prius finem videbitis, quam de principio audietis. **146** Omnes enim qui cum nepote sunt duces et præfecti (88) ab imperatore stant,

καὶ Κωκαλᾶς δὲ οὑτοσὶ πρωτοβεστιαρίῳ τῷ γαμβρῷ γράφων, ἀμέλειαν αὐτοῦ πολλὴν καὶ ῥᾳθυμίαν καταγινώσκει, καὶ ὡς μὴ τὰς ἐπαγγελίας ἐκπληροῦντι ἐπιπλήττει, ὡς λυπουμένου μὲν βασιλέως διὰ ταῦτα, αἰσχυνομένου δὲ αὐτοῦ, ὃς ἐπηγγείλατο μετὰ πάσης ἐπιμελείας αὐτὸν καὶ τάχυτῆτος πληρώσειν τὰ ἐπηγγελμένα. Ἵνα δὲ διὰ τὸ μὴ καθαρῶς τὰ ἀναγνωσθέντα προστάγματα γράφειν περὶ ἐμοῦ περί τινων ἄλλων τισὶ δόξωσι γεγράφθαι, ἕτερον παρέξομαι, τά τε πρότερα ὡς περὶ ἐμοῦ εἴησαν γεγραμμένα βεβαιοῦν, καὶ τὸν πρὸς ἐμὲ πόλεμον κηρύττον ἐμφανῶς, γραφὲν Ὀκτωβρίῳ τῆς ἐνδεκάτης ἰνδικτιῶνος · Περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε, κύριε Ἀνδρόνικε Παλαιολόγε, αἱ ἀναφοραὶ ὑμῶν πάντων διεκομίσθησαν εἰς τὴν βασιλείαν μου, καὶ ὑπανεγνώσθησαν, καὶ ὑπεραποδεξάμην πάντας ὑμᾶς περὶ πάντων ὧν ἀναφέρετε. Ἀπελογήσατο καὶ διωρίσατο καὶ ἡ βασιλεία μου κατὰ μέρος πρὸς πάντας ὑμᾶς μετὰ τοῦ Κατέργου · μᾶλλον δὴ μετὰ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου τοῦ Ἀσάνη κυρίου Μιχαὴλ τοῦ ἐξαδελφοῦ σου · καὶ ἐξ ἐκείνου μέλλετε γνωρίσειν εἷς ἕκαστος ἀφ' ὑμῶν πλατυκώτερον τὸν ὁρισμὸν τῆς βασιλείας μου. Μήπως δὲ γενομένης (86) τινὸς ἀργίας παρὰ τῆς θαλάσσης εἰς τὸ κάτεργον, ἀγνοῆτε τὸν καθόλου ὁρισμὸν τῆς βασιλείας μου, ἰδοὺ καὶ διὰ ξηρᾶς διορίζεται καὶ δηλοποιεῖ ὑμῖν ἡ βασιλεία μου, ὅτι τόσοι καὶ τοιοῦτοι εὑρίσκεσθε αὐτόθι, ὅτι εἴπερ εἷς καὶ μόνος ὑμῶν ἦν εἰς τὰ αὐτόθι μέρη, ἀρκετὸς ἔμελλεν εἶναι εἰς τὴν τοῦ ἐγγόνου μου μάχην· πόσῳ μᾶλλον ὅτι εὑρίσκεσθε τοσοῦτοι καὶ τοιοῦτοι οἷοι εὑρίσκεσθε, λόγος οὐδείς; Καὶ ἀπὸ τοῦ νῦν λύω τὸν πάρδον μου τὸν δεδεμένον, καὶ ποιεῖτε ἃ ἂν ὑμῖν ἡ σύνεσις ὑφηγῆται, ὅτι καὶ ἐγὼ ἤδη ὁρμῶ. Τοιαῦτα μὲν βασιλεὺς ἐπέταττε τῷ ἀνεψιῷ, οὐδὲν ἔχων ἐγκαλεῖν ἐμοί, ἀλλ' αὐτὸς πρῶτος λύων τὰς σπονδὰς καὶ τοὺς ὅρκους. Ἵνα δὲ εἰδῆτε ὅτι καὶ πολλοῖς ἐχρῆτο συνεργοῖς πρὸς τὸν πόλεμον τὸν κατ' ἐμοῦ, καὶ ἐκ πολλοῦ τοῦ χρόνου παρεσκευάζετο πρὸς αὐτὸν, καὶ ἑτέραν παρέξομαι γραφὴν τοῦ Κωκαλᾶ τουτουὶ πρὸς τὸν γαμβρὸν πρωτοβεστιάριον ἀπεσταλμένην ἔχουσαν οὑτωσί · Πρῶτον μὲν ἐβαρυνέτο καθ' ὑμῶν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς, μᾶλλον δὲ κατὰ σοῦ,

Jacobi Pontani notæ.

(85) In Gr. *Catergum*. Cæterum Calergorum familia Cretensis fuit.

(86) Locus intricatior, et, ut videtur, corruptus.

(87) Quid πούκλος aut πούκλον sit divinemus. Gregoras quidem supra quasdam linteas litteras vestibus tabellariorum insutas scribit. Noster Gretserus mallet legere, εἰς τὸν κούκουρον, sive κοῦκρον. Est autem κούκουρος; apud recentiores Græcos pharetra, *ein Köcher*. Usurpatur a Cedreno *fol.* 563, notatque Xylander nostrum illud germanicum aut a Græco illo descendere, aut Græcum a Germanico. Alia conjectura occurrit. Quid si legendum κοῦκλον? facilis enim lapsus a κ in π. Est autem κουκούλιον per syncopen κοῦκλον cucullus, cucullio. Utitur Sozomenus lib. III, cap. 13, Latinæ editionis, Græcæ, cap. 14 : Σκέπασμα τῆς κεφαλῆς, ὃ κουκούλιον καλοῦσι · ut proinde voluerit Cocalas litteras abdendas fuisse in cuculio, seu cucullione. Fuisse autem cucullos Constantinopolitanis etiam usitatos, liquet ex Curopalata, qui nominat καπασία a cappa, eratque proprius habitus Tzaconum, eumdemque tribuit Cortinariis etiam extra aulam, p. 71. Glossarium Rigaltii interpretatur κούκουρον non modo pharetram, sed etiam bulgam, marsupium; quæ notio an huic loco serviat, videndum est. Hæc idem quem paulo ante nominavi, et cujus ope subsidiaria me multis locis adjutum, initio testificatus sum candide. Cæterum notio illa verbi κούκουρος pro bulga, seu marsupio ideo hic locum habere mihi non videtur, quod maxime in bulgis et masurpiis litteræ quæruntur; et superiores notiones tandiu amplectar, donec melius ac verius, aut certe probabilius de πούκλῳ invenero.

(88) Ἄρχοντες, καὶ ἀρχοντόπουλα. Sententia cogit discrimen facere, tametsi alioqui recentibus

Digitized by Google Распознавание текста ABK/FR

πῶς οὐδὲν γράφετε καὶ ἀναφέρετε τί ποιεῖτε καὶ πῶς πράττετε. Τὰ νῦν δὲ ἀπεδέξατο μὲν ὅτι ἐγράψατε· ἐμέμψατο δὲ ὑμῖν ὅπως οὕτως ἀπερισκέπτως ἐπέμψατε τὰς ἀναφορὰς ὑμῶν, καὶ εἴπερ συνέβαινεν ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ ἐγγόνου τοῦ βασιλέως, ὁμολογουμένως γνωσθῆναι ἔμελλεν ὅτι πρὸ καιροῦ καὶ μετὰ μεμεριμνημένου σκοποῦ ἐκινήθη ἡ παροῦσα μάχη. Ὅπερ οὐ γέγονε καλῶς· ἀλλὰ ὥσπερ κατὰ τὸ παρὸν ἡμεῖς τὸ πρόσταγμα καὶ τὴν παροῦσαν γραφὴν ἐβάλομεν ἐντὸς πούκλου, (καὶ τίς δύναται ἐνθυμηθῆναι ὅτι ἐστί τι ἐντὸς τοῦ πούκλου;) οὕτως ποιεῖτε καὶ ὑμεῖς· καὶ ἀπὸ τοῦ νῦν ἄρξασθε· ὅτι καθὼς καὶ ἀπὸ τοῦ προστάγματος μέλλεις μαθεῖν, ἰδοὺ καὶ ὁ βασιλεὺς ἄρχεται. Ὅμως δοκεῖ μοι ὅτι πρὸ τοῦ ἀκοῦσαι τὴν ἀρχὴν μέλλετε ἰδεῖν τὸ τέλος. Πάντες γὰρ οἱ μετὰ τοῦ ἐγγόνου τοῦ βασιλέως εὑρισκόμενοι ἄρχοντες καὶ τὰ ἀρχοντόπουλα κατεστάθησαν ὑπὸ τοῦ βασιλέως, καὶ τὰς αὐτοῦ εὐεργεσίας ἔχουσι διά τε οἰκονομιῶν, διά τε χρυσοβούλλων· καὶ πάντες εἰσὶν ἕτοιμοι καὶ ἐκδέχονται ὁρισμὸν τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου, ἵνα ἐάνπερ ὁρίσῃ αὐτοὺς [*l.* αὐτοῖς *vel* αὐτὸς], φέρωσι τὸν ἔγγονον αὐτοῦ δεδεμένον εἰς τὰς χεῖρας· καὶ ἀπὸ τοῦ αὐτοῦ νῦν ἐπιμελήθητι καὶ σὺ, ἵνα δείξῃς ἔργον τῆς γνώσεως καὶ τῆς πείρας ἧς ἔχεις πρὸς τὸ πράττειν. Ἐκ τούτων μὲν οὖν ἁπάντων, ὁπότερος λέλυκε τοὺς ὅρκους, αὐτοὶ κρινεῖτε· ὥστ' εἰ καὶ αὐτὸς μετὰ τὴν οὕτω περιφανῆ παράβασιν τῶν ὁμωμοσμένων ἔξω τι εἴργασμαι τῶν συνθηκῶν, οὐ δίκαιον οὐδὲ λόγον ἔχον ἐπιορκίαν ἐγκαλεῖν. Ὥστε εἰ καὶ χρήματα εἴληφα, ὡς αὐτοί φασι, παρὰ τὰς συνθήκας, οὐκ ὀφείλειν δίκην λελυμένων τῶν συνθηκῶν. Ἐγὼ δὲ καὶ τούτων χωρὶς εὐορκεῖν ἀποδείξω ἐμαυτόν, τὰ χρήματα εἰληφώς. Ἐν τοῖς ὅρκοις γὰρ γέγραπται ὡς ἂν ἐκ τῶν δημοσίων χρημάτων τῶν τε τῆς ἐμῆς οἰκίας ἕνεκα ἀναλωμάτων καὶ βασιλίδος τῆς ἐμῆς γυναικὸς, ἔτι δὲ καὶ τῆς μισθοφόρου στρατιᾶς χρήματα ἐμοὶ χορηγεῖσθαι ὅσα γέγραπται ἐν ταῖς συνθήκαις. Καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ δι' ὅρνων ἐγγράφων, ὡς πάρεστιν ὁρᾶν ἐκ χρυσοβούλλου βασιλέως τοῦ πρὸς ἐμέ. Ἐκ τοίνυν τῶν καιρῶν ἐκείνων ὅτε ἐγεγένητο οἱ ὅρκοι ἄχρι καὶ νῦν, τέτταρες ἐπ' ἔτεσι τέτταρσι παρῆλθον μῆνες, ἐν οἷς ἐκ τῶν γεγραμμένων ὀφείλονταί μοι λογιζομένῳ πέντε καὶ τριάκοντα χρυσίου μυριάδες. Καὶ τοῦτο ἔξεστιν ἀποδεικνύειν ἐναργῶς ἐκ τῶν γραμματείων τῶν εἰς ἀπόδειξιν γινομένων παρὰ τῶν τὰ χρήματα εἰσκομιζόντων προστάττοντος βασιλέως. Τί τοίνυν ἀδικῶ, εἰ τοσούτων ἐμοὶ χρημάτων ὀφειλομένων, ὀλίγα ἅττα εἴληφα ἐκ πολλῶν; ἦπου δίκαιον, βασιλέα μὲν ἐμὲ τοσούτων ἀποστεροῦντα μήτ' ἀδικεῖν οἴεσθαι, μήτε μὴν ἐπιορκεῖν; ἐμὲ δὲ εἴ τι τῶν ὀφειλομένων πολλοστὸν ἀπείληφα μέρος, εἰς δικαστήρια ἕλκεσθαι καὶ ἐπιορκίαν ἐγκαλεῖσθαι καὶ ἀπελαύνεσθαι καὶ τὰ ἔσχατα ὑπομένειν; καίτοι, εἰ

A ejusque beneficiis fruuntur, partim in administrationibus, partim in bullis aureis; paratique sunt, et quid dominus noster sanctus imperator decernat exspectant; ut quando illi placuerit, nepotem vinctum in manus ei tradant. Tu quoque hinc satage, cognitionisque et experientiæ quam in agendo habes, exemplum aliquod prode. Ex his ergo omnibus, uter fœdus transgressus sit, vos eritis judices. Quod si ipse post jusjurandum adeo palam violatum quippiam contra fœdus patravi, non potest merito et cum ratione in perjurio numerari. Quare etiamsi pecuniam contra fœdus accepi, ut ipsi dictitant, non idcirco pœnam rupti fœderis debeo. Ego vero et aliter, quamvis pecuniam acceperim, me nihilominus secundum jusjurandum pactis stare convincam. Perscriptum quippe stat in juramento, ut mihi de publico pecunia in sumptum domus, ac familiæ, et uxoris meæ, item ad stipendia militum erogetur, quanta ibidem exprimitur: id quod ex aurea bulla avi ad me missa perspici potest. Jam ex quo concepta sunt juramenta, ad hunc diem quatuor anni cum mensibus totidem interfluxerunt, quibus mihi (ut rationem subduco) trecenta et quinquaginta aureorum millia debentur. Et hoc perspicuum fit ex tabellis, quas ad testificandum vectigalium exactores conficiunt. Quod igitur nefas admisi, si cum tam multa mihi debebantur, de multis pauca sumpsi? An vero justum et æquum est, avum, qui me tanta summa privavit, neque injustitiæ, neque perjurii insimulari? me, quia ex meis debitis quotamcunque partem decerpsi, ad tribunalia raptari, ut perjurum accusari, in exsilium pelli, et in extremas miserias devolvi? Atqui si ea tantum pensione fraudatus essem, quæ domui meæ erat constituta, parum juste fuisset actum mecum: siluissem tamen, cum imperatorem reveritus, tum quia existimassem qualescunque tandem a patre crearentur molestiæ, filio æqua mente sufferendas; neque accusandum, neque turbas illi ciendas, sed rogandum duntaxat, ut placido lumine filium dignaretur aspicere, malaque mœstifica tollere. Nunc ablatis simul iis quæ in annua militum stipendia erant conferenda, et ex quibus solis vitam sustentare habebant, improbum duxi alienas calamitates excelso animo velle **147** intueri. Perpendite paulum, quanta illis fiat injuria. Primum siquidem neque mercatura, neque agricultura, neque aliarum rerum studiis, de quibus victum sibi pararent, a nobis sinuntur occupari: propterea quod ad expeditiones et militiam semper parati esse coguntur, neque ulla impedimenta prætexere, ob quæ domi maneant. Deinde ab imperatore destinata mercede fraudati sunt, quam ille non simpliciter, sed interposito sacramento in annos singulos se persoluturum spopondit. Accedit tertium, neglecti sunt a me tandiu, ne avo onerosus ac mo-

Jacobi Pontani notæ.

Græcis idem sit ἀρχοντόπουλον, quod ἄρχων. Quid autem melius sit, quam, *duces et præfecti*, ut nos fecimus, haud video.

Digitized by Google Распознавание текста ABK/FR

lestus viderer : quanquam in causa domestica magnum et pecuniæ contemptorem animum gerere, omninoque ad paternam voluntatem me conformare debui : horum autem in egestate procurationem suscipere, nec ab eo instituto cujusquam precibus dimoveri, sed cogitare tentareque omnia, ne stipendia sua amitterent : neque dum in avum me æquum ac pium præstare nitor, teterrimis eos calamitatibus involvi sinerem. (Non enim est ita æquanimitas, sed inhumanissima crudelitas, aliis ob extremam inediam tantum non animam agentibus, ipsum interea in magnis spiritibus acquiescere.) Non tamen destiti imperatorem orare assiduo, ut militibus nomina persolverentur. Sic enim ad inopiam plerique redacti erant ut ne fame morerentur, mulieres suas noctu (ne a notis agnoscerentur) circum domos ad pauxillum escarum precario conquirendum mitterent. Quos dolore et commiseratione fractus, subducta, de qua nunc accusor, pecunia, qualicunque solatio delinivi. Nunc, an ideo perjurus, improbus, patris contemptor fuerim, judicate. Primum itaque docui me fœdus neutiquam violasse, sed cum ille, quod claret, id mihi fecerit, et probationes ipsas ejus perjurii apud me habeam, sicut vidistis, nihilominus pacem retineo, et tam diuturnis precibus illum fatigo, uti bellum ne moveat. Si quis me juramento priorem defecisse potest ostendere, age, procedat, ostendat. Tum deinde vos, si de trecentis quinquaginta nummum aureorum millibus quæ debentur, tantillum accipiens, peculatus me alligavi, ut peculatorem damnatote.

γε τῶν τῆς οἰκίας τῆς ἐμῆς ἕνεκα μόνον ἀποτεταγμένων ἀπεστερούμην, δίκαιον μὲν οὐκ ἂν ἦν· ἐγω δὲ ἤνεγκα ἂν σιγῇ, αἰδοῖ τε τῇ πρὸς βασιλέα, καὶ τῷ νομίζειν τὰ παρὰ πατρὸς ἐπαγόμενα ἀλγεινὰ ὁποῖ' ἄττα ἂν ᾖ, δίκαιον εἶναι τὸν παῖδα φέρειν, καὶ μήτε ἐγκαλεῖν, μήτε θορυβεῖσθαι, ἀλλὰ δεῖσθαι μόνον ἠπιώτερον ἐμοὶ καὶ ἥμερον ἐπιβλέψαι τὸν πατέρα, καὶ τὰ λυποῦντα λῦσαι δεινά. Νυνὶ δὲ καὶ τῆς στρατιᾶς ἀπεστερημένων τῆς ἐτησίου μισθοφορᾶς, ἣν μόνην ἔχουσι τοῦ βίου ἀφορμὴν, οὐκ ἀνεκτὸν ἡγησάμην μεγαλοψύχως τὰς ἀλλοτρίας φέρειν συμφοράς. Καίτοι σκέψασθε ὡς ἀδικοῦνται. Πρῶτον μὲν γὰρ οὔτ' ἐμπορίαις οὔτε γεωργίαις οὔθ' ἑτέροις ἐπιτηδεύμασί τισιν, ἐξ ὧν ἂν πορίζοιντο τὰ ἐπιτήδεια, παρ' ἡμῶν συγχωροῦνται χρῆσθαι ἕνεκα τοῦ πρὸς τὰς ἐκστρατείας ἀεὶ ἑτοιμοι εἶναι, καὶ μὴ κωλύματά τινα ἔχειν ὥστε ἀναγκάζεσθαι οἴκοι μένειν· ἔπειτα δὲ παρὰ βασιλέως, καὶ αὐτοῦ τοῦ τεταγμένου ἀπεστέρηνται μισθοῦ, ὃν οὐχ ἁπλῶς, ἀλλ' ὅρκοις ἐπηγγείλατο ἀποδιδόναι ἐτησίως. Καὶ τρίτον, ἠμέληνται παρ' ἐμοῦ ἐπὶ τοσοῦτον χρόνον, ἕνεκα τοῦ μὴ βασιλεῖ δοκεῖν φορτικὸς καὶ ἐπαχθὴς. Καίτοιγε ἐχρῆν ἐμὲ πρὸς μὲν τὰ οἰκεῖα φαίνεσθαι μεγαλόφρονα καὶ καταφρονητὴν χρημάτων, καὶ πάντα τῇ τοῦ πατρὸς ἐξακολουθοῦντα γνώμῃ. Πρὸς δὲ τὰ τούτων κηδεμονικὸν καὶ ἀπαραίτητον, καὶ πάντα καὶ ἐπινοοῦντα καὶ πράττοντα ὥστε μὴ ἀποστερεῖσθαι τοῦ μισθοῦ αὐτούς· μηδὲ εὐγνωμοσύνῃ τῇ πρὸς τὸν βασιλέα, κακοῖς τοῖς ἐσχάτοις περιβάλλειν. (Οὐ γὰρ εὐγνωμοσύνη τοῦτόγε, ἀλλ' ὠμότης καὶ ἀπανθρωπία ἐσχάτη, τὸ ἑτέρων ὑπὸ τοῦ λιμοῦ κινδυνευόντων ἀπολεῖσθαι, μεγαλοψυχεῖν αὐτόν.) Οὐ μὴν παρέλιπον τὸ μὴ βασιλέως δεῖσθαι ἀεὶ τῇ στρατιᾷ χορηγεῖσθαι τὸν μισθόν· ἐς τοσοῦτον γὰρ ἀπορίας ἦλασαν πολλοὶ αὐτῶν, ὡς ἀποκαρτῆσαι τὰς γυναῖκας αὐτῶν νυκτὸς ἐπιγενομένης, ὡς ἂν μὴ κατάδηλοι ὦσι τοῖς γνωρίμοις, τὰς ἑτέρων οἰκίας περιτοῦσαι ἑταιρίζουσι καὶ ἀνδράσι τροφῆς τινος αἰτούσας γλίσχρως ἐκπορίζειν. Οἷς ἐπικλασθεὶς καὶ αὐτὸς τὴν ψυχὴν, τὰ χρήματα ὑπὲρ ὧν ἐγκαλοῦμαι ἀφελόμενος, μικράν τινα παρέσχον παραψυχήν. Εἰ τοίνυν διὰ τοῦτο ἐπίορκος ἐγὼ καὶ ἄδικος καὶ τοῦ πατρὸς καταφρονητὴς, κρίνατε ὑμεῖς. Πρῶτον μὲν οὖν ἀπέδειξα ἐμαυτὸν μηδὲν μηδαμῶς παραβεβηκότα τὰς συνθήκας, ἀλλὰ καὶ φανερῶς παρασπονδηθείς· καὶ τὰς ἀποδείξεις τοῦ λελυκέναι βασιλέα πρῶτον τοὺς ὅρκους, ἔχων παρ' ἐμαυτῷ καθάπερ εἴδετε, αὐτὸς μένω τὴν εἰρήνην ἀσπαζόμενος, καὶ δεόμενος ἐπὶ τοσοῦτον χρόνον βασιλέως, μὴ τὸν πόλεμον κινεῖν. Εἰ δέ τις ἔχει με ἀποδεικνύειν παραβεβηκότα πρότερον τοὺς ὅρκους, παρίτω καὶ δεικνύτω. Ἔπειτα καὶ περὶ τῶν χρημάτων, εἰ ἐκ πέντε καὶ τριάκοντα μυριάδων τῶν ὀφειλομένων τοσαῦτα λαβὼν ἀδικῶ, καταψηφίζεσθε ὑμεῖς.

148 CAPUT XLIX.

Cocalas impudens calumniator aperte coarguitur. Jocus amarior in eumdem. Episcopi imperatorem juniorem damnare non audent, rempublicam ei commendant. Is avi pertinaciam accusans, medicinam quamdam malorum proponit, ac de jure suo multum remittit. Ejus ad senem responsum officii sui commemorationem, senis molestam reprehensionem, pacis petitionem, subjectionem humilem plane, et terrorem, ni cedat, complectitur.

Hactenus causam pro se dixit junior imperator; cui Cocalas, antequam ejus ad protovestiarium epistola recitaretur, importune instabat, affirmabatque ab ipso belli profectum initium, qui sycophantis, avum, protovestiarium, cæterosque principes de agitato inter se belli consilio apud se criminantibus credidisset. Ubi vero litteris palam lectis patuit, non minus ipsum, quam cæteros pacem labefactare, cum tam evidenter convictus, contra

Τοσαῦτα μὲν βασιλεὺς ὁ νέος ἀπελογούμενος εἶπε· Κωκαλᾶς δὲ μεταξὺ βασιλέως ἀπολογουμένου, πρὶν μὲν τὰ πρὸς τὸν πρωτοβεστιάριον γράμματα ἀναγνωσθῆναι, πολὺς ἦν ἐγκείμενος αὐτῷ, αὐτὸν τοῦ πολέμου φάσκων αἴτιον εἶναι, ἀνθρώποις πειθόμενον συκοφάνταις, τόν τε βασιλέα διαβάλλουσι πρὸς αὐτὸν, καὶ πρωτοβεστιάριον καὶ τοὺς ἄλλους τοὺς ἐν τέλει ὡς βεβουλευμένους πόλεμον κινεῖν. Ἐπεὶ δὲ τά τε γράμματα ἀνεγνώσθη, καὶ ἀπεδείχθη καὶ

Digitized by Google Распознавание текста ABK/FR

αὐτὸς ἢ τῶν ἄλλων οὐχ ἧττον τὴν εἰρήνην καταλύων, αὐτὸς μὲν οὐδὲν ἔχων ἀντειπεῖν οὕτως ἐξελεγμένος φανερῶς, καθῆστο σιωπῶν. Βασιλεὺς δὲ ἐπιστραφεὶς πρὸς αὐτὸν, Ὦ μέγα λογαριαστὰ, εἶπε, τὸ μὲν ἁμαρτάνειν τινὰ καὶ τὸν πλησίον ἀδικεῖν καὶ πλεονεκτεῖν, θαυμαστὸν οὐδέν· ἄνθρωποι γὰρ ἅπαντες τοῖς ὁμοίοις ὑποκείμεθα πάθεσι· καὶ πρὸς κακίαν πρόχειροι μᾶλλον ἢ πρὸς ἀρετήν ἐσμεν· τὸ δ' ἀδικοῦντα καὶ ἐπαρκοῦντα καὶ ψευδόμενον, ἔπειτα ὄλους ῥάπτειν καὶ συκοφαντίας, καὶ παντὶ σθένει πειρᾶσθαι τὰς αἰτίας εἰς τοὺς ἀθώους περιτρέπειν, ὡς ἂν πρὸς τῷ ἀποκτεῖναι, καὶ δίκαια δοκῇ ποιεῖν, οὐκ ἀνθρώπου πάντως, ἀλλὰ τοῦ ἐξ ἀρχῆς ἔργον ἀνθρωποκτόνου. Παρὼν δὲ καὶ ὁ λογοθέτης τοῦ στρατιωτικοῦ Θεόδωρος ὁ Καβασίλας, συνετὸς μὲν ὢν καὶ σοφὸς, καὶ παρὰ τῷ πρεσβυτέρῳ βασιλεῖ πολλῆς ἀπολαύων εὐμενείας καὶ οἰκειότητος (οὐδὲν δὲ ἧττον καὶ παρὰ τῷ νέῳ), ἐκ τῶν ἀπεσταλμένων παρὰ βασιλέως ὢν, καὶ φίλος ἐς τὰ μάλιστα Κωκαλᾷ, τὸν νέον βασιλέα ἰδὼν πρὸς τοὺς διαβάλλοντας διαταραχθέντα, καὶ βουληθεὶς εὐτραπελίᾳ λόγων τὸ βασιλέως ἦθος εἰς ἡμερότητα μεταβαλεῖν, Οὐ θαυμάζειν, εἶπεν, ὦ βασιλεῦ, χρεών· τοιαῦτα γὰρ τὰ τοῦ πλάνου ἐνέδρα καὶ σκάμματα. Ἦν γὰρ δή ὁ Κωκαλᾶς ἐν ταῖς παιδιαῖς ὑπὸ τῶν ἡλικιωτῶν πλάνος ὠνομασμένος. Καὶ ἔδοξε κυρίως εἰρῆσθαι· μετέβαλε γὰρ τὸ τοῦ βασιλέως ἦθος ἐκ τοῦ ἐμβριθοῦς πρὸς μειδίαμα σεμνόν. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. Τοῖς δ' ἀρχιερεῦσιν ἐκέλευεν ὁ βασιλεὺς, εἰ ἀδικῶν αὐτὸς καὶ ἐπιορκῶν φαίνοιτο, καταψηφίζεσθαι. Οἱ δ' ἔφασαν, ἔχειν μὲν αὐτοῦ καταψηφίζεσθαι μηδὲν, δεῖσθαι δὲ μόνον αὐτοῦ, τρόπου τινὰ καὶ ἐπινοίας ὥσπερ καὶ πρότερον ἐξευρεῖν, ἐξ ὧν ἂν τὰ προσδοκώμενα κακὰ διαλυθείη. Καὶ σφόδρα γε, εἶπεν ὁ βασιλεὺς, μηδὲ τὴν ἀρχὴν ἐβουλόμην τὸν πόλεμον κεκινῆσθαι· ἢ κινηθέντα, τάχιστα καταλυθῆναι· ὅτι δὲ οὐχ ὑπόκρισις οὐδ' εἰρωνεία τὰ τοιαῦτα, ἐξ αὐτῶν τῶν πραγμάτων ἐναργῆ πάρεστι τὴν ἀπόδειξιν λαβεῖν. Τρίτον γὰρ ἤδη μῆνα κάθημαι ἐνταῦθα δεόμενος, βασιλέως τὸν πόλεμον καταθέσθαι, καὶ μὴ διὰ φιλονεικίαν τὴν Ῥωμαίων ἡγεμονίαν περιϊδεῖν ἀνηκέστοις κακοῖς περιπεσοῦσαν· ἀλλ' οὐδεὶς ὁ εἰσακούων· καὶ ταῦτα πεπεισμένος φανερῶς, ὡς ἐπιβουλεύομαι, μηδὲν ἀδικῶν. Οὐ γὰρ πάνυ ἀγνοῶ ὅτι μὴ ταῦτα μόνον, ἅπερ ἀκηκόατε, γράμματα ἐπέμφθησαν κατ' ἐμοῦ, ἀλλ' ἐκ πολλῶν τῶν διασωθέντων ἐάλωσαν ὀλίγα. Τῷ σφόδρα δὲ βούλεσθαι τὴν εἰρήνην, τήν τε ἐμαυτοῦ καὶ τῶν συνόντων ἀσφάλειαν τιθέμενος ἐν δευτέρῳ, Θεῷ δὲ μόνῳ τὰς ἐλπίδας ἀναθείς, ὃν εὐορκῶ, κατὰ τὸ ἐνὸν ἐμοὶ τὰ προσδοκώμενα κακὰ ἐκ μέσου ποιεῖν πειρῶμαι. Ἡγοῦμαι

afferre nihil posset, resedit, et obmutuit. Ad quem conversus imperator : Nihil mirum, magne logariastes, inquit, peccare quemquam, et alium lædere, potioraque affectare; homines enim iisdem perturbationibus subjecti, ad vitia quam ad virtutem omnes propensiores sumus. Cæterum injuriam inferre, pejerare, mentiri, ac deinde dolos consuere, et sycophantias comminisci, conarique remis et velis innocentium candorem falsorum criminum maculis aspergere, ut videare, quantum in te est, homines occidere, id non cujusvis, sed ejus est qui fuit homicida ab initio. Aderat in consessu judicum Theodorus Cabasilas logotheta militaris, vir cordatus et sapiens, seniori imperatori in primis charus ac familiaris (nec minus nepoti) et præterea Cocalæ amicissimus. Is cum imperatorem juniorem ob calumnias commotiorem cerneret, velletque urbanitatis quodam sale eum mitigare : Noli mirari, inquit, imperator, hæ enim sunt plani hujus insidiæ atque fossæ (nam inter ludicra puerilia Cocalas a coævis planus [hoc est, impostor] appellabatur). Visum tempestive dictum; nam imperator nonnihil remissa gravitate, modeste risit (89). Sed de his satis. Deinde hortatus est episcopos, si injustus ac perfidiosus appareret, uti sententiam ferrent. Illi responderunt non habere ac cur eum condemnarent : **149** solum rogare, ut quemadmodum antehac, modos et vias inveniret, quibus imminentia mala in irritum caderent. Ad hæc imperator : Vellem ego omnino hoc bellum non esse natum, aut certe priusquam convaleseceret, restinctum fuisse. Hoc me nulla simulatione, aut dissimulatione dicere, ipsæ res evidenti argumento sunt. Tertium siquidem mensem hic desideo, neque avum pacem poscendi finem facio, ne ob nostram discordiam Romanum imperium incommodis longe gravissimis concutiatur. Sed surdo fabulam, ut aiunt. Certus interim sum ejus insidiis me peti (90), quanquam in eum nil molitus sim. Nec enim ignoro, non has modo quas audistis, sed plures insuper contra me missitasse litteras, e quibus hæ perpaucæ interceptæ sunt. Quia tamen pacis sum cupidissimus, meam meorumque securitatem in posterioribus ducens, solique Deo spes meas committens, quem sancte juravi, quantum in me est, ingruentes clades avertere annitor. Opinor autem, si et avus dimidium debitæ pecuniæ militibus numerare velit, boni consulentes, nihil deinceps molestiarum exhibituros, et vos casibus, quos e bello metuitis ereptum iri. Occurrentibus episcopis : Difficile futurum, hoc tempore, exhausto

Jacobi Pontani notæ.

(89) *Fatuus in risu exaltat vocem suam; vir autem sapiens vix tacite ridebit.* Ecclesiast. XXI. Atqui principem oportet esse virum sapientem. Virg. de Jove, I *Æneid.*

Olli subridens hominum sator atque deorum.

(90) Gregoras quidem affirmat, principio lib. IX, quia vitam senis in longissima spatia extendi cerneret junior imperator, et totum imperium in se quamprimum translatum vellet, inde decrevisse ei dolis quibusdam, et technis aut imperium aut cum eo etiam vitam auferre. Verum hæc Cantacuzenicis narrationibus dissimillima sunt, et mendacia mera videri possunt.

Digitized by Google Распознавание текста ABBYY FR

ærario tantum æs dissolvere : proinde pro copia nunc acciperent, reliquum ad diem præfinitam accepturi. Si hoc difficile putatis, excipit imperator, etiam dimidio remisso, quarta parte, pacis et concordiæ causa, contenti erimus. Quo audito, episcopi eum ut a pecunia invictum commendarunt, spoponderuntque citra controversiam partem dictam solutum iri. Imperator, ut in hoc secum facientes vidit, volens constare omnibus, se libenter belli tollendi causa de jure suo etiam in iis quæ essent omnium confessione moderatissima, decedere : Oportet, inquit, et vobis, Patres, de via fessis et totius diei inedia vexatis, gratiam aliquam rependere. Itaque et quartam partem debitæ pecuniæ in gratiam vestram remitto ; et ab avo nihil exigo, nisi quod quæstores conflictis quibusdam causis imperatore defraudato sibi retinent, id quod probari perspicue potest, ut hanc summam ad qualecunque solatium in militem dispertiam. Ne tamen vos admiratio capiat, quomodo, cum ante affirmarim, non oportere in alienis miseriis magnanimitatem ostentare, **150** nunc adeo non repugnanter debita militibus stipendia condonem. Si namque de cætero ex fœdere constituta stipendia persolventur, quæ ex antegresso tempore illis debentur, pro eximio amore quo me diligunt, mihi remittent. Præterea timeo, ne propter hæc pax differatur, videamurque consulto bellum trahere. Quare etiam idcirco quæstionem et ambiguitatem omnem rescindendam putavi, potiusque meis gravis et incommodus videri, quam bello ansam dare volui. His dictis missi a seniore episcopi, ac proceres tantam animi altitudinem admirati, et ob tam præclarum pacis desiderium gratiis actis singularibus, hilares domum redeundi veniam petiverunt; rati, simul acta avo renuntiassent, pacem nihil remoraturum. Ergo reditionem illis permittit, et ad avum hæc ferenda committit : Quam studiose atque impigre elaborem ut tu principatum Romanum tenecas, Deus novit, quem nihil latet ; et tu ipse, si voles, testabere. Nam cum potuissem, si libuisset, bellis superioribus aut toto imperio, aut majore illius parte potiundo, tibi mœrorem dare nolui, justumque existimavi, tibi eo ut parenti, quandiu in vita maneres, cedere. Neque vero sine laboribus periculisque cessi. Cum enim commilitones mei omnes belli aleam ac labores subiissent, præmiis autem et honoribus carerent (quod ego tua jussa secutus, pacem libens complecterer, tibique relinquerem omnia, quæ ipsi armis acquisierant), utrinque conturbabar. Nam adducere illos ad arma deponenda difficile erat, cum se justa prædicare asseverarent, et in hostem ire lege bellica semper postularent. Invitis autem illis quidpiam facere, metu non vacabat. Ex amicitia etenim pluribus mihi militantibus, et spe, principem beneficio responsurum, si quemadmodum ipsi volebant pax facta non esset, consentaneum erat eos, malis cedentes, ad adversarios pro sociis accessuros : quæ

A δὲ ἂν καὶ βασιλεὺς ἐθελήσῃ τῶν ὀφειλομένων χρημάτων τὰ ἡμίσια ἀποδοῦναι τῇ στρατιᾷ, ἐκείνους τε μηδὲν πλέον πολυπραγμονήσειν, ἀγαπήσαντας, καὶ ὑμᾶς τῶν ἐκ τοῦ πολέμου προσδοκωμένων ἀπαλλάξεσθαι κακῶν. Εἰπόντων δὲ τῶν ἀρχιερέων ὡς νῦν μὲν οὐκ ἂν εἴη ῥᾴδιον ἀπορίᾳ χρημάτων τοσαῦτα ὄντα ἀποδοθῆναι, ὅσα δ' ἂν ἐξῇ λαβόντας νῦν, τὰ λειπόμενα κομίσασθαι χρόνῳ ῥητῷ· Οὐκοῦν, ὁ βασιλεὺς ἔφη, εἰ τοῦτο δυσχερὲς δοκεῖ, καὶ τὰ ἡμίσια καταλιπόντες τούτων, τῷ τετάρτῳ μορίῳ τοῦ ὅλου ἀρκεσθησόμεθα, τῆς εἰρήνης καὶ τῆς ὁμονοίας χάριν. Οἱ δὲ ἀκούσαντες ἐπῄνεσάν τε ὡς κρείττω χρημάτων τὸν βασιλέα, καὶ ἀναμφιβόλως ἔφασκον ἀποδοθήσεσθαι τὰ εἰρημένα· ὡς δὲ εἶδεν ἐπὶ τούτοις συνθεμένους, βουλόμενος ὁ βασιλεὺς, ὡς καὶ τῶν πᾶσι

B δοκούντων μετριωτάτων διὰ τὸ τὸν πόλεμον καταλυθῆναι, ἐξίσταται ἐκὼν, ποιῆσαι φανερὸν. Δέον, ἔφη, καὶ ὑμῖν κατά τε τὴν ὁδὸν πεπονηκόσι καὶ ἀσιτίᾳ προσταλαιπωρήσασιν ὅλην τὴν ἡμέραν χάριν καταθεῖναί τινα· οὐκοῦν καὶ τὸ τέταρτον τῶν ὀφειλομένων χρημάτων ἀφίημι ὑμῶν χάριν, καὶ οὐδὲν παρὰ βασιλέως ἀπαιτῶ πλὴν ὅσα οἱ τὰ δημόσια διοικοῦντες αἰτίας τινὰς πλασάμενοι ψευδεῖς, ἀποστερήσαντες βασιλέως ἔχουσιν αὐτοί, ἀποδείξεως γενομένης ἐναργοῦς, ταῦτα λαβόντα διανεῖμαι τῇ στρατιᾷ μικρᾶς ἕνεκά τινος παραμυθίας. Μὴ θαυμάσητε δὲ εἰ περὶ τοῦ μὴ δεῖν ἐπὶ ταῖς ἑτέρων κακοπραγίαις ἕτερον μεγαλοψυχεῖν καὶ φιλοτιμεῖσθαι, πολλὰ πρότερον εἰπὼν, νῦν οὕτω ῥᾳδίως τὰ τοῖς στρατιώταις

C ὀφειλόμενα χρήματα πρόειμαι. Ἐὰν γὰρ εἰς τὸν ἐφεξῆς χρόνον κατὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἡ τεταγμένη μισθοφορὰ παρέχηται αὐτοῖς, τὰ ὀφειλόμενα ἐπὶ τῷ προτοῦ, πάνυ φιλοῦντές ἐμοὶ χαριοῦνται χρόνῳ. Ἄλλως τε ἔδεισα μή τις καὶ διὰ ταῦτα γένηται ἀναβολὴ πρὸς τὴν εἰρήνην, καὶ δόξωμεν μᾶλλον ἐξεπίτηδες τὸν πόλεμον αἱρεῖσθαι. Καὶ διὰ τοῦτο δεῖν ᾠήθην, πᾶν ζήτημα καὶ ἀμφιβολίαν ποιῆσαι ἐκποδὼν, καὶ μᾶλλον τοῖς ἡμετέροις φανῆναι φορτικὸς καὶ ἐπαχθὴς, ἢ πρὸς τὸν πόλεμον αἰτίαν παρασχεῖν. Τοιαῦτα βασιλέως εἰπόντος τοῦ νέου, οἱ παρὰ τοῦ πρεσβυτέρου ἀπεσταλμένοι ἀρχιερεῖς καὶ συγκλητικοὶ, θαυμάσαντες τῆς μεγαλοψυχίας τὸν βασιλέα, καὶ τοῦ σφόδρα οὕτω τὴν εἰρήνην αἱρεῖσθαι, χάριν ὁμολογήσαντες πολλὴν, χαίροντες ἤτοῦντο

D τὴν ἐπάνοδον ἐπιτραπῆναι, νομίζοντες ὡς ἅμα τῷ τὰ πεπραγμένα ἀπαγγεῖλαι βασιλεῖ, κώλυμα οὐδὲν ἔσται τῇ εἰρήνῃ ὥστε εἶναι. Ἐκείνοις μὲν οὖν ὥσπερ ἠτοῦντο ἐπέτρεπεν ἐπανελθεῖν· δι' αὐτῶν δὲ πρὸς βασιλέα τὸν πάππον ἐπρεσβεύετο τοιάδε· Τὴν μὲν ἐμὴν πρὸς τὸ σὲ τὴν Ῥωμαίων ἔχειν ἡγεμονίαν σπουδήν τε καὶ προθυμίαν, Θεός τε οἶδε καλῶς ὁ πάντα εἰδὼς, καὶ αὐτὸς ἂν ἐπιμαρτυρήσαις. Ἑνὸν γὰρ, εἴγε ἐβουλόμην, σὲ λυπεῖν καὶ κατὰ τοὺς προτέρους πολέμους ἢ συμπάσης ἢ τῆς πλείονος ἀρχῆς κρατεῖν, οὐκ ἠθέλησα ἑκών· ἀλλά σοι νομίζων εἶναι, δίκαιον ἐξίστασθαι ταύτης ὄντι πατρὶ ἕως ἂν περιῇς, δυνάμενος κατασχεῖν, παρεχώρησα ἑκὼν εἶναι καὶ τοῦτό γε οὐκ ἄνευ πόνων καὶ κινδύνων. Τῶν γὰρ σὺν ἐμοὶ πολεμουμένων πάντων τοὺς μὲν πόνους καὶ τοὺς

Digitized by Google Распознавание текста ABK/FR

κινδύνους ἐν τῷ πολεμεῖν ὑφισταμένων, τῶν ἄλλων δὲ καὶ τῶν γερῶν ἀποστερουμένων (διὰ τὸ ἐμὲ σοῦ προστάττοντος εὐθὺς ἅσμενον χωρεῖν πρὸς τὴν εἰρήνην, καὶ πάντων σοι παραχωρεῖν ὧν ἐκτήσαντο αὐτοὶ κρατοῦντες ἐν τῷ πολέμῳ), ἀμφοτέρωθεν ἐμοὶ συνέβαινε τὸ θορυβεῖσθαι. Τό τε γὰρ πείθειν καταθέσθαι τὸν πόλεμον, ἐπίπονον ἦν, αὐτῶν δίκαια λέγειν ἰσχυριζομένων, καὶ μέχρι παντὸς ἐπεξιέναι τοὺς πολεμοῦντας ἀξιούντων πολέμου νόμῳ· τό τε ἀκόντων αὐτῶν τι ποιεῖν, οὐκ ἀδεές. Φιλίᾳ γὰρ ξυστρατευόντων τῶν πλειόνων, καὶ ἐλπίδι τοῦ ἄρξαντα ἀντευποιήσειν, εἰ μὴ γνώμῃ αὐτῶν ἐπράττετο τὰ τῆς εἰρήνης, εἰκὸς ἦν αὐτοὺς περικακήσαντας χωρεῖν πρὸς τοὺς ἐναντίους, ὅπερ ἀκινδύνως οὐκ ἂν ἐπράττετο ἐμοί. Ἐγὼ δὲ τοῦ τὰ φίλα ἕνεκα πράττειν σοι, τούς τε πόνους ὑφιστάμην ἐν τῷ πείθειν ἑνός τινος ἢ καὶ δύο συναιρομένων, καὶ τῶν ὑφορωμένων κινδύνων κατεφρόνουν, νομίζων ἂν αὐτοῖς ἔργοις ἀποδειχθῶ εὔνους ἐς τὰ μάλιστά σοι καὶ ἐν τοῖς κατεπείγουσι καιροῖς οὐ πελεμίως, ἀλλὰ φιλίως διακείμενος, θαῤῥῆσαι ἂν ἐμοὶ καὶ τὴν ἔχθραν καταλῦσαι τὸ δ' ἐναντίως ἔχον νῦν ἢ προσεδόκων αὐτὸς ὁρᾶται. Πάντα γὰρ ἐκεῖνα, καὶ, τὸ μέγιστον, αὐτὴν ἀλήθειαν θέμενος ἐν οὐδενί, ἀνθρώποις δὲ διεφθορόσι καὶ ψευδομένοις καὶ μηδὲν ἐξ ὧν ἂν τὰ κοινὰ βέλτιον σχοίη, ἀλλ' ἐξ ὧν ἂν ἰδίᾳ τι ὠφεληθεῖεν αὐτοί, σκοποῦσι πεισθείς, εἶλου μᾶλλον πολεμεῖν ἐμοί· ἐγὼ δὲ καίτοι δίκαιος ὤν, οἷα προεπιβουλευόμενος καὶ παρασπονδούμενος, ἑτοιμότερον πρὸς τὸν πόλεμον χωρεῖν, αἰδοῖ τε τῇ περὶ σὲ καὶ πρόθῳ ἀσχέτῳ τῷ πρὸς τὴν εἰρήνην, τρίτον ἤδη μῆνα κάθημαι ἐνταῦθα, ἱκετεύων καὶ παραιτούμενος τὴν σὴν ὀργήν. Νυνὶ δὲ τῶν ὑπὸ σοῦ ἀρχιερέων καὶ τῶν ἄλλων συγκλητικῶν ἀπεσταλμένων, ἐπὶ τὸ τὰ ἐγκλήματα τὰ ἐμὰ ἐξετάσαι ἡκόντων, αὐτὸς μὲν πολλῆς ἐνεπλήσθην ἡδονῆς, ὡς καιρὸν ἀπολογίας εὑρηκώς· ἐκκλησίας δὲ γενομένης, τὴν ἀπολογίαν ἐφ' οἷς ἐνεκαλούμην, ἀληθῆ καὶ δικαίαν ἐποιησάμην. Ἃ μὲν οὖν εἶπον πρὸς τὰ ἐγκλήματα, αὐτοὶ ἐλθόντες ἀπαγγελοῦσιν· ἐγὼ δ' αὖθις σοῦ δέομαι, βασιλεῦ, μήθ' ἡμᾶς, μήτε τοὺς ἄλλους περιιδεῖν Ῥωμαίους διὰ τὸν πρὸς ἀλλήλους ἡμῶν πόλεμον φθειρομένους· ἀλλ' ἐν ἡμέρᾳ ὀκτὼ, τά τε δέοντα σκέψασθαι, καὶ ἡμῖν ὡς ἔχεις γνώμης δηλῶσαι. Ἂν μὲν οὖν καὶ Θεοῦ τοῦ χορηγοῦ τῆς εἰρήνης συνευδοκοῦντος πραότερον ἡμῖν διατεθῇς, καὶ μᾶλλον ἕλοιο τὴν εἰρήνην, πανταχόθεν ἂν ἔχοι καλῶς. Ἂν δ' ἡ τῶν ἡμετέρων ἁμαρτημάτων πληθὺς, καὶ τὸ μάλιστα βούλεσθαι διαφθαρέντας ἡμᾶς ἰδεῖν, πρὸς τὸ πολεμεῖν μᾶλλον παρασκευάσωσιν ὁρμῆσαι, καὶ οὕτως ἐγώ σοι τρόπον ὑφηγήσομαι ἰσχυρότατον τοῦ πρὸς ἐμὲ πολέμου· ὡς ἂν τάχιστά τε καὶ χωρὶς κινδύνων πραγμάτων ἀπαλλαγῇ. Θεὸς ὁ χορηγὸς πάντων τῶν ἀγαθῶν, ὁ Πατὴρ πάντων, καὶ Κύριος τῶν βασιλέων, ἅμαχόν τινα καὶ θαυμασίαν παρέσχετο δύναμίν σοι· πρὸς ἣν οὐχ ὅτι γε ἀντιστῆ-

A res discrimen mihi periculumque attulisset. Ego vero ut tibi gratificarer, persuadere illis enisus sum, uno aut duobus adjuvantibus (91), et quæ timebam contempsi, arbitratus, si factis tibi me benevolentissimum, perturbatissimisque temporibus non hostilem, sed amicum in te animum ostendissem, confidere posse etiam odium in me tuum sanaturum. **151** Quod nunc secus, quam rebar, videtur evenisse. Omnia siquidem illa, quodque summum est, veritatem ipsam pro nihilo ducens, hominibus autem perversis, et mendaciloquis, non reipublicæ emolumenta, sed sua ipsorum compendia sectantibus fidem habens, bello me tentare voluisti. Ast ego quamvis jure optimo, tanquam prior insidiis appetitus, temeratoque

B fœdere violatus, promptius ac prius arma capessere poteram; tamen pudore erga te, et pacis desiderio incredibili, tertium jam mensem hic contero, supplicans, et iram tuam deprecans. Nunc cum venissent, quos ad exercendam de me quæstionem misisti, gaudio exsilui, quod tempus mei defendendi nactus essem. In conventu porro ad capita accusationis vere ac juste respondi; de quo ipsi apud te memorabunt. Rursum te oro, imperator, ut neve nos, neve Romanos alios, nostri causa acerba perpeti ac perdi sinas; sed diebus octo quid opus sit consideres, tuamque nobis sententiam declares. Si Deo, pacis auctore, approbante placidam in nos mentem indueris, pacemque susceperis, bene facies modis

C omnibus. Sin peccatorum nostrorum multitudo, et incensa videndi interitus nostri cupiditas potius in bellum te præcipitem agent, etiam sic modum te docebo validissimum me armis oppugnandi, ut citissime, citraque periculum molestiis absolvare. Deus bonorum omnium suppeditator, Pater et Dominus regum omnium, admirabilem tibi et inexpugnabilem potentiam dedit, cui non solum resistere, sed contra quam ne intueri quidem me posse fateor. Est autem hæc, quod tu dominus et pater, ego filius, et servus omnino. Hac usus potentia, brevi quæ volueris omnia feliciter efficies. Si enim jusseris, ut pater, me boia, seu [collaria] in collum injecta venire, et illic carcerem habitare, imperata promptissime exsequar. Quid autem dico

D de carcere, et collaria? si quid aliud etiam vel ignominiosissimum mandaveris, perferam hilariter. Si hac potentia omissa, ad alteram te convertes, quam pridem tibi, credens te latere, et sperans bello me confecturum, paravisti, vereor dicere, sed dicam tamen, vereor, ne ut alias, sic modo male tibi consuluisse ipso eventu deprehendare. Tunc igitur et Deo in primis, et his amicissimis meis adjuvantibus, **152** multis sudoribus ac laboribus, non quod tu singulare, et ad perficiendum difficillimum opus existimabas, sed quod in cogi-

Jacobi Pontani notæ.

(91) Magno domestico, et protostratore. Vide supra cap. 32. Sed eos propter invidiam avo nominare non pudet.

Digitized by Google Распознавание текста ABBYY FR

tationem tuam nunquam ceciderat, mihique in desideriis erat, prospere perfectum est. Nunc metuo, si aliter quam confidis, res ceciderint, ne spes tuas fallaces et inanes fuisse appareat. Quocirca iterum te hortor, atque rogo, pacem ne aspernere; aut si belli cupidine adeo ferves, utare iis et magnis viribus quibus vales ut pater, et quæ tibi totum hoc quod cupis, facili felicique successu præstabunt (Deum testor, vera me proloqui), et ne siculneo nitare auxilio, nempe ducibus illis, quos in Occidentem ad bellum contra me apparandum emisisti. Multis enim illis et insignibus (ut quidem tu opinaris) longo intervallo scias velim me, quique mecum sunt, antecellere. Quare si monitis meis locum relinquens pacem decreveris, Deum ipsum et bonos angelos ejus exhilarabis, nosque a bellicis istis incommodis tutos conciliabis. Si in diversum abis, Deum, cujus oculus intuetur omnia, et cœlestes illas virtutes, rerum nostrarum administratrices invoco testes, me quanquam affectum injuria, et perfidiose violatum, nihilo minus pacem servare : quam tu quoque servares, si et cogitare, et facere nosses, quod ad tuam Romanorumque utilitatem pertinet. Hæc junior ad seniorem per legatos.

A

B

ἰσχύῃ, ἣν ἔχεις ὡς πατὴρ, δι' ἧς ῥᾳδίως ἅπαν ἂν σοι τὸ βουλόμενον κατορθωθείη (ἴστω δὲ Θεὸς ὡς ἀληθῆ λέγω), καὶ μὴ τῇ συκίνῃ θαῤῥεῖν ἐπικουρίᾳ, τοῖς ἐκπεμφθεῖσιν ἐπὶ τὴν ἑσπέραν ἄρχουσιν ἐπὶ τὸ τὸν κατ' ἐμοῦ πόλεμον ἐξαρτύσασθαι. Πολλῶν γὰρ ὄντων, ὡς αὐτὸς οἶσθα, καὶ θαυμασίων στρατηγῶν, πολλῷ τῷ μέτρῳ διαφέροντα; ἴσθι ἐμὲ καὶ τοὺς μετ' ἐμοῦ. Ἂν μὲν οὖν ἐμοὶ πεισθεὶς, ἐπιψηφίσῃ τὴν εἰρήνην, Θεόν τε εὐφρανεῖς καὶ τοὺς ἀγαθοὺς ἀγγέλους αὐτοῦ, καὶ ἡμᾶς πολέμων καὶ κινδύνων ἀπαλλάξεις. Ἂν δ' ἑτέρως βουλεύσῃ, ἐγὼ μὲν ἐπιμαρτύρομαι τὸν πάντα ἐφορῶντα ὀφθαλμὸν, καὶ τὰς διοικούσας τὰ ἡμέτερα πράγματα δυνάμεις οὐρανίους, ὡς καὶ ἀδικούμενος· καὶ παρασπονδούμενος, ὅμως ἀσπάζομαι τὴν εἰρήνην· αὐτὸς δ' ἂν εἰδείης ὅτι καὶ σεαυτῷ συμφέρον καὶ τοῖς ἄλλοις Ῥωμαίοις καὶ βουλεύσασθαι καὶ πρᾶξαι. Τοιαῦτα μὲν βασιλεὺς ὁ νέος διεπρεσβεύσατο πρὸ βασιλέα τὸν πάππον.

CAPUT L.

Cocalas narrat seniori omnia; episcopi, et cæteri tacere jubentur. Patriarchæ urgenti audientiam, durius respondetur. Sequitur ejus oratio, qua cum summa libertate se nepotis patronum contra avi iniquitatem fore pollicetur. Internuntii patriarchæ in carcerem truduntur; ipse in monasterio, episcopi in ædibus suis includuntur. Magnus domesticus pace desperata, non ultra desidendum suadet. Item sentit protostrator. Junioris imperatoris consilium a domestico improbatur.

Iis Byzantium reversis, antevertens alios Cocalas omnia particulatim imperatori edisserit, quæcunque nimirum nepoti objecissent, et quomodo ille singulis occurrisset, et tandem quæ avo renuntianda commisisset; visumque, haud utiliter episcopos, cæterosque illuc profectos fuisse, quandoquidem necesse jam sit, aut pacem admittere, aut ad arma prosiliendo, palam malefaciendi voluntatem prodere. Paulo post, accedentes reliqui, imperatoremque adorantes, de legatione quam haberent **153** a nepote, tacere, domum quisque suam redire, et quiescere jussi sunt, donec illius mandatu eam exponerent. Hoc nihil aliud, quam honestum quoddam velamentum erat. Commodius enim statuebat, rem silentio dissimulare, cum timeret ne si publice narrarent quæ debebant, aut cogeretur ab omnibus pacem accipere, utpote jam persuasis, nepotem imperatorem justa et utilia petere : aut si recusaret, aperte contra æquum et bonum agere censeretur. Jam dies seni

C

D

Εἰς Βυζάντιον δὲ τῶν πρέσβεων ἀφικομένων, πρότερος ἐλθὼν ὁ Κωκαλᾶς, πάντα κατὰ μέρος διεξῆει πρὸς βασιλέα, ὅσα τε αὐτοὶ ἐγκαλοῦντες εἴποιεν τῷ νέῳ βασιλεῖ, καὶ οἵαις αὐτὸς πρὸς ἕκαστα χρήσαιτο ταῖς ἀπολογίαις, καὶ τελευταῖον ὅσα διαπρεσβεύσαιτο πρὸς αὐτόν. Καὶ ἔδοξεν οὐ κατὰ καιρὸν τὴν ἐκεῖσε τῶν ἀρχιερέων καὶ τῶν ἄλλων ἄφιξιν γεγενῆσθαι, ὡς ἀνάγκης ἤδη οὔσης ἢ πρὸς τὴν εἰρήνην χωρεῖν, ἢ ὡρμημένους πολεμεῖν, προδήλως ἤδη πᾶσιν ἀδικεῖν δοκεῖν. Μετὰ μικρὸν δὲ καὶ οἱ λοιποὶ ἐλθόντες καὶ προσκυνήσαντες, τὸν βασιλέα, οὐδὲν ἐπετράπησαν εἰπεῖν τῶν κατὰ τὴν πρεσβείαν, ἀλλ' ἕκαστον οἴκαδε ἀπελθόντας ἠρεμεῖν, ἄχρις ἂν βασιλέως προστάξαντος ἀπαγγείλωσι τὰ τῆς πρεσβείας. Τοῦτο δὲ ἦν σκῆψις εὐπρεπής. Ἔδοξε γὰρ βασιλεῖ μᾶλλον λυσιτελεῖν σιωπῇ τὸ πρᾶγμα παρελθεῖν, δεδοικότι μὴ δημοσίᾳ ἀπαγγελλομένης τῆς πρεσβείας, ἢ ἀναγκάζοιτο παρὰ πάντων εἰρηνεύειν, πεπεισμένων ἤδη τὸν νέον βασιλέα καὶ δίκαια καὶ συμφέροντα ἀξιοῦν, ἢ εἰ μὴ πείθοιτο, δοκοίη φανερῶς ἀδικεῖν. Ἐξ μὲν

Digitized by Google Распознавание текста ABK/FR

οὖν ἡμέραι παρῆλθον, καὶ τῆς πρεσβείας λόγος ἦν οὐδείς. Ἀχθόμενος δὲ ὁ πατριάρχης ἐπὶ τῇ τοῦ χρόνου παρατάσει, μεμήνυκε πρὸς βασιλέα, ὡς Ἐξ ἡμερῶν παρελθουσῶν, οὐδὲν παρὰ τῶν πρὸς βασιλέα τὸν ἔγγονον τὸν σὸν ἀπεσταλμένων ἀρχιερέων ἐπύθου. Δέον οὖν, ἐπεὶ καὶ ὁ χρόνος πρὸς διάσκεψιν ἱκανὸς, πυθέσθαι αὐτῶν ὅ τι λέγουσιν. Ὁ δὲ ἐπηγγείλατο πεισήσειν. Ὡς δ' ἕτεραι τοσαῦται διεληλύθασιν ἡμέραι, καὶ λόγος οὐδεὶς ἐγίνετο αὐτῶν, πάλιν πέμψας ὁ πατριάρχης, ἐδεῖτο τοῦ βασιλέως μὴ οὕτω τρίβεσθαι τὸν καιρόν· ἀλλὰ τόν τε ἀρχιεπίσκοπον μετακαλεσάμενον καὶ τοὺς ἄλλους ἀρχιερεῖς ὅ τι τε ὁ ἔγγονος ἀπολογεῖται ἀκοῦσαι, καὶ αὐτὸν σκεψάμενον ἐξ αὐτῶν τὰ λυσιτελοῦντα Ρωμαίοις ποιεῖν. Ὁ βασιλεὺς δὲ ἀπεκρίνατο, μηδενὶ αὐτὸν ἐξεῖναι ἀνερευνᾶν, ὅπως τὰ κατ' οἶκον πράγματα διεξάγει· αὐτῷ γὰρ μελήσειν ὁπότε καὶ ὅπως αὐτὰ δέοι οἰκονομεῖν. Αὐτὸν δὲ πατριάρχην ὄντα, τῶν ἐκκλησιαστικῶν ἐκέλευεν ἔχεσθαι φροντίδων, τῶν κοινῶν δὲ καὶ τῶν βασιλικῶν ἀπέχεσθαι πραγμάτων. Τοιαῦτα μὲν ὁ βασιλεὺς εἰρηκεν, οἰόμενος τὸν πατριάρχην καταπτήξαντα τοὺς λόγους, μᾶλλον ἂν ἀσπάσασθαι τὴν σιωπήν. Ὁ δὲ, εἰς τὴν ὑστεραίαν τοιαῦτα καὶ αὐτὸς μεμήνυκε πρὸς βασιλέα· Κράτιστε βασιλεῦ, τὸ τὰ δέοντα παραινεῖν καὶ συμβουλεύειν καὶ ἔτι προσαναγκάζειν πράττειν, οὔθ' ἑκὼν προήσομαι αὐτὸς, οὔτ' ἄκων, δέει ληφθείς. Εἰ δ' αὐτὸς τοιαύτῃ συζῆν ἐμὲ ἀπραγμοσύνῃ ἀξιοῖς, ὥστε μὴ φθέγγεσθαι μήτ' ἀκούειν μήτε ὁρᾶν, ἐχρῆν πρὶν τῆς Ἐκκλησίας προστάτην προβαλέσθαι, εἰπεῖν· κἂν μὲν καὶ αὐτῷ μοι καὶ δίκαια ταῦτα καὶ λυσιτελοῦντα ἐδόκει, στέργειν ἦν ἀνάγκη νῦν· ἂν δ' ἕτερα ἐνόμιζον προσήκειν πατριάρχῃ, παρεχώρουν ἂν ἑτέρῳ τῶν θρόνων, οὕτω ζῆν προῃρημένῳ. Ἐπεὶ δὲ Θεοῦ χάριτι οὐ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων προβέβλημαι μόνον, ἀλλὰ καὶ τῶν ἀδικουμένων προΐσταθαι καὶ ὑπερμαχεῖν ἀνάγκην ἔχω, τοῖς ἀδικεῖν ἐθέλουσι καὶ πλεονεκτεῖν οὐ παύσομαι διαφερόμενος καὶ ἀντιλέγων, ἄν τε τῶν φαυλοτάτων τινὲς ὦσιν, ἄν τε τῶν ὑπερλάμπρων καὶ εἰς αὐτὸ τὸ ἀκρότατον ἀφιγμένων τῆς εὐτυχίας, καὶ μᾶλλον πρὸς ἐκείνους, ὅσῳ καὶ τὰ ἀδικήματα μείζω, καὶ πρὸς πλείονας ἐξάγοντα τὴν βλάβην. Εἰ γὰρ μέλλοιμεν τοῖς μὲν μικροῖς μικρά τινα ἀδικοῦσι μόνον ἐγκαλεῖν καὶ τὴν ἀδικίαν ὀνειδίζειν, πρὸς δὲ τοὺς μεγίστους καὶ τὰ μέγιστα βλάπτοντας ἑκόντας ὄντες διὰ τὸ ἀξίωμα σιωπᾶν καὶ μηδὲ γρύζειν τολμᾷν, οὐδὲν διοίσομεν ἰατρῶν τῶν περὶ τρίχας μὲν καὶ ὄνυχας ἠσχολημένων, καὶ τὴν τέχνην ἐν αὐτοῖς ἐπιδεικνυμένων, ἐὰν δέ τι νόσημα παρεμπέσῃ τῷ ζώῳ λυμαινόμενον ὅλῳ, τούτου δὲ μηδεμίαν πρόνοιαν ποιουμένων, ἀλλ' ἡγουμένων ἀρκεῖν εἶγε καὶ αὐτοὶ καθήμενοι μετὰ τῶν ἄλλων ἀπολλύμενον ὁρῷεν. Ἐγὼ δὲ καὶ πάνυ θαυμάζω μεμνημένος ὡς ἐκέλευσας ἐμὲ μὲν τὰ τῆς Ἐκκλησίας πράττειν καὶ περὶ αὐτὰ ἠσχολῆσθαι

Quæ ab imperatoribus bello mutuo paceque iterum redintegrata gesta sint, superiore libro explanavimus. Sequitur ut quæ junior Andronicus, totius jam potens imperii seorsum patraverit, prodenda memoriæ videantur. Die altera a capto Byzantio antequam ullam partem administrationis attingeret, rationes avi in posterum sibi constituendas existimavit (27). Ac principatum quidem, ejusque moderationem ipse sumpsit, reliquorum nullo eum multavit, sed Romanos quotquot ditione sua continerentur, illi non secus quam imperatori obedire, eumdem quem sibi honorem tribuere, et quoties eum adire adoratum vellent, ne a quoquam arcerentur edixit. Præterea ipsius liberos, aliosque cognatos palatium celebrare, totos dies cum eo consumere, et quandiu placeret versari; de numero, et obsequiis ministrorum nihil mutari, et licere illi quæ liberent omnia. Deinde in sumptus ejus, et familiæ de publicis vectigalibus, quam τοπικὴν vocant (28), ferentem in annos singulos duodena aureorum millia, et alterum tantum e fisco decrevit. Hujus pecuniæ dispensandæ modum penes illum reliquit: cui palatio quoque cedens quandiu superfuit, in ædibus **192** seu palatio Demetrii despotæ, patrui sui, habitavit. Sæpius illum visens, extra simulationem, sincereque sermones et consilia cum eo conferebat, nihiloque inferiore quam antea reverentia, ut decebat, et honore illum prosequebatur. Verumenimvero, quanquam imperator non ficte, sed ex animo mandaverat, ut liberi essent ad avum aditus ac salutationes, accedere tamen Romani non audebant, quod formidarent, ne ob id, quasi rerum novarum cupidi, suspicione laborarent. Magnum logothetam Didymotichum abduci, et in aliquo monasterio vitam agitare jussit. Et agitavit quidem ibi ad tempus, donec etiam ipse veniam consecutus, Byzantiumque postliminio reversus (29), illic reliquum ætatis

A Ἃ μὲν οὖν πολεμοῦσί τε ἀλλήλοις τοῖς βασιλεῦσι καὶ μεταξὺ διαλλαττομένοις ἐπράχθη μετ' ἀλλήλων, τοιαῦτα ἐστί· νῦν δὲ εἶναί μοι δοκεῖ λοιπὸν διηγητέον καὶ ἃ τῷ νέῳ Ἀνδρονίκῳ ἤδη τὴν πᾶσαν ἀρχὴν Ῥωμαίων ὑποποιησαμένῳ ἐπράχθη καθ' ἑαυτόν. Ἐς γὰρ τὴν ὑστεραίαν μετὰ τὴν τοῦ Βυζαντίου λῆψιν, πρὶν ἄλλης τινὸς ἅψασθαι διοικήσεως πραγμάτων, ἐν ὁποίοις τισὶ χρὴ τὸν βασιλέα καὶ πάππον κατέστησε διάγειν. Καὶ τὴν μὲν ἀρχὴν καὶ τὴν διοίκησιν τῶν πραγμάτων ἀπένειμεν ἑαυτῷ· τῶν ἄλλων δὲ οὐδὲν ὑφεῖλε βασιλέως· ἀλλὰ τούς τε Ῥωμαίους ὅσων ἦρχε προσέταξεν αὐτῷ ὡς βασιλεῖ προσέχειν, καὶ τὴν ἴσην ἀποδιδόναι τιμήν. Καὶ ὁπότε βούλοιντο πρὸς αὐτὸν ὡς προσκυνήσοντες ἰέναι, κωλύεσθαι παρ' οὐδενός. Καὶ παῖδας καὶ
B τοὺς ἄλλους συγγενεῖς βασιλέως εἰς τὰ βασίλεια εἰσιόντας αὐτῷ συνδιημερεύειν καὶ συνεῖναι καθόσον βούλοιντο· καὶ τὴν θεραπείαν πᾶσαν ἀκίνητον μένειν ὅση ἦν· καὶ ἐπ' αὐτῷ εἶναί δ τι ἂν κελεύῃ ποιεῖν. Καὶ ἀναλωμάτων ἕνεκα αὐτοῦ τε καὶ οἰκετικοῦ, ἀπό τε τῶν δημοσίων φόρων τὴν λεγομένην παρέσχετο τοπικήν, φέρουσαν ἐπ' ἐνιαυτὸν δισχιλίους ἐπὶ μυρίοις χρυσοῦς, καὶ ἕτερα χρήματα ἴσα ἐκ τοῦ βασιλικοῦ ἐκέλευσε χορηγεῖσθαι ταμιείου. Καὶ ταῦτα εἶναι ἐπ' ἐκείνῳ ᾗ ἂν ἐθέλοι χρῆσθαι· τῶν τε βασιλείων παρεχώρησεν αὐτῷ· αὐτὸς δὲ εἴ ποτε ἐπιδημοίη τῇ Κωνσταντίνου ἕως ὁ πάππος περιῇν, ἐν τοῖς Δημητρίου τοῦ δεσπότου διέτριβεν οἴκοις καὶ πρὸς βασιλέα ἐρχόμενος συχνῶς, ὡμίλει
C αὐτῷ γνησίως, καὶ ἐβουλεύετο περὶ τῶν πραγμάτων, καὶ οὐδὲν ἧττον ἢ πρότερον αἰδῶ καὶ τιμὴν παρεῖχε τὴν προσήκουσαν αὐτῷ. Οἱ δ' ἄλλοι Ῥωμαῖοι, καίτοι παρὰ τοῦ νέου βασιλέως οὐ πρὸς εἰρωνείαν, ἀλλ' ἀληθῶς πρωτεταγμένον, τὸ πάντα τὸν ἐθέλοντα πρὸς βασιλέα ἔρχεσθαι καὶ ἀκωλύτως προσκυνεῖν αὐτόν, ὅμως οὐ προσῄεσαν, δεδοικότες μή τι διὰ ταῦτα ὑποπτευθῇ νεωτερίζειν. Τὸν μέγαν δὲ λογοθέτην ἐκέλευσεν ὁ βασιλεὺς εἰς Διδυμότειχον

Jacobi Pontani notæ.

(27) Nimium quantum ab his aliena, longeque diversissima Gregoras, lib. IX, de conditione avi Andronici, qua fuerit, capta a nepote Constantinopoli: vixisse miserrime, et in extrema demum egestate vitam finivisse. Gregoræ mendacia sequuntur continuator Glycæ, et alii, Andronicumque juniorem tyrannum, et parricidam faciunt. Tu ipse leges, si voles, me enim illa huc afferre piget profecto. Sed omnium falsidicorum illorum antecam-
D bulo est Gregoras.

(28) Gregoras libro nono de eadem re loquens, ait Andronicum juniorem assignasse avo τὴν ἐπέτειον πρόσοδον τῆς ἁλιευτικῆς, *annuum redditum piscationis*, πρὸ τοῦ Βυζαντίου τελεῖται δέκα χιλιάδων τέως ἐγγυτάτω οὖσαν. Vide not. ad cap. 42, libri IV.

(29) Gregoras. *Magnus autem logotheta ab exsilio reversus, non domi suæ divertit, quæ, ut jam dixi-*

Digitized by Google Распознавание текста ABBYY FR

ἐλθόντα, ἐν ἑνὶ τῶν αὐτόθι φροντιστηρίων διατρίβειν· καὶ ἦν ἄχρι τινός· ἔπειτα συγγνώμης καὶ αὐτὸς τυχών, εἰς Βυζάντιον ἐπανελθὼν διέτριβεν οἴκοι. Τὴν Βυζαντίου δὲ ἀρχὴν τῷ πρωτοστράτορι παρέσχεν ὁ βασιλεύς. Ἐπεὶ δὲ καθ' ὃν ἐπολέμουν ἀλλήλοις χρόνον οἱ βασιλεῖς, πολλὰ τῶν προσόντων τοῖς συνοῦσιν ἑκατέρῳ ὑπ' ἀλλήλων διηρπάσθη, ἵνα μὴ διαφοραὶ γίγνοιντο μεταξὺ ἀμφοτέρων τῶν μερῶν τὰ οἰκεῖα ἐπανασώζειν πειρωμένων, προμηθούμενος ὁ βασιλεὺς, περὶ μὲν τῶν κινουμένων ἐκέλευσε μηδένα ἐξεῖναι μηδενὶ ὀχλεῖν, ἀλλ' ἐᾶν τοὺς ἔχοντας καρποῦσθαι. Τὰ δ' ἀκίνητα ἐπανασώζεσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις. Καὶ τούτου ἐπιμελητὴν τὸν πρωτοστράτορα τοῦ Βυζαντίου ἄρχοντα ἐκέλευσεν εἶναι. Μετὰ τοῦτο ἀπῆλθεν εἰς πατριάρχην, ἅμα μὲν εὐχαριστήσων αὐτῷ, καὶ οἰκείως καὶ φιλικῶς προσομιλήσων. Κατὰ γὰρ τὴν πρώτην συντυχίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων οὐκ ἐώντων, ὅσον ἀφοσιώσασθαι μόνον ἐποιήσαντο τὴν ὁμιλίαν, ἅμα δ' ἵνα καὶ τοῖς ἀρχιερεῦσιν, οἳ αὐτοῦ ἐκβαλλομένου τοῦ πατριαρχείου, καὶ εἰς δεσμωτήριον οἱονεὶ ἀπαγομένου, οὐ μόνον ἀντέστησαν οὐδὲν ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ συγκατειργάσαντο, τό γε εἰς αὐτοὺς ἦκον, τὴν κάθειρξιν ἐκείνου, δοῦναι συγγνώμην δεηθῇ αὐτοῦ. Ἦν γὰρ κατ' αὐτῶν πολὺς φερόμενος ὁ πατριάρχης, καὶ δίκας ἀξιῶν λαβεῖν παρ' ἐκείνων τῆς προδοσίας τῆς εἰς αὐτόν. Καὶ δεηθεὶς αὐτοῦ πολλὰ περὶ αὐτῶν, οὐκ ἠδυνήθη πεῖσαι συγγνώμην παρασχεῖν αὐτοῖς, τὰ ἔσχατα λέγων ἢ δικῆσθαι ὑπ' αὐτῶν, καὶ δεῖν αὐτοῖς δίκην λαχεῖν τῆς προδοσίας. Ἐπεὶ δὲ ἐπανῆκεν εἰς βασίλεια ὁ βασιλεὺς, τὸν μητροπολίτην μεταχαλεσάμενος Φερῶν, καὶ χαρτοφύλακα τὸν Κουτάλην, καὶ τὸν τῶν μοναστηρίων ἄρχοντα Κυβεριώτην, οἷα δ' αὐτὸν δεσμωτήριαν

A exegit. Præfectura urbis protostratorem cohonestavit. Et quoniam bello durante, utrarumque partium sequaces multa invicem diripuerant, ne lites et controversiæ nascerentur (30), dum sua recuperare et hi et illi student, provide statuit ut de mobilibus nemini cuiquam liceret exhibere negotium, sed habentibus relinquerentur: res soli autem ad veteres possessores redirent eamque procurationem protostratori dedit. Post hæc ad patriarcham adiit, tum ut ei gratias ageret, familiariterque et amanter cūm eo colloqueretur (id enim priore congressu, quia tempus et res non sinebant, perfunctorie fecerant), tum ut veniam episcopis impetraret (31), qui, dum ipse e patriarchio ejectus velut in carcerem concluderetur, non modo

B se non opposuerant, verum etiam pro virili sua, ut concluderetur, adjuverant. Stomachabatur enim patriarcha magnopere, et ut proditoribus supplicia irroganda (32), arbitrabatur. Verumenimvero precibus quamvis multis locum nullum relinquebat, quod dictaret, indignissima se ab ipsis affectum injuria, et proditionem eos luere oportere. Ubi domum rediit imperator, metropolitam Pherarum cum Cutale chartophylace, et Cyberiota monasteriorum præside (qui quod ab eo stetissent, aliquandiu in custodia fuerant), accivit, de officio præstito gratias retulit, et honoribus eos ornavit. Chartophylaci, quia majores honores capessere nolebat, munus effecit splendidius, magnumque chartophylacem nominavit; quod epitheton chartophylaci usque hodie manet. Deinde Marcum Caballarium, Bardæ filium, **193** qui de muro in ipsum contumeliam torserat, ad se adducendum curavit (33). Is haud immemor, quæ blaterasset, antequam investiga-

Jacobi Pontani notæ.

mus, imperatore urbem ingresso, pridem erat diruta, et vastata prorsus a populo: sed in ejus vicino, in Choræ monasterio, quod ipse antea magnis sumptibus, vetustate ruinosum, instaurarat, etc.

(30) Aliter, et quidem justius fecit Aratus Sicyonius; nec mirum, quia longius intervallum 50 quam 6 annorum, majores mutationes effecerat. Ergo is cum ejus civitas quinquaginta annos a tyrannis teneretur, profectus Argis Sicyonem, clandestino introitu urbe est potitus. Cumque tyrannum Nicoclem improviso oppressisset, sexcentos exsules, D qui fuerant ejus civitatis locupletissimi, restituit remque publicam adventu suo liberavit. Sed cum magnam animadverteret in bonis, et possessionibus difficultatem, quod et eos quos ipse restituerat, quorum bona alii possederant, egere iniquissimum arbitrabatur, et quinquaginta annorum possessiones movere, non nimis æquum putabat, propterea quod tam longo spatio multa hæreditatibus, multa emptionibus, multa dotibus tenebantur sine injuria; judicavit neque illis adimi, neque his non satisfieri, quorum illa fuerant, oportere. Cum igitur statuisset opus esse ad eam rem constituendam pecunia, Alexandriam se proficisci velle dixit, remque integram ad reditum suum jussit esse; isque celeriter ad Ptolomæum suum hospitem venit, qui tum regnabat alter, post Alexandriam conditam. Cui cum exposuisset patriam se liberare velle, causamque docuisset, a rege opulento vir summus facile impetravit, ut grandi pecunia adjuvaretur. Quam cum Sicyonem attulisset, adhibuit sibi in consilium quindecim principes, cum quibus causas cognovit, et eorum qui aliena detinebant, et eorum qui sua amiserant; perfecitque æstimandis possessionibus, ut persuaderet aliis, ut pecuniam accipere mallent, et possessionibus cederent; aliis, ut commodius putarent, numerari sibi quod tanti esset, quam suum recuperare. Ita perfectum est, ut omnes constituta concordia sine querela discederent. Hæc Cic. II *de Off.*

(31) Gregoras: *Proinde non multis diebus post Isaiam patriarcham convenit, ac primum ei suadet ut iram adversus episcopos deponat, et populum interdicto solvat. Neque enim par esse, cum ipse omnibus omnia condonaret, ad quem publica delicta spectarent, illum patriarcham, et pacis doctorem alere simultates, nec ejus iram occidere tot solibus occidentibus, cum ne unus quidem, durante illius ira, occidere deberet,*

(32) Gregoras: *Deinde ad ultionem et persecutionem episcoporum, et presbyterorum se convertit, eorumque aliis sacerdotio ad certos annos interdixit: aliis usque ad obitum. Sunt etiam quos lenius multarit. Sed ut paucis absolvam, nemini veteris imperatoris studio pepercit.*

(33) Notabis exemplum admirabile, in reo conscientiæ, in judice misericordiæ, in spectatoribus non vulgaris et salutiferi motus.

Digitized by Google Распознавание текста ABK/FR

retur. simul imperatorem Byzantium inivisse audivit, in foveis quibusdam, locisque subterraneis se absondit, ut ad conquirendum delecti multo tandem labore eum invenerint, quem in palatium perduxerunt. Fama disseminata, petulantem illum conviciatorem imperatoris in palatium ad pœnas abduci, urbs tota ad spectandam miseri necem concursat. Ut intra palatium venit, ipso conspectu imperatoris tremore ac vertigine correptus, in terram collabitur; quem erigentes qui ducebant, imperatori sistunt, oppletum lacrymis, et oculos humi dejectum, nec audentem illos contra tollere, sed sine mora exquisitissimis tormentis se interimendum cogitantem. Altum silere universi, et qua pœna Marcus plecteretur, suspensi exspectare. Cernentes porro adeo pavitantem ac tremulum astare, alii solo ejus aspectu in magnam commiserationem versi lacrymas et gemitus cohibere non poterant: alii prudentiores, ex præsenti re illius magni quondam, ut audimus, futuri judicii quamdam imaginem concipiebant, et apud animos suos inexplicabilem illum coram terribili et incorrupto tribunali peccatorum pudorem depingebant. Si enim coram rege mortali, ubi etiam non possunt esse diuturna supplicia, tanta fuit in reo consternatio, ut ejus magnitudine ante prolatam sententiam pene appareret mortuus (quia nimirum quorum coarguebatur, ad ea quid responderet non habebat), quid tunc illis fiet qui sibi improbe factorum sunt conscii? Ex hujusmodi paradigmate intelligentiores illi seipsis meliores evadebant, vitamque suam ad normam probitatis accommodabant. Imperator, cum neque prius Marcum puniendi gratia quæsisset, et tunc omnes hoc exemplo velut in scena castigatos emendatosque videret (34), paulum conticescens: Quid hoc, Caballari, inquit, quod tam contumeliosus etiam in præsentem me fuisti? nam contumeliis absenti impositis ignosci possit. Hac voce Marcum animus relinquit, humi repente cadit, et eam capite pulsans, præ timore spiritum editurus putabatur. Imperator, post longius silentium, jacentem jubet surgere. At ille, sive quia non audiebat quod dicebatur, sive quia solutis pavore membris surgere e terra non valebat, volutabatur, nec oculos aperiens, nec verbum emittens. **194** Imperator apparitoribus manu signum dat, uti eum attollant; sub-

A οἰκήσαντας ἐπὶ χρόνον τινὰ, τά τ' ἄλλα ηὐχαρίστησε, καὶ εὐεργεσίαις ἠμείψατο πολλαῖς· τὸν δὲ χαρτοφύλακα, ἐπεὶ μὴ ἠδούλετο ἀπὸ τῆς τοῦ χαρτοφύλακος ἀξίας εἰς ἑτέραν μείζονα μετενεχθῆναι, αὐτὴν ἑαυτῆς ἐποίησεν ἐντιμοτέραν, μέγαν χαρτοφύλακα προσαγορεύσας· καὶ ἀπ' ἐκείνου εἰς δεῦρο τῷ χαρτούλακι διασώζεται τὸ Μέγας. Μάρκον δὲ Καβαλλάριον, τὸν τοῦ Βάρδα, ὃς ἦν ἀπὸ τῶν τειχῶν πρότερον πρὸς ὕβριν βασιλεῖ διειλεγμένος, ἐκέλευσεν ἀχθῆναι πρὸς αὐτὸν ὁ βασιλεύς. Ὁ δὲ, καὶ πρὶν ζητηθῆναι, οἷα ἐφθέγξατο εἰδὼς, ἅμα τῷ πυθέσθαι ἐντὸς εἶναι Βυζαντίου βασιλέα, ἐν ὑπονόμοις καὶ ἀδύτοις τισὶ κατέκρυψεν ἑαυτόν. Πολλὴν δὲ τὴν περὶ τὴν αὐτοῦ ζήτησιν οἱ προστεταγμένοι εἰσενεγκόντες σπουδὴν, εὑρίσκουσί τε καὶ ἄγουσιν εἰς

B βασίλεια. Φήμης δὲ διαδραμούσης ὡς ὁ ὑβριστὴς ἐκεῖνος βασιλέως εἰς τὰ βασίλεια ἄγεται κολασθησόμενος, συνέδραμεν ἡ πόλις πανδημεὶ, ὁποίῳ τρόπῳ ὀψόμενοι ἀποθανεῖται. Βασιλεὺς δὲ ἐκέλευσεν αὐτὸν ἀχθῆναι. Καὶ ἐπειδὴ τῶν τοῦ οἴκου θυρῶν ἐγένετο εἴσω, εἰς βασιλέα ἰδὼν, τρόμῳ τε ἐλήφθη, καὶ περιδινηθεὶς, κατέπεσεν ἐπὶ τὴν γῆν. Ἀναστήσαντες δὲ οἱ ἄγοντες, ἐγγὺς ἦγαγον βασιλέως, δακρύων τε ὑπόπλεων, καὶ πρὸς τὴν γῆν νενευκότα, καὶ μὴ δυνάμενον ὅλως εἰς βασιλέα ἰδεῖν, ἀλλ' αὐτίκα προσδοκῶντα πείσεσθαι τὰ δεινότατα. Σιωπὴ δὲ βαθεῖα κατέσχε τὸ πλῆθος πᾶν. Καὶ πάντες ἦσαν μετέωροι πρὸς τὴν ἐπενεχθησομένην τῷ Μάρκῳ καταδίκην. Ὁρῶντες δὲ αὐτὸν οὕτως ἱστάμενον

C ὑπότρομον καὶ περιδεῆ, οἱ μὲν αὐτῶν καὶ ἀπὸ τῆς θέας μόνης περιαλγοῦντες, εἰς δάκρυα κατεφέροντο καὶ οἰμωγάς. Ὅσοι δὲ καὶ συνετώτεροι τῶν πολλῶν ἦσαν, τῆς μελλούσης κρίσεως ἣν ἀκούομεν ἐλάμβανον ἀπὸ τῶν γινομένων εἰκόνα. Καὶ ἀνεζωγράφουν ἐν ἑαυτοῖς τὴν ἄῤῥητον ἐκείνην τῶν ἁμαρτωλῶν αἰσχύνην ἐπὶ τοῦ φοβεροῦ καὶ ἀδεκάστου δικαστηρίου. Εἰ γὰρ ἐπὶ θνητοῦ βασιλέως, ἔνθα καὶ αἱ τιμωρίαι ὀλιγοχρόνιοι, τοσαύτη τὸν κρινόμενον ἔκπληξις εἶχεν, ὥστ' ἤδη καὶ πρὸ τῆς ἀποφάσεως τῷ

D πλείστῳ μέρει ἀποτεθνηκέναι ὑπὸ δέους, ὅτι μηδεμίαν ἀπολογίαν εἶχεν ἐφ' οἷς κατηγορεῖτο ἐνεγκεῖν, τί οὐκ ἂν πάθωσι τότε οἱ πονηρὰ συνειδότες ἑαυτοῖς; καὶ βελτίους ἑαυτῶν ἐκ τοῦ παραδείγματος ἐγίνοντο καὶ πρὸς σωφρονέστερον μετερρύθμιζοντο βίον. Βασιλεὺς δὲ πρότερόν τε οὐκ ἐπὶ τῷ τιμωρήσασθαι τὸν Μάρκον ζητῶν, καὶ τότε πάντας ὁρῶν τῇ σκηνῇ ταύτῃ σωφρονισθέντας, μικρὸν ἐπισχὼν, Τί παθὼν

Jacobi Pontani notæ.

(34) In scena tragica, seu in tragœdia. Apud Stobæum Timocles comicus quid prosint tragicorum scripta satis declarat his verbis,

Qui pauper est, dum non minus quam Telephum
Se egere sentit, fert malum quietius.
Insanit aliquis? Alcmæonem respicit.
Cæcutit? Œdipi levat damno suum.
Orbus quis est? lamenta Niobes cogitat.
Claudus? reminiscitur Philoctetæ pedum.
Habet Œneum, quisquis senex est, et miser.
Quicunque aliis quid acciderit reputaverit,
Erit in suis alacrior periculis.

Et cum vera sit sapientia, humanas res penitus perceptas ac pertractatas habere, nihil admirari cum acciderit, nihil antequam evenerit, non posse evenerit arbitrari, valet eo plurimum tragœdia: ubi exemplis evidentibus ostenditur, in rebus hominum nihil esse stabile, diuturnum, ac perpetuum: omnia fluxa, caduca, inania. Et omnino plus virium habet ad vitam recte instituendam tragœdia, quam nuda philosophorum præcepta autem prodest viris præpotentibus; ut dum illi Polymnestores, Agamemnonas, Hercules, Polynices legunt, se quoque homines, et fortunæ casibus subjectos esse recordentur.

Digitized by Google Распознавание текста ABK/FR

ὦ Καβαλλάριε, εἶπε, τοσαῦτα ὕβρικας καὶ πρὸς παρόντα; ἦν γὰρ ἄν τις πρὸς ἀπόντα γινομένων τῶν ὕβρεων συγγνώμη. Ὁ δὲ, ὑπὸ τῆς τοῦ βασιλέως φωνῆς καταπλαγείς, εἰς γῆν τε κατέπεσεν εὐθὺς, καὶ τῇ γῇ τὴν κεφαλὴν προσαράσσων, προσδόκιμος ἦν καὶ τὴν ψυχὴν ἀφεῖναι ὑπὸ δέους. Πάλιν δὲ ὁ βασιλεὺς σιγήσας ἐφ' ἱκανὸν, τὸν Μάρκον ἐκέλευεν ἀναστῆναι. Ὁ δὲ, εἴτε καὶ τῶν λεγομένων οὐκ αἰσθανόμενος, εἴτε καὶ μὴ δυνάμενος ἀναστῆναι, ὑπὸ τοῦ δέους ἐκλυθείς, τῇ γῇ προσεκυλινδεῖτο, μήθ' ὁρῶν μήτε φθεγγόμενος μηδέν· βασιλεὺς δ' ἐσήμαινε τῇ χειρὶ τοὺς κατέχοντας ἀνιστᾷν. Ἐπειδὴ δὲ ἀνέστη, ἐπανέρχεσθαί τε ἐκέλευεν εἰς ἑαυτὸν, καὶ προσέχειν τοῖς λεγομένοις. Εἶπέ τε πρὸς αὐτὸν ὁ βασιλεύς· Τὸ μὲν δεδοικέναι καὶ τρέμειν, καὶ τὰ δεινότατα πείσεσθαι προσδοκᾷν, δίκαιόν τε ὁμοῦ καὶ σοὶ προσῆκον. Ἄξια γὰρ ἐφθέγξω πολλῶν τιμωριῶν. Ἐγὼ δὲ ἐμαυτῷ πολλὰ συνειδὼς πρὸς τὸν ἁπάντων Κύριον καὶ βασιλέα ἡμαρτημένα, καὶ δεόμενος συγγνώμης, ὥσπερ καὶ σὺ νῦν, μᾶλλον δὲ καὶ πλείονος πολλῷ, ὅσῳ καὶ τὰ ἡμαρτημένα χείρω, καὶ οὐ πρὸς σύνδουλον, ὥσπερ σὺ, ἀλλ' εἰς τὸν ἐκ μὴ ὄντων παραγαγόντα προσκεκρουκὼς, καὶ δεόμενος καὶ αὐτὸς ἐλέου, ἀφιημί τε τὰ ἡμαρτημένα σοι, καὶ συγγνώμην παρέχω. Δυοῖν δὲ ἕνεκα τὸ σέ τε εὑρεῖν καὶ ἐνθάδε ἀγαγεῖν ἐποιησάμην περὶ πλείστου· ἑνὸς μὲν, ἵν' ἐκ τῶν γινομένων οἱ πολλοὶ σωφρονισθῶσι μὴ ἀκρατεῖς εἶναι περὶ τὴν γλῶτταν, μηδὲ ῥᾳδίως ἐκφέρεσθαι πρὸς ὕβρεις, καὶ ταῦτα, πρὸς ὑπερέχοντας καὶ τιμῆς ἀξίους γινομένας· καὶ τὸ κρεῖσσον ἀπὸ ὕψους ἢ ἀπὸ γλώσσης πεσεῖν, ὑπὸ τῶν σοφῶν τινος καλῶς εἰρημένον ἔργῳ δι-δαχθῶσιν, ὁρῶντες εἰς οἷον βάραθρον ἐξ ἀκρασίας περιπέπτωκας αὐτός. Δεύτερον δὲ, τοῦ σε διὰ βίου φόβων καὶ κινδύνων ἀπαλλαγῆναι. Εἰ γὰρ μὴ νῦν ἐνθάδε ἀχθεὶς ἐτύγχανες συγγνώμης, κατ' οὐδὲν ἀνεκτότερον ἂν ἔζης τοῦ Κάϊν βίον, στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ παρὰ παντὸς τοῦ προστυχόντος οἰόμενος αὐτίκα ἀπολεῖσθαι. Νυνὶ δὲ συγγνώμης τυχὼν, ἡδέως βιώσεις, καὶ ἀδεῶς, οὐδενὸς ἔτι δυναμένου τῶν εἰς ἐμὲ ἡμαρτημένων εὐθύνας ἀπαιτεῖν. Τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς Μάρκον εἶπεν. Οἱ παρόντες δὲ, ἀλλόκοτον μέν τινα ὄψεσθαι ἰδέαν θανάτου προσδοκῶντες, ἔπειτα ἐξαίφνης παρὰ δόξαν τὸν εἰς τὸν Μάρκον τοῦ βασιλέως ἔλεον, καὶ τὴν σώζουσαν ψῆφον ἰδόντες ἐξενηνεγμένην, ἐθαύμαζόν τε τῆς συμπαθείας τὸν βασιλέα, καὶ τῷ Μάρκῳ συνέχαιρον τῆς σωτηρίας, καὶ οἰκείαν ἕκαστος οἰόμενοι τὴν εὐεργεσίαν, Σοὶ προσήκειν ἔλεγον, βασιλεῦ, πατέρα τὸν Θεὸν ἐπικαλεῖσθαι, καὶ μετὰ παῤῥησίας τῶν ἡμαρτημένων τὴν συγγνώμην αἰτεῖν, ὡς ἀφιέντι τῷ προσκεκρουκότι τὰ ὀφειλόμενα. Τούτων καὶ τινων ἑτέρων τοιούτων ὑπὸ τοῦ πλήθους εἰρημένων σὺν ἐκπλήξει καὶ χαρᾷ ὁ σύλλογος διελύθη.

blatum ut se colligat, et dictis mentem adhibeat, hortatur, et sic eum alloquitur: Quod pavitas, et tremis, gravissimaque tormenta exspectas, id quod æquum et te dignum est, facis; multis namque cruciatibus luenda exprompsisti. Ego vero ipsi mihi multorum adversus universorum Dominum, imperatoremque admissorum conscius, illum veniam, quemadmodum tu nunc me rogitans, ac tanto quidem majorem, quanto magis deliqui, ego, inquam, qui non conservum uti tu, sed eum qui me e nihilo condidit, offendi, et mihi quoque ut ignoscatur obsecro, tua tibi peccata condono, et ignosco. Duabus porro de causis conquisitum hunc adduci maximopere concupivi: una, ut multo tuo exemplo linguæ imperare discerent, nec facile ad probra se effunderent, atque contra superiores, quos colere ac venerari debent; et quod a quodam sapiente præclare dictum est, præstare ab alto, quam a lingua cadere, reipsa docerentur, intuentes, in quale barathrum tu ex intemperantia linguæ præcipitasses; altera, ut te per omnem vitam timore periculoque liberarem; etenim nisi modo huc pertractus, veniam et pacem esses consecutus, tibi perpetuo gementi, trementique super terram, et a quovis obvio ictum lethiferum metuenti, nihilo tolerabilior vita, quam ipsi Caino fuisset. Nunc venia donatus jucunde secureque annos traduces, cum nemo amplius pœnas in me commissorum abs te repetere possit. Hactenus Marco imperator. Qui præsentes aderant, cum se novum quoddam, et peregrinum genus mortis visuros crederent, viderent autem præter opinionem misericordiam Marco tribui, eumque absolvi, et imperatorem de istac sympathia admirabantur, et Marco salutem gratulabantur. Cumque singuli in eo beneficium sibi accepisse viderentur, exclamabant: Tibi, imperator, Deum patrem appellare convenit, et ab eo libere peccatorum veniam poscere, qui debitori tuo debita dimisisti. His ac similibus jactatis, conventus cum stupore et gaudio solutus est.

195 CAPUT II.

Magnus domesticus ad patriarcham episcopis reconciliandum missus, nihil agit; dies judicio præstituitur. De mente domestici quæstio inter episcopos. Pro reis ipse orationem habet deprecatoriam, et patriarcham flectit. Absoluti gratias imperatori agunt, qui amicos separatim remuneratus, communiter civitati benefecit.

Βασιλεὺς δὲ τὸ καὶ τοὺς τῷ πατριάρχῃ προσκεκρουκότας ἀρχιερέας μὴ τυχεῖν συγγνώμης ἡγούμενος οὐκ ἀνεκτὸν, τὸν μέγαν δομέστικον ἔπεμψε πρὸς τὸν πατριάρχην διαλεξόμενον μὲν αὐτῷ, καὶ ὡς ἐξ αὐτοῦ ὑπὲρ τῆς πρὸς τοὺς ἀρχιερέας διαλλαγῆς, καὶ ἀφ'

Cæterum imperator indignum ratus, non etiam a patriarcha ignosci episcopis, a quibus erat offensus, magnum domesticum mittit, qui velut suo nomine cum eo de reconciliatione ageret; ac per se, quantum fieri posset, paci fungendæ operam

Digitized by Google Распознавание текста ABK/FR

daret. Domesticus, magnis, et iteratis precibus pro episcopis orans, nihil effecit. Tenebatur enim ira irrevocabili, profitebaturque, non se ante ignoturum, quam illi audaciæ suæ pœnas persolvissent, etiamsi cœlum rueret. Neque se idcirco scelus facere, si ad judicium eos provocaret. Tum magnus domesticus : Atqui impar erit in hoc judicio litigantium conditio, si tu judex simul et accusator sedeas, ipsique eumdem experiri adversarium, et arbitrum cogantur. Sin fidem das, te jus eorum non neglecturum, neque ex ira potius quam ex æquitate res judicaturum, die dicta se sistent. Contra patriarcha : Causarum hujusmodi cognitionem meam, reliquorumque fratrum episcoporum esse, ne te quidem latet. Tamen quia nunc ipsos tanquam læsus in judicium pertraho, non ut judex, sed ut reus, aliis episcopis jus reddentibus sedebo. Quod si vel ipse judicium exercerem, nunquam eo insaniæ, insolentiæve progrederer, ut iram magis, quam rectam rationem in judicando ducem sequerer : nunc potissimum, quando non pro alio (esset enim aliqua venia), sed pro me sententiam laturus essem. Die igitur præfinito, quo episcopi judicium obirent, magnus domesticus valedixit, ac discessit. Tum patriarcha præsentibus ait, nescire se, quid sibi velit, quod domesticus ad judicium condicat : aut qua re confisus, episcopos adeo suo ipsorum judicio jam damnatos, ad causam dicendam occursuros promittat, nisi novi quidpiam fabricetur. Pars respondere, ne se quidem prospicere, quorsum eat ; pars, se suspicari, haud illi rem vere nuntiatam esse, sed variis **196** assiduisque negotiis, et curis circumfluentem, quæ audisset, diligenter examinare, ac perpendere non potuisse. Neque enim probabile apparere, si accepisset, quomodo nullam patriarchæ culpam, sed mandatum duntaxat imperatoris prætendentes venerint, eumque per se a grege, contra omne jus et fas abegerint, et non secus, quam dirissimo scelere notatum, in carcerem condiderint ; in Ecclesiam sibi auctoritatem arrogarint, et cum essent ipsi injustissimi atque avarissimi, populum perfricta fronte de virtute docuerint ; quin etiam ob rapinas suas gloria se, et prædicatione extulerint, tales in judicium venturos promissurum, ac non potius ipsum omnibus prius calculis eos condemnaturum fuisse. Excepit patriarcha, haud absurde locutos ; se nihilominus nondum adduci, ut credat, ita se rem habere ; sed illum cumulatæ prudentiæ virum (quod sciant omnes) aliquid excogitasse, quod in præsens ipsi non perspiciant. Quia vero compromiserint, episcopos omnes die præstituta adfuturos, id facto complere oportere. Ubi dies habendæ synodo nominata illuxit, qui in patriarchio erant, præsto fuerunt. Magnus autem domesticus assumptis episcopis reis, jussisque ne mutire quidem, quandoquidem ipse eorum causam acturus esset, cum illis veluti se defensurus adventavit. Congregatis jam eodem in loco universis, patriarcha

A ἑαυτοῦ δὲ καθ' ὅσον ἂν οἷόν τε ἦ ἐπιμελησόμενον τῆς εἰρήνης. Ὃς πρὸς πατριάρχην ἐλθών, καὶ πολλὰ πολλάκις ὑπὲρ τῶν ἀρχιερέων δεηθείς, ἐπεὶ ἤνυε μηδέν, ἀλλ' ἀπαραιτήτως ὁ πατριάρχης εἶχε τῆς ὀργῆς, καὶ οὐδ' ἂν, εἴ τι γένοιτο, συγγνώμην ἔλεγε παρασχεῖν, εἰ μὴ δίκην δοῖεν πρότερον τῶν τετολμημένων, καὶ οὐδὲ ἀδικεῖν ἔλεγεν εἰ ἐπὶ δίκην προκαλεῖται · ὑπολαβὼν ὁ μέγας δομέστικος · Ἀλλ' οὐκ ἂν εἴη σοί τε κἀκείνοις ἐξ ἴσου τὰ τῆς δίκης, ἔφη, εἰ σὺ μὲν καθεδῇ δικάζων τε ἅμα καὶ ἐγκαλῶν, αὐτοὶ δὲ τῷ αὐτῷ διαιτητῇ τε ἅμα ἀναγκάζοιντο χρῆσθαι καὶ κατηγόρῳ. Εἰ δὲ μὴ πρόφεσθαι τὸ δίκαιον αὐτῶν, μήτε μὴν ὀργῇ μᾶλλον ἢ αὐτῇ τῇ δυνάμει τοῦ δικαίου τὰ πράγματα δικάσειν ἐπαγγέλλῃ, ἀπαντήσουσιν ἐπὶ τὸ δικαστήριον ἡμέρᾳ τα-
Б κτῇ. Ὁ πατριάρχης δέ · Τὸ μὲν ἐμοὶ τὴν δίκην προστήκειν τῶν τοιούτων καὶ τοῖς λοιποῖς ἀδελφοῖς τοῖς ἀρχιερεῦσιν, οὐκ ἂν οὐδ' αὐτὸς, εἶπεν, ἀρνηθείης. Ὅτι δὲ αὐτὸς ὡς ἠδικημένος εἰς δικαστήριον ἕλκω νῦν, οὐ δικαστὴς, ἀλλὰ κρινόμενος καθεδοῦμαι τῶν ἄλλων δικαζόντων ἀρχιερέων. Εἰ δ' ἄρα δικάζοιμι καὶ αὐτὸς, μή ποτε τοσοῦτον μανείην, μηδ' ἀτοπίας εἰς τοσοῦτον ἐξελάσαιμι, ὥστε ὀργῇ δικάζειν καὶ μὴ τοῖς ὀρθοῖς περὶ τῶν πραγμάτων λογισμοῖς, καὶ μάλιστα νυνὶ, ὅτ' οὐχ ὑπὲρ ἑτέρου, (ἦν γὰρ ἄν τις συγγνώμη), ἀλλ' ὅτε περὶ ἐμαυτοῦ τὴν ψῆφον ἐξάγειν μέλλω. Καὶ τάξαντες ἡμέραν ἐν
C ᾗ παρέσονται πάντες οἱ ἀρχιερεῖς, ὡς τῆς δίκης ἐσομένης, ὁ μέγας μὲν δομέστικος τῷ πατριάρχῃ συνταξάμενος, οἴκαδε ἀπεχώρει · ὁ πατριάρχης δὲ πρὸς τοὺς παρόντας ἀγνοεῖν ἔφη ὅ τι τῷ μεγάλῳ δομεστίκῳ τὴν πρὸς τὴν δίκην ἐπαγγελίαν νοεῖν, ἢ τίνι θαῤῥοῦντα πρὸς τὴν δίκην ἀπαντήσεσθαι τοὺς ἀρχιερέας φάναι, οὕτως αὐτοκατακρίτους ὄντας, εἰ μή τι καινότερον ἐπινενόηται αὐτῷ. Οἱ παρόντες δὲ, οἱ μὲν οὐδ' αὐτοὶ ἔφασαν τί δύνασθαι συνεῖναι. Οἱ δὲ ὑπώπτευον μὴ οὐκ ἀληθῆ τὴν περὶ τῶν πραγμάτων ἔσχεν ἀπαγγελίαν · ἀλλ' ὑπὸ πολλῶν καὶ συνεχῶν περιῤῥεόμενος φροντίδων, οὐκ ἀκριβῆ τὴν ἐξέτασιν ἐποιήσατο τῶν ἀκουσθέντων. Οὐ γάρ ἐστιν εἰκὸς πυθόμενον περὶ αὐτῶν ὡς ἐπ' οὐδεμιᾷ προφάσει, ἀλλὰ μόνῃ τῇ προστάξει πυθόμενοι βασιλέως, αὐτοί τε ἐξήλασαν ἐλθόντες τῆς ποίμνης δι' ἑαυτῶν παρὰ πάντα τὸν τοῦ δικαίου λόγον, καὶ κατέκλεισαν
D ἐν φρουρᾷ, ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἁλωκότων, αὐτοί τε ὑφ' ἑαυτοῖς ἐποιήσαντο τὴν Ἐκκλησίαν, καὶ τὰ μέγιστα ἀδικοῦντες καὶ πλεονεκτοῦντες ἐδίδασκον τὸν λαὸν περὶ ἀρετῆς, μηδὲ ἐρυθριῶντες, ἀλλὰ καὶ σεμνυνόμενοι τῇ ἁρπαγῇ, ἐπαγγέλλεσθαι αὐτοὺς ἀπαντήσειν εἰς τὴν δίκην. Αὐτὸς γὰρ ἂν αὐτῶν ἁπάσαις πρότερον κατέγνω. Ὁ πατριάρχης δὲ, νοῦν μὲν αὐτοὺς ἔφη λόγον ἔχοντα εἰρηκέναι, αὐτὸν δὲ μὴ πείθεσθαι οὕτως εἶναι · ἀλλά τι τὸν μέγαν δομέστικον ἐπινενοηκέναι, βαθείαις, καθάπερ ἴσμεν, κεχρημένον ταῖς φρεσὶν, ὃ νῦν ἡμᾶς μὴ δύνασθαι νοεῖν. Ἐπεὶ δὲ ἐπηγγειλάμεθα τοὺς ἀρχιερέας πάντας εἰς τὴν τεταγμένην ἡμέραν συνελθεῖν, ὃ ἐπηγγειλάμεθα, καὶ ἔργοις ἀναγκαῖον ἐκπληροῦν. Τῆς προθεσμίας δὲ ἐλθούσης ἐν ᾗ τῶν ἀρχιερέων τὴν

Digitized by Google Распознавание текста ABK/FR

σύνοδον ἔδει εἶναι, οἱ μὲν ἐν πατριαρχείῳ παρῆσαν πάντες. Ὁ μέγας δὲ δομέστικος τοὺς ὑπευθύνους τῶν ἀρχιερέων παραλαβὼν, καὶ παραγγείλας αὐτοῖς σιωπᾷν, καὶ φθέγγεσθαι μηδὲν ὡς ὑπὲρ αὐτῶν αὐτοῦ τοὺς λόγους ποιησομένου, ἦλθε σὺν αὐτοῖς ὡς ὑπὲρ ὧν ἐνεκαλοῦντο ἀπολογησόμενος. Πάντων δὲ γενομένων ἐν ταὐτῷ, τοὺς ἐγκαλουμένους ἀρχιερέας ὁ πατριάρχης ἠτιᾶτο ὑπὲρ τοῦ τῶν θρόνων ἀπελασθῆναι ὑπ' αὐτῶν, ἀδικήσαντα μηδέν· καὶ προσέτι γε εἰρχθῆναι. Οἱ μὲν οὖν ἐγκαλούμενοι ἀπεκρίνατο οὐδέν· σιωπῆς δὲ βαθείας γενομένης ἐπὶ πολὺ, ὁ μέγας δομέστικος εἶπεν· Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς Εὐαγγελίοις εἶπεν· Ἐὰν μὴ ἡ δικαιοσύνη ὑμῶν περισσεύσῃ πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τὸ δέ, Πλέον τῶν γραμματέων καὶ φαρισαίων, ὡς ὑμῶν ἀκούω διδασκόντων ἐγὼ, οὐδὲν ἄλλο εἶναι, ἢ τὸ, μὴ μόνον τὸν ἀδικοῦντα μὴ ἀμύνεσθαι ἐκ τοῦ ἴσου, ἀλλὰ καὶ εὖ ποιεῖν καθ' ὅσον ἂν οἷόν τε ᾖ. Διὸ καὶ τοὺς σωτηρίους νόμους τιθεὶς, τὸν ἑλκόμενον εἰς δικαστήριον ὑπὲρ τοῦ τὸν χιτῶνα ἀφαιρεθῆναι, καὶ τὸ ἱμάτιον προσέταξε προσαποδύσασθαι. Καὶ τὸν πατάξαντα ἐπὶ κόρρης, μὴ μόνον εὐθύνας οὐκ ἀπαιτεῖν, ἀλλὰ καὶ τὴν ἑτέραν ἐμπαρέχειν· καὶ ἄλλα ὅσα τῆς αὐτῆς ἐξέχεται διανοίας. Παραθήγων δὲ ἡμᾶς εἰς τὴν ἐργασίαν τῶν σωτηρίων νόμων, ποτὲ μὲν εἶπε· Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιὰ σοῦ. Καὶ, Εἰσελθὼν εἰς τὸ ταμιεῖόν σου, πρόσευξαι τῷ Πατρί σου, τῷ ἐν οὐρανῷ· καὶ προσέτι, Κλείσας τὴν θύραν. Ποτὲ δὲ ὅτι, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα. Καίτοι γε τῷ δοκεῖν τὰ τοιαῦτα παραγγέλματα ἀντίκεινται ἀλλήλοις. Ἐμοὶ δὲ δοκεῖν, τοῖς μὲν ἀτελέσιν ἡμῖν καὶ δυναμένοις ἐκ τῆς ἐπιδείξεως τῶν καμάτων τὰ ἔπαθλα ἀποστερεῖσθαι, τὸ ἐπικρύπτεσθαι αὐτὰ, εἰρῆσθαι παντὶ σθένει· τοῖς διδασκάλοις δὲ ὑμῖν, καὶ κοινὸν παράδειγμα ὀρθοῦ καὶ σώφρονος βίου προκειμένοις, τὸ λάμπειν ὑμῶν τὰ καλὰ ἔργα, ὅπως οἱ πολλοὶ ὁρῶντες, τὸν πατέρα ἡμῶν δοξάζωσι τὸν ἐν τοῖς οὐρανοῖς. Ἐὰν τοίνυν ὑμεῖς οἱ φῶς ἡμῶν τῶν μαθητευομένων, καὶ ταῖς ἀπάταις τοῦ βίου καὶ μερίμναις καὶ ἡδοναῖς προσισχομένων δίκαιοι ὄντες εἶναι, δεινοὶ καὶ ἀπαραίτητοι, καὶ μηδεμίαν παρέχοντες συγγνώμην τοῖς ἀδικήσασι καὶ κακῶς ὑμᾶς διαθεῖσι φανῆτε, οὐ θηρίων ἀνημέρων ἀγριωτέρους ἡμᾶς καὶ ὠμοτέρους παρασκευάσετε γενέσθαι; καὶ συμβήσεται ὑμῖν ὥσπερ τοῦ καλοῦ παράδειγμα γινομένοις ὑπὲρ τῆς πάντων ὠφελείας πρὸ τοῦ φιλανθρώπου καὶ δικαίου βραβευτοῦ στεφάνων ἀξιοῦσθαι καὶ γερῶν, οὕτω νῦν ὄφλειν οὐ τὰς τυχούσας δίκας ὑπὲρ τοῦ πᾶσι βλάβης ἀφορμὴν παρεσχηκέναι. Ἐγὼ δὲ παράδειγμα φιλανθρωπίας καὶ ἀπὸ τῶν τῷ βίῳ προσηλωμένων ἡμῶν παρέξομαι ὑμῖν, οὔπω χθὲς καὶ πρώην γεγενημένον. Ὁρᾶτε γὰρ τὸν βασιλέα, τοσοῦτο μὲν ἀρχῆς μέγεθος περιβεβλημένον, οὕτω δ' ἐν αὐτῷ τῷ τῆς νεότητος ἄνθει, ὅτε

A episcopos accusare, quod immerens de throno ab ipsis depulsus, et insuper carceri mandatus esset. Accusati nihil respondere. Post altum et longum silentium magnus domesticus ita infit : Dominus noster Jesus Christus in Evangeliis : « Nisi justitia vestra abundaverit plusquam scribarum, aut pharisæorum, non intrabitis in regnum cœlorum [1]. » Illud autem (*plusquam scribarum aut pharisæorum*) ut vos docentes audio, nihil est aliud, quam non solum injurias inferenti par non referre, sed eidem etiam quantum possis benefacere. Quocirca idem dum salutares leges conderet, trahenti in judicium propter auferendam tunicam, pallium quoque dimitti jussit; et percutienti unam maxillam, citra vindictam porrigendam
B et alteram; et alia demum quæ in eamdem sententiam sequuntur. Exacuens porro nos ad servanda præcepta salutifera, aliquando dixit, **197** « Nesciat sinistra tua, quid faciat dextera tua [2]; » et : « Ingressus cubiculum tuum, clauso ostio, ora Patrem tuum, qui in cœlis est [3]. » Aliquando autem : « Luceat lux vestra coram hominibus, ut videant opera vestra bona [4]. » Hæ leges quamvis secum pugnare videantur, tamen nisi aberrat opinio, nobis imperfectis, et qui possumus ex ostentatione laborum nostrorum præmia amitterre dictum est, uti ipsos totis viribus abscondamus; vobis autem magistris, et communibus rectæ inculpatæque vitæ exemplaribus, ut luceant opera vestra, quo multi, dum ea
C intuentur, Patrem nostrum qui in cœlis est, glorificent. Si itaque vos qui lux nostra, nostra, inquam, qui discipuli sumus, et fallaciis, sollicitudinibus, ac voluptatibus hujus vitæ implicati tenemur, merito esse debetis, duri et inexorabiles eritis, et mala irrogantes venia nulla prosequemini, nonne feris immitibus immitiores, ac sæviores nos facitis? Quare quemadmodum si ad omnium fructum probitatis exemplaria fieretis, a pio et justo certaminis arbitro coronis et præmiis dignaremini : sic nunc, quia omnibus nocendi aliis occasionem datis, non vulgaribus pœnis condemnabimini. Atqui ego exemplum humanitatis de nobis, huic vitæ ceu clavo affixis proponam vobis, quod recentissime contigit. Videtis imperatorem, quanquam in tanto
D tamque amplo imperio collocatum, nihilo minus in ipso ætatis flore, quando quis, etiam plurimum de vita recte instituenda sollicitus, facillime et a voluptatibus pessumdari, et ad iram immoderatam impelli solet, adversus protervitatem Marci, omnium mortalium scelestissimi, quali, quamque omnibus inopinata mansuetudine et clementia usus sit. Si ergo ille et ætate juvenis, et imperator, ut diximus, et negotiis hujus vitæ involutus, tam libenter offensam condonavit, tu communis præceptor et tanquam sanctioris vitæ speculum propositus, fratribus ignavia quadam male de te meritis nonne ignosces? an ita obfirmatus in reposcendis a son-

[1] Matth. v, 20. [2] Matth. vi, 3. [3] Ibid. 6. [4] Matth. v, 16.

Digitized by Google Распознавание текста ABK/FR

tibus pœnis, neque nostris precibus inflexus, neque ulla infelicium miseratione captus persistes? qui dementiæ suæ pretium condignum jam tulerunt, tali tempore ad tribunal pertracti, et ab omnibus despecti, et ultima supplicia se passuros formidantes? Ah! noli, obsecro. Redigam autem tibi in memoriam **198** promissum quoddam, quod mihi dedisti. Ut primum ad te pro his episcopis oratum accessi, quia vehementer judicium urgebas: Vide, inquiebam, ne tu judex, et accusator simul firmamenta reorum negligas. Ac tunc quidem te id minime facturum recipiebas. En tempus adest, ut quod promisisti, id reipsa præstes; nam præsidia causæ ipsorum ego mecum affero. Cum dicto surgens (surrexerunt autem et patriarcha, et reliqui omnes), episcopos accusatos accipit (et alios illos quoque ad preces secum conjungendas hortatur), atque ita simul omnes ad pedes patriarchæ procidunt, clamantes: Ignosce lapsis nobis, pater, ut et tibi a Patre cœlesti debita ignoscantur. Hæc illi faciebant. Patriarcha vero: Inextricabili, inquit, reti abs te comprehensus, magne domestice, quia aliud facere non licet quam quod tibi studio est, omittam repugnare, tibique parebo. Mox veniam largitur, et crimine absolvit, a quibus fuerat violatus, et a Deo illis impunitatem poscit; magno domestico pro cohortatione multa bona comprecatur, singulosque episcopos a quibus offensus erat, complexus, etiam benedictione (argumento utique non fucatæ reconciliationis) impertit. Post hæc pauca effatus, cœtum dimittit. Episcopi absoluti imperatorem adeunt, de cura et diligentia in ipsorum causa declarata gratias amplissimas agunt; divinorum ei munerum copiam exoptant; cui separatim primores, milites, aliosque amicos ac necessarios munifice remuneranti, visum est non committendum, quominus etiam populo, civitatique universæ publice aliqua gratia referretur. Itaque vectigalia onerosiora sustulit; et quicunque vineas, aut domicilia in locis publicis tributaria possidebant; iis pensionem remisit; et beneficium istuc data aurea bulla constabilivit.

μάλιστ' ἂν τις καὶ πολλὴν ποιούμενος ὀρθοῦ βίου φροντίδα, ῥᾷστα καὶ ὑπὸ ἡδονῶν κρατοῖτο καὶ πρὸς ἀμετρίαν ἐξάγοιτο θυμοῦ, πρὸς τὸν ὑβριστὴν καὶ τὰ δεινότατα τετολμηκότα Μάρκον, ὁποίᾳ μηδενὸς ἂν προσδοκήσαντος ἡμερότητι ἐχρήσατο καὶ φιλανθρωπίᾳ. Εἰ οὖν ἐκεῖνος νέος ὤν, ὥσπερ ἔφημεν, καὶ βασιλεὺς, καὶ τοῖς τοῦ βίου πράγμασι προσέχων, οὕτω συνέγνω τῷ πταίσαντι ῥᾳδίως, οὐ καὶ σὺ διδάσκαλός τε ὢν κοινὸς καὶ οἱονεὶ παράδειγμα προκείμενος ἐναρέτου βίου, τοῖς ὑπὸ ῥᾳθυμίας προσκεκρουκόσι συγγνώμην παρέξεις ἀδελφοῖς; ἀλλ' οὕτω διαχαρτερήσεις ἀπαραιτήτως τῶν ἡμαρτημένων δίκας ἀπαιτῶν, μήτε πρὸς τὰς ἡμετέρας καμπτόμενος δεήσεις, μήτε οἶκτον μηδένα λαμβάνων ἀτυχούντων αὐτῶν· καὶ τῆς παροινίας ἤδη δεξωκότων ἀξίας δίκας, ἐπὶ τοσοῦτον χρόνον εἰς δικαστήρια ἐλκομένων, καὶ πᾶν πάντων περιορωμένων, καὶ τὰ ἔσχατα πείσεσθαι προσδοκούντων; μὴ, παρακαλῶ. Ἀναμνήσω δέ σε καί τινος ἐπαγγελίας ἢ; ἐπηγγείλω πρὸς ἐμέ. Καὶ γὰρ ὅτε πρῶτον πρὸς σὲ ἀφῖγμαι ὑπὲρ τουτωνὶ δεόμενος τῶν ἀρχιερέων, ἐπεὶ πολὺς αὐτὸς ἐνέκειτο ἐπὶ δίκην καλῶν, Ἀλλ' ὅρα, ἔφην, μὴ σὺ, καὶ δικαστὴς καὶ κατήγορος ὢν, τὸ τῶν δικαζομένων δικαίωμα παρίδῃς. Τότε μὲν οὖν μὴ παρόψεσθαι ἐπηγγείλω· νῦν δ' ἤδη καιρὸς καὶ ἐπὶ τῶν ἔργων τὴν ἐπαγγελίαν ἐκπληροῦν. Τὸ γὰρ δικαίωμα αὐτῶν ἀφῖγμαι ἔχων ἐγώ. Καὶ ἀναστὰς εὐθὺς, Ἐπεὶ δ τε πατριάρχης καὶ οἱ λοιποὶ συνανέστησαν πάντες, τοὺς ἐγκαλουμένους παραλαβὼν ἀρχιερέας, ἅμα δὲ καὶ τοῖς ἄλλοις παρακελευσάμενος τὰ ἴσα δρᾶν, καὶ τῆς δεήσεως συνεφάπτεσθαι αὐτοῖς, πρὸς τοὺς πόδας ὁμοῦ πάντες τοῦ πατριάρχου κατακλιθέντες, Συγχώρησον ἡμῖν τοῖς ἐπταικόσιν, ἔλεγον, πάτερ, ἄφες, ἵνα καὶ σοὶ παρὰ τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς τὰ ὀφειλήματα ἀφεθῇ. Οἱ μὲν οὖν τοιαῦτα ἐποίουν· ὁ πατριάρχης δὲ, Ἀφύκτοις, ἔφη, λίνοις ὑπὸ σοῦ, μέγα δομέστιχε, περισχεθείς, ἐπεὶ μηδὲν ἔξεστιν ἔτι δρᾶν ἢ ὅπερ αὐτὸς ποιῇ διὰ σπουδῆς, τὸ ἀντιλέγειν ἀφείς, ὅπερ ἐθέλεις αὐτὸς ποιήσω. Καὶ αὐτίκα συγγνώμην τε ἐδίδου, καὶ τῆς αἰτίας ἦφιε τοὺς λελυπηκότας, καὶ παρὰ τοῦ Θεοῦ συγχώρησιν αὐτοῖς τῶν ἡμαρτημένων ἐξητεῖτο. Καὶ τῷ μεγάλῳ δομεστίχῳ πολλὰ ἐπηύχετο ἀγαθὰ τῶν λόγων ἕνεκα, ὧν διεξῆλθε πρὸς αὐτούς. Ἡσπάζετό τε τοὺς λελυπηκότας ἀρχιερέας καθ' ἕνα, καὶ εὐλογίας ἠξίου, δεῖγμα καθαρᾶς διαλλαγῆς. Μετὰ δὲ τοῦτο πατριάρχης μὲν διέλυσε τὸν σύλλογον, βραχέα τινὰ διαλεχθείς· οἱ αἰτιαθέντες δὲ ἀρχιερεῖς εἰς βασιλέα ἐλθόντες, πολλὰς ὡμολόγουν χάριτας αὐτῷ τῆς ὑπὲρ αὐτῶν ἐπιμελείας καὶ σπουδῆς, καὶ ἐπηύχοντο πολλὰ ἀγαθά. Βασιλεῖ δὲ ἰδίᾳ τοῖς τε ἐν τέλει, καὶ τοῖς στρατιώταις καὶ τοῖς ἄλλοις ἐπιτηδείοις πολλὰς παρεχομένῳ τὰς εὐεργεσίας, οὐκ ἐδόκει δεῖν μὴ καὶ δημοσίᾳ τῷ δήμῳ καὶ πάσῃ τῇ πόλει χάριν καταθέσθαι τινὰ, καὶ τάς τε βιαιοτέρας ἐκώλυσε συνεισφοράς, καὶ ὅσοι ἀμπέλους ἢ οἰκήματα ἐν δημοσίοις χωρίοις εἶχον, ἐφ' οἷς συνετέλουν πρόσοδόν τινα τακτὴν εἰς τὸ κοινὸν, τούτους ἐκέλευσε μηδὲν παρέχειν, ἀλλ' ἄνευ φόρων καρποῦσθαι, καὶ χρυσόβουλλον δικαίωμα ἐπὶ τῇ εὐεργεσίᾳ παρασχών.

199 CAPUT III.

Mœsorum rex Thraciam superiorem devastat. Imperator cum eo depugnaturus Bizyam abit. Mœsus clam domum recedit, usus strategemate. Imperator incursans Mœsiam, Diampolim cepit. Iterum irrumpens in Thraciam Mœsus Bucelum occupat, Probatum obsidet. Exprobratur ei perfidia cum minis. Causam prætendit, uxoris jus in paternum imperium. Prolata lege refutatur, territusque magnitudine et fidentia Romani exercitus, Bucelum redditurum, pacemque servaturum promittit. Causa audaciæ Mœsorum. Milites se spoliis privari dolent. Amicitia renovatur. Uterque domum redit.

Sub idem tempus Mœsorum rex Michael cum

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ὁ τῶν Μυσῶν

Digitized by Google Распознавание текста ABK/FR

βασιλεὺς Μιχαὴλ πανστρατιᾷ ἐσέβαλεν εἰς τὴν Ῥωμαίων, ἄγων καὶ Σκύθας συμμάχους, καὶ τὰς ἄνω τῆς Θράκης ἐδῄωσε πόλεις ἐφ' ἡμέραις ἱκαναῖς. Ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς τὴν εἰσβολήν, ὅσην ἐξῆν ἀθροίσας στρατιάν, ἦλθεν εἰς Βιζύην κατὰ τάχος, κἀκεῖ παρεσκευάζετο πρὸς μάχην. Μιχαὴλ δὲ ἐπεὶ πρὸς τῶν σφετέρων μάθοι κατασκόπων ἐν Βιζύῃ παρασκευάζεσθαι τὸν βασιλέα (ἔτι γὰρ ἐν τῇ Ῥωμαίων καθήμενος ἐδῄου), δείσας μὴ ἐπελθόντα· οὐχ οἷός τε ἀμύνεσθαι ᾖ, ἔγνω δεῖν ἐξαπατῆσαι· καὶ πέμψας πρεσβευτήν, ἀκηκοέναι ἔφασκεν εἰς Βιζύην ἀφιγμένον· στοχάζεσθαί γε μὴν ἐκ τῶν εἰκότων μάχεσθαί οἱ ὡρμημένον ἐπιέναι· οὐ δεῖν οὖν κατατρίβειν τὴν στρατιὰν μακρὰν ἀνύοντα ὁδόν· αὐτὸν γὰρ ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἀφίξεσθαι ἐς Βιζύην ὡς ἐς μάχην. Ὁ μὲν οὖν πρεσβευτὴς τοιαῦτα εἰπὼν ἀπῆλθε. Μιχαὴλ δὲ ἅρας τῷ στρατῷ τῆς τε ἡμέρας τὸ λοιπὸν καὶ τὴν ἐπιοῦσαν νύκτα βαδίσας συντόνως, ἐς τὴν ὑστεραίαν ἐν ὁρίοις τῆς ἰδίας ἡγεμονίας ἦν· βασιλεὺς δὲ ἅμα πρωΐ, τήν τε στρατιὰν κελεύσας ἐν τοῖς ὅπλοις εἶναι, καὶ τὴν ἔφοδον τῶν βαρβάρων περιμένειν, ἐξηρτύετο καὶ αὐτὸς τὰ πρὸς τὴν μάχην. Καὶ στρατιώτας ἔπεμψέ τινας ὡς τὸ στρατόπεδον τῶν πολεμίων κατασκεψομένους. Περὶ μεσημβρίαν δὲ οἱ κατάσκοποι ἦκον στρατιῶται, ἄγοντες καὶ Μυσοὺς δοριαλώτους ἕξ· οἳ ἀνερευνώμενοι, τὸν βασιλέα ἔφασαν σφῶν τῇ προτεραίᾳ ἅπαντα τῇ στρατιᾷ οἴχεσθαι εἰς τὴν οἰκείαν, αὐτοὺς δὲ ἁρπαγῆς ἕνεκα περιλειφθέντας, ὑπὸ τῶν στρατιωτῶν ἁλῶναι. Οὕτω μὲν Μιχαὴλ κατεστρατήγησε βασιλέα. Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ αὐτὸς εἰσέβαλεν εἰς τὴν Μυσίαν, καὶ τἄλλα τε ἐκάκωσεν αὐτήν, καὶ Διάμπολιν εἷλεν ἐξ ἐφόδου· καὶ πορθήσας αὐτήν, ἐπανέζευξεν εἰς τὴν οἰκείαν. Ὁ Μιχαὴλ δὲ μετὰ ἑξηκοστὴν ἡμέραν τῆς βασιλέως εἰσβολῆς, πάλιν καὶ αὐτὸς εἰσέβαλεν εἰς τὴν Ῥωμαίων. Καὶ γενόμενος ἐν Ὀδρυσοῖς, τὸ Βουκέλου προσαγορευόμενον πόλισμα εἷλε προδοσίᾳ, τῶν φυλάκων νυκτὸς καταπροδόντων· καὶ ἐστρατοπέδευσεν ἐν αὐτῷ ἀδικήσας μηδέν. Βασιλεὺς δὲ Διδυμοτείχῳ ἐνδιατρίβων, ἐπεὶ ἐπύθετο τὴν εἰσβολήν, εἰς Ἀδριανούπολιν ἦλθε κατὰ τάχος, κἀκεῖ συνήθροιζε τὴν στρατιὰν ὡς μαχούμενος Μυσοῖς. Καὶ ὁ Μιχαὴλ ἐν Βουκέλου ἐστρατοπεδευμένος, παρεσκευάζετο καὶ αὐτὸς ἐκ τῆς οἰκείας στρατιὰν μεταπεμπόμενος. Καὶ ὕστερον ἡμέραις ὀλίγαις τὸ Προβάτου καὶ αὐτὸ πόλισμα ἐγγὺς ὂν περιστρατοπεδευσάμενος ἐπολιόρκει. Οὕτω μὲν οὖν ἀλλήλοις ἀντεστρατοπεδεύοντο ἐπὶ τριάκοντα ἡμέραις ἐξαρτυόμενοι τὰ πρὸς τὴν μάχην. Ἐπεὶ δὲ ἤδη πάντα ἐπεπόριστο καὶ ἔδει ἐπιέναι, πρεσβείαν πέμψας ὁ βασιλεὺς πρὸς Μιχαὴλ, οἰεσθαι ἔλεγεν ἐπιλελῆσθαι αὐτὸν τῶν τε ὅρκων, καὶ τῶν συνθηκῶν, οἳ ἐγένοντο αὐτοῖς συγγενομένοις ἐν Τζερνομιάνου, καὶ διὰ τοῦτο τῇ τε Ῥωμαίων πρῶτον ἐσβεβληκέναι, καὶ τὸν πόλεμον κεκινηκέναι, αὐτὸν δὲ μεμνῆσθαί τε τῶν συνθηκῶν, καὶ ἐμμένειν ταῖς σπονδαῖς· ἀδικούμενον δὲ

A omnibus copiis suis et Scytharum auxiliis, in fines Romanos irrupit, superiorisque Thraciæ oppida diebus multis depopulatus est. Eo comperto, imperator quam maximos potuit delectus egit, et Bizyam properans, ibi se ad prælium instruxit. Quod cum ex speculatoribus suis Michael didicisset (adhuc enim Romanam provinciam devastabat), metuens, ne adventantem sustinere non posset, ad fraudem confugiendum censuit. Misso igitur legato, dici jussit, audisse se eum Bizyam advenisse. Ducere conjecturam e verisimilibus, hostili animo venisse, secum præliandi ardore inflammatum. Ne igitur militem suum longo itinere delassaret, se cum diliculo crastino Bizyam ad manum conserendam accessurum. His nuntiatis legatus

B discessit. At Michael, inde se movens, et per reliquum diei, noctemque continenter ambulans, die altero fines sui principatus attigit. Imperator suis præcepit, uti mane in armis hostem exspectarent, et ipse conflictui necessaria curans, nonnullos ad castra Mœsorum exploranda dimittit, qui sub meridiem cum sex Mœsis captivis revertuntur. Ii interrogati, regem pridie cum exercitu domum regressum, se prædandi causa relictos et ita captos memorant. Sic Michael strategemate imperatorem delusit. Non multi dies intercesserunt, cum ipse quoque imperator Mœsiam incursans, et cætera infestam habuit, et Diampolin ex itinere, seu primo impetu, expugnavit, atque ita in provinciam

C suam reversus est. Die ab hac incursione sexagesimo, rursum Michael in Romanos prædabundus invadit, et in Odrysis Bucelum oppidulum per proditionem excubitorum capit, ibique castra sine maleficio ponit. Imperator **200** Didymotichum incursione perlata, Adrianopolin festinat, ubi militem ad pugnam colligit. Michael quoque domo cohortes Bucelum evocat, seseque ad certamen comparat. Post paucos dies Probatum, vicinum oppidulum, obsidione cingit. Sic usque in tricesimum diem castra castris opponentes, ad prælium sese instruebant. Paratis jam omnibus, cum ad manus veniendum esset, mittit legationem ad Michaelem imperator, cujus hæc summa fuit: Videri ipsum fœderis, et jurisjurandi, quod inter se apud Tzer-

D nomianum dedissent, oblivione captum, atque ideo et Romanam regionem incursasse, et bellum commovisse, se pactorum meminisse, nec ea temerare, sed inique læsum, prioremque insidiis appetitum, velle a se vim arcere ac depellere, et invitum ad hoc prælium adigi: et quia uterque exercitus Thraces sint (35) (quos non se mutuo, sed junctim impios in Deum Barbaros armis lacessere oporteret), et quia soror sua cum eo nupta sit; quem proinde amicum sibi, non hostem cupiat; si tamen oppidum proditione occupatum restituat. Sin minus, cum cruce, quam alias ab eo missam ac-

Jacobi Pontani notæ.

(35) Imo, *uterque exercitus eamdem religionem sectetur.* Mendose in ms. interpretis, Θράκης pro Θρησκείας.

Digitized by Google Распознавание текста ABK/FR

ceperit, in summo vexilli collocata, illum invasurum. Michael per legatos in hanc sententiam respondet, ipsum imperatorem, et sororem ejus ejusdem patris esse liberos. Decere igitur, et justum esse, quando ipse paternum imperium omne teneat, sororem quoque portionem aliquam paternæ hæreditatis cernere. Ad hæc imperator, id se percupere, nec Bucelum tantummodo, sed alias urbes insuper ei tanquam paternorum bonorum consorti tradere; salva tamen ipsa jam vetustate corroborata Romanorum lege, quæ sic habeat: Ex filiis imperatoris qui ætate antecesserit, imperatorem salutanto, et is fratribus imperato, et hi seniori cedunto, seduloque serviunto. Quamobrem si ei placeat, juxta hanc fixam et confirmatam legem imperatoris servum et esse et appellari, se vicissim paratum esse illi, velut ex proprio ac debito principatu, urbes et regiones addicere. Michael, quia cum copiis haud longe distabat, statim respondit, cum ipse quoque rex sit, absurdum videri, in alterius regis arbitrio esse. Si Bucelum recipere velit, Sozopolin (ad Pontum Euxinum amplam et populosam urbem) contra dedat. **201** Imperator, tum nihil respondens, legatos in castris corpora cibo, somnoque curare jussit. In diem sequentem omnibus suis arma imperat, nec ipsi solum, sed equi etiam splendide ornati (36) instructique: et alii quidem e corio, alii hamatis thoracibus induti apparebant (37). Erat porro videre Romanum exercitum non tantum qua armis, qua equis instructum sumptuosissime, sed etiam numero tantum, quantus jam pridem nunquam in unum convenerat. Occidentalis quippe totus aderat cum Macedonibus, et Thracibus, et ex Orientis urbibus, quæ quidem Romanis subessent, atque etiam e Byzantio equitatus, et peditatus multus, gravisque armaturæ et sagittarii. Postquam vero per phalangas (38), tanquam ad certamen obeunA καὶ προεπιβουλευόμενοι ἀμύνεσθαι, καὶ ἄκοντας ἐς τὸν πόλεμον καθίστασθαι. Τοῦτο μέν, ὅτι καὶ ἡ ἑκατέρωθεν στρατιὰ τῆς αὐτῆς εἰσι θρησκείας, οὓς οὐ πρὸς ἀλλήλους, ἀλλὰ μετ' ἀλλήλων ἔδει τοῖς ἀσεβοῦσι περὶ τὸν Θεὸν βαρβάροις ἐπιέναι. Τοῦτο δ' ὅτι καὶ αὐτὸν ἀδελφῆς ὄντα σύνοικον τῆς ἑαυτοῦ οὐ βούλοιτο πολέμιον, ἀλλὰ φίλον ἔχειν. Πλὴν ἐὰν τὸ πόλισμα ἀποδῷ, ὃ λαβὼν ἔχει προδοσίᾳ. Ἐὰν δὲ μὴ ἀποδιδῷ, τὸν σταυρὸν ὃν πρότερον πέπομφε πρὸς αὐτὸν ἐπὶ τῆς σημαίας ἀναθεὶς, ἐλεύσεται ἐπ' αὐτόν. Ὁ Μιχαὴλ δὲ καὶ αὐτὸς ἀντεπρεσβεύετο πρὸς βασιλέα, τὸν ἴσον τρόπον αὐτόν τε εἶναι τοῦ σφετέρου παῖδα πατρὸς καὶ τὴν αὐτοῦ ἀδελφήν. Προσήκειν οὖν αὐτὸν τὴν πατρῴαν ἔχοντα πᾶσαν ἀρχὴν, καὶ τὴν ἀδελφὴν κατὰ τὸν τοῦ δικαίου λόγον μέρους τινὸς τῶν πατρῴων κληρονομεῖν· ὁ βασιλεὺς δὲ, καὶ πάνυ βούλεσθαι τοῦτο ἔφη· καὶ μὴ μόνον τὸ Βουκέλου πόλισμα, ἀλλὰ καὶ πόλεις ἑτέρας ὡς τοῦ πατρῴου κλήρου καὶ αὐτῷ συμμετέχοντι παρασχεῖν, πλὴν, κατὰ τὸν ἄνωθεν ἐπικρατήσαντα Ῥωμαίοις νόμον. Οὗτος δέ ἐστι, τὸ, τῶν παίδων βασιλέως, τὸν μὲν προήκοντα τῷ χρόνῳ βασιλέα τε ἀναγορεύεσθαι, καὶ τῶν ἄλλων ἄρχειν. Τοὺς δ' ἄλλους ἀδελφοὺς ὑπείκειν τε τῷ πρώτῳ καὶ δουλεύειν ἀκριβῶς. Εἰ οὖν ἀρεστὸν αὐτῷ κατὰ τὸν ἐπικρατήσαντα τουτονὶ Ῥωμαίων νόμον, δούλῳ καὶ εἶναι καὶ ὀνομάζεσθαι βασιλέως, καὶ αὐτὸς ἕτοιμος εἶναι ὡς ὑπὸ τὴν οἰκείαν ἀρχὴν τελοῦντι καὶ πόλεις καὶ χώρας παρασχεῖν. Μιχαὴλ δὲ ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύετο καὶ αὐτὸς, δι' ὀλίγου τὰς ἀποκρίσεις ποιούμενος, οὐκ ἔφη προσήκειν καὶ αὐτῷ βασιλεῖ ὄντι, ὑφ' ἕτερον βασιλέα τελεῖν· ἀλλ' εἰ βούλοιτο τὸ Βουκέλου πόλισμα ἀπολαβεῖν, τὴν Σωζόπολιν κατὰ τὸν Εὔξεινον Πόντον, πολυάνθρωπον οὖσαν καὶ μεγάλην πόλιν, ἀντ' ἐκείνου δοῦναι. Βασιλεὺς δὲ τότε μὲν ἀπεκρίνατο οὐδὲν, ἀλλ' ἐκέλευσε τοὺς πρέσβεις εἰς τὸ στρατόπεδον ἀναπαύλης τυχεῖν. Εἰς τὴν ὑστεραίαν δὲ ἅμα ἕῳ τὴν στρατιὰν ἐκέλευσεν ὁπλίσασθαι πᾶσαν, καὶ ἦσαν ἐν τοῖς ὅπλοις πάν-

Jacobi Pontani notæ.

(36) Virgilium amare, delectarique armis pulchris et elegantibus, eaque non ducibus tantum, sed militibus quoque concedere, docuimus in symbolis nostris ad III *Æneid.* Narravimus de Xenophonte, ex Æliano lib. III, cap. 24, qui aiebat, si vicisset hostes, elegantissimo quoque ornatu se dignum esse, et, si vitam in acie amitteret, cum quodam decore oppetiturum in armatura splendida. Memorat item Curtius, lib. V, Alexandrum scuta laminis argenteis operuisse, equos frenis ornavisse. Vide causam ibi. Præcipit item Onosander imperatori, curet ut exercitus armis splendidis instructus fulgeat. Quod facili negotio fiet, si gladiorum mucrones probe acuantur, et galeæ loricæque frequenter abstergantur. Milites enim quasi micantibus armorum scintillis terribiliores apparent, multæque per oculos species in animos delapsæ, perterrere adversarios solent. Addamus et istuc pro corollario: Leo imperator, *De apparatu bellico*, cap 6: *Quanto decentior in armatura sua miles est, tanto major illi alacritas, et hostibus formido vehementior aderit.*

(37) Virgilius III *Æneid.* vocat loricam *consertam amis.* Explicat Lipsius hoc genus loricæ, *De militia Rom.* lib. V, dial. 6: *Loricas hamatas dixerunt Latini*, inquit, *quia circuli, et catenæ nexæ hamuli speciem dimidiati referebant; vel quia et homi catenulas jungebant.* Lorica quidem hamata versa a veteri bibliorum interprete. *I Reg.* cap. XVII, ubi in Græco, θώραξ ἁλυσιδωτὸς, ad verbum *lorica catenata.* Et non aliud fuit, quam circuli, sive annuli ferrei inter se nexi, more quem hodie Galli, et Germani servamus, etsi exolescentem.

Ῥωμαίοις ἐπιστρατεύειν, αὐτοὺς δὲ ἐκείνοις μηδαμῶς, ἔγνω δεῖν πρὸς τὴν ἕω περαιωθεὶς, τοῖς κατὰ Βυθηνίαν (52) βαρβάροις ἐπιθέσθαι· ἔτι γὰρ ἐσκήνουν ἐν τοῖς πεδίοις ἔαρος ἤδη μεσοῦντος κατὰ μῆνα Μάϊον· καὶ μετακαλεσάμενος τὸν τῆς Μεσοθηνίας ἄρχοντα τὸν πρωτοκυνηγὸν Κοντοφρὲ, ἐβουλεύετο περὶ τῆς κατὰ τῶν βαρβάρων εἰσβολῆς. Ἦν γὰρ δὴ ὁ Κοντοφρὲ, οὐ διὰ τὸ Μεσοθηνίας ἐπιτροπεύειν μόνον, πεῖραν ἔχων τῶν κατὰ τοὺς βαρβάρους πραγμάτων, ἀλλὰ καὶ ἄλλως ἀνὴρ ἀγαθὸς, καὶ πολλῶν πολέμων ἔμπειρος καὶ μάλιστα τῶν Περσικῶν, οἷα δὴ ἐκ πρώτης ἡλικίας τοῖς ἤθεσί τε καὶ ταῖς διατριβαῖς αὐτῶν ἐντραφείς. Κοντοφρὲ δὲ ἐπέρρωσέ τε τὸν βασιλέα πρὸς τὸν κατὰ τῶν βαρβάρων πόλεμον, καὶ ἡδέως ἔλεγεν ἐκείνην τὴν ἡμέραν ἂν ἰδεῖν, ἐν ᾗ ἀπὸ τῶν βαρβάρων ἐξέσται Ῥωμαίοις, ὧν εἰς αὐτοὺς ὑπῆρξαν, πολλῶν ἀδικιῶν δίκας λαβεῖν. Ὑπετίθει τε μὴ μέλλειν, ὡς ὅσον οὔπω τῶν βαρβάρων ἀπὸ τῶν πεδινῶν ἐπὶ τὰ ὀρεινότερα ἀναχωρησόντων, τὴν ἀλέαν ἐκκλινόντων τὴν ἀπὸ τοῦ θέρους· οὕτω γὰρ εἶναι αὐτοῖς ἔθος οὖσι νομάσιν. Ἐπεὶ δὲ ἐδέδοκτο ἐπιστρατεύειν τοῖς βαρβάροις καὶ μὴ μέλλειν, τὴν ἐκ Βυζαντίου καὶ Διδυμοτείχου, καὶ Ἀδριανουπόλεως καὶ Θρᾴκης συναθροίσας στρατιάν· οὐ γὰρ ἐξῆν τήν τε ἐκ Μακεδονίας καὶ τῆς ἄλλης ἑσπέρας μεταπαλεῖσθαι· κατήπειγε γὰρ ὁ καιρὸς, καὶ ὁ Κοντοφρὲ πάλιν ἐκ Μεσοθηνίας ἐλθὼν καὶ φάσκων νῦν εἶναι καιρὸν ἐπιθέσθαι τοῖς βαρβάροις, ὡς ὅσον οὔπω πρὸς τὰς δυσχωρίας ἀποχωρήσουσι τῆς ὀρεινῆς· τὴν C ἠθροισμένην στρατιὰν λαβὼν ὁ βασιλεὺς, ἐπεραιώθη πρὸς τὴν ἕω λήγοντος ἤδη ἔαρος, κατὰ τὸ Σκουτάριον προσαγορευόμενον. Ἐπεὶ δὲ ἠγγέλθη τοῖς βαρβάροις ἡ τοῦ βασιλέως ἔφοδος, ὅσοι μὲν ἦσαν νομάδες κατὰ τὴν Βυθηνίαν διεσκεδασμένοι, σκηνάς τε ἀναλαβόντες καὶ βοσκήματα, καὶ τὴν ἄλλην ἀποσκευὴν, ἐπὶ τὰ ὑψηλότερα ἀνῆλθον τῶν ὀρῶν, καὶ πορρώτερόν ἢ ἐξ ἔθους ἦν αὐτοῖς. Ὀρχάνης δὲ ὁ τῶν αὐτόθι Περσῶν σατράπης, ὅση ἦν αὐτῷ πεζὴ καὶ ἱππικὴ δύναμις ἀναλαβὼν, ἐπεὶ ἐπύθετο τὸν βασιλέα διὰ Μεσοθηνίας μέλλοντα ἰέναι, πολλὰς ἐχούσης δυσχωρίας καὶ ὀχυρότητας αὐτοφυεῖς, οὐ τῇ σφετέρᾳ δυνάμει μᾶλλον, ἢ τῇ θέσει θαῤῥήσας τοῦ τόπου, εἰς Μεσοθηνίαν ἐλθὼν, ὑψηλοῖς χωρίοις καὶ δυσπροσ-

Jacobi Pontani notæ.

(52) Ita scriptum in manuscripto, nescio an errore librarii, an ævi; quanquam apud Gregoram, qui Cantacuzeno coævus, et apud Codinum, qui etiam inferior est, legatur Βιθυνία.

(53) De hac expeditione legas censeo, quæ libro IX narrat Gregoras, et cum nostra narratione conferas, quam multo uberiorem ac distinctiorem, adjo, etiam veriorem invenies.

(54) Angulo Sultanini Saraii (id est, palatii) respondet e regione Scutarium in Asia, disjunctis a D se invicem locis hisce duntaxat uno milliari Græco. Ante vero, quam hic trajectus superetur, occurrit in ipsis aquis exstructa quædam arx parva, quam turrim Scutariam Græci vocant, Turci Kisculam, hoc est, arcem virginis. Distat a continente Asiana Scutarium centum passibus. Nomen oppido vicino dedit, ut id Græcis hodie Scutarium, Turcis Iscodar dicatur: olim non Chalcedon, ut quidam magni viri falso putaverunt, sed Chrysopolis. Leunclavius *Pandectæ historiæ Turcicæ*.

Digitized by Google Распознавание текста ABBYY FR

conspexit, paulumque ultra progressus, et ipse in loco, cui Pelecano nomen est, castra fecit, coactisque primoribus, quid facto opus exquisivit. Sententia fuit non esse ulterius progrediendum, tum quod Persæ nomades in quos tendebant, velut in servitute abrepturi, id sentientes fugerent : **211** tum quia locis, per quæ essent transituri, inviis et angustis, pedestrique et equestri exercitu contra occursuro, non videbatur necessarium nullo cum fructu adire periculum. Ne tamen metu Barbarorum regredi putarentur, postridie matutini in planitie, velut ad pugnam dispertiti viri, dispertiti ordines, e regione consisterent. Et si quidem hostes e locis arduis digressi, æquo campo cum ipsis vellent concurrere, virtutem suam contra ostentarent; sin autem. Byzantium viam ordinatim capesserent, re docentes, non quia timerent, sed quia quibuscum pugnarent non haberent, domum reversos. Hoc illi decreverunt, et apud Pelecanum pernoctarunt. Posteaquam pulsis tenebris diurna lux affulsit, laudibus Deo de more dictis, imperator militibus tuba signum ad arma capienda dari jussit. Armati igitur, juxta hesternum decretum contra Barbaros in acies dispositi, tanquam ad prælium conserendum procedunt. Eo viso Orchanes suos item instruit, partemque in insidiis occultat : ut si Romani in hos prævalentes irruerent, illi derepente prosilientes, eos perterrefacerent, atque in fugam compellerent. Reliquis itaque sibi adjunctis, in sublimi stabat. Secretis porro trecentis equitibus sagittariis pugnacissimis, in equis velocissimis, imperavit eis, ne cominus et stataria pugna, sed ex incursu invadentes (55), cum Romanis depugnarent, rursumque fugerent, et tela in tergum torquerent (56); deinde conversi, redirent, hostemque denuo lacesserent. Contigit autem, ut spatium medium versus Romanos æquale, et equiti idoneum; versus Persas non acclive solum, accessuque laboriosum, sed et fossis nativis undequaque interceptum esset. Qua commoditate Barbari potissimum fidentes, in Romanos audacius se inferebant. His igitur trecentis, ut hoc modo cum Romanis dimicarent, mandavit, alios mille a tergo eorum ad fossas et angustias, qui Romanos insequentes exciperent, et eadem de causa mille in utroque latere locavit. Imperator ubi Persas de colle descendisse conspexit, etiam ipse trecentos de suis elegit, a quibus stiparetur, eosque talibus verbis accendit : Quam gloriam, milites, quod decus Romani inde ab initio ex eo sibi comparârint, quod hostibus formidabiles fuerunt, nec vobis est ignotum. Hi enim sunt, qui totum pene

A ὁδοὶς ἐγκαθίδρυσε τὴν στρατιάν. Βασιλεὺς δὲ ἀπὸ Σκουταρίου δυεῖν ἡμερῶν ὁδὸν ἀνύσας, τῇ τρίτῃ ἅμα ἕῳ ἐπεὶ πάλιν τῆς αὐτῆς εἶχοντο ὁδοῦ, καὶ ἡ Περσικὴ στρατιὰ ἐφάνη ἄπωθεν ἐν χωρίοις ὑψηλοῖς ἐγκαθιδρυμένη. Ὀλίγον δὲ προελθὼν ὁ βασιλεὺς, ἐστρατοπέδευσε καὶ αὐτὸς ἐν χωρίῳ Πελεκάνῳ προσαγορευομένῳ· καὶ τοὺς ἐν τέλει συναγαγὼν, ἐβουλεύοντο ὅ τι δέοι ποιεῖν. Ἐδόκει δὴ περαιτέρω μὴ προβαίνειν, ἅμα μὲν καὶ διὰ τὸ τοὺς νομάδας Πέρσας οἷς ἐπῆσαν, ὡς ἐξανδραποδισόμενοι, τὴν ἔφοδον αἰσθομένους διαδράναι· ἅμα δ' ὅτι τῶν τε χωρίων δυσβάτων καὶ στενῶν ὄντων δι' ὧν ἔμελλον διΐέναι, καὶ στρατιᾶς ἀντιστρατοπεδευομένης πεζῆς τε καὶ ἱππικῆς, οὐκ ἀναγκαῖον διακινδυνεύειν ἐπὶ κέρδει οὐδενί. Ἵνα δὲ μὴ δοκοῖεν τῷ δέει τῶν βαρβάρων B ἀναστρέφειν, εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ ὁπλισαμένους ἐπὶ τοῦ πεδίου κατέναντι τῶν βαρβάρων παρατάξασθαι ὡς εἰς μάχην. Κἂν μὲν αὐτοὶ τῆς δυσχωρίας ἀποστάντες, ἐπὶ τοῦ ὁμαλοῦ θελήσωσι διαγωνίσασθαι αὐτοῖς, καὶ αὐτοὶ ἐπιδείξεσθαι τὴν οἰκείαν ἀρετήν· ἐὰν δὲ μὴ αὐτοὶ τῆς δυσχωρίας ἀφιστῶνται, τῆς εἰς Βυζάντιον ἔχεσθαι φερούσης τεταγμένως· ἔργῳ δείξαντας ὡς οὐ διὰ δειλίαν, ἀλλὰ τὸ μὴ ἔχειν οἵστισι συμβαλοῦσιν, ἀνέζευξαν εἰς τὴν οἰκίαν. Οὕτω μὲν δὴ ἐδέδοκτο· καὶ ηὐλίσαντο τὴν νύκτα ἐκείνην κατὰ τὸν Πελεκάνον. Ἅμα δὲ ἕῳ μετὰ τοὺς εἰωθότας ὕμνους πρὸς Θεὸν, τῇ σάλπιγγι ἐκέλευεν ὁ βασιλεὺς τῇ στρατιᾷ τὴν ἐφόπλισιν σημαίνειν. Ἐπεὶ δὲ ὡπλίσαντο, κατέναντι τῶν βαρβάρων ἦλθον, παρατεταγμένοι ὡς ἐς μάχην, ᾗ ἐδέδοκτο τῇ προτεραίᾳ. C Ὀρχάνης δὲ καὶ αὐτὸς ἰδὼν τὸν βασιλέα ἐπιόντα, ἀντιπαρέτατε καὶ αὐτὸς τὴν στρατιάν. Καὶ μέρος μέν τι κατέκρυψεν ἐν λόχοις· ὡς ἂν εἰ οἱ Ῥωμαῖοι ὑπερσχόντες ἐπίωσιν αὐτοῖς, οἱ ἐν ταῖς ἐνέδραις ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες ἐκπλήξωσί τε διὰ τὸ ἀπροσδόκητον, καὶ τρέψωνται αὐτούς. Τὴν δ' ἄλλην ἅπασαν δύναμιν ἀναλαβὼν, ἔστη ἐπὶ μετεώρου. Τριακοσίους δὲ ἀπολεξάμενος τοὺς παρ' αὐτῷ μαχιμωτάτους ἱπποτοξότας, ἵππους ἔχοντας τῶν μάλιστα θέειν ἀγαθῶν, ἐκέλευσεν αὐτοῖς οὐ κατὰ συστάδην, ἀλλ' ἐξ ἐφόδων συμπλέκεσθαι τῇ βασιλέως στρατιᾷ· καὶ ἐπιόντας μὲν μὴ ὑπομένειν, ἀλλὰ φεύγοντας τοξείαις χρῆσθαι, ἀναχωροῦσι δὲ αὖθις ἐπιτίθεσθαι. Συμβέβηκε δὲ τὸ μεταξὺ τῶν στρατευμάτων ἀμφο- D τέρων, ὅσον μὲν ἦν κατὰ τοὺς Ῥωμαίους ὁμαλόν τε εἶναι, καὶ ῥᾴδιον πρὸς τὰς ἱππηλασίας· τὸ δὲ κατὰ τοὺς Πέρσας, οὐ μόνον ἄναντες καὶ δυσπρόσοδον, ἀλλὰ καὶ τάφροις αὐτοφυέσι πανταχόσε διατετμημένον· ᾧ καὶ μᾶλλον οἱ βάρβαροι πεποιθότες ἐπῆσαν Ῥωμαίοις. Τούτοις μὲν οὖν τοῖς τριακοσίοις προσετάκτο τὸν τρόπον τοῦτον συμπλέκεσθαι Ῥωμαίοις. Ἑτέρους δὲ χιλίους ὄπισθεν αὐτῶν ἐπέστησε

Jacobi Pontani notæ.

(55) Tale genus pugnæ habes apud Maronem lib. II.

Bis Thusci Rutulos egere ad mœnia versos,
Bis rejecti armis respectant terga tegentes :
Tertia sed postquam congressi in prælia, etc.

(56) Sic Parthi pugnare consueverant. Unde Horat. Ode 19, lib. I.

Et versis animosum equis Parthum.

Fugientes, inquam, ex equis pugnabant. Virgilius 3. Georg.

Fidentemque fuga Parthum, versisque sagittis.

Digitized by Google Распознавание текста ABBYY FR

κατὰ τὰς τάφρους καὶ τὰς δυσχωρίας, ὡς ἂν εἰ διώκοιντο οἱ τριακόσιοι πρὸς τῶν Ῥωμαίων, αὐτοὶ πρὸς τὰ στενὰ ἑστῶτες ἀμύνωσιν αὐτοῖς· ἑκατέρωθέν τε αὐτῶν χιλίους ἐφ' ἑκάστῳ μέρει τῆς αὐτῆς ἕνεκα αἰτίας. Βασιλεὺς δὲ ἐπεὶ ἐώρα τοὺς Πέρσας ἀπὸ τοῦ λόφου κατιόντας, τριακοσίους καὶ αὐτὸς ἐπιλεξάμενος ἐκ τῶν ἰδίων, καὶ περιστησάμενος ἑαυτῷ, τοιαύτην τινὰ παραίνεσιν ἐποιήσατο πρὸς αὐτούς· Ἄνδρες στρατιῶται, τὴν μὲν εὐκλειαν τῶν Ῥωμαίων καὶ τὴν δόξαν, ἣν ἀπὸ τοῦ φυβεροὶ τοῖς πολεμίοις εἶναι ἐκτήσαντο ἐξ ἀρχῆς, οὐδ' αὐτοὶ ἀγνοεῖτε· οὗτοι γάρ εἰσιν οἱ μικροῦ δεῖν πᾶσαν παραστησάμενοι τὴν οἰκουμένην, καὶ πάντα γένη καὶ Εὐρωπαῖα καὶ τὰ ἐπὶ τῆς Ἀσίας ἀναγκάσαντες αὐτοῖς δουλεύειν· ὅτι δὲ ἡμᾶς οὐκ ἐπὶ πολύν τινα χρόνον οὐκ ὀλίγα τινὰ τῶν βαρβάρων συμβέβηκεν ἐλαττωθῆναι, οὐ χρὴ διὰ ταῦτα καὶ πρὸς τὰ ὑπόλοιπα ἀπαγορεύειν. Οὐδὲ γὰρ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσᾶσθαι προσεγένετο· ἀλλὰ τοῦ Θεοῦ πρὸς ἔκτισιν ὧν προσκεκρούκαμεν αὐτῷ, διὰ τῶν βαρβάρων τιμωρουμένου· οὐ δὴ δίκαιον τοὺς τὴν γνώμην μὴ κατὰ κράτος νικηθέντας, ἔχοντας δέ τινα αὖθις κρείττονα ἐλπίδα τῆς συμφορᾶς τῇ ἀποβάσει ἀμβλύνεσθαι· νομίσαι δὲ ἐν μὲν ταῖς πράξεσιν ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους· ταῖς δὲ γνώμαις ἀεὶ τοὺς αὐτοὺς ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ διὰ τὴν προτέραν ἧτταν τοῦ ἀνδρείου παρόντος, εἰκότως ἂν ἔν τινι κακοὺς ὀφθῆναι. Ὑμεῖς δὲ οὔτε ἐμπειρίᾳ τῇ πρὸς τὰς μάχας λείπεσθε τῶν βαρβάρων, ἀλλὰ καὶ τῇ τόλμῃ πολὺ προέχετε αὐτῶν. Ὁρᾶτε γὰρ αὐτοὺς κατεπτηχότας καὶ καταδυομένους πρὸς τὰ κοῖλα τῶν ὀρῶν, καὶ μηδαμοῦ τῆς δυσχωρίας ἀποστῆναι βουλομένους, μηδὲ ἐκ τοῦ ἴσου διαγωνίσασθαι ἡμῖν τολμῶντας. Γίνεσθε δὴ ἄνδρες ἀγαθοί, καὶ τὴν καταπεσοῦσαν ἤδη δόξαν τῶν προγόνων ἀνορθώσατε αὐτοί· καὶ μὴ νομίσητε ὑπὲρ μηδὲν προσηκούσης γῆς ὑμῖν διαγωνίζεσθαι πρὸς τοὺς βαρβάρους', ἀλλ' ὑπὲρ ἐλευθερίας μάλιστα, καὶ τῆς οἰκείας ἕκαστος πατρίδος. Ἐὰν γὰρ ἐνταῦθα ἀξίως ἑαυτῶν ἀγωνιζόμενοι νικήσωμεν αὐτούς, πρὸς οἷς ἀφῃρήμεθα πρότερον ὑπ' αὐτῶν, καὶ τὴν οὖσαν καρπωσόμεθα ἀδεῶς. Πρὸς τούτοις δὲ, εἰ μὲν καὶ αὐτὸς συνηγωνιζόμην ὑμῖν ἐν τῷ παρόντι, πρόφασις ἂν ἦν τινι κακῷ γενέσθαι λήσειν οἰομένῳ· ἐπεὶ δὲ αὐτὸς ἔξω ἕστηκα τῶν ἄλλων βραβευτὴς, ἔξεστι σκοπεῖν ἑκάστῳ

A orbem, 212 omnesque gentes subegerunt (57), et Europæ Asiæque jugum imposuerunt. Quod autem nos brevi tempore non pauca a Barbaris detrimenta accepimus, non propterea de cætero animis frangi debemus. Haud enim ignavia, sed peccatis nostris, Deo nos per Barbaros ulciscente, victi sumus. Non igitur fas est, quorum spiritus nulla vis devicit, et quos rursum melior spes alit, eos eventu calamitatis hebetari atque languescere; cum rectius sit arbitrari, in actionibus homines frustrari ac decipi, animis vero semper æque ac vere generosos esse posse; nec quia prius manus dederint, ideo in præsens merito imbelles videri debere. Quin vos Barbaris nec usu militari cedite, et audendo multum antecellitis. Cernitis, B quemadmodum trepidantes in cava montium se abdant, et ab illis anfractibus atque angustiis locorum sejungere se nusquam audeant, nec æquo campo nobiscum congredi. Quamobrem estote viri fortes, et collapsam majorum vestrorum gloriam instaurate: neve cum Barbaris pro regione ad vos nihil attinente, sed pro libertate in primis, et unumquemque pro patria sua dimicaturum existimatote. Si enim hic, ut nobis dignum est, pugnantes eos debellaverimus, præter ea quæ prius ipsi nobis abstulerunt recuperata, etiam nostra regione tuto fruemur (58). Ad hæc, si quidem ego nunc vobiscum una in hostem pugnarem, daretur imbelli alicui occasio, dum se posse latere existimaret. Sed quoniam extra prælium C arbiter et judex certaminis sum, licet quisque secum cogitet, si ignavus fuerit, pœnas debitas luiturum, strenuos autem paribus virtuti suæ præmiis honoratum iri. Sed qua ratione cum Barbaris pugna pugnanda sit, ipsi etiam a pueritia bellicis assuefacti operibus non ignoratis: tamen admonebo. Si ipsi in acies distributi prælium inibunt, nos quoque acie ordinata illis occurramus necesse est. Quia vero, quantum conjectura provideo, non dextras conserere, sed jacula eminus spargere, et ubi in nos incursarint, non subsistere, sed ad loca impedita, ibidemque in insidiis subsidentes refugere meditantur, et vos extra teli conjectum sitis, lenteque servatis ordinibus incedatis oportet. Ubi autem propiores fueritis, omnem

Jacobi Pontani notæ.

(57) **Jovem pollicitum esse, e Trojanis nascituros Romanos,**

Qui mare, qui terras omni ditione tenerent,

ait Venus 1 *Æneid.* Postea Jupiter de Romanis,

His ego nec metas rerum, nec tempora pono:
Imperium sine fine dedi. Quin aspera Juno,
Quæ mare nunc terrasque metu, cœlumque fatigat,
Consilia in melius referet, mecumque fovebit
Romanos rerum dominos, gentemque togatam.
Sic placitum: veniet lustris labentibus ætas,
Cum domus Assaraci Pthiam, clarasque Mycenas
Servitio premet, ac victis dominabitur Argis.

Vide quæ in symbolis nostris ad hunc locum adnotavimus, in quibus illa ex Cicerone Philipp. 3: *Nos principes terrarum, omniumque gentium.* Philipp. 6: *Populi Romani victoris, dominique omnium gentium.* Agit etiam de magnitudine Romani imperii Appianus, præfatione Strategici præclare: *Romanos neque rex, neque civitas, neque gens ulla imperii amplitudine superavit. Imo nec tantam attingere unquam potuit, nec tot sæculorum ætates mansuram firmare potentiam*, etc.

(58) Demosthenica plane sententia, ex 1 Olynthiaca. Πρὸς οἷς ἀφῃρήμεθα πρότερον ὑπ' αὐτῶν, καὶ τὴν οὖσαν καρπωσόμεθα ἀδεῶς. Valeat eadem sententia, imo tota oratio Olynthiaca illa hodie magnopere ad Christianos in Turcam exhortandos, et ea usus est olim ad verbum, in eodem argumento, pauculis nonnunquam de suo interjectis, Bessarion cardinalis eruditissimus ac celeberrimus.

Digitized by Google Распознавание текста ABK/FR

acrimoniam et virtutem animi expromatis, simul spatium in medio contrahentes, ne per moram telis crebris feriamini : simul Barbaros receptu prohibentes, **213** et ipsos male multantes. Ne porro illis fugientibus valde instate (59), neve confidentia elati, in discrimen vos conjicite, sed postquam ad triarios seu subsidiarios eorum veneritis, in campum revertimini, servatisque ordinibus, eos incursantes propulsate. His imperator suos hortatus, et a Deo auxilium ipsis victoriamque precatus est. Qui vicissim eum venerati, et se aut honeste victuros aut cum laude occubituros (60) professi, signoque crucis obarmati (61), in hostem lento passu et ordine, Exotrocho magno hetæriarcha ducente, procedebant. Similiter Barbari gradum inferebant. Cum spatio jam distarent, quo telum adjici potest, Romani ut imperatum erat, immissis penitus habenis quam acerrime in Persas incurrebant. Illi aliquandiu persistentes, tela in Romanos contorquebant, sperantes se illorum incursum ita repressuros. Sed ubi eos constanter premere, sagittarumque securos viderunt, tum in fugam se penetrarunt, in qua circiter quadraginta ceciderunt : reliqui ad angustias locorum et subsidiarios retro collocatos pervenerunt; Romanorum nemo neque occubuit, neque vulnus accepit; pauci equi consanciati. Regressi, in planitie rursum hostem, quasi intra carceres exspectantes constiterunt. Persæ aliquantisper inter suos morati, pluribus quam oppetierant assumptis, in Romanos denuo vadunt. Sed illis parem priori impetum alacritatemque adhibentibus, iterum fugam arripiunt, in qua circiter triginta cadunt; Romanorum nullus desideratus, nec vulneratus est, vulnerati tamen equi aliquot. Orchanes e tumulo suos jam bis victos conspiciens, animos addit, manumque auxiliariam submittit. Imperator quoque suos de magnanimitate ac fortitudine commendat; hortaturque ne quid de ea, utpote semper Barbaris superiores futuri, deminuant; mittitque contra illos parem copiam. Ut sibi appropinquarunt, Persæ denuo acrius resistunt; sed Romanorum

A ὡς εἰ μὲν κακὸς ὀφθείη, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμηθήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς. Τὴν δὲ συμπλοκὴν ὁποίαν τινὰ χρὴ ποιεῖσθαι πρὸς τοὺς βαρβάρους, καὶ αὐτοὶ μὲν ἴστε ἐκ παιδὸς πολεμίοις ἔργοις ἐντεθραμμένοι· παραινέσω δὲ καὶ αὐτός. Εἰ μὲν γὰρ τεταγμένοι κατὰ φάλαγγας ἐκ τοῦ ὁμοίου καὶ αὐτοὶ ἐμάχοντο ἡμῖν, ἦν ἀναγκαῖον καὶ ἡμᾶς τὴν τάξιν φυλάττοντας αὐτοῖς ἐπιέναι· ἐπεὶ δὲ, ὅσον ἀπὸ τῶν γινομένων ἔστιν εἰκάζειν, οὐκ εἰς χεῖρας ὑμῖν ἰέναι διανοοῦνται, ἀλλ' ἄπωθέν τε βάλλειν, καὶ ἐπιόντας οὐχ ὑφίστασθαι, ἀλλ' ὑπαναχωρεῖν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ἐν αὐταῖς, δέον καὶ ὑμᾶς, μέχρι μὲν τοῦ ἐν ἐφικτῷ τῶν τοξευμάτων γίνεσθαι, σχολῇ
B βαδίζειν καὶ τεταγμένως· ἐπειδὰν δὲ γένησθε ἐγγὺς, ὀξύτητι πάσῃ χρῆσθαι καὶ εὐψυχίᾳ. Ἅμα μὲν τὸ μεταίχμιον συναιροῦντας ὡς ἂν μὴ κατὰ σχολὴν βάλλησθε τοῖς βέλεσι συχνοῖς, ἅμα δ' ἵνα καὶ τὴν ἀναχώρησιν τῶν βαρβάρων φθάνοντες αὐτοὺς κακῶς ποιῆτε. Τὴν δίωξιν δὲ μὴ ἐπιπολὺ ποιεῖσθαι· μηδὲ θρασύτητι ἐπαιρομένους, ἑαυτοὺς εἰς τοὺς κινδύνους εἰσωθεῖν· ἀλλ' ἐπειδὰν ἐν τοῖς ἐπιτάκτοις γένησθε ἐκείνοις, πάλιν ὑπαναχωρεῖν πρὸς τὸ πεδίον, τήν τάξιν τε φυλάττειν, καὶ ἐπιόντας ἀμύνεσθαι τοὺς βαρβάρους. Τοιαῦτα μὲν ὁ βασιλεὺς παρεκελεύσατο τοῖς στρατιώταις, ἅμα καὶ βοήθειαν τὴν ἐκ τοῦ κρείττονος, καὶ νίκην ἐπευξάμενος αὐτοῖς. Οἱ δὲ προσκυνήσαντές τε βασιλέα, καὶ ἢ καλῶς νικήσειν, ἢ εὐκλεῶς τεθνήξεσθαι εἰπόντες, σταυρῷ τε καθο-
C πλίσαντες ἑαυτοὺς, ἐχώρουν κατὰ τῶν βαρβάρων τεταγμένως καὶ κατὰ σχολήν. Ἐστρατήγει δὲ αὐτῶν Ἐξώτροχος ὁ μέγας ἑταιρειάρχης· ἀντεπῆσαν δὲ καὶ οἱ βάρβαροι αὐτοῖς ὁμοίως. Ἐπειδὴ δὲ ἦσαν ἐγγὺς ἀλλήλων ὅσον ἐφικνεῖσθαι τοῖς τοξεύμασιν, οἱ Ῥωμαῖοι μὲν ᾗ αὐτοῖς προσετέτακτο πρὸς βασιλέως, ὅλους ἀνέντες χαλινοὺς, ὅσον ἐνῆν ὀξέως ἐπεφέροντο τοῖς Πέρσαις· οἱ βάρβαροι δὲ καρτερήσαντες μὲν ἐπὶ μικρὸν, καὶ βέλη κατὰ τῶν Ῥωμαίων ἀφέντες οἰόμενοι οὕτως ἂν ἀποτρέψαι τῆς ὁρμῆς, ἐπεὶ ἑώρων αὐτοὺς ἀτρέπτως ἐπιόντας καὶ οὐδὲ ὀλίγα φροντίζοντας τῶν οἰστῶν, εἰς φυγὴν ἐτράποντο εὐθύς. Ἐν δὲ τῇ φυγῇ ἀπέθανον περὶ

Jacobi Pontani notæ.

(59) Onosander cap. II, *Hostium discessiones*, inquit, *semper suspectæ, nec unquam susque deque habendæ. Et considerandi potius locorum, quam hostium situs; nec solum qua via ducatur exercitus prospiciendum; sed etiam ut eadem reduci possit, providendum. Et vel copias non immittat, sed coerceat ac reprimat, vel si immittat, caveat diligenter et montium cacumina, angustiarumque fauces, relictis custodibus, occupari a suis curet, ut tutum iter receptui præstetur.* Sic ille. Pyrrhus Epirotarum rex præcepit, non esse pertinaciter instandum hosti fugienti; non solum ne fortius ex necessitate resistat, sed ut postea quoque facilius acie cedat, ratus, non usque ad perniciem fugientibus instaturos victores.

(60) Quod profitentur, se honeste victuros, indicant, non fugituros, et hostem superaturos potius quam se illi dedituros. Nam qui e prælio fugit, D non vivit honeste, nec qui se timore fractus hosti dedit. Instituto quidem Lacedæmoniorum, apud quos aut vincere oportebat, aut mori, nihil dabatur tertium. Lacedæmoniorum igitur spiritus et animos milites isti gerebant.

(61) Christianæ pietatis est, omnia in nomine Domini, et cum fiducia cœlestis auxilii facere : cujus voluntatis ac spei signum est, formatum in fronte, aut in aere ante nos expressa manu sanctæ crucis figura : per quam bona omnia, et salus nobis per Filium a Deo Patre impetrata est. Credo etiam hos milites fuisse memores illius, quod in vita Constantini legimus, *In hoc signo vinces.* Sunt et alia exempla, et unum illustre sancti Martini, cui cum timiditas objiceretur, propter quam missionem peteret, *Ego*, inquit, *signo crucis, non clypeo protectus, aut galea, hostium cuneos penetrabo securus.* Sulpitius, in ejus Vita.

Digitized by Google Распознавание текста ABBYY FR

τεσσαράκοντα αὐτῶν· οἱ λοιποὶ δὲ διεσώθησαν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ὄπισθεν καταφυγόντες· Ῥωμαίων δὲ ἀπέθανεν οὐδεὶς οὔτε ἐτρώθη· ἵπποι δὲ ἐγένοντο ὀλίγοι τραυματίαι· ἀναχωρήσαντες δὲ ἀπὸ τῆς διώξεως ἔστησαν ἐπὶ τοῦ πεδινοῦ πάλιν ὡς ἐπὶ βαλβίδος, τὴν ἔφοδον τῶν βαρβάρων περιμένοντες· οἱ Πέρσαι δὲ μικρὸν ἐνδιατρίψαντες τοῖς οἰκείοις, καὶ πλείους τῶν πεσόντων προσλαβόμενοι ἑτέρους, ἦσαν ἐπὶ τοὺς Ῥωμαίους. Καὶ ἐπεὶ πάλιν ὥσπερ καὶ πρότερον ἐγένοντο ἐγγὺς τῇ ἴσῃ καὶ ὀξύτητι καὶ προθυμίᾳ τῶν Ῥωμαίων χρησαμένων, ἐτράπησάν τε αὖθις εἰς φυγὴν οἱ βάρβαροι, καὶ περὶ τριάκοντα αὐτῶν ἀπέθανον ἐν τῇ διώξει. Ῥωμαίων δὲ οὐδείς, οὔτε ἐτρώθη, εἰ μὴ ἔνιοι τῶν ἵππων. Ὀρχάνης δὲ ὁρῶν ἀπὸ τοῦ λόφου τοὺς ἰδίους ἤδη ἡσσημένους ὅς, παρεθάρρυνέ τε τοὺς βαρβάρους, καὶ ἐπεβοήθει πέμψας στρατιάν. Βασιλεὺς δὲ ἐπῄνεί τε τοὺς ἰδίους καὶ αὐτὸς τῆς εὐψυχίας ἕνεκα καὶ τῆς ἀνδρίας, καὶ παρεκάλει μὴ ὑφίεσθαι τῆς τόλμης ὡς ἀεὶ κρείττους τῶν βαρβάρων ἐσομένους· ἔπεμπέ τε καὶ στρατιὰν ἀξιόμαχον πρὸς τοὺς βαρβάρους. Καὶ γενομένων ἐγγὺς τῶν στρατευμάτων, πάλιν ἀντέσχον μὲν οἱ Πέρσαι ἐπὶ πλέον· ἐκβιασθέντες δ' ὅμως ὑπὸ τῶν Ῥωμαίων, ἐτράπησαν εἰς φυγὴν πρὸς τοὺς οἰκείους, καὶ ἔπεσον ὀλίγοι ἐξ αὐτῶν. Τοιαύτας μὲν δὴ τὰς συμπλοκὰς καὶ τὰς ἀναχωρήσεις οἱ Πέρσαι πρὸς τοὺς Ῥωμαίους ἐποιοῦντο, ἄχρι δείλης τῆς ἡμέρας ἐν ἀρχαῖς μάλιστα τοῦ θέρους, Ἰουνίου μηνὸς ἐνισταμένου· καὶ κατὰ πάσας μὲν τὰς συμβολὰς ἐνίκων οἱ Ῥωμαῖοι· κατὰ κράτος δὲ αὐτῶν περιγενέσθαι οὐκ ἠδύναντο, ἅμα μὲν διὰ τὸ φάραγγας βαθείας περιβεβλῆσθαι τὴν Περσῶν στρατιάν, καὶ μηδεμίαν κύκλωσιν παρέχειν τοῖς Ῥωμαίοις, ἅμα δ' ὅτι καὶ τὸ πεδίον, ἐν ᾧ κατιόντες διηγωνίζοντο οἱ Πέρσαι, τάφροις αὐτοφυέσι καὶ αὐτὸ διατετμημένον ἦν πανταχοῦ· ἐν οἷς τοξόται ἱστάμενοι πολλοὶ, τὴν τελείαν νίκην ἀφῃροῦντο Ῥωμαίους, βάλλοντες ἐκ τῶν ὀχυρωμάτων· τήν τε στρατιὰν αὐτοῖς πᾶσαν βασιλέα οὐκ ἐξῆν ἐπαγαγεῖν διὰ τοῦ τόπου τὴν ἀνωμαλίαν. Ἐξ ἐκείνου δὲ ὁ Ὀρχάνης νομίσας καιρὸν εἶναι καὶ σφοδροτέρας προσβολῆς, χιλίους ἑτέρους ἀπολεξάμενος τῶν Περσῶν, ἐκέλευσεν εἰς τὸ πεδίον καταβάντας ἅμα τοῖς τριακοσίοις προσβαλεῖν Ῥωμαίοις. Βασιλεύς τε ἐπεὶ ἐκείνους ἑώρα κατιόντας, τοῖς τε πρότερον μαχομένοις στρατιώταις τῆς ἀνδρίας ἕνεκα εὐχαριστήσας τὰ εἰκότα, καὶ τὸν στρατηγὸν αὐτῶν Ἐξώτροχον ἐπαινέσας καὶ τῆς ἐμπειρίας καὶ τῆς

A virtuti succumbentes, ad suos refugiunt; pauci in fuga animas amittunt. Hujusmodi pugnæ Persarum cum Romanis et refugia usque ad diei vesperam producebantur, principio maxime æstatis, Junio mense ineunte, et in omnibus congressibus Romanus vincebat; summo autem prælio ideo nequibat eos vincere, quod exercitus Persarum profundis vallibus **214** cingeretur, nec circumveniri posset; quodque campus, in quem certaturi descendebant, fossis naturalibus ubique intersectus erat, in quibus magno numero stantes sagittarii, plenam Romanorum victoriam impediebant, inde ut ex munitionibus jaculantes, cum propter inæqualitatem loci universum exercitum in eas immittere imperatori non liceret. Ex illo Orchanes ve-
B hementioris impressionis tempus esse statuens, rursum delectis mille Persis in æquor campi descendere, et cum aliis illis trecentis in Romanos se inferre jussit. Imperator eos descendisse conspicatus, militibus, qui prius dimicaverant, propter fortitudinem, ut par fuit, gratiis actis, et Exotrocho eorum duce ob experientiam interritamque mentem laudato, aliam cum ipsis manum, ad Barbaros excipiendos misit, cui Manuelem Tagarim magnum stratopedarcham præposuit. Cum utrinque animose diuque pugnatum esset, multis Romanorum equis, paucis militibus vulneratis, unus vitam reliquit, Persæ obtruncati quinquaginta.
C Orchanes porro dum pugna committitur, omnem exercitum suum in fronte locat (cum prius magnam ejus partem in insidiis occultasset), ut a Romanis atque Barbaris cerneretur, confusus, his animos facturum, illis terrorem incussurum. Quo commento cum nihil se proficere animadverteret (Romani siquidem nihilominus acriter præliabantur, hostemque devincebant), Pazarlo fratri mandat, totis copiis cum Romanis confligat, pauloque post et ipse e tumulo paucis comitatus descendens, rursum constitit, quo res evaderet observans. Imperator ut Barbaros quotquot erant in pugnam ruere vidit, reliquas acies omnes manere, ac bonum habere animum jubet: cum tribus turmis pugnatum prodit, dextroque cornu magno domestico,
D sinistro Joanni Angelo ejus consobrino commisso, ipse medium tenet (62). Collatis signis, Barbari nec primum impetum sustinentes, vi ac virtute in fugam vertuntur, quos Romani per invia quæque usque ad verticem collis, ubi Orchanes stabat, in-

Jacobi Pontani notæ.

(62) **Locus** imperatoris in exercitu, quod vidit poeta noster, cum sic de Turno cecinit, principio libri IX.

Jamque omnis campis exercitus ibat apertis,
Dives equum, dives pictai vestis, et auri.
Messapus primas acies, postrema coercent
Tyrrhidæ juvenes, medio dux agmine Turnus
Vertitur, arma tenens.

Libro item X de Ascanio, qui personam patris, ac summi proinde ducis referebat, in obsidione sustinenda.

Ipse inter medios Veneris justissima cura
Dardanius caput ecce puer detectus honestum.

Aquila circa medium totius legionis locabatur, inquit Lipsius, *De milit. Rom.* libro IV, dial. 4, *ibi enim imperator ut sit oportet, unde prospiciat, et mandet facillime in omnes partes. Is autem locus medius est, sed paulum tamen ad finem magis admotus. Nam inter principes, et triarios, ante aquilas stetisse censeo imperatorem. Argumento, quod is ejus situs in castris, ante principia dico et aquilas.*

Digitized by Google Распознавание текста ABK/FR

secuti sunt. In eo conflictu Persarum centum quinquaginta cæsis, e Romanis nec miles, nec equus vulneratus est. Imperator inde se recipit, cum ad collem occupandum eniti non arbitraretur conducere, et in campum veniens edixit, ut quisque servaret ordinem suum, quem ab initio obtinuisset. **215** Barbari in prominentia, seu crepidine montis stantes, prodire ulterius haud tutum opinabantur.

A τόλμης, ἔπεμπε καὶ στρατιὰν ἑτέραν ἧς ἦρχε Τάγαρις Μανουὴλ ὁ μέγας στρατοπεδάρχης, ὡς σὺν αὐτοῖς ἀντιστησομένην τοῖς βαρβάροις. Καὶ γενομένης ἐπὶ πολὺ μάχης ἰσχυρᾶς ἐξ ἑκατέρων τῶν μερῶν, τῶν μὲν Ῥωμαίων ἵππων ἐτρώθησαν πολλοί, στρατιῶται δὲ ἐγένοντο ὀλίγοι τραυματίαι, τέθνηκε δὲ εἷς· Περσῶν δὲ ἔπεσον πεντήκοντα παρὰ τὴν μάχην. Ὀρχάνης δὲ ἐν ᾧ ἡ μάχη συνεκροτεῖτο, τὴν στρατιὰν, ἣν εἶχε, πᾶσαν ἔστησεν ἐπὶ μετώπου κεκρυμμένον ἦν)· ὡς εἶναι καταφανῆ καὶ Ῥωμαίοις καὶ βαρβάροις, οἰόμενος ἐκείνοις τε προθυμίαν καὶ Ῥωμαίοις ἔκπληξιν τὸ τοιοῦτον ἐμποιήσειν. Ὡς δὲ ἑώρα τῆς ἐπινοίας ἀπονάμενος οὐδὲν (οἱ Ῥωμαῖοι γὰρ οὐδὲν ἧττον ἐμάχοντο εὐψύχως, καὶ ἤδη περιεγίνοντο τῶν πολεμίων), Παζαρλοῦν τὸν ἀδελφὸν πανστρατιᾷ ἐκέλευσε τοῖς Ῥωμαίοις συμβαλεῖν· μικρὸν δὲ καὶ αὐτὸς ἀπὸ τοῦ λόφου καταβάς, πάλιν ἔστη μετ' ὀλίγων ὅ τι ἂν ἀποβαίη σκοπῶν. Βασιλεὺς δ' ἐπεὶ ἑώρα πανστρατιᾷ πρὸς τὴν μάχην τοὺς βαρβάρους ὡρμημένους, τὰς μὲν ἄλλας ἐκέλευε τάξεις μένειν πάσας ἀτρεμούσας· αὐτὸς δὲ τρία τέλη ἀναλαβὼν, ἐχώρει πρὸς τὴν μάχην. Ἐτέτακτο δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως ὁ μέγας δομέστικος· τὸ ἀριστερὸν δὲ εἶχεν ὁ Ἄγγελος Ἰωάννης ἐξάδελφος αὐτῷ βασιλεὺς δὲ ἐπεῖχε τὸ μέσον· καὶ συμβαλόντες τοῖς βαρβάροις, ἐτρέψαντό τε κατὰ κράτος μηδὲ ἀντισχεῖν τὴν πρώτην δυνηθέντας ὁρμήν· καὶ τὰς δυσχωρίας πάσας ὑπερβάντες, ἄχρι τῶν ἄκρων κατεδίωξαν τοῦ λόφου, ἔνθα καὶ Ὀρχάνης ἦν ἐστώς. Ἔπεσον δὲ παρὰ τὴν μάχην, Περσῶν μὲν πεντήκοντα καὶ ἑκατὸν, Ῥωμαίων δὲ οὐδείς· ἀλλ' οὔτε ἐτρώθη οὔτε στρατιώτης οὔτε ἵππος. Βασιλεὺς δὲ ἀνεχώρησεν ἐκεῖθεν, τὸ βιάζεσθαι πρὸς τὸν λόφον οὐχ ἡγούμενος λυσιτελεῖν· καὶ πρὸς τὸ πεδίον ἐλθὼν, ἐκέλευσεν ἕκαστον, τὴν ἣν εἶχεν ἐξ ἀρχῆς τάξιν φυλάττειν. Οἱ βάρβαροί τε ἐπὶ τοὺς πρόποδας ἔστησαν τοῦ ὄρους, τὸ περαιτέρω προβαίνειν οὐχ ἡγούμενοι λυσιτελεῖν.

(πρότερον γὰρ μέρος τι αὐτῆς πολὺ ἐν ταῖς ἐνέδραις

CAPUT VII.

Consilium magni domestici, quia hostes se victos fatebantur, in castra redeundum, et Byzantium postridie revertendum. Placet; in castra reditur; triumphus canitur. Pars Persarum insequitur abeuntes; conflgitur in via, cum quidam ordines suos deseruissent; quos et domesticus, et imperator reductum eunt; sed uterque summo cum periculo. Sebastopulus cum trecentis fugatur. Byzantium nuntius ad protostratorem mittitur; castra custodiuntur.

Desperationem Barbarorum intelligens imperator, ad proceres quid faciendum esset retulit. Progressus in medium magnus domesticus ita disseruit: Res nobis, sicut ab initio inter nos optabamus, exitu felici terminatæ sunt. Acie enim instructa, priores, ut ad prælium prodiimus, ne metu Barbarorum recedere videremur: qui aperte aciem contra dirigere non sunt ausi, quo se nobis cedere manifeste docuerunt; non tamen quieverunt, quin totas copias suas experirentur. Et quamvis Orchanes ipse prælio non interfuerit, ut timorem aliquem haberemus, plus ipsum præsentem posse, tamen ipsius præsentiam nihilo plus effecturam re ipsa cognovimus. Quando igitur palam certamen subterfugit, et in particularibus pugnis nos semper victoriam retulimus (pro trecentis enim Barbaris unus duntaxat de Romanis occubuit), quam, quæso, demonstrationem quisquam luculentiorem desideret, et corporibus et animis nobis succubuisse Barbaros? Illud quoque pro indicio certissimo haberi potest, eos nos sibi ut potentiores anteponere, quod cum militum nostrorum servitia toto die prope ipsos, equis pabula legerent (quanquam alioqui et belli, et lucri incredibiliter cupidi), prohibere ea aggressi non sunt. Et quia sol occasui proximus est, consultissimum puto in castra reversos, ibi noctem agere, crastinoque diluculo captis armis, et agmine composito Byzantium viam inire. Et si quidem Barbari impediliora

B Βασιλεὺς δὲ, ὁρῶν τοὺς βαρβάρους, οὐκέτι διανοουμένους εἰς χεῖρας αὐτοῖς ἰέναι, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει ὅ τι δέοι ποιεῖν αὐτούς. Παρελθὼν δὲ ὁ μέγας δομέστικος, ἐβουλεύετο τοιάδε· Τὰ μὲν πράγματα ἡμῖν, ἃ αὐτοί τε ἐβουλευσάμεθα ἐξ ἀρχῆς καὶ πρὸς πέρας ἐχώρησεν ἀγαθόν. Παρεταξάμεθά τε γὰρ αὐτοὶ ἐλθόντες ὡς πρὸς μάχην πρῶτοι, ὡς ἂν μὴ δοκοίημεν τῷ δέει τῶν βαρβάρων ἀναχωρεῖν, οἵ τε πολέμιοι, φανερῶς μὲν ἀντιτάξασθαι οὐκ ἐτόλμησαν ἡμῖν· μαρτυρήσαντες ἐναργῶς, ὡς οὐκ ἀξιομάχους ἑαυτοὺς ἐνόμισαν ἡμῖν, οὐκέτι δὲ ἀπέσχοντο τοῦ μὴ καὶ πεῖραν λαβεῖν συμπάσης τῆς δυνάμεως αὐτῶν. Εἰ γὰρ μὴ καὶ Ὀρχάνης αὐτὸς παρεγένετο πρὸς τὴν μάχην ὅπως τινὰ ἡμῖν ἔτι ὑπολίποιτο ἐλπίδα τοῦ δυνήσεσθαί τι πλέον αὐτὸς παρὼν, ἀλλ' C ἡμῖν γε δῆλον ἐξ αὐτῶν κατέστη τῶν πραγμάτων, ὡς οὐδὲν ἂν ἔσοιτο πλέον αὐτοῦ παρόντος. Ὅτε τοίνυν τὸ μὲν εἰς χεῖρας ἡμῖν ἰέναι φανερῶς ἐξέκλινεν αὐτὸς, ἐν δὲ ταῖς κατὰ μέρος συμπλοκαῖς ἀεὶ τὸ πλέον ἔσχομεν ἡμεῖς (ὑπὲρ τετρακοσίους γὰρ πεσόντων βαρβάρων, Ῥωμαίων τέθνηκε μόνος εἷς), ποίαν ἄν τις ἀπόδειξιν ζητοίη μείζονα καὶ περιφανεστέραν τοῦ καὶ ταῖς γνώμαις τοὺς βαρβάρους καὶ τοῖς σώμασιν ἡμῶν ἡσσῆσθαι; Κἀκεῖνο δέ τις μέγιστον ἂν τεκμήριον τιθείη τοῦ οἴεσθαι ἡμᾶς τοὺς βαρβάρους δυνατωτέρους ἑαυτῶν· τοῦ γὰρ ὑπηρετικοῦ τῆς στρατιᾶς διὰ πάσης τῆς ἡμέρας ἐγγὺς αὐτῶν τρεφὴν τοῖς ἵπποις συλλεγόντων, οὐδὲ ἐπεχείρησαν οἱ βάρβαροι κωλῦσαι (καίτοιγε τὰ ἄλλα ὄν-

Digitized by Google Распознавание текста ABK/FR

τες τοῦ δέοντος μᾶλλον φιλοπόλεμοι καὶ φιλοκερδεῖς). Ἐπειδὴ δὲ ὅσον οὔπω καὶ ὁ ἥλιός ἐστι πρὸς δυσμάς, ἄριστον εἶναί μοι δοκεῖ, εἰς τὸ στρατόπεδον ἐλθόντας, αὐλίσασθαι τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν ἅμα πρωῒ τὰ ὅπλα ἔχοντας, τεταγμένως τὴν ἐς Βυζάντιον ἰέναι. Κἂν μὲν οἱ βάρβαροι τῆς δυσχωρίας ἀποστάντες ἐπὶ τοῦ πεδίου ἐθελήσωσι διαγωνίσασθαι πρὸς ἡμᾶς, Θεῷ μελήσει τὴν νίκην ὁποτέροις ἂν παράσχοι. Ἂν δ' ἐπὶ τοῦ λόφου μένοντες, ἀπόσχωνται τῆς μάχης (ᾧ καί μοι μᾶλλον ἔπεισι πείθεσθαι, ὡς διὰ πεδίου μέλλομεν ἰέναι ἐνθυμουμένῳ), μετὰ βελτίστου τοῦ σχήματος ἡ ἐπάνοδος κείσεται ἡμῖν, ἀμφοτέρωθεν ἔχουσι τὴν νίκην, ἔκ τε ὧν τῇ προτεραίᾳ ἀγωνισάμενοι τὸ πλέον ἔσχομεν αὐτῶν, καὶ ἐξ ὧν εἰς τὴν ὑστεραίαν αὐτοὶ μὲν ἔργῳ προὐκαλούμεθα εἰς μάχην· ἐκεῖνοι δ' οὐκ ἀξιόχρεως αὐτοὺς νομίζοντες, ἔμειναν ἑστῶτες ἐπὶ τῶν ὀχυρωμάτων. Τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ τε βασιλεὺς ἐπείθετο αὐτίκα, καὶ τοῖς ἄλλοις ἄριστα ἐδόκει. Καὶ τῶν σημείων ἀρθέντων ἅμα καὶ τῆς σάλπιγγος ἀνάζευξιν σημηνάσης, πρὸς τὸ στρατόπεδον ἐχώρουν, παιωνίσαντες ὡς ἐπὶ νίκῃ. Ὀρχάνης δὲ αὐτὸς μὲν ἔμεινεν ἐπὶ τοῦ λόφου τὸ πολὺ τῆς στρατιᾶς ἔχων, μέρος δέ τι πέμψας, παρέπεσθαι ἐκέλευσε Ῥωμαίοις ἄχρι στρατοπέδου. Ἐκ δὲ τῆς Ῥωμαίων στρατιᾶς οἱ μάλιστα ἠβῶντες, οὐ τῶν εὐγενεστέρων μόνον, ἀλλὰ καὶ τῆς ἄλλης στρατιᾶς, τοὺς Πέρσας αὐτοῖς ὁρῶντες ἑπομένους, οἷα νέοι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, τῶν τάξεων ἐξιόντες τῶν σφετέρων, ὑπελείποντο ὀπίσω, καὶ τοῖς βαρβάροις συνεπλέκοντο ἐξ ἐφόδων. Ὁ μέγας δὲ δομέστικος τήν τε ἀκαιρίαν ὑποπτεύων, ἤδη γὰρ ὀψὲ ἦν, καὶ δεδιὼς περὶ τοῖς στρατιώταις μή τι τοῖς βαρβάροις κακουργηθῇ περὶ αὐτούς, ἄλλως τε καὶ δι' ὀργῆς αὐτοὺς ποιούμενος ὅτι μήτε βασιλέως προστεταχότος, μήτ' αὐτοῦ, τῆς Ῥωμαίων συμπάσης στρατηγοῦντος στρατιᾶς, ἀτάκτως, καὶ συνθήματος χωρὶς τοῖς βαρβάροις συμπλέκονται λειπόμενοι ὀπίσω, τὴν μὲν σημαίαν καὶ τὸ τάγμα τὸ ὑπ' αὐτὸν ἑνὶ τῶν ὑποστρατηγούντων αὐτῷ παραδοὺς, εἰς τὸ στρατόπεδον ἐκέλευε χωρεῖν· αὐτὸς δὲ ὀλίγους λογάδας παραλαβών, ἐχώρει πρὸς τοὺς μαχομένους τοῖς βαρβάροις, ἅμα μὲν τῆς μάχης ἀποστήσων, καὶ ἄξων μεθ' ἑαυτοῦ πρὸς τὴν στρατιάν, ἅμα δὲ καὶ δίκην ἐπιθήσων τὴν προσήκουσαν τοῖς ἀτάκτοις. Τοῖς ἴσοις δὲ λογισμοῖς χρησάμενος καὶ βασιλεὺς, τὸ ἴδιον τάγμα καὶ αὐτὸς καὶ τὴν σημαίαν τὴν βασιλικὴν Ἀσάνῃ Μανουὴλ τῷ Ἀνδρονίκου υἱῷ ἐξαδέλφῳ ὄντι αὐτοῦ παραδοὺς, καὶ χωρεῖν πρὸς τὸ στρατόπεδον κελεύσας, λογάδας καὶ αὐτὸς παραλαβών τινας, ἐβάδιζεν ὀπίσω. Οὕτω δὲ συμβάν, γενόμενοι ἀλλήλοις ἐν ταὐτῷ, καὶ τὴν αἰτίαν τῆς ὑποστροφῆς πυθόμενοι εἶναι τὴν αὐτὴν, ἐπεὶ ἐδόκουν καιρίως πεποιῆσθαι,

illa loca deserentes, in planitie confligere nobiscum voluerint, Deo curæ erit, utris victoriam largiatur. Sin restantes in tumulis, pugnam reformidaverint (quod magis futurum credo, jam incessum nostrum per campum cogitatione concipiens), **216** honestissima nobis relinquitur reversio, utrinque scilicet victoribus : tum quod hesterna luce manus cum ipsis conserentes vicerimus, tum quod postridie ad certamen eos provocaverimus, illi vero se impares judicantes, in illis locorum claustris hærere perrexerint. Huic consilio imperator statim assensit, cæterique ut optimum amplexi sunt; sublatisque signis, cum tubæ clangore in castra, triumphum canentes redierunt. Orchanes cum corpore exercitus in collibus subsistens, partem aliquam dimisit, quæ Romanos usque ad castra insectaretur. Ex Romanis autem qui ætate vigebant maxime, non de nobilioribus modo, sed gregariis etiam, Persas sequi conspicientes, ut juvenes et impotentes animi, ordinibus desertis, retro ex itinere cum iis concurrebant. At magnus domesticus, ob tempus incommodum (serum enim diei erat) formidans, ne quid milites a Barbaris acciperent mali, iratus insuper, quod neque imperatoris, neque sua, qui totum Romanum exercitum duceret, auctoritate, confuse et incomposite cum Barbaris retro subsistentes dimicarent, vexillum et agmen suum uni sub se ducum tradens, in castra ut pergeret mandavit; ipse cum paucis delectis ad eos qui cum Barbaris pugnabant properavit, et ut cœpto revocatos secum ad reliquum exercitum reduceret, et ut pœnam ordinum desertoribus debitam imponeret. Eadem cogitatio imperatoris fuit, qui, suas cohortes et signum imperiale Manueli Asani, Andronici filio, cognato suo (63) committens, et in castra abducere jubens, ipse similiter cum selectis aliquot retro concessit. Ita contigit, ut alter in alterum incideret, et eamdem sibi retro redeundi causam fuisse intelligerent factumque probarent, ad pugnantes accederent, eosque abstrahentes, ipsi quamvis nolentes cum Barbaris prœliarentur. Nam Barbari, cum exercitum Romanum jam non modico ab ipsis intervallo distantem cernerent, et relictos esse paucos, censerentque maturum esse eos invadere et mactare, quod et ipsi selecti essent, et aliquot tantis plures, in summum illos discrimen adduxerunt. Magnus quippe domesticus, equo in tot cursibus et recursibus præcipitante, ferme periisset, nisi ab imperatore, aliisque proximis in alium equum continuo sublatus fuisset. **217** Et imperatoris quidem jumentum licet lethali confossum vulnere, non tamen cecidit, quoad a Barbaris se eriperet. Ac-

Jacobi Pontani notæ.

(63) Quamvis Græce sit ἐξαδέλφῳ, quod *patruelem* interpretantur, tamen certum est, Manuelem Andronici Asanis filium, imperatoris hujus patruelem minime fuisse; nisi ipse Asanes senior Michaelis patris imperatoris frater fuerit. Atqui non fuit. Verumtamen cum Andronicus Asanes ex sorore senioris Andronici imperatoris natus sit (siquidem is θεῖος ejus dicitur), Manuel hic cum minore Andronico, ut patet, cognatione conjunctus fuit.

Digitized by Google Распознавание текста ABK/FR

cepit etiam luculentam plagam fortissime cum iis dimicans imperator, adacto per femur telo; verum sine periculo, post decimum namque diem consanuit femur, ut si nunquam vulneratum fuisset. Jam vero cum viriliter generoseque decertassent, et paucos quidem Barbaros, illustres tamen occidissent, nullo obturbante ad exercitum redierunt, et ad castra ambularunt. Persæ Romanis amplius non magis quam igni appropinquare, eosque tangere ausi sunt. Porro quidam Sebastopulus (64) imperatori parens, genere Mœsus, trecentorum militum, non valde armatorum, neque bonos equos habentium præfectus, et in extremo agmine curans, omnibus suis assumptis, et peditibus aliquot in auxilium ascitis, reliquo exercitu deserto, cursim in Persas tendebat. Illi hanc incitationem ad suam perniciem pertinere rati, et longius eos ab exercitu volentes abstrahere, perinde ut victi fugam simulabant (65). Sebastopulus temere et inconsulto insequitur. Tum Barbari de improviso conferti, lætos clamores tollere, et in Romanos violenter irruere. Qui impressionem non sustinentes in fugam se effuderunt. Trucidati equites plusquam supra viginti, pedites totidem : cæteros subitum nec exiguum ab exercitu missum subsidium conservavit. Imperator rursum in Pelecano castrametatus, confestim Byzantium protostratori acta nuntiatum misit, cum mandatis, uti naves ad transducendum post unum alterumve diem exercitum paratæ essent. Et cum vereretur, ne (quod accidit) alia quam pro vero de vulnere suo fama divulgaretur, de eo quoque protostratorem certiorem esse voluit, vulneratum se quidem in femore, at non periculose, neque idcirco se redire, sed quod etiam ante vulnus ita e re fore statuisset. Magnus vero domesticus commode castris constitutis, sumptis quot voluit militibus, in eorum aditu natura pulchre angusto, et isthmo simili, lato admodum interiore spatio, per noctem excubias egit.

ἄχρι τῶν μαχομένων ἦλθον· καὶ τῆς συμβολῆς μὲν ἀπέστησαν ἐκείνους· αὐτοὶ δὲ καὶ ἄκοντες τοῖς βαρβάροις συνεπλέκοντο. Οἱ γὰρ βάρβαροι τὴν μὲν στρατιὰν ὁρῶντες ἤδη οὐκ ὀλίγον αὐτῶν ἀφεστηκυῖαν, τοὺς ὑπολειπομένους δὲ ὀλίγους, καὶ νομίσαντες καιρὸν εἶναι αὐτοῖς ἐπιθεμένοις διαφθεῖραι, λογάδες καὶ ἐξ αὐτῶν, καὶ πολλάκις τόσοι ἐπιθέμενοι, ἐν χρῷ κατέστησαν αὐτοὺς κινδύνου. Δομέστικός τε γὰρ ὁ μέγας τοῦ ἵππου αὐτῷ ἐν ταῖς ἐκδρομαῖς καὶ ἀναστροφαῖς πεσόντος, μικροῦ ἐδέησεν ἀποθανεῖν, εἰ μὴ βασιλέως καὶ τῶν ἄλλων περιστάντων ἐφ' ἕτερον ἀνηνέχθη. Καὶ τὸν βασιλέως ἵππον ἔτρωσαν μὲν τραύμασι καιρίοις, ἐπέζησε δὲ ὅσον ἀπαλλάξαι τῶν βαρβάρων. Ἐτρώθη δὲ καὶ ὁ βασιλεὺς βέλει τὸν μηρὸν, ἄγαν εὐψύχως μαχόμενος τοῖς βαρβάροις· καὶ διῆλθε τὸ βέλος ἀμφοτέρας τὰς ἐπιφανείας. Κίνδυνον δὲ τὸ τραῦμα οὐδένα ὑπενόει, ἀλλὰ μετὰ δεκάτην τῆς πληγῆς ἡμέραν αὖθις ὑγιὴς ἦν, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐτρώθη. Πλὴν εὐψύχως καὶ γενναίως ἀγωνισάμενοι, καὶ βαρβάρους, ὀλίγους μὲν, τῶν ἐπιφανῶν δὲ ἀνελόντες, καὶ διαλυθέντες ἀπ' ἀλλήλων, οἱ μὲν ἀπελείποντο ὀπίσω, ὥσπερ πυρὸς τῆς Ῥωμαίων ἀπεχόμενοι στρατιᾶς, καὶ μηδ' ἐγγὺς ὑπομένοντες γενέσθαι. Βασιλεὺς δὲ καὶ οἱ ἀμφ' αὐτὸν, ἐνοχλοῦντος μηδενὸς, πρὸς τὸ στράτευμα γενόμενοι, τὴν ἐπὶ τὸ στρατόπεδον ἐχώρουν. Σεβαστόπουλος δέ τις τῶν ὑποτεταγμένων βασιλεῖ, τὸ γένος μὲν Μυσὸς, τριακοσίων δὲ ἀρχων στρατιωτῶν, οὐ πάνυ ὡπλισμένων, οὐδὲ ἵπποις χρωμένων ἀγαθοῖς, ἀλλὰ τὴν ἐσχάτην χώραν ἐπεχόντων ἐν τῇ στρατιᾷ, τούς τε ἰδίους ὅσοι ἦσαν παραλαβὼν, καὶ πεζοὺς προσεταιρισάμενός τινας, τὴν ἄλλην στρατιὰν ἀπολιπὼν δρόμῳ κατὰ Περσῶν ἐχώρει. Συνιδόντες δὲ οἱ Πέρσαι ὡς ἐπὶ κακῷ τῷ σφετέρῳ τὴν ἔφοδον ποιοῦνται ταυτηνὶ, καὶ ἀποστῆσαι τῆς στρατιᾶς βουλόμενοι ἐπιπολὺ, τὴν ἡττάν τε προσεποιοῦντο, καὶ φεύγειν ἐδόκουν· οἱ δ' ἐφείποντο ἀνοήτως. Εἶτ' αἰφνίδιον οἱ βάρβαροι συστραφέντες, βοῇ τε ἐχρῶντο καὶ ἀλαλαγμοῖς, καὶ τοῖς Ῥωμαίοις ἐπεφέροντο ὀξέως· οἱ δὲ μὴ ἐνεγκόντες τῶν βαρβάρων τὴν ὁρμὴν, ἐτράποντό τε καὶ κατέστησαν εἰς φυγήν· καὶ εἴκοσι μὲν ἀπέθανον ἐκ τῶν ἱππέων, πέντε δὲ καὶ ἕτεροι τοσοῦτοι πεζοί. Οἱ δ' ἄλλοι διεσώθησαν ἐκ τῆς στρατιᾶς πολλῶν ὀξέως ἐπιβοηθησάντων· βασιλεὺς δ' ἐπεὶ ἐστρατοπεδεύσατο πάλιν κατὰ τὸν Πελεκάνον, εἰς Βυζάντιον εὐθὺς τοὺς μηνύσοντας ἔπεμπε πρωτοστράτορι τὰ γεγεννημένα, ἐκέλευέ τε ναῦς ἔχειν παρεσκευασμένας πρὸς τὸν πόρον, ὡς τῆς στρατιᾶς μετὰ μίαν ἡμέραν ἢ δευτέραν περαιωθησομένης.

Jacobi Pontani notæ.

(64) Quidam Sebastus nomine, nam πουλος, et πουλον syllabæ sunt adjectitiæ recentium Græcorum, idque tam in appellativis, quam propriis nominibus, nihil significantes. Apud quos legas ἀετόπουλα pro ἀετοὶ, ἀρχοντόπουλον pro ἄρχοντα, στρατηγόπουλος pro στρατηγὸς, τουρκόπουλος, οὐμβερτόπουλος pro τοῦρκος, et οὐμβέρτος. Sic Othonopulus, Francopulus, etc. A πέλεσθα videntur ducta ambo, et pro πολὺς dici. Pura scholiastes Curopalatæ.

(65) Genus doli militaris, quo usi sunt Israelitæ contra Benjamitas lib. Judicum cap. xx. Nam fugam arte simulantes, consilium inierunt, ut abstraherent eos de civitate (Gabaa) et quasi fugientes, ad supradictas semitas perducerent, etc.

Tale narrat Zonaras tomo III *Annal.* in Constantino, Constantio, et Constante fratribus imperatoribus. Nam qui missi erant (a Constante contra Constantinum, qui paterna partitione non contentus, fratris provincias invadebat) cum parum a Constantino abessent, insidias locant, pugnaque inita fugam simulant. Quos dum Constantini milites persequuntur, qui in insidiis collocati fuerant, a tergo invadunt. Sic fugientibus etiam conversis, in medio duorum exercituum intercepti, magna ex parte cadunt, ipso etiam Constantino interfecto. Vide in hoc genere strategema Gorgiæ contra Phœdibam apud Polyænum, lib. II.

Digitized by Google Распознавание текста ABK/FR

Δείσας δὲ μὴ, ὅπερ ἐγένετο, περὶ τοῦ τραύματος αὐτοῦ ἑτέρως ἢ ὡς ἔχει ψηφισῶῃ, ἐδήλου καὶ περὶ αὐτοῦ, ὡς τρωθείη μὲν τὸν μηρὸν, οὐδεμίαν δὲ τὸ τραῦμα ἔχειν ὑποψίαν, οὐδὲ διὰ τοῦτο τὴν ἐπάνοδον ποιεῖσθαι, ἀλλ' οὕτω δόξαν λυσιτελεῖν καὶ πρὶν τρωθῆναι. Ὁ μέγας δὲ δομέστικος, ἐπεὶ τὰ περὶ τὴν στρατοπεδείαν κατεστήσατο καλῶς, ὅσους ἔδοξεν αὐτῷ τῆς στρατιᾶς παραλαβών, κατὰ τὴν εἴσβολὴν τοῦ στρατοπέδου, ἐπεὶ ἐπεφύκει καλῶς καθάπερ ἰσθμὸς οὖσα στενὴ, τοῦ ἔνδοθεν ἐπιπολὺ πλατυνομένου, ηὐλίσατο τὴν νύκτα, φυλακῆς ἕνεκεν τῆς στρατιᾶς.

218 CAPUT VIII.

Laudat pro concione Romanos Orchanes vel hostis; in locum tutiorem abscedendum suadet. Dissuadent senes, et qua ratione in eodem loco manendum sit, edocent. Duplex de imperatore per castra rumor et militum trepidatio; quorum fugam domesticus inhibere nequit. Imperatorem lembo vectum Constantinopolin frustra quærit. Exercitus fugiens in quatuor oppida se dispertit. Apud Philocrenen accepta calamitas.

Ὀρχάνης δὲ, ἐπεὶ ἐπελάβετο ἡ νὺξ, τοὺς ὑπ' αὐτὸν σατράπας πάντας συναγαγὼν, Τὴν μὲν ἐμπειρίαν, εἶπε, καὶ τὴν τόλμαν τῶν Ῥωμαίων τὴν κατὰ τὰς μάχας, οὐδένα σήμερον ὑμῶν οἶομαι ἠγνοηκέναι. Δοκῶ δέ μοι καὶ αὐτοὺς ἂν ἐμοὶ συνομολογῆσαι, ὡς οὔτ' ἐφ' ἡμῶν, οὔτ' ἐπὶ τῶν ἡμετέρων προγόνων ἕτεροί τινες Ῥωμαίων οὕτως εὐκλεῶς ἄγαν ἠγωνίσαντο καὶ μετὰ πάσης ἐμπειρίας. Διὰ πάσης γὰρ ἡμέρας ἡμῶν, ἢ ἀπάτῃ, ἢ ἐκπλήξει, ἢ ὁρμῇ καὶ θρασύτητι παραβόλῳ, ἢ ἑνί γέ τῳ τρόπῳ εἰς ἀταξίαν αὐτοὺς πειρωμένων ἐμβαλεῖν, οἱ δ' οὐδὲν μᾶλλον ἐκινήθησαν τοῦ προσήκοντος φρονήματος αὐτοῖς, ἀλλ' ἐμπειρίᾳ μὲν ἐφύλαξαν τὴν τάξιν, ἀνδρίᾳ δὲ καὶ εὐψυχίᾳ κρείττους ἀεὶ φαινόμενοι ἡμῶν, ἀπέκτειναν μὲν πολλοὺς ἡμῶν· ἐκείνων δὲ ἀπέθανον οὐδὲ ὀλίγοι· καὶ τὸ δὴ θαυμαστότερον, ὅτι καὶ μετὰ τὴν ἀνάζευξιν τῆς στρατιᾶς ὀλίγων τινῶν ὀπίσω ὑπολιπομένων, πολλαπλασίους ἐκ τῶν ἡμετέρων ἐπιθέμενοι αὐτοῖς, οὐ μόνον οὐ περιεγένοντο αὐτῶν, ἀλλὰ καὶ τῶν οἰκείων ἀπέβαλον τοὺς ἀνδρίᾳ μάλιστα προέχοντας καὶ τόλμῃ· καὶ μετ' αὐτοὺς πάλιν ἑτέρων, καίτοιγε ἀνοήτως, προσβαλόντων καὶ φαύλως ἀγωνισαμένων, τὸ δοκεῖν, ὡς ἐμὲ οἰηθῆναι πάντας αὐτοὺς διαφθερεῖν ἡμᾶς, ὅπως πλὴν ὀλίγων τῶν πεσόντων, οἱ ἄλλοι πάντες παρὰ δόξαν διεσώθησαν. Ὧν μοι καὶ δοκεῖ τὸν στρατηγὸν ὁ βασιλεὺς τῆς ἀταξίας ἕνεκα εἰς τὴν σωτηρίαν ζημιώσειν. Ἐκ τοίνυν τούτων πάντων εἰκὸς τὸν βασιλέα οἴεσθαι εἰς τὴν ὑστεραίαν μᾶλλον ἢ πρότερον θαῤῥοῦντα ἡμῖν ἐπιστρατεύσειν· ἡμᾶς δὲ μὴ δυναμένους πρὸς τὴν μάχην ἀντισχεῖν, φεύγειν ἀνάγκη ἡττηθέντας αἰσχρῶς καὶ ἀγεννῶς. Εἰ δὲ παρὸν ἀκινδύνως σώζεσθαι, καὶ προσίτι καὶ τὴν ἐκ τῆς ἥττης ἀδοξίαν διαφυγεῖν, (οὐδεὶς γὰρ ἂν ἡμῖν μέμψαιτο τῶν νοῦν ἐχόντων τὸν προῦπτον παραιτησαμένοις κίνδυνον), ἔπειθ' ὑπὸ φιλονεικίας εἰς τοὺς ἐσχάτους ἑαυτοὺς καταστήσομεν κινδύνους, οὐκ ἄρα δόξομεν ἀνοηταίνειν καὶ ἐπιβουλεύειν ἑαυτοῖς; Διὸ δή μοι καὶ δοκεῖ, τουτὶ μὲν τὸ στρατόπεδον καταλιπεῖν, ἑτέρας δὲ πολλὰς ἀναχωρήσεις ὀχυρωτάτας καὶ δυσπροσόδους ἔχοντος τοῦ τόπου, εἴς τινα αὐτῶν ἐλθεῖν, κακεῖ τὸ ἀποβησόμενον περιμένειν. Βέλτιον γὰρ μετὰ ἀδείας ἀναχωρεῖν, ἢ φεύγειν τῶν Ῥωμαίων διωκόντων. Τοιαῦτα μὲν Ὀρχάνης μετὰ τῶν ἐν τέλει ἐβουλεύετο Περσῶν, καὶ ἐδόκει ἄριστα εἶναι καὶ λυσιτελοῦντα ἑαυτοῖς, καὶ ἐπεψηφίζοντο πάντες. Κολαούζης δὲ

A Orchanes, postquam contenebravit, coactis satrapis suis, talia verba disseruit: Quam sint belli scientes, manuque prompti Romani, neminem vestrum hodie nescire opinor, novique pro certo, et vos mihi assensuros, neque nostris, neque majorum nostrorum sæculis Romanos alios cum tanta nominis sui gloria, tamque singulari peritia decertasse. Cum enim per totum diem aut fallacia, aut terrore, aut impetu audaci ac repentino, aut alio denique modo ordines eorum disturbare conaremur, ipsi nec tantillum a propria sibi altitudine animi deflexerunt, sed qua valent disciplina, stationes servarunt. fortitudine autem animique præstantia semper nobis meliores, complures nostrum Orco demiserunt, ne paucis quidem de eorum numero desideratis.
B Quodque mirabilius est, etiam in castra se recipiente exercitu, cum haud ita multi rediissent, eosque de nobis multo plures invasissent, tantum abest, ut eos vicerint, ut etiam de suis virtute et alacritate longe præcipuos amiserunt. Post eos cum alii, tametsi imprudenter, in nos incurrissent infausteque, ut apparebat, pugnassent (ut crediderim omnes ad unum manibus nostris interfectum iri), tamen demptis non ita multis, cæteri omnes præter opinionem evaserunt: quorum etiam ducem imperator, propter ordinem non servatum, salutariter multaturus videtur. Ex his verisimile fit, illum majoribus quam antea spiritibus luce crastina nos aggressurum. nos autem utpote ad resistendum imbecilles et victos, illiberali
C ac turpi fuga salutem volentes nolentesque petituros. Quod si, cum vitato discrimine salvis esse et ignominia quæ victos sequitur, carere liceat (nemo siquidem prudentium reprehendet, si prævisum periculum a nobis detestemur), ex æmulatione extrema pericula nobismet creaverimus, an non desipere, et ipsi capitibus nostris pestem struere censebimur? **219** Quamobrem hinc discedendum, et quoniam regio alios complures, munitissimosque, et impervios recessus habet, aliquem occupandum, et illic eventum exspectandum judico. Impune enim, et cum securitate recedere, quam persequentibus Romanis fugere, præstat utique. Hæc Orchanes ad Persas proceres: quæ ut recta valde et
D utilia omnium suffragiis confirmabantur. Cæterum Colauses Salingaris, et Catægialus Pachatures ætate

Digitized by Google Распознавание текста ABBYY FR

confecti, et Osmani (66) patri Orchanis coævi, multis expeditionibus periculisque bellicis exerciti, non sibi probari aiebant hanc sententiam : neque cum adhuc Romanos tentare cum securitate liceat, perverso consilio incruentam illis victoriam concedendam ; castra namque relinquere, nihil videri aliud, quam aperte victos, ac superatos esse. Imperatori ab ipsis resisti non posse, ne se quidem negare ; et omnia excogitanda potius, quam ut Romanis sermonem dent. Fugam vero, cum fugiendi necessitas nulla sit, ne paulum quidem profuturam, sed quæcumque supervacanea, et militum supellectilem in tuto collocaret, ubi placeret, ipse cum exercitu leviter instructo et expedito eodem in loco persisteret, sic ut se nequaquam ostenderet, verum in saltibus et vallibus occultaret, loci ingenio ad id mire apposito. Præterea milites centum diligeret, qui, ubi ipse pridie constitisset, pro speculatoribus starent. Si imperator castris suis se contineret, ipsi quoque tandiu ibi laterent, donec constaret, quo ille verteret. Si in ipsos latitantes moveret, primum quidem directo itinere venire non posse, difficultate et impedimentis locorum naturalibus prohibitum, essequé peritiæ imperatoriæ, non modo exercitum bene disponere, verum etiam tempora et loca conjicere, unde hostibus plurimum noceat, et amicis plurimum prosit (67). Si a recta ratione adeo discesserint, ut tam confidenter ac temere in præruptos montes et profundissima vallium semet intrudant, hoc et ipsos vehementer velle, nec posse quidquam opta-

ῥᾳδίως ἔχοντι πολέμῳ τὴν νῆσον Ῥωμαίοις ἀνακτᾶσθαι, ἔδοξε λυσιτελεῖν εἰρηνικὰς πρὸς Ζαχαρίαν σπονδὰς θέσθαι, ὥστε Χίον μὲν ἐπὶ δέκα ἔτεσι κατέχεσθαι παρ' αὐτοῦ, καὶ μηδένα βασιλεῖ παρέχειν φόρον, ὀνομάζεσθαι δὲ μόνον βασιλέως, καὶ σημαίας ἐπὶ τῶν τειχῶν ἀνάγεσθαι βασιλικάς· μετὰ δὲ τὴν δεκαετίαν, πάλιν Ῥωμαίοις τὴν νῆσον ἀποδιδόναι. Τοιαύτας μὲν βασιλεὺς τὰς πρώτας σπονδὰς ἔθετο πρὸς Ζαχαρίαν· ἐν τοῖς αὐτοῖς δὲ ἔτεσιν αὐτὸς περιεποίει τε τὴν νῆσον ἑαυτῷ ὑποποιούμενος τοὺς Χίους, καὶ Ὤχύρου τὴν πόλιν, τά τε πεπονηκότα ἀνοικοδομῶν, καὶ εἴπου δέοι, τοῖς τείχεσιν ὕψος προστιθείς· καὶ τάφρους τε καὶ τἆλλα ἐξαρτυόμενος· ἃ ἔμελλε λυσιτελήσειν εἰ κατασταίη πρὸς τὸν πόλεμον. Μετὰ δὲ ταύτας τὰς δεκαετεῖς, οὐ ῥᾳδίαν ὁρῶν ὁ βασιλεὺς τὴν παράληψιν τῆς Χίου διὰ τὸ ὠχυρῶσθαι, ἄλλως τε καὶ Ζαχαρίου πρεσβείαν πέμψαντος, καὶ βασιλέως δεομένου μὴ περὶ τῆς νήσου ἐνοχλεῖν, ἑτέρας ἔθετο πενταετεῖς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, καὶ μετ' αὐτὰς, ἑτέρας πάλιν· καὶ τετελευτηκότος Ζαχαρίου, τῆς τε Χίου καὶ τῆς πανουργίας οἱ παῖδες καταλειφθέντες κληρονόμοι, οὕτω διεπαιδαγώγουν βασιλέα, πρὶν τὰς οὔσας ἐξικέσθαι ἑτέρας τιθέμενοι· καὶ ἔργῳ μὲν αὐτοὶ καρπούμενοι τὴν Χίον, ψιλῇ δὲ προσηγορίᾳ βασιλεῖ παρέχοντες αὐτῆς κυρίῳ εἶναι. Τῶν σπονδῶν δὲ αὐτοῖς τότε πρὸς ἔξοδον ἤδη οὐσῶν, Καλόθετος τῶν παρὰ Χίοις δυνατῶν ὁ μάλιστα διαφορώτατος, τῷ μεγάλου δομεστίκου οἴκῳ προσῳκειωμένος ἐκ πολλῶν ἐτῶν (πατέρες τε γὰρ ἐκείνου τοῖς μεγάλου δομεστίκου πατράσιν ἐς τὰ μάλιστα ἦσαν φίλοι καὶ οἰκεῖοι, καὶ αὐτὸς αὐτῷ), οὗτος δὴ ὁ Καλόθετος τῇ τοῦ μεγάλου δομεστίκου μητρὶ τότε προσελθὼν Διδυμοτείχῳ ἐνδιατριβούσῃ, καὶ τήν τε κακουργίαν τῶν Λατίνων ἀπαγγελίας ᾗ χρώμενοι ἀπεστέρησάν τε Ῥωμαίους τῆς Χίου τὴν ἀρχὴν, καὶ νῦν ἐπὶ τοσοῦτον κατέχουσιν ἐξαπατῶντες, πρᾶγμα οὐκ εὐκαταφρόνητον, οὐδ' οἷον ῥᾳδίως τινὰ αὐτὸ καταπροέσθαι· δύο γὰρ πρὸς ταῖς δέκα μυριάσι χρυσίου ἐτησίους τελεῖ φόρους, τήν τε εὔνοιαν αὐτοῦ τὴν ἀρχαίαν καὶ τὴν συνήθειαν τήν τε πρὸς αὐτὴν καὶ τὸν υἱὸν, τελευταῖον συνεβούλευεν ὡς εἰ εἴη δυνατὸν βασιλέα στόλῳ εἰς τὴν Χίον βοηθῆσαι, αὐτὸν τὰ μέγιστα ἂν συνάρασθαι πρὸς τὸ ἀνακτήσασθαι τὴν νῆσον, τὰ πρῶτά τε δυνάμενον παρὰ Χίοις καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενον καὶ τῶν φίλων καὶ τῶν συγγενῶν. Εἶναι δὲ καὶ ἀφορμὰς οὐκ ἀγεννεῖς τοῦ πρὸς Μαρτῖνον πολέμου, τότε πρὸς ἔξοδον ἤδη εἶναι τὰς σπονδὰς, καὶ τὸ βασιλέως ἀγνοοῦντος ἀκρόπολιν ἐπὶ τῷ Χίον βίᾳ κατασχεῖν οἰκοδομεῖν, ἐδεῖτό τε αὐτῆς σκέψασθαι περὶ αὐτοῦ πρότερον καλῶς, ὅπως μὴ αὐτῷ ἐς κίνδυνον τὰ πράγματα χωρήσει, βασιλέως οὐ μετὰ τῆς προσηκούσης δυνάμεως ἐκεῖ ἐλθόντος. Περὶ πλείστου μὲν γὰρ ποιεῖσθαι καὶ τὸ Χίον Ῥωμαίοις προσχωρῆσαι ὠφέλειαν παρέξουσαν οὐ τὴν τυχοῦσαν. Οὐδὲν δὲ ἧττον καὶ ἑαυτοῦ καὶ τῶν οἰκείων προνοεῖσθαι, ὡς εἰ μὴ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσει, πανοικεσίᾳ διαφθαρησομένου, εἰ

Digitized by Google Распознавание текста ABK/FR

κατάδηλον γένοιτο Λατίνοις, ὅτι αὐτοῦ πράττοντος ἐπεστράτευσεν αὐτοῖς ὁ βασιλεύς. Οὗ δὴ ἕνεκα αὐτῇ τὴν γνώμην ἀναθεῖναι πρώτῃ ὡς ἄττα ἂν αὐτῇ δοκοίη ἐκείνου διαπραξομένου. Τοιαῦτα μὲν ὁ Καλόθετος τῇ μητρὶ τοῦ μεγάλου δομεστίκου κρύφα περὶ Χίου διειλέχθη· ἡ δὲ ἐπέῤῥωσέ τε μᾶλλον πρὸς τὸ ἔργον αὐτὸν, καὶ καλῶς ἔφασκε καὶ λυσιτελούντως βεβουλεῦσθαι καὶ Ῥωμαίοις καὶ ἑαυτῷ. Ἐπεὶ δὲ αὐτῇ τὴν πρᾶξιν ἀναθεῖη πρώτῃ διὰ τὴν ἀρχαίαν οἰκειότητα καὶ τὴν εὔνοιαν ἣν ἔσχηκεν ἐκ παλαιοῦ πρὸς αὐτὴν καὶ υἱὸν, αὐτὴ καὶ διαπράξεται ὅπως ἄριστα αὐτῷ ἕξει. Ἐκείνη μὲν οὖν τοιαῦτα εἶπε· πέμψασα δὲ ἐκ Βυζαντίου βασιλέα καὶ τὸν υἱὸν εἰς Διδυμότειχον ἐκάλει, ὡς ἀναγκαίων πέρι διαλεξομένη. Οἱ δ' εὐθὺς τῶν ἄλλων ἀμελήσαντες, εἶχοντο ὁδοῦ· γενόμενοι δὲ ἐν Διδυμοτείχῳ, ἐπεὶ ἐπύθοντο περὶ ὧν καλοῖντο, ἡδέως τε ἐδέξαντο τοὺς λόγους, καὶ ἐδόκει δεῖν ὡς περὶ ἀναγκαίου τῆς Χίου παρασκευάζεσθαι τὰ πρὸς τὸν πόλεμον προθύμως. Τόν τε Καλόθετον ἰδίᾳ μεταχαλεσάμενοι, ἑκάτερος αὐτῶν λόγοις τε ἐπέῤῥωσαν πρὸς τὸ ἔργον ἐπαγωγοῖς, καὶ δώροις φιλοφρονησάμενοι ἀξίως ἑαυτῶν, ἔτι δὲ ἐπαγγειλάμενοι αὐτόν τε καὶ γένος εὖ ποιήσειν, ἐξέπεμψαν πρὸς Χίον ὡς ὧν ἂν δέοιτο παρασκευασόμενον πρὸς τὸ Λατίνοις, ἢν δέῃ, ἐπιθέσθαι. Αὐτοὶ δὲ εἰς Βυζάντιον ἐπαναστρέψαντες, τριήρεις τε ἐναυπηγοῦντο, καὶ τἆλλα παρεσκευάζοντο ὡς πλευσούμενοι ἐς Χίον. Σκεπτομένοις δὲ αὐτοῖς ἥντινα ἐξέσται τοῦ πολέμου εὐπρόσωπον ἀρχὴν λαβεῖν, ὁ μέγας δομέττικος συνεδούλευε τὰς μὲν τριήρεις ναυπηγεῖσθαι, καὶ τὰ ὅπλα ὧν δέονται παρασκευάζεσθαι, καὶ ναυτικὸν συλλέγειν οἳ ἐπιδήσονται, καὶ ὁπλίτας. Ἐπεὶ δὲ αἵ τε σπονδαὶ τῷ Μαρτίνῳ ἐν ἐξόδῳ εἰσὶν ἤδη, καὶ ἄκραν βασιλέως μὴ ἐπιτρέψαντος οἰκοδομεῖ ἐπὶ τῷ καταδουλώσασθαι τὴν νῆσον, πρόσταγμα πρὸς ἐκεῖνον αὐτοῦ πεμφθῆναι, ἅμα μὲν αὐτὸν αἰτιωμένου ὡς τὴν ἄκραν αὐτοῦ μὴ συνειδότος οἰκοδομοίη, κελεύοντός τε τὸ οἰκοδομεῖν ἐᾷν, καὶ περαιτέρω μὴ προβαίνειν· ἅμα δὲ καὶ τὰς σπονδὰς ὡς εἰ βούλοιτο ἑτέρας θέσθαι τῶν οὐσῶν ἤδη ἐξηκουσῶν, εἰς Βυζάντιον ἐλθεῖν· κἂν μὲν παύσηταί τε οἰκοδομεῖν, καὶ γενόμενος ἐν Βυζαντίῳ περὶ ἑτέρων δέοιτο σπονδῶν, ὅ τι ἂν εἴη σκεψαμένοις βέλτιον ποιεῖν. Ἡ γὰρ μηκέτι Χίου Μαρτῖνον ἄρχειν δίκαιον ἐᾷν, ἀλλ' ἕτερον τρόπον εὖ ποιεῖν· τὴν νῆσον δὲ τελεῖν ὑπὸ Ῥωμαίους, ἢ σπονδὰς οὐ κατὰ τὰς προτέρας, ἀλλ' ἐφ' οἷς ἂν αὐτοῖς βέλτιον δοκοίη τίθεσθαι, ὥστε αὖθις Μαρτῖνον Χίου ἄρχειν ἐπὶ χρόνον τινὰ ῥητόν· ἐὰν δὲ μήτε παύηται οἰκοδομῶν, σπονδῶν τε μὴ δέοιτο ἑτέρων, ὡς ἤδη βεβαίως τῆς νήσου ἐχομένης, τότε παρεσκευασμένων τῶν τριήρεων οὐσῶν, τὴν ταχίστην ἐπιπλεῖν· πέμπειν δὲ καὶ ἕτερα γράμματα Χίοις, κελεύοντα καὶ αὐτοῖς ἀποσχέσθαι τοῦ οἰκοδομεῖν, ὡς ἢ παύοιτο καὶ ἄκων οὐκ ἔχων τοὺς συναιρομένους, ἢ εἰ βιάζοιτο καὶ ἄκοντας, μᾶλλον ἐκπολεμωθεῖεν πρὸς αὐτόν. Οὕτω βουλευσαμένοις ἐδόκει δεῖν τά τε γράμματα εἰς Χίον πέμπειν, καὶ τριήρεις τὰς τε οὔσας

jecit, bonumque et utile tum Romanis tum sibimet quoque consilium dedisse affirmavit. Et quia ad se primum pro antiqua familiaritate ac benevolentia quæ illi secum, et cum filio inde a majoribus intercessisset, referendum putavisset, se rem quamoptime confecturam. Hæc illa. Inde imperatorem et filium Byzantio Didymotichum, ut de necessariis quibusdam cum ipsis actura, accersit; quibus mox aliis posthabitis, in viam se dederunt. Audita causa ob quam essent evocati, lætitiam ceperunt bellumque pro Chio ut rem præcipui momenti prompte comparandum decreverunt. Accitum quoque Calothetum verbis efficacibus in proposito confirmarunt, et pro dignitate sua humaniter munerarunt; datisque promissis, se ipsi et generi suo benefacturos, Chium dimiserunt, ut quibus opus foret ad Latinos in tempore adoriundos præpararet; ipsi Byzantium reversi, triremes fabricandos locarunt, et cætera tanquam Chium navigaturi curaverunt. Dum vero circumspicerent, et honestum aliquod belli principium quærerent, magnus **229** domesticus, triremes et arma necessaria conficienda, copiamque navalem, et gravis armaturæ militem, qui conscenderet, colligendum suadebat. Et quoniam fœderis cum Martino terminus adesset, ipseque inconsulto imperatore arcem ad insulam servitute opprimendam exædificaret, mandatum illi mittendum, quo tum de facto incusarètur, et exstructione desistere juberetur; tum si fœdus novum cuperet, priore jam exacto, Byzantium venire moneretur. Si ædificare cessarit, et Byzantium profectus, pacta conventa nova rogaverit, quod re considerata melius censebitur, se facturos. Etenim aut justum esse, non pati de cætero Martinum Chio imperare, sed alio modo de illo bene mereri, insulamque Romanis parere: aut fœdus non in eas conditiones, in quas antea, sed quibus ipsis libuerit, ineundum, nempe ut Martinus rursum ad tempus certum præsit: et si neque ædificare destiterit, neque fœdera nova quæsierit, ac si jam firma sit ei et stabilis insulæ possessio, tum instructis triremibus primo quoque tempore illuc contendendum; mittendasque insuper litteras, quæ Chios in ædificando pergere vetent, ut hac ratione aut invitus desinat, ab operis desertus; aut si etiam nolentes coegerit, sibi infensiores reddat. Itaque consilium ceperunt, ut Chiis scriberent, et quæ essent paratæ triremes, eas armarent, aliasque novas adderent. Ac epistola quidem imperatoris Martino reddita frustra fuit: ea siquidem lecta, operi magis institit, summa ope enitens ut arx absolveretur; et ut quibus esset opus, iis adventum imperatoris, quem jam suspicione et ipse præcipiebat, anteverteret. Benedictus porro cum Martino fratre litigans de sex aureorum millibus, quæ sibi in annos singulos hæreditario jure de publicis vectigalibus debebantur, quibusque ab eodem fraudatus erat, ad imperatorem se contulit, fratris iniquitatem accusans et auxilium flagitans: quin etiam litteras

Digitized by Google Распознавание текста ABK/FR

exhibens, quibus magna illius injustitia improbitasque coarguebatur. Imperator et se, ubi eo venisset, scelus vindicaturum, et Benedictum nihilo minus pecuniam interversam recepturum promisit. A ἐπισκευάζειν, καὶ ἑτέρας ἐπιναυπηγεῖν. Τὰ μὲν οὖν γράμματα βασιλέως ἀφιγμένα πρὸς Μαρτῖνον πλέον ἤνυσαν οὐδέν· ἀλλ' ἀναγνοὺς, μᾶλλον ἔργου εἶχετο, καὶ πᾶσαν ἐπεδείκνυτο σπουδὴν ὥστε τὴν ἀκρόπολιν ἀπαρτίσαι ὧν ἂν δέοιτο τὴν βασιλέως φθάσας ἔφοδον. Ἤδη γὰρ ὑπώπτευε καὶ αὐτός. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς, ἐν διαφορᾷ πρὸς ἐκεῖνον καταστὰς, ὅτι χρυσίων ἑξακισχιλίων ἀποστεροῖτο παρ' αὐτοῦ, ἃ ἐχρῆν αὐτὸν ἐκ τῶν δημοσίων τῆς Χίου φόρων λαμβάνειν ἐτησίως, προσήκοντα ἐκ πατρῴου κλήρου, ἦκεν ὡς βασιλέα τὴν ἀδικίαν ἐγκαλῶν τῷ ἀδελφῷ καὶ τυχεῖν δεόμενος ἐπικουρίας. Γραμματεῖά τε ἐδείκνυ ἃ σαφῶς πολλὴν τοῦ ἀδελφοῦ καὶ τὴν ἀδικίαν κατηγόρει καὶ τὴν ἀγωμοσύνην. Βασιλεὺς δὲ ἐπηγγέλλετό τε τιμωρήσειν αὐτῷ ἐφ' οἷς ἀδικεῖται ἀφικόμενος ἐκεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἃ παρὰ Μαρτίνου ἀδικεῖται ἀπολήψεσθαι.

230 CAPUT XI.

Numerus navium in Chium proficiscentium : trierarcharum ambitiosa contentio. Qua conditione imperator Martino insulæ præfecturam relinquere statuerit. Ejus contumacia. Calothetus adjuvare Romanos metuit. Benedictus castellum imperatori tradit. Martinus rebus desperatis se dedit, et Chiorum manibus a magno domestico eripitur. Martinus in vincula ducitur : uxor, liberi, famuli exsilio multantur. Ejus militibus duplex conditio proponitur. Imperatoris non tam in bene mereri cupientes gratus animus.

Itaque classis centum et quinque navium comparabatur, e quibus paulo pauciores erant duorum generum, biremes et triremes videlicet, et ex his hippagogi [quibus nimirum equi transvehuntur] octo, in iis equi trecenti, reliquæ uniremes. His paratis equitatum et cibaria imposuit. Tum non levis contentio trierarchis incidit, dum quilibet exteros sumptuoso splendidoque apparatu superare nititur, et cum alia magnifice instruit, tum classiariorum arma, et clypeos suis insignibus exornat : nec enim de infima plebe, sed viri nobiles et admodum copiosi erant. Navigabant porro cum imperatore non modo gravis et levis armaturæ multi, verum etiam de proceribus non pauci, et præter equites multitudo item non spernenda. Omnibus rite ac perfecte paratis, Byzantio vela in C altum dantes, cursum in Chium dirigunt (76). Statuerat vero imperator ut si Martinus, adventu classis audito, priusquam in insulam descenderetur, pro ea rogatum veniret, reliquum arcis ædificare, et pro securitate in futurum, præsidium illi imponere : Martino, restituenti Benedicto certorum annorum, quam ei detraxerat pecuniam, reliquæ insulæ præfecturam committere. Qui tamen non solum nihil eorum fecit, quæ debuit, sed ubi appropinquare classem intellexit, ternas triremes suas, easque vacuas in mare demersit, Romanisque insulam habitantibus, mortis pœna proposita, armis interdixit, urbis portas communiit, et cætera quam visum est optime constituit, octingentosque D armatos quos habebat, in muris ad imperatoris impetum repellendum collocavit; jam enim non dubie rebellabatur, nec signa imperatoria in mœnibus, pro consuetudine, sed Martini duntaxat

Παρεσκευάζετο μὲν οὖν στόλος πέντε καὶ ἑκατὸν B νεῶν· ὧν ἦσαν ὀλίγῳ ἐλάσσους εἰς τὰς δύο μοίρας διήρεις καὶ τριήρεις· ἐξ ὧν ἦσαν ἱππαγωγοὶ ὀκτὼ ἄγουσαι τριακοσίαν ἵππον· αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. Ἐπεὶ δὲ παρεσκευασμέναι ἦσαν, τήν τε ἵππον ἐσεκόμιζον, καὶ τὰ ἄλλα ἐπιτήδεια, ἦν τε ἄμιλλα πολλὴ τοῖς τριηράρχαις, ἑκάστου φιλονεικοῦντος πολυτελείᾳ καὶ λαμπρότητι παρασκευῆς τοὺς ἄλλους ὑπερβαλέσθαι. Καὶ τά τε ἄλλα ἐξηρτύοντο πρὸς τὸ μεγαλοπρεπέστερον, καὶ τὰ πληρώματα ἐκόσμουν ἰδίοις παρασήμοις, ἔν τε ὅπλοις καὶ ἀσπίσιν· ἦσαν γὰρ οὐ τῶν τυχόντων, ἀλλὰ τῶν τε εὐγενῶν καὶ μεγάλα δυναμένων. Συνέπλεον δὲ τῷ βασιλεῖ οὐ μόνον ὁπλῖται καὶ ψιλὸς πολὺς, ἀλλὰ τῶν τε συγκλητικῶν οὐκ ὀλίγοι, καὶ στρατιωτῶν οὐ μόνον οἱ χρησόμενοι τοῖς ἵπποις, ἀλλὰ καὶ ἄλλος ὅμιλος πολύς. Ἐπεὶ δὲ πάντα ἤδη ἐπεπόριστο, καὶ οὐδὲν ἐνέδει ἔτι, ἄραντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Χίον. Γνώμην δὲ εἶχεν ὁ βασιλεὺς, ὡς ἦν ὁ Μαρτῖνος τὸν ἐπίπλουν πυθόμενος, πρὶν εἰς τὴν νῆσον κατᾶραι, ἀφίκηται πρὸς αὐτὸν καὶ δεηθῇ περὶ αὐτῆς, τὴν μὲν ἀκρόπολιν, ἣν αὐτὸς ᾠκοδόμει, τὰ ἐλλείποντα ἐπισκευάσας, κατασχεῖν φρουρᾷ, τῆς εἰσέπειτα ἀσφαλείας ἕνεκα· Μαρτίνῳ δὲ τῆς ἄλλης νήσου ἐπιτρέψαι ἄρχειν, ἀποδιδόντι ἐτησίως Μπενέτῳ ἃ πρότερον χρήματα ἀπεστέρει. Ὀδ' οὐ μόνον ἐποίει τῶν δεόντων οὐδὲν, ἀλλ' ἐπεὶ ἐπύθετο ὅσον οὐδέπω ἐπιπλέοντα τὸν στόλον, τὰς μὲν τριήρεις ἃς εἶχε, τρεῖς δὲ ἦσαν, εἰς τὴν θάλασσαν κατέδυσε κενάς· Ῥωμαίων τε τοῖς τὴν νῆσον κατοικοῦσι μηδενὶ ἐκέλευσεν ἐξεῖναι ὅπλοις χρῆσθαι, θάνατον δὲ εἶναι τὴν ζημίαν τῷ χρωμένῳ. Αὐτὸς δὲ τάς τε πύλας τῆς πόλεως ἀσφαλισάμενος, καὶ τὰ ἄλλα καταστήσας ᾗ αὐτῷ ἄριστα ἐδόκει ἔχειν, ἅμα

Jacobi Pontani notæ.

(76) De hoc bello tam memorabili, et causis ejus pauca perstringit Gregoras, lib. IX. Nam quæ ad gloriam junioris Andronici faciunt, libenter vel extenuat, vel omittit : *Sub autumnum omnibus triremibus Romanorum, quæ Byzantii, Lesbi, atque in cæteris insulis, et maritimis urbibus erant, nec non uniremibus, et quatuor auxiliariis triremibus a Cycladum insularum principe accersitis, e portu sol vit*, etc. Rem totam, de qua noster tam multa et insignia, deinceps versibus circiter viginti tribus absolvit. Quamquam et illud verissimum est, paucorum admodum notitiam habuisse Gregoram, quod et noster Cantacuzenus initio historiæ suæ, quamquam tacito ejus nomine affirmavit, et ego narrationibus utriusque conferendis persæpe experfus sum.

Digitized by Google Распознавание текста ABK/FR

ὀκτακοσίοις οὓς εἶχε, φραξάμενοι ἀνῆλθον εἰς τὰ τείχη, ὡς ἀμυνούμενοι ἐπιόντα βασιλέα. Ἤδη γὰρ ἀνθίσταντο ἀναφανδόν. Καὶ οὐδὲ σημαίας τὰς βασιλικὰς ἠξίωσαν ἀναγαγεῖν ἐπὶ τὰ τείχη, ὥσπερ ἦν ἔθος, ἀλλὰ τὰς Μαρτίνου μόνας, ὡς βεβαίως ἤδη τῆς νήσου ἐχομένης. Καλόθετος δ' ἅμα τοῖς περὶ αὐτὸν, ὅπλοις μὲν οὐκ ἐτόλμων χρῆσθαι τῷ δέει τῶν Λατίνων· παρεσκευασμένοι δὲ ἦσαν ὡς ἐπιθησόμενοι αὐτοῖς, ἐπειδὰν ὁ βασιλεὺς εἰς τειχομαχίαν καταστῇ. Μαρτῖνος μὲν οὖν οὕτω τοῖς ὀκτακοσίοις πεποιθὼς, ἀντικατέστη πρὸς τὴν μάχην. Βασιλεὺς δὲ τῇ νήσῳ ὡς προσέσχεν, ἀπόβασίν τε ἐποιεῖτο, τῆς γῆς εὐθὺς κρατῶν, καὶ τὴν ἵππον ἐξάγων παρεσκευάζετο πρὸς τὴν τειχομαχίαν. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς φρούριόν τι καὶ αὐτὸς κατέχων οὐ μακρὰν τῆς ἄλλης πόλεως ᾠκοδομημένον, ἀλλ' ὅσον ἀφ' ἑκατέρου πρὸς τὸ ἕτερον λίθῳ σχεδὸν ἐξικνεῖσθαι, ἐνεχείρισεν ἐλθὼν τῷ βασιλεῖ, πολλὰ τοῦ ἀδελφοῦ κατηγορῶν ὡς καὶ ἀνόητα καὶ ἄδικα πράττειν ἐγνωκότος· τοῦτο μὲν, εἰ πρὸς τοσαύτην δύναμιν ἀντισχήσειν ἤλπισε μὴ αὐτὸς ἐξ ἴσης ὁρμώμενος παρασκευῆς· ἀδικίαν δὲ κατεγίνωσκεν αὐτοῦ, εἰ πολλὰ πρὸς βασιλέως εὐεργετηθεὶς, Χίον διενοήθη αὐτοῦ ἀποστερῆσαι. Βασιλεὺς μὲν οὖν εἰς τὸ φρούριον εἰσῆλθε, Μπενέτον τῆς εἰς αὐτὸν εὐνοίας ἐπαινέσας. Καὶ μετὰ μικρὸν ἐξελθὼν διεκόσμει τὴν στρατιὰν ὡς ἐς τειχομαχίαν. Μαρτῖνος δὲ πρός τε τὴν βασιλέως στρατιὰν ἤδη ἑαυτὸν οὐκ ἀξιόμαχον ὁρῶν, ἔκ τε τῶν Χίων ἐπικουρίαν οὐδεμίαν προσδοκῶν διὰ τὸ οὐχ ἧσσον αὐτοῦ ἀφεστηκέναι ταῖς γνώμαις ἢ καθ' ὅσον εὖνοι ἦσαν βασιλεῖ ὑπωπτευκέναι, ἄλλως τε καὶ Μπενέτου προσχωρήσαντος, καὶ τὸ φρούριον παραδόντος ὃ οὐκ ἔλαττον ἠδύνατο ἀποτειχισμοῦ οὕτω πλησίον ᾠκοδομημένον, σφοδρῶς τε ἐθορυβεῖτο, καὶ τὰς σωζούσας ἀπεγίνωσκεν ἐλπίδας. Ἐπεὶ δὲ τά τε σημεῖα ἤδη ἦρετο καὶ ἦρχον μάχης οἱ Ῥωμαῖοι, πρεσβείαν πέμψας ὁ Μαρτῖνος, ἐδεῖτο βασιλέως συγγνώμης τυχεῖν, καὶ πρὸς συμβάσεις χωρῆσαι οἵας ἂν δοκῇ βασιλεῖ. Βασιλεὺς δὲ ἀπεώσατό τε τὴν πρεσβείαν, καὶ οὐκ ἔφασκε δεῖν τῆς στρατιᾶς πρὸς τὴν μάχην παρατεταγμένης, διαλέγεσθαι περὶ συμβάσεων. Πρότερον γὰρ αὐτῷ ἐξῆν πρὶν ἐνθάδε ἥκειν, συγγνώμην τε αἰτεῖν, καὶ σπονδὰς τίθεσθαι εἰρηνικάς, νῦν δὲ ὅπως ἂν αὐτῷ δοκῇ ποιεῖν, ἐπεὶ τῇ σφετέρᾳ πεποιθὼς δυνάμει ὅπλα αὐτῷ ἀντῆρε. Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε· Μαρτῖνος δὲ ἤδη πᾶσαν ἐλπίδα περιῃρημένος σωτηρίας, δείσας μὴ καὶ τὸ ζῆν ἀφαιρεθείη, ἑαυτὸν ἐνεχείρισε βασιλεῖ καὶ τὴν στρατιὰν τῆς πόλεως ἐξελθών. Οἱ Χῖοι δὲ αὐτὸν ὁρῶντες ἤδη πρὸς αἰχμαλώτου τύχην καταστάντα, ὥρμησαν ὡς ἐπὶ τοῦ βασιλέως ἀποκτενοῦντες. Ὁ μέγας δὲ δομέστικος ἀπειλήσας αὐτοὺς τὰ δεινότατα διαθήσειν εἴ τι νεωτερίζοιεν περὶ αὐτὸν, ἀπαθῆ διετήρησε κακῶν. Βασιλεὺς δὲ αὐτὸν πολλὰ καταμεμψάμενος τῆς ἀβουλίας, ὅμως οὐ διέθηκεν αὐτὸν κακῶς, ἀλλὰ τὴν μὲν γυναῖκα αὐτοῦ ἐκέλευσε καὶ παῖδας, ἔτι δὲ καὶ θεραπαινίδας ὅσαι ἦσαν, αὐτὰς μὲν ἐπιφορτίσασθαι ὅσον ἀνῦσαι δυνατὸν ἐκ τῶν

A figebantur : quasi insula ab eo certo jam acquisita, et mancipio obtenta esset. Calotheus cum **231** suis Latinorum metu corripere arma ultro non audebant, sed ad operam præstandam, ubi imperator oppugnare urbem cœpisset, parati erant. Martinus octingentis illis confisus, se defendere instituebat. Imperator ad littus appulsus, et exscensione facta, terra statim potitus, producto equitatu ad oppugnationem accingebatur. Benedictus Martini germanus castellum jactu lapidis ab oppido dissitum tenens venit, illudque imperatori tradit, et fratrem ut injustum ac stolidum accusat, si quidem apparatu multo inferior, tantis copiis resistere se posse speravisset, et pluribus ab imperatore beneficiis obligatus, Chio ipsum spoliare B meditatus esset. Imperator castellum ingreditur, Benedictum de officio commendat : paulloque post exercitum ad oppugnandam urbem ordinat, ac disponit. Martinus jam se illi imparem aspiciens, et nullum a Chiis subsidium exspectans, quod eorum animos non minus a se aversos, quam in imperatorem conversos conjectabat, cum etiam Benedictus deditione castelli facta (quod quidem muro valido cinctum et firmatum, urbique vicinum, æque resistere poterat), ejus fidei potestatique se permisisset, medullitus conturbatus, de spe qua se adhuc consolabatur, decidit. Cum Romani jam signa vellerent, pugnamque ordirentur, missis legatis Martinus veniam precari, et pactis, quæ vellet imperator se staturum promittere. Ille C legatos repudiare, ac dicere, stante jam in procinctu milite, importunum esse de pactis agere, integrum ei fuisse antequam huc iretur et veniam rogare, et de pace secum convenire. Nunc facere se quod liberet, quando ipse sua fretus potentia, contra se arma capere non dubitasset. Martinus omni jam spe deperdita timens ne insuper morti dederetur, urbe egressus, seque, exercitumque suum imperatori transdidit. Chii hominem nunc ad captivi fortunam redactum cernentes, insurgere, ut eum ante oculos imperatoris mactarent. At magnus domesticus se pessimis modis illos accepturum comminatus, si quid ei nocuissent, vivum incolumemque servavit. Imperator de D amentia objurgatum, nulli supplicio subjecit, sed uxorem, liberos, et famulas quotquot erant tollere jussit quantum ferre **232** possent de illius rebus, pretiosaque supellectile : famulos autem toralia, tapetes, ac reliqua omnia ad nocturnam quietem requisita, et Chio excedentes ire, quo voluntas duceret, Martinum autem in vincula duci. Et hæc quidem hoc modo patrata sunt, ac ferme omnia quæ Martinus habebat, ministræ et uxor in humeros sublata extulerunt. Octingentos autem illos, qui eidem militabant, venia et impunitate dignatus est ; tali optione data, ut qui vellent, cum re familiari sua libere insula demigrarent ; qui manere mallent, iis nemo esset molestus, et imperatoris militiam mercede tolerarent. Paucis Chium

Digitized by Google Распознавание текста ABK/FR

deserentibus, cæteri omnes aut ibidem æra merere perrexerunt, aut in ministros ejus domesticos relati sunt. Hac ratione Chius in Romanorum jus mancipiumque rediit. Imperator deinde et Benedicto pro navata benevolentia ac prompta voluntate, et Chiorum principibus populoque gratiam rependi æquum judicavit. Qui quanquam ad bellum contra Martinum nihil contulissent, tamen is erat eorum sensus atque animus, ut necessitate flagitante, omnem operam ad imperatorem strenue adjuvandum collaturi fuerint. Quare et Calothetum, et genus ejus tum iis quæ apud Didymotichum de Chio clandestino secum disserenti promiserat, tum aliis præterea pluribus remuneratus est; atque alios donis et honoribus auxit, populum vero tributorum onere, quo gravissime premebatur levavit.

A ἐκείνῳ προσόντων χρημάτων τε καὶ ἄλλων ἐπίπλων καὶ σκευῶν πολυτελῶν, τοὺς δὲ δούλους, στρώματά τε καὶ τάπητας ἄραι, καὶ ἄλλα ὅσα ἐπιτήδεια πρὸς τὸ καθεύδειν τῆς νυκτὸς, καὶ ἐξελθόντας Χίου, πορεύεσθαι ὅποι ἂν δοκῇ. Μαρτίνον δὲ ἐκέλευσεν εἰρχθῆναι. Καὶ τοῦτο μὲν τοῦτον ἐπράχθη τὸν τρόπον, καὶ σχεδὸν ὅσα Μαρτίνῳ ἦσαν αἱ θεραπαινίδες ἅμα γυναικὶ ἐπεφορτίσαντο. Τοὺς συνόντας δὲ αὐτῷ ὀκτακοσίους, συγγνώμης τε ἠξίωσεν ὁ βασιλεὺς, ἀδικήσας μηδέν· καὶ προῦθηκεν αἵρεσιν αὐτοῖς τοιαύτην, ὥστε τοῖς τε βουλομένοις τὰ ὄντα λαβόντας ἐξεῖναι ἀναχωρεῖν· τοῖς τε μένειν ἐθέλουσι μηδένα ἐνοχλεῖν· ἀλλὰ τὴν μισθοφορὰν λαμβάνοντας, δουλεύειν βασιλεῖ. Ὀλίγοι μὲν οὖν ἐκείνων ἀπῆραν ἐκ τῆς Χίου, οἱ λοιποὶ δὲ, οἱ μὲν ἔμειναν B ἐν Χίῳ αὖθις μισθοφοροῦντες, οἱ δὲ τοῖς βασιλέως συνηριθμήθησαν οἰκέται. Χίος μὲν οὖν οὕτως αὖθις γέγονεν ὑπὸ Ῥωμαίοις· βασιλεὺς δὲ Μπενέτον τε δίκαιον ἔκρινεν ἀμείβεσθαι τῆς εὐνοίας καὶ τῆς προθυμίας τῆς εἰς αὐτόν· καὶ τῶν Χίων τοὺς δυνατοὺς καὶ τὸν δῆμον. Εἰ γὰρ καὶ μηδὲν εἰς τὸν πρὸς Μαρτίνον πόλεμον εἰσήνεγκαν αὐτοὶ, ἀλλὰ ταῖς γνώμαις οὕτως ἦσαν παρεσκευασμένοι, ὡς ἦν δέῃ, πᾶσαν ἐπιδειξόμενοι σπουδὴν καὶ προθυμίαν ὑπὲρ βασιλέως. Διὸ καὶ Καλόθετον μὲν καὶ γένος, τά τε ἐν Διδυμοτείχῳ προεπηγγελμένα, ὅτε περὶ Χίου κρύφα διειλέχθη, καὶ προσέτι πλείω εὐηργέτει. Καὶ τοὺς ἄλλους καὶ τιμαῖς ἠμείβετο καὶ δωρεαῖς. Τὸν δῆμον δὲ τῶν δημοσίων ἀνῆκεν εἰσφορῶν, ὅσαι μάλιστα ἐπίεζον.

CAPUT XII.

Imperator ad gratiam Benedicto referendam, Chii præfectura illum ornare vult, cum reditibus amplissimis. Homo avarus, et ambitiosus totam insulam pro peculio audet petere. Conatur eum sanare imperator. Datur spatium ad deliberandum. Manet in sententia pertinaciter. Galatam triremes petit, quas illi negat imperator. Iterum spatium deliberandi datur, et Benedictus pro fatuo habetur. Consilium magni domestici de infamia imperatori effugienda. A Latinorum conventu Benedictus pro insano damnatur. Honores illi exquisitissimi, cum viginti aureorum millibus promittuntur : spernit omnia. Imperatoris virtus laudatur : Benedictus Galatam navigat.

Accersitum quoque Benedictum Martini fratrem C accusationis admonet, quam ei Byzantium veniens intenderat de sex aureorum millibus, quæ pro paterna sorte de publicis Chii reditibus capere debuisset, ab illo autem, qui insulam sibi vendicasset, privatus fuisset. Et quo pacto auxilium, si quod posset, afferri petivisset; quæ ipse promisisset, **233** quam severe nimirum in Chium delatus, et sibi, et illi injuriam illatam ulturus foret. Quod quoniam feliciter, atque ut par erat, evenerit, et Martinus insula exactus sit, consentaneum sibi videri promissa persolvere, et castello sponte dedendo declaratam erga se propensionem compensare. Quocirca se illi præfecturam Chii deferre. Cumque reditus insulæ centum ac viginti millium aureorum summam plane conficerent, ad ejus D procurationem, ad præsidia, ususque necessarios, quantum re perspecta merito requiri putaret, impenderet; de reliquo dimidium unum in imperatoris fiscum inferret, altero ipse frueretur. Et quoniam suus quemque dies latet, æquum se, et utile arbitrari, arcem a Martino inchoatam perfici, et a se cum præsidio occupari; quo, si quid, ut sunt res humanæ, sibi acciderit, et inter homines esse desierit, Romani Chium, cui multi et remoti, et vicini, præsertimque Delii Hospitalenses (77) insi-

Μπένετον δὲ μεταλαλεσάμενος τὸν Μαρτίνου ἀδελφὸν, ἀνεμίμνησκέ τε ὧν πρὸς Βυζάντιον ἐλθὼν τοῦ ἀδελφοῦ κατηγόρει, ὡς ἀποστεροίη μὲν τῶν ἑξακισχιλίων χρυσίων, ἃ προσῆκεν αὐτῷ ἀπὸ τῶν δημοσίων προσόδων τῆς Χίου λαμβάνειν, αὐτὸς δὲ τὴν νῆσον σφετεριζόμενος ἀποστεροίη τοῦ πατρῴου κλήρου, καὶ ὡς ἐδεῖτο τῆς δυνατῆς τυχεῖν ἐπικουρίας, ὧν τε αὐτὸς ἐπηγγείλατο, ὡς ὅσον ἤδη γενόμενος ἐν Χίῳ τῆς τε εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἀδικίας εἰσπράξεται Μαρτῖνον δίκας. Ὧν δὴ νῦν καλῶς καὶ ὡς προσῆκεν ἀποβάντων, καὶ Μαρτίνου Χίου ἐξεληλαμένου, δίκαιον ἡγεῖσθαι εἶναι τάς τε ἐπαγγελίας ἐκπληροῦν τὰς εἰς αὐτὸν, καὶ τῆς εὐνοίας ἀμείβεσθαι ἧς πρὸς ἐλθόντα ἐνεδείξατο, τὸ φρούριον παραδούς. Οὗ δὴ ἕνεκα τῆς τε Χίου ἐπιτρέπειν τὴν ἀρχὴν, καὶ τῶν προσόδων αὐτῆς τῶν δημοσίων οὐκ ἔλαττον χρυσίου μυριάδων δυοκαίδεκα οὐσῶν, εἰς μὲν ἐπιμέλειαν τῆς νήσου καὶ φυλακὴν, ἔτι τε λοιπὴν ἀναγκαίων ἀναλωμάτων χρείαν ὅσα ἂν αὐτῷ σκεψαμένῳ βέλτιον δοκοίη ἔχειν ἀναλοῦν· τὰ δὲ ὑπολειφθέντα χρήματα, τὰ ἡμίση μὲν τῷ βασιλικῷ ταμιείῳ εἰσκομίζειν, αὐτὸν δὲ τὰ ἐπίλοιπα καρποῦσθαι. Ἄδηλον δὲ ὂν ἀνθρώπῳ παντὶ ὁπότε ἀπροσδόκητον ἕξει τὸ τέλος τῆς ζωῆς, δίκαιον ἅμα καὶ λυσιτελὲς ἡγεῖσθαι εἶναι τὴν ἀκρόπολιν, ἣ πρὸς Μαρτίνου ᾠκοδομεῖτο,

Jacobi Pontani notæ.

(77) Delus tum Hospitalensium erat, quomodo et Græcus codex illos nominat. Σπιτάλη enim in Græco

Digitized by Google Распознавание текста ABK/FR

ἐπισκευασθεῖσαν ὧν δέοιτο, φρουρᾷ κατασχεθῆναι παρ' αὐτοῦ, ὡς εἴ τι περὶ αὐτοῦ, οἷα τὰ ἀνθρώπινα, συμβαίη καὶ γένοιτο ἐξ ἀνθρώπων, μὴ τὴν Χίον Ῥωμαίους ἀποστερηθῆναι, πολλοὺς ἔχουσαν οὐ πόρρωθεν μόνον, ἀλλὰ καὶ ἐγγύθεν ἐπιβούλους, καὶ μάλιστα τοὺς ἐκ Δήλου Σπιταλιώτας. Τοιαῦτα πρὸς Μπενέτον διεξιόντος βασιλέως, καὶ μικρᾶς εὐνοίας χάριν μεγάλην κατατιθεμένου, οἱ μὲν ἄλλοι πάντες κατεπλήττοντο τὴν περὶ τὰς εὐεργεσίας τοῦ βασιλέως φιλοτιμίαν, ὅτι μικρᾶς ἕνεκα εὐνοίας τοσαύτην ἀντιπαρέσχε χάριν, μήτε ὧν ἀνάλωσε χρημάτων πρὸς τὴν παρασκευὴν τοῦ στόλου καὶ τῆς συνεπομένης ἄλλης στρατιᾶς ὑπολογισάμενος τὸ πλῆθος, μήτε ὧν ἐκ Χίου ἔμελλεν ἐτησίως ὁ Μπενέτος ἀποφέρεσθαι, καὶ ταῦτα, ὀλίγα ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον εἰσενεγκών. Μπενέτῳ δὲ τοὐδὲν ἄρα ἤρκει, ἀλλ' ἀδικεῖσθαι ἡγεῖτο καὶ ἀποστερεῖσθαι μὴ μειζόνων ἀξιούμενος. Διὸ καὶ τὴν βασιλέως δωρεὰν ἀπεωθεῖτο μὴ δεῖσθαι φάσκων μήτ' ἐπιτροπεύειν Χίου, μήτ' ἐφ' οἷς ὁ πατὴρ αὐτοῦ, μήθ' ὁ ἀδελφὸς Μαρτῖνος καὶ αὐτὸν κατέχειν· ἀλλ' εἰ μὲν αὐτῷ παντάπασι τῆς Χίου βασιλεὺς παραχωροίη, ὥστ' ἰδίαν αὐτῷ ἀρχὴν εἶναι, καὶ μηδαμῶς τελεῖν ὑπὸ Ῥωμαίους, πολλὴν ἂν εἰδείη τῆς εὐεργεσίας χάριν. Εἰ δὲ μὴ τοῦτον βούλοιτο τὸν τρόπον, μηδεμιᾶς ἑτέρας εὐεργεσίας μεμνῆσθαι ὡς πρὸς ἡδονὴν αὐτῷ οὐκ ἐσομένης· ἀλλ' αὐτὸν ὅ, τι ἂν δοκῇ δεσπότην ὄντα περὶ τῆς νήσου πράττειν. Βασιλεὺς δὲ οὐ δίκαια αἰτεῖν ἔφασκε Μπενέτον, οὐδ' οἷα τυχεῖν. Ἔχρῃν μὲν γὰρ εἰ καὶ τοὺς ἑξακισχιλίους ἐλάμβανε χρυσοῦς, ὧν παρὰ Μαρτίνου ἠδικεῖτο, ἀγαπᾷν, καὶ πολυπραγμονεῖν μηδέν. Εἰ δὲ οὐ τοσαῦτα μόνον, ἀλλὰ καὶ πολλαπλασίω τούτων, καὶ προσέτι τὴν ἀρχὴν ἔχειν ἔξεστι τῆς νήσου, πῶς ἂν εἴη δίκαιον ἐνδεᾶ τὴν χάριν τοῦ προσήκοντος νομίζειν; ἔτι δὲ οὐδὲ ἑαυτῷ τὸ παντάπασιν αὐτῷ παραχωρῆσαι Χίου, ἐν καλῷ τοῦ σχήματος ἔφη κεῖσεσθαι ὁ βασιλεὺς, οὐδὲ φιλοτιμίαν καὶ μεγαλοψυχίαν, ἀλλὰ παραπληξίαν καὶ ἀκρισίαν περιάψειν ἑαυτῷ. Εἰ γὰρ ἔδει τοσοῦτον πόνον αὐτόν τε καὶ Ῥωμαίους ὑπομείναντα, καὶ τοσαῦτα κατὰ τὴν παρασκευὴν τοῦ στόλου χρήματα οὐκ αὐτὸν μόνον ἐκ τῶν βασιλικῶν, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων τῶν ἐπιφανῶν πολλὰ ἀναλωκότων ὥστε κρατῆσαι Χίου, ἔπειτα αὐτῷ παραχωρῆσαι ἐς τοσοῦτον ὥστε μήτε νῦν μήθ' ὕστερον μὴ μόνον μὴ μετεῖναι Ῥωμαίοις τῆς ὠφελείας τῆς αὐτῆς, ἀλλὰ μηδὲ προτρήματι ψιλῷ κυρίους ὀνομάζεσθαι αὐτῆς, πολλῷ τῷ μέτρῳ βέλτιον καὶ λυσιτελέστερον ἦν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν αἱρεῖσθαι, Μαρτῖνόν τε ἐᾶν κατέχειν καὶ μὴ παρενοχλεῖν. Ἐκεῖνος μὲν γὰρ πρὸς τῷ μὴ κόπτεσθαι καὶ ταλαιπωρεῖν ἐν στρατείαις, καὶ ταῦτα, διαποντίαις, καὶ τὰ ἀναλωθέντα χρήματα ἐξῆν κερδαίνειν· καὶ προσέτιγε εἰ μὴ νῦν, ἀλλ' ὕστερόν ποτε δύναμιν

A dientur, ne amittant. Hæc cum imperator diceret, parvoque officio illius ingenti beneficio suo responderet, reliqui omnes ejus tam fervens benefaciendi studium obstupescebant, quando tam modica tam magnis pensaret : non reputans, neque quantos sumptus in ædificanda ornandaque classe, et in classiarios fecisset : neque quam grandem pecuniam Benedictus anniversarie reportaturus esset, idque cum parum aut nihil bello pro Chio commodasset. Sed Benedicto nihil sufficiebat : qui se etiam injuria affici, et suis spoliari censebat, quod majoribus dignus non haberetur. Quare donationem imperatoris rejiciebat, profitebaturque, non se iis indigere : nec Chium procurare velle, nec retinere iis conditionibus, quibus

B aut parens, aut frater retinuissent. Si imperator eam totam omnimodis pro peculiari principatu, a Romanorum imperio prorsus exemptam sibi cedat, tum demum illi ut beneficio gratiam magnam habiturum. Si nolit, ne ullius beneficii mentionem faciat, audire enim non posse. Verum cum ipse insulæ dominus sit, ageret pro arbitratu. Respondit imperator, Benedicti petitionem nec æquam, nec impetrabilem esse : oportuisse enim sex aureorum millibus a Martino recipiendis contentum, alienis se non implicare. Cum vero non tantum modo, sed multo etiam plura, et insuper insulæ præfecturam consequi liceat, **234** qui tandem munus hoc ejus meritis impar juste videri queat ?

C Ad hoc, si totam insulam ei in mancipio det, id sibi neutiquam laudi fore ; neque gloriæ cupidum, et magnanimum, sed vesanum, et nullius cerebri visum iri. Si enim necesse erat tot laboribus et a se susceptis, et a Romanis, atque in classe instruenda non a se duntaxat, e fisco suo, sed ab illustribus quoque separatim impensa non mediocri facta, ut Chius reciperetur, deinde eam illi relinquere, adeo ut Romani neque nunc, neque posthac quidquam inde emolumenti perciperent, imo nec verbo saltem illius domini appellarentur, longe utique melius, et conducibilius fuisse, procul negotiis quietem persequi, Martinumque eam retinere perpeti, et nihil turbarum excitare. Sic namque et defatigatione ac labore expeditionis hu-

D jus, et quidem maritimæ et præterea consumptæ pecuniæ supersederi potuisse. Adde, quod, si non hoc tempore, at aliquando Romanis, ut injuriam passis, comparato exercitu insulam recuperare licebit ; et vel ea potitis jus suum obtinere, vel potentia adversariorum superatis, neque perperam egisse, neque fœdus violasse existimari. Sin, quod tu nunc postulas, insulam tibi cessero, præterquam quod tempus, et impensa periit, nulla spes ejus unquam recipiendæ Romanis relinquetur ;

Jacobi Pontani notæ.

barbaro *hospitium* est. Genus religiosorum sub Hygino pontifice notum. Iidem qui Rhodii, seu Rhodienses, et Melitenses hodie quorum historiæ Latinis et Italicis litteris exstant. De origine Hospitalensium Hierosolymæ scripsit in Historia sua Oriental. cap. 61, Jacobus de Vitriaco, episcopus Tusculanus et cardinalis.

Digitized by Google Распознавание текста ABK/FR

aut contra fas agere, et fœdifragos haberi oportebit, sive eam obtinuerint, sive non obtinuerint. His de causis nec tu justa et quæ fieri possunt petis, nec ego possum concedere. Quæ autem prius a me statuta sunt, ea fieri queunt, et cum ex Romanorum, tum etiam ex re tua sunt. Hic Benedictus, audisse attente omnia, quæ dixisset imperator; sed iis nec hilum commoveri, perstareque in prima sententia, et ita sentire, nisi tota insula detur, nulla posse meritis suis digna præmia rependi. Solent, excipit imperator, de re aliqua deliberantibus jam hæc, paulo post contraria in mentem venire, quæ aut meliora, aut deteriora appareant. Quare nec ipsum decere, primis ab se auditis sermonibus, adeo inconsiderate desperare; verum cum amicis ac propinquis biduo triduove ubi consuluerit, tum demum venire, et quid probetur exponere; fortassis enim ea consultatione, quid facere par sit, inventurum. Benedictum adhuc parantem contradicere, imperator solio exsurgens cohibuit, testificans non se ante aures illi daturum, **235** quam communicato cum amicis negotio redierit. Sic ille domum perturbatissimus abiit. Tertia luce vocatum imperator et dictorum admonuit, et alia quædam adjecit, quibus et animum suum erga ipsum, et quantopere de homine bene mereri cuperet, declaravit, hortatusque est, ut sibi utile danti consilium obsecundaret. Benedictus a pertinacia non discedere, imperatoremque monere, ne dum aliud suadere conatur, oleum atque operam perdat, sed siquidem plenum totius insulæ principatum sibi det : sin autem, rogare se, triremes quot indigeret daret, quibus facultates suas imponeret, Galatamque trajiceret (78). Imperator odio-

A κτησαμένοις τοῖς Ῥωμαίοις, τὴν νῆσον ἀνεξῆν ἀναλαβεῖν ὡς ἀδικουμένοις, καὶ ἢ αὐτῆς τῶν ἀδικούντων κρατήσασι τυγχάνειν, ἢ ἐλάσσοσι τῶν ἀντιπάλων γενομένοις μὴ ἀδικεῖν νομίζεσθαι, μηδὲ παρασπονδεῖν. Εἰ δ' ὥσπερ νῦν ἀξιοῖς αὐτούς, σοὶ παραχωρήσομεν τῆς νήσου, οὐ μόνον εἰκῆ καὶ μάτην τόν τε πόνον ἐσόμεθα πεπονηκότες καὶ τὰ χρήματα ἀναλωκότες, ἀλλ' οὐδ' ἐλπίδα ὑπολειψόμεθα Ῥωμαίοις τοῦ ἀνασώσασθαι ἄν ποτε τὴν νῆσον· ἢ δοκεῖν ἀδικεῖν καὶ παρασπονδεῖν ἐάν τε κρατήσωσιν, ἐάν τε μή. Δι' ἃ δὴ πάντα μήτ' αὐτὸν μήτε δίκαια μήτε δυνατὰ αἰτεῖσθαι, μήτ' αὐτὸν δύνασθαι παρέχεσθαι. Ἀλλ' ἀὖτ' αὐτοῦ πρότερον ἐκρίθη δυνατά τε εἶναι, καὶ Ῥωμαίοις καὶ αὐτῷ λυσιτελῆ. Μπενέτου δὲ πάντων μὲν φάσκοντος ἀκηκοέναι τῶν βασιλέως

B λόγων, καὶ προσεσχηκέναι αὐτοῖς, μηδενὶ δὲ πεῖθεσθαι αὐτῶν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐμμένειν δεδογμένοις, καὶ μηδεμίαν ἡγεῖσθαι χάριν προσήκουσαν αὐτῷ, ἢ τὴν παντελῆ παραχώρησιν τῆς νήσου, Οὐδέν, ἔφη, θαυμαστὸν, ὁ βασιλεὺς, εἴ τινι περὶ πράγματός τινος βουλευομένῳ, νῦν μὲν τοιάδε τινὰ λογίζεσθαι παρασταίη, μικρὸν δὲ ὕστερον τἀναντία ἢ βέλτιω ἢ χείρω σκεπτομένῳ φαίνοιτο ἐκ τῶν πραγμάτων. Διόπερ οὐδ' αὐτὸν δίκαιον νῦν πρῶτον τῶν πρὸς αὐτὸν ἀκηκοότα λόγων, ἀπερισκέπτως οὕτως ἀπαγορεύειν· ἀλλὰ δέον εἰς δευτέραν καὶ τρίτην μετὰ τῶν φίλων σκεψάμενον ἡμέραν, οὕτως ἥκειν ἀπαγγέλλοντα ὅσα ἔδοξεν. Ἴσως γάρ τι τῶν δεόντων ἡ μετὰ τῶν φίλων καὶ οἰκείων συνδιάσκεψις εὑρήσει. Ἐπιχειροῦντος δὲ αὖθις ἀντιλέγειν τοῦ Μπενέτου,

C ἐπέσχεν ὁ βασιλεὺς, τῆς καθέδρας τε ἐξαναστὰς, καὶ πρὸς αὐτὸν εἰπὼν, ὡς οὐκ ἀκούσεται πρὶν μετὰ τῶν φίλων βουλευσάμενον ἥκειν. Μπενέτος μὲν οὖν οὕτως οἴκαδε ἀπῆλθεν, ἀνάπλεως ταραχῆς.

Jacobi Pontani notæ.

(78) Galata (cujus per hanc historiam mentio erit plurima, et res ejus gestæ memorabiles afferentur) urbs e regione Constantinopolis sita trans sinum, quem Ceras sive Cornu, et Ceratinum, sive Cornutum veteres etiam vocarunt; quod instar cornu cervini sparsim ramis quasi quibusdam littus utrumque amplectatur. Eadem et Pera dicitur, et Peræa Nicetæ historico, quod ultra sinum posita sit. Veteres ab arborum ficos ferentium copia Sycas nominabant, quæ vox apud Zosimum quoque legitur. Colonia est Genuensium, etiam hodie majori ex parte a Christianis inhabitata, præsertim mercatoribus. (Leunclavius.)

Placet insuper ejus descriptionem, quamvis longiusculam, ex Petri Gylii topographia Constantinopolitana apponere, quod me utiliter fecisse lectores, ut spero, judicabunt, cum majorem historiæ hujus partem evolverint. *Sycena regio, jam vulgo nominata Galata, sive Pera, rectius nominanda Peræa, ut Josephus Judæam trans Jordanem nominat Peræam. Cur autem appelletur Galata, Constantinopolitani omnes jam prædicant, ex eo, quod illic olim lac venderetur, aut mulgeretur, decepti nominis allusione; nec dubito, si scirent, Galatam appellatam olim Sycam, quin etiam auderent eam dicere a ficuum lacte ita appellatam esse, suamque tum aberrationem a vero tueri possent auctoritate Dionysii Byzantii, scribentis, Sycam appellatam a multitudine et pulchritudine arborum ficuum ibi provenientium. Quanto rectius conjectassent, si a Galatis populis eam Galatam nominatam fuisse arbitrati essent, adducti Joannis Tzetzæ, civis Constantinopolitani et diligentis grammatici varia Historia, abhinc fere quadringentos annos conscripta, quæ tradit, Brennum Gallum, ducem Gallorum, quos Græci Galatas appellant, profectum Byzantium, illinc trajecisse : indeque Byzantii locum appellatum fuisse Peram ex trajectione Galatarum, a quibus postea arbitror etiam Galatam appellatam. Hæc autem sita est partim in colle, partim in planitie subjecta sub ipsum collem, quem duæ valles efficiunt, una ab oriente, altera ab occidente, utraque longa circiter unum milliare. Collis dorsum procedit a septentrione ad meridiem, latum ubique non minus ducentis passibus, tam longum, quam valles, quibus utrimque claditur : deinde conjungitur cum reliqua continentis planitie. Collis meridianum latus, et planitiem sub ipsum subjectam continentes Galatam, circumscribit sinus Ceratinus, Isthmumque, et peninsulam fere semicircularem efficit, ut si lineam ducere ab ore et faucibus sinus ad medium recessum, quem sinus Ceratinus insinuat in vallem, quæ collem Galatinum ab occasu claudit, inclusum videres intro semicirculum, quem designaret ducta linea Galatam accedentem ad figuram arcus intenti, nisi ejus cornu vergens ad occasum, dimidio largius quam orientale esset, et minus longum. Galatæ circuitus muro circumdatus patet quater mille et quadringentos passus; latitudo varia : nam media est sexcentorum passuum, quorum viginti intercedunt inter sinum et muros. Jam*

Digitized by Google Распознавание текста ABK/FR

Εἰς τρίτην δὲ ἡμέραν μεταπεμψάμενος αὐτὸν ὁ βασιλεὺς, τῶν τε πρότερον ἀνεμίμνησκεν εἰρημένων, καὶ ἕτερ' ἄττα προσετίθει· τήν τε εὐμένειαν τὴν πρὸς αὐτὸν ἔνδηλον ποιῶν, καὶ ὅσην ἔχει περὶ τὸ εὖ ποιεῖν αὐτὸν τὴν προθυμίαν· συνεβούλευέ τε πείθεσθαι αὐτῷ ὡς λυσιτελοῦντα βουλευομένῳ· ὁ δὲ τῆς τε ἐξ ἀρχῆς εἶχετο γνώμης, καὶ βασιλεῖ παρῄνει μὴ εἰκῇ πονεῖν, μηδ' ἄλλο τι πείθειν ἐπιχειρεῖν· ἀλλ' εἰ μὲν σύτῳ τῆς νήσου πᾶσαν παραδοίη τὴν ἀρχήν. Εἰ δὲ μή, ἀλλὰ τόγε δεύτερον, τῶν τριήρεων ὅσων δέοιτο ἐδεῖτο παρασχεῖν, ὡς ἂν εἰς Γαλατᾶν ἀφίκηται, ἐνθέμενος τὰ ὄντα. Βασιλεῖ δὲ ἐδόκει δεινὸν, εἰ μήπω πᾶσι φανερᾶς τῆς εἰς αὐτὸν εὐεργεσίας καθεστηκυίας, ἢ τἀληθὲς αὐτὸς ἐθέλων ἀποκρύπτειν, ἢ ἕτεροί τινες τῶν γινομένων πέρι μηδὲν εἰδότες, οἰήσονται τὸν βασιλέα βούλεσθαι μὲν ἀπελαύνειν Μπενέτον Χίου, εὐπροσώπου δὲ προφάσεως οὐκ εὐπορεῖν, καὶ διὰ τοῦτο ἀσμένως λαβόμενον τοῦ λόγου, τάς τε τριήρεις παρέχειν, καὶ τὴν ἔξοδον ἐπιτρέπειν. Διὸ καὶ αὖθις ἐφ' ἑτέρας τρισὶν ἡμέραις περὶ τοῦ πράγματος ἐκέλευε διασκέψασθαι, δίκαιον δὲ εἶναι μὴ πρὸς τὴν ἐκείνου μικροψυχίαν ἀπιδεῖν, ἀλλὰ τὴν αὐτῷ προσήκουσαν ἐνδείξασθαι μεγαλοψυχίαν καὶ χαρτερίαν. Ἴσως γὰρ ἂν αὐταῖς τῶν δεόντων τι βουλεύσασθαι δυνήσῃ. Μπενέτος δὲ μηδὲν ἔτι προσθεὶς, θυμοῦ γέμων,

A sum arbitrari, si cum de sua in illum beneficentia nondum constaret palam, aut ipse veritatem celare vellet, aut quidam alii, rei transactæ prorsus ignari existimarent, imperatorem Benedictum Chio expulsum cupere; verum causa aliqua in speciem honesta non suppetente, libenter ex ejus verbis occasionem arripuisse, et triremibus suppeditatis, abitionem illi permittere. Itaque rursus alio triduo rem deliberationi jussit committere (æquum censens, non ad ejus illiberalem animum respicere, sed personæ suæ convenientem mentis celsitatem patientiamque præ se ferre), forsitan enim illo spatio quidpiam opportunum posse statuere. Benedictus verbum non amplius addens, et ira æstuans, quasi intoleranda vexatus injuria, domum recessit. B Imperator facto indignatus, præsentes Romanos percontatur, num Benedicto meritas gratias non retulerit, qui tamen ad bellum Chium tenui, aut nullo auxilio fuerit; et, nunquid non justa, et ad præscriptum rationis ab eo requireret: se enim non percipere, quid ejus verba significent. Aliis igitur in hominem invehentibus, et ut insigniter vecordem condemnantibus, magnus domesticus ita disseruit: Quam a ratione alienum ac delirum sit Benedicti desiderium, omnes perspectum habent. Ideo quid spectans tam rigidus in eo et præfractus perse-

Jacobi Pontani notæ.

vero planitiès procurrens inter sinum et collem, dilatatur in centum octoginta passus, clivus vero in C *quadringentos. Latus Galatæ orientale patet in latitudinem primo quadringentorum passuum, deinde contrahitur in ducentos sexaginta passus. Latus pertinens ad occasum extra veterem Galatam situm, habet mollem clivum, et fere totum ad meridiem tendentem, præter exiguam proclivitatem subsidentem ad solis occasum juxta muros veteris Galatæ sitam; clivi enim collis Galatini duplici devexitate inclinantur, una in valles, altera in sinum. Unde fit prona triplici proclivitate, una a septentrionibus ad meridiem, altera ad ortum solis, tertia ad occasum. Declivitas per medium Galatæ latitudinem decurrens, tendit a septentrionibus ad meridiem, ita prona, ut multis locis clivi gradibus molliatur, ut domus ex parte infera scalis ascendantur, ex supera adeantur plano pede usque ad primam contignationem. Latus vero tam vergens ad solis ortum, quam ad occasum, duplicem devexitatem habet, unam a septentrionibus ad meridianum cardinem, alteram ad orientem, aut* D *occidentem: ut non modo viæ rectæ, sed etiam transversæ proclivitatem habeant, sed orientale latus proclivius in utramque devexitatem, occidentale molles clivos habet tam rectos, quam transversos. Denique Galata sic prona est, ut si eadem altitudine omnes essent, superiores contignationes aspectu maris fruerentur, ex eisque, velut ex theatris, naves ultra citraque trajicientes spectarentur: neque modo Galata, sed tota fere Constantinopolis maris aspectu frueretur, si lex a Zenone constituta, et a Justiniano sancita servaretur, jubens intra centum passus neminem posse Constantinopoli impedire maris aspectum, neque rectum, neque obliquum. Plana urbis pars discurrens inter imos collis clivos, et sinum nusquam minus stricta ducentis passibus, in cornibus largior est, et quidem alicubi patet in longitudinem quadringentorum passuum, oppidum triplo longius, quam latius; latitudo tendit a septentrionibus ad meridiem, longitudo ab oriente ad occasum, latus occidentale latius quam orientale, et fere eadem latitudine, qua media urbs; nam per longitudinem quingentorum passuum nusquam minus lata quingentis passibus orientale latus contrahitur molliter, quoad ejus extremitas ad formam cunei reducitur, ubi lata est ducentos sexaginta passus. Totum littus, quod circuit Galatam portuosum est, naves admittens usque dum contingant oram maritimam. Inter mœnia et sinum intermissum est spatium, ubi tabernæ, et officinæ mercatorum, et cauponæ frequentes, et vacua intervalla ad exonerandas naves. Portas habet maritimas sex quarum tres trajectum frequentem habent ad Constantinopolim. Ita enim contra Constantinopolim jacet Galata a septentrionibus, ut primo, secundo, tertio collibus, et valli primæ et secundæ Constantinopolitanis sit adversa, præ se habens sinum et Constantinopolim, a tergo suburbana ædificia. Nam supra Galatam multæ domus suburbanæ partim in collis Galatini dorso, partim ejus lateribus triplicibus. Nam Galata non attingit summum verticem collis, imo ex summa urbe, ubi est excelsissima turris, adhuc restat extra urbem ascensus trecentorum circiter passuum, plenus ædificiis, inde jugum planum tendens a meridie ad Aquilonem, largum circiter ducentos passus, longum duo millia passuum, per quod medium discurrit via lata, utrinque ædificiis cincta hortorum, et vinetorum, neque est ulla pars amœnior: ex qua ejusque lateribus videtur sinus Ceratinus, et Bosphorus, et Propontis, et septem colles Constantinopolis, et Bithynia, et semper nivosus Olympus. Denique ædificia non modo in colle Galatino, sed etiam in collibus et vallibus circumvicinis sitis in littore Galatino posito contra Constantinopolim, tot colles et valles habente, quot Constantinopolis, ut jam longe dimidio majorem, quam sit Galata, urbem efficere possint, ac si centum annos felicitas imperii Byzantini duraverit, altera Constantinopolis futura est Galata.* Hæc Gyllius. Porro quibus temporibus hæc gerebantur multis partibus minor et infrequentior fuit Galata.

Digitized by Google Распознавание текста ABK/FR

veret, non est curiosius inquirendum. Censendum vero furiosorum esse similem, qui neque quid neque apud quos loquantur, norunt, sed quatenus a cacodæmone exagitantur, cogitationibus humanis abhorrentia effutiunt. Ut autem in posterum nec ipse, nec alius veritatem mendacio obscurare queat, et inanes comminisci fabulas, quo nobis labem aliquam improbitatis inurat, **236** quæ mihi videantur, si forte eadem tibi probabuntur, eloquar. Quia in præsens non Romani duntaxat, sed et Genuenses et Veneti in hac insula negotiantur, et Nicolaus Sanutus Cycladum præfectus, qui amicitiæ ergo te salutatum venit: item ex Latinis episcopus, cui a papa Chii pontificatus commissus est (79), et aliquot Ferrarienses (80), qui terram hanc lustrare, et mores hominum cognoscere student; conventum omnibus istis indicito, et in eorum præsentia Benedictum compellari jubeto: qui si quod offers, mutatus admiserit, optatissimum acciderit; sin priore adhuc obstrictus amentia, quæ in manibus habet bona abjecerit, quæ autem nulla sunt, neque erunt, concupierit, et nos illi fidem facere aequibimus, ea ipsum postulare, quæ dari non possint, certe præsentes quidem non solum testes, verum etiam integritatis tuæ ac studii in benefaciendo, et illius insaniæ præcones habebimus: et hinc præcipuam, eamque bipartitam utilitatem hauriemus, quod nos ipsos nimirum ab immerita infamia servabimus, et aliis a nocumento mendacii cavebimus. Hæc ubi effatus est magnus domesticus, imperator protinus in ejus sententiam ivit, et rei conficiendæ negotium illi dedit: atque hoc amplius, nisi Benedictus ex priori decreto Chium administrare vellet, ut aliam ei ex liberalitate conditionem, prima nequaquam deteriorem proponeret. Die præstituta cum magnus domesticus ex Romanis et Latinis advenis conventum coegisset; præsente etiam Benedicto, et non paucis, qui antea cum Martino fratre ejus familiariter vivebant, ad verba ventum est; altiusque repetito principio, domesticus narravit, quo pacto Benedictus Byzantium ad imperatorem confugiens, fratrem injuriarum postulasset, quidque imperator supplici respondisset, et qua is benevolentia postea eumdem imperatorem in Chio complexus esset; atque hanc esse causam, quare imperator tantam ei gratiam referret. Benedictum autem iterato, quasi se indignam rejecisse; ac nisi Chio a Romano imperio avulsa sibi penitus cederet, nullo se alio ejus beneficio egere jactasse: et ne irritus ac temerarius labor impossibilibus sibi suadendis susciperetur, monuisse. Qui aderant, Latini præsertim, fatuum adeo Benedicti judicium insectabantur, et damnabant apertissime; atque

A οἴκαδε ἀπεχώρει ὡς τὰ ἔσχατα ἠδικημένος. Βασιλεὺς δὲ ἐπὶ τοῖς γινομένοις δυσχεραίνων, τῶν παρόντων ἐπυνθάνετο Ῥωμαίων, εἰ μὴ τὴν προσήκουσαν εὐεργεσίαν κατατίθεται Μπενέτῳ, μικρὰ ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον συναραμένῳ, ἢ εἰ δικαία ἡ ἀξίωσις αὐτοῦ καὶ σὺν λόγῳ γινομένη. Αὐτὸν γὰρ μὴ δύνασθαι συνεῖναι, ὅ τι ταῦτα αὐτῷ τὰ ῥήματα νοεῖ. Οἱ μὲν οὖν ἄλλοι Μπενέτου τε κατηγτιῶντο, καὶ πολλὴν κατεγίνωσκον αὐτοῦ ἀβελτηρίαν· ὁ μέγας δὲ δομέστικος, Τὴν μὲν ἀλογίαν, εἶπεν, ὦ βασιλεῦ, καὶ τὴν παράνοιαν τῶν Μπενέτου ζητημάτων πάντες τε ἴσασι σαφῶς, καὶ τὴν ὁμοίαν ψῆφον φέρουσι περὶ αὐτοῦ. Διὸ οὐδὲ πολυπραγμονεῖν ἐξετάζοντας χρὴ ὅ τι βουλόμενος ἀνενδότως ἔχει περὶ αὐτά.

B Οἴεσθαι δὲ αὐτὸν τοῖς μαινομένοις προσεοικέναι, οἳ μήτε περὶ ὧν λέγουσι, μήτε πρὸς οὓς ποιοῦνται ἴσασι τοὺς λόγους, ἀλλ' ᾗ ἂν τὸ δαιμόνιον κινοίη, φθέγγονται ἀδιανόητα τοῖς πᾶσιν. Ὡς ἂν δὲ μήθ' ὕστερον αὐτός ποτε μηδ' ἕτερός τις τὴν ἀλήθειαν ἐθέλων ἀφανίζειν δύναιτο τῷ ψεύδει χρῆσθαι καὶ τὰ οὐκ ὄντα λογοποιεῖν, κακίαν δῆθεν προστριβόμενος ἡμῖν τινα, ἃ μοι δοκῶ ποιητέα, εἶγε καὶ αὐτῷ σοι συνδόξειεν εἶναι, ἐρῶ. Τῇ Χίῳ νυνὶ πολλῶν ἐπιδημούντων, οὐ Ῥωμαίων μόνον, ἀλλὰ καὶ ἐκ Γενούης καὶ Βενετίας κατ' ἐμπορίαν, καὶ Νικολάου Σανούτου τοῦ τῶν Κυκλάδων ἄρχοντος, ὃς ἦκε κατὰ φιλίαν σε προσκυνήσων, ἔτι δὲ καὶ ἐκ Λατίνων ἀρχιερέως, ὃς τὴν τῆς Χίου παρὰ τοῦ πάπα ἐπιτέτραπτο ἐπισκοπήν, καὶ Φρερίων τινῶν καθ' ἱστορίαν, κέλευσον ἐκ

C πάντων ἐκκλησίαν ἀθροισθῆναι· πάντων δὲ παρόντων γενέσθαι τοὺς λόγους πρὸς Μπενέτον. Κἂν δέξηται πεισθεὶς τὴν εὐεργεσίαν, πανταχόθεν ἂν ἔχοι καλῶς· ἐὰν δὲ τῇ προτέρᾳ παρανοίᾳ χρώμενος, τῶν μὲν ἐν χερσὶν ἀπόσχηται ἀγαθῶν, τῶν δὲ μήτε ὄντων μήτε ἐσομένων ἐπιθυμοίη, εἰ μὴ αὐτὸν ὡς ἀδύνατα ἀξιοίη πεῖσαι δυνησόμεθα, ἀλλὰ τούς γε παρόντας οὐ μάρτυρας μόνον ἕξομεν, ἀλλὰ καὶ κήρυκας, καὶ τῆς σῆς καλοκαγαθίας καὶ φιλοτιμίας περὶ τὰς εὐεργεσίας, βασιλεῦ, καὶ τῆς ἐκείνου παραπληξίας καὶ δύο τὰ μέγιστα ἐντεῦθεν κερδανοῦμεν, ἡμᾶς τε αὐτοὺς ἀπαλλάττοντες ἀδοξίας οὐ προσηκούσης, καὶ τοὺς ἄλλους τῆς ἐκ τοῦ ψεύδους ἐλευθεροῦντες προσγενησομένης

D βλάβης. Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπε· βασιλεὺς δὲ ἐπείθετό τε εὐθὺς τοῖς εἰρημένοις ὡς καλῶς ἔχουσι, καὶ αὐτῷ ἐπέτρεπε τὴν πρᾶξιν, προσθείς, ὡς εἰ μὴ βούλοιτο κατὰ τὰ διατεταγμένα πρότερον ἄρχειν ὁ Μπενέτος Χίου, καὶ δευτέραν αἵρεσιν εὐεργεσίας αὐτῷ προθεῖναι, ἐλάττονος ἢ κατὰ τὴν προτέραν οὐδαμῶς. Τακτῇ δὲ ἡμέρᾳ ἐκκλησίαν ὁ μέγας δομέστικος ἔκ τε Ῥωμαίων καὶ τῶν ἐπιχωριαζόντων Λατίνων συναγαγών, παρόντος καὶ αὐτοῦ Μπενέτου, καὶ τῶν Μαρτίνῳ τῷ ἀδελφῷ πρότερον συνόντων οὐκ ὀλίγων, εἰς λόγους τε καθίσταντο, καὶ διηγεῖτο ἄνωθεν ἀπαρχῆς, ὅπως τε εἰς Βυζάντιον ἀφίκοιτο πρὸς

Jacobi Pontani notæ.

(79) Hunc episcopum Genuenses induxerunt, catholicum utique, pro schismatico.

(80) In Græco Φρερίων, qui non sunt Ferrarienses; quo enim? nam et Ferraria Græcis, ut in cod. Florentino, dicitur Φερράρια; sed est vox Gallica, *frères*; erant autem equites Hierosolymitani, testante Niceta pag. 145 primæ editionis. Πρὸς τῶν Ἱεροσολυμιτῶν λυθείς, οὓς Φρερίους φασίν.

Digitized by Google Распознавание текста ABK/FR

βασιλέα ὁ Μπενέτος κατηγορῶν τοῦ ἀδελφοῦ ἐφ' οἷς ἠδικεῖτο παρ' αὐτοῦ· ὅσα τε αὐτῷ λεχθείη πρὸς βασιλέως, καὶ τὴν εὔνοιαν ἣν ἐνεδείξατο πρὸς αὐτὸν ἀφικόμενον πρὸς Χίον, καὶ ὡς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ὁ βασιλεὺς ἀμείβεται τοιαύταις εὐεργεσίαις. Μπενέτος δὲ αὖθις τήν τε δωρεὰν ἀπεωθεῖτο τὴν βασιλέως, ἀναξίαν κρίνων ἑαυτοῦ· καὶ εἰ μὴ παντάπασιν αὐτῷ παραχωρήσει Χίου τῆς Ῥωμαίων ἀφελόμενος ἡγεμονίας, μηδεμιᾶς ἑτέρας εὐεργεσίας φάσκων δεῖσθαι παρ' αὐτοῦ, καὶ μηδὲ τρίβεσθαι εἰκῇ καὶ μάτην ἀδύνατα ἐπιχειροῦντας πείθειν. Οἱ μὲν οὖν παρόντες, καὶ μάλιστα οἱ ἐκ Λατίνων, πολλὴν ἀκρισίαν κατεγίνωσκον Μπενέτου, καὶ ἠτιῶντο φανερῶς, καὶ τὴν βασιλέως θαυμάζοντες φιλοτιμίαν, καὶ τὴν αὐτοῦ κακοβουλίαν, καὶ συνεβούλευον πείθεσθαι βασιλεῖ, ὡς εἰ μὴ πεισθείη νῦν, πολλὰ πολλάκις ὕστερον μεταμελήσοντος αὐτῷ. Ὁ δ' οὐδὲν μᾶλλον ἐπείθετο αὐτοῖς, ἀλλὰ τοῖς προτέροις ἐνέμενε λογισμοῖς. Ὁρῶν δὲ αὐτὸν ὁ μέγας δομέστικος οὕτως ἔχοντα ἐφ' οἷς ἠξίου ἀμεταμελήτως, Οὐκοῦν, εἶπεν, εἰ μή σοι ταῦτα ἀρεστὰ δοκοίη, ἀλλ' εἰ μὴ τύχοις ὢν αὐτὸς ἀξιοῖς, καὶ τῆς Χίου παντάπασι κέκριπας ἀποστῆναι δεῖν, καὶ δευτέραν αἵρεσίν σοι προθήσομαι εὐεργεσίας, ἣν αὐτὸς ἐκέλευσα βασιλεύς. Οἰκίας γάρ σοι λαμπρὰς καὶ πολυτελεῖς χαρίζεται ἐν Βυζαντίῳ, καὶ τῶν συγκλητικῶν Ῥωμαίων ἕνα κελεύει εἶναι, καὶ ἀξιώματι τῷ προσήκοντι τιμήσει, καὶ ἀρχὴν ἐγχειρίσει τῶν παρὰ Ῥωμαίοις νενομισμένων, καὶ τἄλλα ὅσα τοῖς εὐγενεστέροις Ῥωμαίων, καὶ αὐτῷ προσήκοντα ἔσται· καὶ τούτων πάντων χωρὶς προσόδων ἐτησίων ἕνεκα ἐκ τῶν τῆς Χίου φόρων μυριάδας χρυσίου λαμβάνειν δύο. Τούτων ἀκούσας ὁ Μπενέτος, οὐκέτι οὐδὲ καθεκτὸς ἐδόκει εἶναι, ἀλλ' ὥσπερ τὰ μέγιστα ἀδικούμενος, ἀχθόμενος καὶ δυσανασχετῶν, καὶ ὅρκοις ἑαυτὸν κατελάμβανε, καὶ ἀραῖς ταῖς παλαμναιοτάταις, εἴ τι παραδέξαιτο τῶν λεγομένων, εἰ μὴ ἅπερ ἐξ ἀρχῆς ἠτήσατο παράσχοι βασιλεύς. Τρεῖς δὲ ἠτεῖτο τριήρεις ἐκ τῶν βασιλικῶν ὡς πανοικεσίᾳ πλευτούμενος ἐς Γαλατᾶν. Ὁ μὲν οὖν τοιούτους παραπληξίας γέμοντας προῄει λόγους· οἱ δ' ἀκροώμενοι τῶν εἰρημένων, βασιλέα μὲν ἐθαύμαζον καὶ ἐπῄνουν, καὶ τῆς μεγαλοψυχίας καὶ τῆς φιλοτιμίας. Μπενέτου δὲ πολλὴν κατεγίνωσκον ἀγνωμοσύνην, καὶ ὁ σύλλογος διελέλυτο ἐπὶ τούτοις. Πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα τε εἶποι καὶ ὧν ἀκούσειε Μπενέτος, ἐπεὶ μηδὲν ἔτι συνεώρα λειπόμενον τῶν προσηκόντων, ἐκείνῳ μὲν τρεῖς παρέσχετο τριήρεις, ὥσπερ ἠτεῖτο, αἷς ἐνθέμενος ὅση ἦν αὐτῷ περιουσία, ἦλθεν εἰς Γαλατᾶν.

A ut imperatoris honestissimum conatum, sic hujus perversum **237** consilium admirabantur, et ad parendum imperatori impellebant; quod ni faceret modo, fore ut in futurum sæpe vehementerque pœniteret. At enim surdo fabula canebatur; quippe qui animo obstinaverat non cedere. Tum magnus domesticus usque eo in proposito suo pertendentem videns: Igitur, inquit, si hæc tibi non placent, sed nisi quæ vis adipiscare, Chio omnino emigrare decrevisti, en alteram tibi jussu imperatoris optionem do; ædes enim tibi magnificas et sumptuosas donat Byzantii, et inter proceres Romanos te allegit, proque dignitate te honorabit, et consuetos Romanis magistratus tibi mandabit: quæcunque etiam nobilioribus Romanis, eadem tibi similiter tribuentur. Præter hæc omnia, in annuam pensionem ex Chii vectigalibus viginti nummorum aureorum millia accipies. His auditis Benedictus e potestate videbatur exiisse, et tanquam mirifice læsus, æger animi, semet jurejurando astringebat, dirissimisque precibus detestabatur, si quid eorum quæ promittebantur, admitteret: nisi, quæ a principio petivisset, imperator daret. Quapropter iterum ternas de imperatoria classe triremes orabat, quibus cum tota familia sua Galatam navigaret. Tales ille sermones vesaniæ plenos effundebat. Qui intererant, imperatorem suspicientes, ejus laudabile studium excelsumque animum commendabant, ac Benedictum valde improbum ingratumque pronuntiabant. Ita conventus est solutus. Imperator ut didicit quæ Benedictus audivisset, ac respondisset, quoniam nihil æquitatis videbat prætermissum, tres illi triremes quas petebat attribuit; iis omni instrumento suo imposito, Galatam pervenit.

CAPUT XIII.

Imperator Phocæam veterem veniens, a duobus Persarum satrapis, colitur. Phocæam novam in deditionem accipit, quam Arego Genuensi in præfecto committit. Persæ Trajanopolin et Beren depopulantes, partim occiduntur, partim capiuntur. Benedictus cum octo triremibus Chium ultionis ergo, et insulæ subigendæ infelici eventu appellitur.

Αὐτὸς δὲ ὅσα ἐξῆν πρὸς φυλακὴν ἐξαρτυσάμενος τῆς νήσου, ἅρας ἐκεῖθεν ταῖς λοιπαῖς ναυσὶν, ἦλθεν εἰς Φώκαιαν τὴν παλαιὰν, οὖσαν ὑπήκοον Ῥωμαίοις· καὶ ἀπόβασιν ποιησάμενος ἐφ' ἡμέρας τινὰς συνεγένετο Σαρχάνῃ, τῶν κατὰ τὴν Ἰωνίαν ἄρχοντι Περσῶν ἐκεῖσε γενομένῳ, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ προσελθόντι μετριότητος, καὶ, ἵνα εἰπεῖν, δουλείας. Ὃν καὶ δώροις φιλοφρονησάμενος ὁ βασιλεὺς μεγαλοπρεπῶς, ἀπέστειλεν ἔνσπονδον Ῥωμαίοις· Αἰτίνης δὲ καὶ αὐτὸς Καρίας ὢν σατράπης, πρὸς βασιλέα μὲν οὐ παρεγένετο ὑπὸ

D Imperator quantis potuit præsidiis in insula constitutis, Phocæam antiquam, Romanis parentem, navibus delatus, ibi dies aliquot cum Sarchane Persarum in Ionia satrapa familiariter versatus est: qui cum qua par erat modestia, et ut ita **238** dicam, subjectione humili convenerat. Quem splendidis muneribus amice donatum, et Romanis fœdere sociatum dimisit. Ætines porro Cariæ satrapa, morbo diuturno prohibitus, ad imperatorem ipse non venit, sed Persarum quibus præerat missa non parva manu cum donis, valetudinem

Digitized by Google Распознавание текста ABBYY FR

excusavit, qua detentus ad eum salutandum proficisci nequivisset. Imperator gratiis aetis, vicissim dona ei portanda dedit. Inde Phocæam novam accessit, quam Romani habitabant quidem : ex quadam vero causa, ut Zacharis Chio, sic ipsi Andreas Catanias Genuensis subjugata, arceque constructa, et præsidio firmata, secure dominabatur. Ac per id tempus quidem negotii curandi Genuam peregre abierat. Interim Aregus (81) Andreæ patruus pro eo cum potestate præerat. Is ut imperatorem adventantem conspexit, portis apertis cives ad occurrendum urgere institit : ipseque simul exiens, venerabundus eum salutavit. Ubi intra mœnia ventum est, præsidiarios egressos (erant autem Latini et Genuenses) arcem imperatori transdere jussit. Illi egredientes, capita venerabundi submittunt arcemque dedunt. Duobus diebus in arce exactis, die tertio mane Arego accersito securigeros barangos claves urbis afferre (hos enim urbium claves imperatore præsente custodire solemne erat) et Arego tradere imperavit, eum in hanc sententiam alloquens : Nunc quidem Phocæam mihi subjectam veni mansique quam diu volui : rursum discedens, urbem tibi commendo, et per te Andreæ, uti eam quemadmodum prius ceu præfectus gubernet, quandiu mihi volenti erit. Deinde donis illum ac præsidium humaniter auxit, singularesque de liberalitate gratias agentes relinquens, cum tota classe Byzantio successit, ac militi missionem dedit. Brevi tempore illic posito, Didymotichum inivit. Eo nuntiatur, ex oriente Persarum peditatum navibus septuaginta transjecisse, agrumque Trajanopolis et Beres deprædari. Evenit autem, propter reditum e Chio omnibus domum ad requiescendum dimissis, cum imperatore magnoque domestico paucos esse milites. Verumtamen quotquot licuit, quam maturrime ex finitimis oppidis cogentes, improviso in Persas feruntur, eosque facillime victos partim **239** occidunt, partim captivos ducunt. Qui effugere potuerant, conscensis navibus (tunc enim Romani a navali manu et apparatu instructi non erant) in orientem recurrerunt, et imperator parta victoria Trajanopolin se retulit. Benedictus Martini frater e Chio Galatam appulsus, imperatorem ulcisci volens, si posset, inventis in portu octo Genuatium triremibus, constitutis rebus suis omnibus, mercede persuadet trierarchis, uti secum contra Chium navigent; sperans, se eam levi negotio subacturum, quod imperator dispersis classiariis, tarde opem insulanis esset allaturus. Postquam Chium naves tetigerunt, exscensione facta, armati ad oppidum, veluti periculum murorum facturi processerunt. At Chii erumpentes quam multi erant, Latinos congressu devicerunt, lethoque datis paulo plus tre-

νόσου χρονίου κωλυθείς · τῶν ὑπ' αὐτὸν δὲ Περσῶν οὐκ ὀλίγους πέμψας ἅμα δώροις πρὸς βασιλέα, τὴν νόσον, ὡς ὑπ' αὐτῆς κεκωλυμένος, ἠτιᾶτο, προσκυνῆσαι βασιλέα. Βασιλεὺς δὲ λόγοις τε εὐχαριστήσας, καὶ δώροις ἀμειψάμενος αὐτὸν, ἀπέστειλε τοὺς ἐλθόντας. Ἐκεῖθεν δὲ ἐξελθὼν, εἰς Φώκαιαν τὴν νέαν ἦλθεν. Αὕτη δὲ Ῥωμαίους μὲν οἰκοῦντας εἶχεν · ἐξ αἰτίας δέ τινος ὥσπερ Ζαγαρίας Χίου, οὕτω δὴ καὶ αὐτῆς Ἀνδρέας Κατανίας ἐκ Γεννούας κρατήσας, ἀκρόπολίν τε οἰκοδομησάμενος καὶ κατασχὼν φρουρᾷ, τῆς ἄλλης πόλεως ἦρχεν ἀσφαλῶς. Τότε μὲν οὖν Ἀνδρέας οὐ παρῆν, ἀλλ' εἰς Γέννουαν κατά τινα χρείαν ἀπεδήμει. Ἀρῆγος δὲ Ταρταρὺ, ὃς ἦν Ἀνδρέου θεῖος, Φωκαίας ἦρχεν ἀντ' αὐτοῦ · ὃς ἰδὼν τὸν βασιλέα προσιόντα, Φωκαίας τε ἐπέσπευδεν εἰς ὑπάντησιν βασιλέως ἐξελθεῖν, ἀνοίξας τὰς πύλας, καὶ αὐτὸς ἅμα σὺν αὐτοῖς ἐξῆλθε καὶ προσεκύνει βασιλέα. Ἐπεὶ δ' ἐγένετο ἐντὸς τειχῶν, τοὺς τὴν ἀκρόπολιν φρουροῦντας (ἦσαν δὲ ἐκ Γενουάς Λατῖνοι,) ἐξελθόντας ἐκέλευε βασιλεῖ παραδιδόναι. Οἱ δὲ ἐξήρχοντό τε προσκυνοῦντες, καὶ παρεδίδοσαν τὴν ἄκραν. Βασιλεὺς δ' ἐν αὐτῇ δύο αὐλισάμενος ἡμέρας, εἰς τὴν τρίτην ἅμα ἕῳ τὸν Ἀρῆγον μεταπεμψάμενος, καὶ τὰ κλεῖθρα τῆς πόλεως τοὺς τοὺς πελέκυς ἔχοντας Βαράγκους (82) κελεύσας ἀγαγεῖν (τούτους γὰρ ἔθος τὰ κλεῖθρα τῶν πόλεων ἔνθα ἂν ἐπιδημοῖη βασιλεὺς κατέχειν,) Ἀρήγῳ ἐκέλευε παραδιδόναι, πρὸς αὐτὸν εἰπὼν, ὡς Νῦν μὲν εἰς Φώκαιαν ἐμοὶ ὑπήκοον οὖσαν ἐλθὼν, ἔμεινα ἐφ' ὅσον ἠβουλόμην. Αὖθις δὲ ἐξερχόμενος, τὴν πόλιν παραδίδωμί σοι · καὶ διὰ σοῦ τῷ Ἀνδρέᾳ ὥστε ἄρχειν αὐτῆς ὥσπερ καὶ πρότερον ἐπιτροπεύοντα καθ' ὅσον ἂν χρόνον ἐμοὶ βουλομένῳ ᾖ · δώροις τε αὐτὸν καὶ τοὺς τὴν ἄκραν φρουροῦντας φιλοφρονησάμενος, καταλιπὼν ἐκεῖ πολλὰς αὐτῷ τῆς εὐεργεσίας χάριτας ὁμολογοῦντας, ἅρας σὺν ἅμα παντὶ τῷ στόλῳ ἦλθεν εἰς Βυζάντιον, καὶ διέλυσε τὴν στρατιάν. Ὀλίγον δὲ ἐνδιατρίψας Βυζαντίῳ χρόνον, ἐξελθὼν ἐκεῖθεν, ἦλθεν εἰς Διδυμότειχον. Ἔνθα διατρίβοντι, ἠγγέλθη ὡς ἐκ τῆς ἕω στρατιὰ Περσῶν πεζὴ περαιωθεῖσα ἑβδομήκοντα ναυσὶ, τὰ περὶ Τραϊανούπολιν ληΐζεται καὶ Βήραν. Συμβέβηκε δὲ διὰ τὸν εἰς Χίον ἀπόπλουν πάντων οἰκαδε διαλυθέντων ἀναπαύλης χάριν, βασιλέα ἅμα δομεστίκῳ τῷ μεγάλῳ σὺν ὀλίγοις τισὶν εἶναι στρατιώτας · ὅσους δὲ ἐνῆν ὡς τάχιστα συναγαγόντες ἐκ τῶν πέριξ πόλεων, ἀπροσδοκήτως ἐπέθεντο τοῖς Πέρσαις · καὶ μάχῃ κρατήσαντες παρὰ πολὺ, τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ καὶ εἷλον ζῶντας. Ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν, ἐμβάντες εἰς τὰς ναῦς (ἐπεὶ τοτηνικάδε ναυτικὴ δύναμις οὐκ ἦν Ῥωμαίοις παρεσκευασμένη), ἐπεραιώθησαν πρὸς ἕω. Καὶ ὁ βασιλεὺς μετὰ τὴν νίκην εἰς Ἀδριανούπολιν ἐπανῆλθεν. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς ἐκ Χίου κατασχὼν εἰς Γαλατᾶν, γνώμην ἔχων ὡς ἦν

Jacobi Pontani notæ.

(81) In Græco est Ἀρῆγος Ταρταρώ. Civem suum agnoscant Genuates.

(82) Aliis scriptoribus Βάραγγοι dicuntur; erantque Angli, ut ex his Codini verbis discere est : πολυχρονίζουσι καὶ οἱ Βάραγγοι κατὰ τὴν πάτριον καὶ οὗτοι γλῶτταν αὐτῶν ἦγουν Ἰγκλινισί.

Digitized by Google Распознавание текста ABK/FR

δύνηται ἀμυνούμενος βασιλέα, τριήρεις ἐκ Γεννούας εὑρὼν ἐφορμούσας ὀκτὼ, τὰ ὄντα πάντα διαθέμενος, πείθει μισθῷ τοὺς τριηράρχας, αὐτῷ κατὰ Χίου συνεκπλεῦσαι, ἐλπίσας αἱρήσειν ῥᾳδίως, ὡς βασιλέως οὐ ταχέως βοηθήσοντος, τῆς ναυτικῆς αὐτῷ δυνάμεως διεσκεδασμένης. Ἐπεὶ δὲ προσέσχον τῇ Χίῳ, ἀπέβαινόν τε τῶν νεῶν, καὶ ὁπλισάμενοι ἐχώρουν πρὸς τὴν πόλιν ὡς τῶν τειχῶν ἀποπειράσοντες. Χῖοι δὲ ἐξελθόντες πανδημεὶ ἐκράτησάν τε μάχῃ τῶν Λατίνων, καὶ φεύγοντας αἰσχρῶς ἐνέβαλον εἰς τὰς ναῦς· ἀπέκτειναν δὲ αὐτῶν ὀλίγῳ πλείους τριακοσίων. Οἱ δὲ λοιποὶ ἀναχθέντες, ὡρμίσαντο ἐπ' ἀγκυρῶν. Καὶ ἐς τὴν ὑστεραίαν, οὐκέτι ἀγαθὰς ἐχόντες τὰς ἐλπίδας περὶ Χίου, ἐπ' οἴκου ἀνεχώρουν. Μπενέτῳ δὲ ὡς πᾶσα ἐλπὶς περιηρεῖτο, ἐπιληψίᾳ κατεσχέθη· καὶ πρὶν ἑβδόμην ἥκειν ἐτελεύτησεν.

A centis, turpiter ad naves fugere compulerunt. Qui restabant, ora soluta a litore recedentes, ancoris naves fundabant. Postridie, cum de insula potiunda nihil bonæ spei haurirent, domum viam remensi sunt. Benedictum desperatione fractum epilepsia invasit, et ante diem septimum vita defunctus est.

CAPUT XIV.

Periculose ægrotus imperator tertium magno domestico imperium defert; tertium recusat. Oratio imperatoris jam morituri, ut putabat, sane pathetica; qua convocatis ordinibus præsente etiam uxore valedicit, et preces expiatorias petit. Magnum domesticum pro se administratorem nominat, cui imperatricem commendat. Excutiuntur omnibus lacrymæ, laniantur crines, feriuntur pectora. Flentes ei valedicunt. De populo cuilibet palatium ingredi eique salve et vale licet dicere. Medicos obtestatur, uti se ante mortem cucullo monachi induant.

Ὀλίγου δὲ παρῳχηκότος χρόνου, συμβέβηκε βασιλέα Διδυμοτείχῳ ἐνδιατρίβοντα, ὀξεῖ νοσήματι περιπεσεῖν, ὃ παῖδες ἰατρῶν κεφαλικὸν σύμπτωμα καλοῦσιν. Ἰατροὶ μὲν οὖν ἐκ πρώτης προσβολῆς τὴν ὀξύτητα δείσαντες τῆς νόσου, οὐκ ἀγαθὰς εἶχον τὰς ἐλπίδας· καὶ βασιλεὺς δὲ αὐτὸς, τὴν ἀθρόαν καταβολὴν ὑπώπτευε μὴ οὐκ ἄνευ κινδύνου τελευτήσειν. Δευτέρᾳ δὲ ἡμέρᾳ μετὰ τὴν προσβολὴν, τὸν μέγαν δομέστικον μετακαλεσάμενος, Σὺ μὲν, εἶπεν, οἶσθα ὁσάκις ἐμοῦ πείθειν ἐπιχειρήσαντος παρασήμοις σε κοσμηθῆναι βασιλικοῖς, ὡς τι πλέον αὐτὸς εἰδὼς, τοὺς μὲν ἐμοὺς διεκρούσω λόγους, καίτοι λυσιτελοῦντα πᾶσιν ἀξιοῦντος, ἃ δὲ αὐτὸς ὤου βελτίω εἶναι, ταῦτ' ἔθου διὰ σπουδῆς ἀκατάλυτα τηρεῖν. Νῦν δὲ αὐτὸς ἔοικα μᾶλλον ἢ σὺ στοχάζεσθαι τῶν συμφερόντων. Εἰ γὰρ ὅσα αὐτὸς ἠξίουν ἐτελεῖτο, νῦν οὐκ ἂν ἐν θορύβῳ πολλῷ καὶ ταραχῇ αὐτός τε ἦν, καὶ τὰ Ῥωμαίων πράγματα τοὺς ἐσχάτους ὑπώπτευε κινδύνους. Εἰ γάρ με συμβαίη νῦν ὑπὸ τῆς νόσου κατεργασθέντα τελευτῆσαι, ὅπερ οὐδὲ πόρρω προσδοκίας, ἄδηλον εἰ μὴ εἰς πράγματα ὑμῖν καὶ ταραχὰς ἡ ἐμὴ τελευτὴ χωρήσει· διὸ καὶ δεῖν οἶομαι αὐτῶν νυνὶ σαφῶς τὰ δέοντα τῶν πραγμάτων διδασκόντων, τὴν μὲν ἄκαιρον φιλονεικίαν καὶ τὴν οὐ προσήκουσαν ἔνστασιν καταλιπεῖν· αὐτὸν δὲ ὑπ' ὀφθαλμοῖ; ὅσοι πάρεισι Ῥωμαίων, ὑποδήμασί τε βασιλικοῖς καὶ πίλῳ τῷ ἐμῷ (ἃ δοκεῖ βασιλείας σύμβολα εἶναι) κοσμηθῆναι ἐπ' ἐμοῦ. Κἂν μὲν καὶ αὐτὸς περιγένωμαι τῆς νόσου, καινὸν οὐδὲν ἂν εἴη εἰργασμένον. Ἃ γὰρ προὐθέμην ἐξ ἀρχῆς καὶ διὰ σπουδῆς εἶχον ἐλθεῖν εἰς πέρας, ταῦτα ἔσται εἰργασμένα. Εἰ δ' ἐξ ἀνθρώπων γένωμαι, τὴν ἡγεμονίαν πᾶσαν ἀναδέξασθαι Ῥωμαίων σε· καὶ μὴ διὰ τὴν ἀναρχίαν, εἰς στάσεις καὶ πολέμους χωρῆσαι, ἐξ ὧν διαφθαρήσονται. Βασιλεὺς μὲν οὖν τοιαῦτα

B Non multum temporis intercessit, cum imperator Didymotichi in morbum acutum incidit, quem cephalicum symptoma nominant medici (83). Igitur ex prima ejus accessione gravitatem metuentes, parum bene sperabant: et imperator ipse crebriores accessiones interitum sibi allaturas formidabat. Postero igitur die, post accessionem magnum domesticum advocans, his eum verbis alloquitur: Memoria tenes, quo pacto, cum ego sæpius te flectere enisus sim, ut insignia imperatoria ne recusares, tu velut longius quam ego prospiciens, dicta mea quanquam ad communem fructum spectantia, repudiaris: quæ autem ut meliora probasses, ea studiose constanterque servare constitueris. At nunc quid e re publica sit, C melius quam tu conjicere videor. Nam si tunc obtinuissem, quæ jure postulabam, nec ego jam in tantis curis ac perturbatione, **240** nec Romanum imperium in extremorum periculorum metu versaretur. Si enim modo vi morbi confectus emoriar (id quod ante fores est), forsitan mors mea molestias vobis et turbas creabit. Itaque cum jam res ipsa officium satis doceat, valere jubenda intempestiva pertinacia et indecens in repugnando perseverantia: patiendumque, ut te in conspectu quotquot adsunt Romanorum, sandaliis imperatoriis et tiara mea (quæ imperii habentur symbola) exornem. Et si quidem convaluero, nihil novi factum fuerit: sed quod a principio mihi erat D in animo, quodque studebam ad opus perducere, hoc jam opere ipso perfectum conspicietur. Quod si ab hominibus demigravero, tu totum imperium susceperis, neque (ut solet, cum nullius est princeps) Romani seditionibus et bellis ad mutuam perniciem miscebuntur. Hæc imperator hortaba-

Jacobi Pontani notæ.

(83) De causa morbi hujus, et quod noster dicit cephalicum symptoma, Gregoras sic: *Paucis diebus elapsis, imperator Didymotichi agens, in morbum gravissimum incidit. Nam cum lavisset, et in summo rigore hiemis frigus a balneo non cavisset, cum reliquum corpus est densatum, tum vero et caput ita afflictum, maxima parte mali eo inclinante, ut non modo gravissimis doloribus cruciaretur, sed et mente alienaretur.*

Digitized by Google Распознавание текста ABK/FR

tur, addebatque, si se, et quidem nunc ægrotum contristare nollet, ne detrectaret, quo invitaretur. Sed domesticus semel susceptæ sententiæ affixus, omnia potius velle experiri, quam ornamenta imperatoria capessere. Sentiens porro imperator fieri non posse, ut in habitus mutationem consentiret, non ultra quam fas cum eo contendendum, rebus in tantas angustias redactis, sed factis ipsis imperii successorem relinquendum censuit : et astantibus præcepit, principes primum aulicorum procerum et alioqui nobilitate præstantes, deinde alios ordine Romanos qui aderant accire. Ubi adfuerunt, lectulumque circumsteterunt, etiam Augustam vocari jussit. Qua præsente, ut maxime potuit, se confirmans, pauca ad eos his verbis locutus est : Meum erga vos propensum animum, amici, et quomodo me felicissimum judicassem, si non solum in omnes communiter, sed in unumquemque vestrum seorsum potuissem quamplurimum benignitatis conferre : nec leviter, sed summo conatu reipublicæ Romanorum, vobis adjutoribus, prodesse aliquid apud animum certum ac fixum habuerim, ratus omni vita suavius ac beatius, si pro iis contra barbaros decertans oppeterem, ipse, qui occulta et abscondita hominum perspicit, quique corda ac renes scrutatur Deus, novit. Quia vero is hoc fieri non debere statuit (quo judicio, ipse scit), sed ut aspicitis, morte nos circumdedit, omnes manifesto exemplo commonens, nec pecuniæ, nec reliquis quibuscunque fluxis ac pereuntibus incumbendum , verum uni tantum Deo serviendum, **241** eique quandiu supersis adhærendum, et ad illam cœlestem vitam cuique mores suos corrigendos aptandosque, primum quidem hoc sermone extremum vobis valedico, cum dubitem, ecquid vos de cætero alloculturus sim : rogoque, si quid me amatis, ut Numen toties et tam graviter a me offensum, precibus vestris mihi tali tempore potissimum tali auxilio indigenti propitietis. Deinde ducem ac præsidem loco meo magnum domesticum vobis relinquo. Hæc fatus, comprehensam ejus dexteram dexteræ imperatricis, tum Mariam filiam utero gestantis, quæ postea Michaeli, Alexandri Mœsorum regis filio nupsit, implicuit, et ante illius imaginem, quæ supra naturam ad salutem humani generis Deum Jesum Christum peperit : Tibi, inquit, hanc, et Romanos omnes trado atque commendo; tibi ex hoc curæ erunt. Illico se omnes in lamenta et gemitus effundere; nec videre licebat, nisi pectora ferientes, et crinem laniantes. Tollebatur ad æthera communis ejulatus, et confusæ omnium voces exaudiebantur, nec quisquam in tanto luctu, nisi e silice natus esset, a fletu temperare poterat. Plurtule igitur universi ploratibus indulgebant; nec ad ea quæ audierant, respondere valebant. Ubi sero se collegerunt, præcepta imperatoris servare inter se decreverunt, eique ultimum vale singuli multis cum lacrymis dicentes recesserunt.

A συνεβούλευε, καὶ προσετίθει, ὡς εἰ μὴ ἀνιᾷν βούλοιτο αὐτὸν, καὶ ταῦτα νοσοῦντα νῦν, τὸ κελευόμενον ποιεῖν. Ὁ δ' οὐδὲν ἔλαττον τῶν ἐξ ἀρχῆς εἴχετο λογισμῶν, καὶ γνώμην εἶχεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο εἰς βασιλέως σχῆμα καταστοίη. Συνιδὼν δὲ ὁ βασιλεὺς ὡς οὐκ ἂν δύναιτο πείθειν αὐτὸν ἀμείβειν τὸ σχῆμα, ἔγνω δεῖν μὴ πέρα τοῦ δέοντος φιλονεικεῖν ἐν οὕτω στενῷ καιρῷ τῶν πραγμάτων καθεστώτων, ἀλλ' αὐτοῖς πράγμασι διάδοχον αὐτὸν τῆς βασιλείας καταλιπεῖν· καὶ τοῖς παρεστῶσιν ἐκέλευε τούς τε προὔχοντας τῆς συγκλήτου πρῶτον, καὶ τοὺς ἄλλους εὐγενείᾳ διαφέροντας, ἔπειτ' ἐφεξῆς καὶ τοὺς ἄλλους ὅσοι παρῆσαν Ῥωμαίων συγκαλεῖν. Ἐπεὶ δὲ συνῆλθον καὶ περιέστησαν αὐτὸν, καὶ Ἄνναν τὴν βασιλίδα ἐκέλευε

B παρεῖναι. Ὡς δὲ καὶ αὐτὴ παρῆν, ὡς μάλιστα εἶχεν ἐπιῤῥώσας ἑαυτὸν, ὀλίγα ἅττα διεξῆλθε πρὸς αὐτούς· ἔφη γάρ· Τὴν μὲν εὔνοιαν, ὦ φίλοι, τὴν περὶ ὑμᾶς, καὶ ὡς τοῦ παντὸς ἂν ἐτιμησάμην, οὐ μόνον κοινῇ πάντας, ἀλλὰ καὶ ἕκαστον ὑμῶν ἰδίᾳ τὰ μέγιστα εὐεργετῆσαι, καὶ ὡς οὐκ ἐν παρέργῳ, ἀλλὰ πάσῃ σπουδῇ τῷ κοινῷ Ῥωμαίων τι λυσιτελήσειν ὑμῖν χρώμενος συνεργοῖς προὐθέμην, νομίζων εἰ ἀποθανοῦμαι τοῖς βαρβάροις μαχόμενος ὑπὲρ αὐτῶν, πάσης ἥδιον καὶ μακαριώτερον ζωῆς, αὐτὸς ἂν εἰδείη Θεὸς, ὁ τὰ ἄδηλα καὶ τὰ κεκρυμμένα τῶν ἀνθρώπων εἰδὼς, καὶ καρδιῶν καὶ φρενῶν ἑταστής. Ἐπεὶ δὲ, οἷς οἶδε κρίμασιν αὐτὸς, τοῦτο μὲν οὐ κέκρικε δεῖν, ἀλλ' ὡς ὁρᾶτε περιέστησεν ἡμῖν

C τὴν τελευτὴν, πάντας πείθων ἔργοις αὐτοῖς, ὡς οὔτε χρήμασιν οὔτε δόξῃ οὔτε τοῖς λοιποῖς ὅσα τῶν ῥεόντων καὶ φθειρομένων χρεὼν προσέχειν, ἀλλ' ἑνὸς μόνου γίνεσθαι τοῦ διὰ βίου παντὸς προσέχειν Θεῷ καὶ πρὸς τὸν ἐκεῖθεν βίον ἑαυτὸν ἕκαστον μεταῤῥυθμίζειν καὶ μεθαρμόζειν, πρῶτον μὲν ὑμᾶς ἀσπάζομαι τὰ τελευταῖα δὴ ταῦτα, ἄδηλον δ' εἰ ἔτι προσφθέγξομαι ὑμῖν· καὶ δέομαι ὑμῶν εἴ τις ὑμῖν κεῖται χάρις ἐμοῦ, ἱκεσίαις ἱλεώσασθαι τὸ κρεῖττον ἐμοὶ τῷ πολλὰ πολλάκις αὐτῷ προσκεκρουκότι, μάλιστα νυνὶ δεομένῳ τῆς ἐπικουρίας ταυτησί. Ἔπειτα δὲ ἡγεμόνα καὶ προστάτην ἀντ' ἐμοῦ τὸν μέγαν δομέστικον ἀφίημι ὑμῖν. Μετὰ δὲ τοῦτο, τῶν αὐτοῦ λαβόμενος χειρῶν, καὶ ταῖς χερσὶ τῆς βασιλίδος περιαγαγὼν, ἐχούσης ἐν γαστρὶ Μαρίαν

D τὴν θυγατέρα, ἣ καὶ ὕστερον Μιχαὴλ πρὸς γάμον ἐξεδόθη τῷ Μυσῶν βασιλέως Ἀλεξάνδρου· καὶ τῆς εἰκόνος ἐφεστηκυίας τῆς ὑπερφυῶς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν τετοκυίας Θεὸν τὸν Κύριον Ἰησοῦν Χριστὸν, Σοὶ ταύτην, ἔφη, παραδίδωμι καὶ πάντας Ῥωμαίους, καὶ τοιαποτοῦδέ σοι μελήσει περὶ αὐτῶν. Θρῆνος μὲν οὖν εὐθὺς ὑπὸ πάντων ἦρτο λαμπρὸς, καὶ πάντες ἐτράποντο πρὸς οἰμωγάς· καὶ οὐδὲν ἦν ὁρᾷν εἰ μὴ κοπτομένους καὶ κατατιλλομένους, καὶ ὁ διὰ πάντων ὀλοφυρμὸς ἐπιπολὺ τοῦ ἀέρος ἐχώρει, καὶ πάντα ἐξηκούετο συμμιγῆ· καὶ οὐδεὶς εἰ μὴ αὐτολιθίνην εἶχε ψυχὴν, ἴσχυεν ἂν ἐγκρατὴς ἑαυτοῦ γενέσθαι καὶ μὴ ἐπιδακρῦσαι τοῖς γινομένοις. Ἐφ' ἱκανὸν μὲν οὖν πάντες ἐμέμενον τοῖς ὀλοφυρμοῖς, οὐδενὸς ἰσχύσαντος ἀπολο

Digitized by Google Распознавание текста ABK/FR

γίαν πρὸς τὰ εἰρημένα παρασχεῖν. Ὀψὲ δὲ ἀναλαβόντες ἑαυτοὺς, συνέθεντο τὰ διατεταγμένα ἐκπληροῦν, καὶ προσαγορεύοντες τὰ τελευταῖα ἕκαστος βασιλέα, δάκρυσι περιῤῥεόμενοι ἀνεχώρουν. Διὰ πάσης δὲ τῆς ἡμέρας ταυτησὶν οὕτω προστεταγμένον ὑπὸ βασιλέως τῶν ἐν τοῖς βασιλείοις θυρῶν ἀναπετασθεισῶν, πάντες εἰσιόντες ἀκωλύτως προσηγόρευον βασιλέα, καὶ ἠσπάζοντο τὰ τελευταῖα· καὶ αὐτὸς ἀντασπαζόμενος αὐτοὺς, τὰ διατεταγμένα ὑπ' αὐτοῦ παρηγγύα στέργειν. Οὕτω μὲν οὖν διὰ πάσης τῆς ἡμέρας τοῖς πᾶσι συνταττόμενος διετέλεσεν ὁ βασιλεύς. Μετὰ δὲ τοῦτο προσκαλεσάμενος τοὺς ἰατροὺς, ὤρκιζεν αὐτοὺς, Θεὸν τὸν ζῶντας κρινοῦντα καὶ νεκροὺς, μὴ ἀποστερῆσαι τοῦ σχήματος τῶν μοναχῶν, ἀλλ' ἐπιτρέψαι οἱ τούτου ἀξιωθῆναι. Ἔφασκε δὲ μὴ ὡς ἤδη τελευτῶν ἐφίεσθαι τοῦ τοιούτου βίου μηδ' αὐτοὺς πρὸς ἐκεῖνο ἀποβλέπειν, ὡς εἰ μὲν μηδεμία εἴη τοῦ περιγενήσεσθαι αὐτὸν ἐλπὶς, ἐπιτρέπειν, τοὐναντίον δὲ κωλύειν, ἀλλ' ἤδη πράττειν μηδὲν ἀναβαλλομένους, τοῦτο γὰρ αὐτῷ μᾶλλον εἶναι πρὸς ἡδονήν· καὶ ὅρκοις ἰσχυρίζετο, ἢ μὴν αἱρεῖσθαι μᾶλλον ἐν τούτῳ τῷ σχήματι ὅσα δήποτε ἔτη ἐπιβιοὺς ὑπὲρ τῶν πρότερον πεπλημμελημένων εὐθύνειν ἑαυτὸν, καὶ διὰ μετανοίας Θεῷ προσοικειοῦν, ἢ ἅμα τῷ περιβαλλέσθαι ἀπελθόντα μὴ προσεπεργάσασθαι τῷ χαρίσματι. Ἀσκληπιάδαι δὲ πρῶτα μὲν παρεμυθοῦντο ὡς μηδενὸς δεινοῦ συμβησομένου· ἔπειτα ὡς ἐπέκειτο σφοδρῶς, καὶ ἃ ἐδεῖτο ὑπισχνοῦντο πράττειν, ὁ δ' οὐδὲν μᾶλλον ἐπείθετο, εἰ μὴ καὶ ὅρκοις αὐτοὺς καταλάβοι, ἢ μὴν αὐτὸν τῆς καλῆς ἐπιθυμίας μὴ ἀποστερήσειν.

A Per diem vero totum imperatoris jussu apertis palatii portis, quicunque volebant, ingressi, salve et vale ei dicebant; ipseque vicissim valedicens hortabatur, uti a se sancita boni consulerent. Sic itaque diem omnibus valedicendo consumpsit. Post, advocatis medicis, per Deum vivorum ac mortuorum judicem eos adjuravit, ne ipsum vetarent sancto habitu monachorum indui. Hoc se petere, non quod jam morti proximus hujusmodi genus vitæ desideraret, neque quod eos eo vellet respicere, ut si quidem sanitatis spes nulla esset, hoc ipsi concederent, sin aliqua, prohiberent; sed quod jam nihil cunctandum ac differendum putaret, quo facto esset opus, et hoc sibi jam potius esse voluptati. Quin cum sacramento asseverabat, potius eligere se in hoc habitu quotquot annis superviveret pro commissis antehac se punire, ac per pœnitentiam Deo sese conjungere, quam potentia septum, nec divinæ gratiæ cooperatum emori. **242** Medici primum cum consolari, et affirmare, nihil gravius metuendum. Cum instaret vehementius, quæ peteret, se facturos promittere. At ille nihilo magis quiescere, nisi et jurejurando eos adigeret, ipsum tam honesto desiderio non fraudaturos.

B

CAPUT XV.

De Xena matre imperator nihil statuit. Magnus domesticus juramenta excipit; præfectos urbium decernit; insignia imperatoria quartum repudiat; ut Constantinum despotam occidat, aut oculos ei eruat, adduci nequit, eumque occulte liberum dimittit. Protostrator Byzantii præfectus de statu imperatoris fit certior; jubetur ipse jurare, et aliis juramentum deferre.

Ἡ νόσος δὲ ἐπετείνετο μᾶλλον καὶ προέκοπτεν ἐπὶ τὸ χεῖρον· ἡ θεία δὲ αὐτῷ Παλαιολογίνα παροῦσα, ἡ Καντακουζηνὴ, ἤρετο περὶ τῆς μητρὸς τῆς βασιλίδος Ξένης, εἴ τι διατάττοιτο περὶ αὐτῆς. Ἀποκριναμένου δὲ, Μηδὲν, νομίσασα ὑπὸ τῆς νόσου μὴ ἐπαισθάνεσθαι τῶν λεγομένων, αὖθις περὶ τῶν αὐτῶν ἐπανήρετο καὶ τρίτον. Ὁ δ' ἀπεκρίνατο, μὴ δύνασθαι δύο τοῖς πράγμασιν ἐφιστάναι, καὶ ταῦτα γυναῖκας οὔσας. Ὁ μέγας δὲ δομέστικος ἐξελθὼν, ὅρκους προσέταξε γίνεσθαι κατὰ τὸ ἐπικρατῆσαν ἐξ ἀρχῆς ἔθος, ἐπὶ τῇ βασιλέως τελευτῇ· καὶ ἐγίνοντο ἐπὶ τοῖσδε· Στέργειν Ἄνναν τὴν βασιλίδα, κυρίαν καὶ δεσπόζουσαν τῶν πραγμάτων, καὶ τὴν πίστιν αὐτῇ

C Ingravescente morbo, et in deterius proficiente, Palæologa Cantacuzena ejus cognata astans interrogabat, quid de Xena matre decerneret (84). Cum responderet, Nihil, existimans illa, sævitia morbi non percepisse quæ dicebantur, interrogationem iteravit, et quæsivit etiam tertium. Tum ait, non posse duos imperare, idque feminas. Magnus autem domesticus egressus, pro inveterata consuetudine in morte imperatorum sacramenta indixit, super his capitibus scilicet: Se Annam imperatricem dominam ac rerum principem agnoscere (85), eique fidem integram ac sinceram præstituros. Magno

Jacobi Pontani notæ.

(84) Gregoras lib. IX: *Nulla vero tum facta est mentio, nec avi imperatoris, nec dominæ matris, quæ Thessalonicæ tunc agebat, gravi affecta dolore et sollicita, ac desperata etiam vita sua, si defuncto filio, se præterita, imperii cura aliis mandaretur. Negabat enim, posse fieri, ut sibi, quæ domina esset, vita concederetur a magno domestico Cantacuzeno, et matre illius, præter omnem exspectationem summæ rerum præfectis, et longo jam tempore sibi inimicis*, etc. Vides quomodo bonum virum Cantacuzenum cum matre adducat Gregoras in invidiam? Cur enim Xenæ ambitiosæ feminæ esset inimicus, ipse ab ambitione remotissimus? quoties enim delatum sibi imperium fugit?

D

(85) Gregoras: *Ore porro mandavit, ut omnes Romani jurarent, se conjugem ipsius ut dominam veneraturos esse, et (ipsa enim aderat gravida, eaque verba audiebat) puerum, si filius nasceretur, ut imperatorem, cujus tutor esset Cantacuzenus magnus domesticus, quæ sola in litteras relata, vim testamenti habuerint.* Sic ille. Dum porro tutorem filii Cantacuzenum instituit, sine dubio etiam imperium ei regendum commisit. Viduam ipse in manum illi tradit.

Digitized by Google Распознавание текста ABBYY FR

domestico in omnibus libenter obtemperaturos. Sic juramenta concipiebantur, dabanturque ordine ab omnibus. Ipse porro in regunda republica quod optimum judicabat, id sequebatur : et urbium præfecturas mandabat, quibus mandandæ, et auferebat, quibus auferendæ videbantur. Quotquot vero Romanorum tunc Didymotichi degebant, non optimatium modo, verum etiam de ducibus exercitus, ad illum accedentes urgebant ad usurpanda insignia imperatoria, asserentes, et aliis de causis id justum esse, et quia imperator ita decrevisset. Renuebat domesticus, petebatque, ne postulantes quæ ipse facere neutiquam posset, molestiam sibi exhiberent. Constantinus despota, quem non longe a principio hujus historiæ Thessalonica in vinculis, cultu monachi adductum, et Callistum appellatum demonstravimus, adhuc Didymotichi in carcere attinebatur. Timentes igitur qui aderant primores et principes exercitus, ne imperatore defuncto, despota e custodia elapsus (86), novam inter Romanos seditionem concitaret, civilique bello sato imperium sibi ascisceret, et rempublicam perderet, **243** magnum domesticum adeuntes precantur, uti hominem e medio tollat : id enim communi maximopere profuturum. Illi res plena inhumanitatis et crudelitatis visa ; idque ipsum alii ut crederent, perficere nitebatur, autumans, nunquam se cogitaturum fuisse, eos in despotam istiusmodi ausuros meditari ac proloqui. Nam si ipsi per se, quid officii ratio exigeret, videre non possent ; at imperatore licuisse pro magistro uti, qui usque nunc factis eos docuisset, Deo se fidere, qui etiam de cætero adfuturus, et in longinquum tempus eos docturus esset, ne sævi et ad civilem potissimum sanguinem fundendum proclives sint. Quem enim morte damnasset imperator, quamvis non paucos sibi insidiatos, et tantum non sua manu eum jugulare cupientes invenerit? Quare si ipse pro se ipso tanta est usus humanitate, inquit, nec nos æquum est in nostra ipsorum causa belluarum immanitatem superasse existimari, sed his cogitationibus depositis, mansuetius ac moderatius in illum consulere. Tum Romani, haud se volentes imminentia bella civilia, seditiones, rerumque omnium perturbationes passuros; nosse enim, quam diram cladem patratum inter imperatores bellum

καθαρὰν καὶ ἄδολον τηρεῖν· πείθεσθαι δὲ πάντα καὶ μεγάλῳ δομεστίκῳ, καὶ τὰ κελευόμενα ὑπ' αὐτοῦ μηδὲν ἀντιλέγοντας ποιεῖν. Οὕτω μὲν οὖν ἐγίνοντο οἱ ὅρκοι, πάντων ὀμνυόντων ἐφεξῆς. Αὐτὸς δὲ τὰ πράγματα διῴκει ᾗ αὐτῷ ἄριστα ἐδόκει ἔχειν, καὶ τὰς ἀρχὰς ἐπέτρεπε τῶν πόλεων οἷς ἔκρινε δεῖν, τῶν δὲ ἀφῃρεῖτο. Ὅσοι δὲ Ῥωμαίων εἰς Διδυμότειχον ἔτυχον τότε παρόντες, οὐ τῆς συγκλήτου μόνον, ἀλλὰ καὶ τῆς στρατιᾶς, τὸν μέγαν δομέστικον ἠνάγκαζον συνελθόντες τὰ βασιλικὰ σύμβολα περιθέσθαι· τά τε ἄλλα ἰσχυριζόμενοι δίκαιον εἶναι, καὶ ὅτι οὕτω διατάξαιτο βασιλεύς. Ὁ δ' ἀνένευέ τε, καὶ ἐκέλευε μὴ παρενοχλεῖν ὡς ἀδύνατα ἀξιοῦσι. Κωνσταντῖνος δὲ ὁ δεσπότης, ὃν ἐν ἀρχαῖς τῆς ἱστορίας μάλιστα ἐκ Θεσσαλονίκης ἔφημεν ἀχθῆναι δεσμώτην, σχῆμά τε ἠμφιεσμένον μοναχῶν, καὶ Κάλλιστον ὠνομασμένον, ἔτι μὲν ἐν δεσμωτηρίῳ κατὰ τὸ Διδυμότειχον ἐφρουρεῖτο. Δείσαντες δὲ οἱ παρόντες τῶν συγκλητικῶν καὶ τῆς στρατιᾶς μὴ τοῦ βασιλέως τελευτήσαντος ὁ δεσπότης τοῦ δεσμωτηρίου διαδρὰς, στάσιν πάλιν τοῖς Ῥωμαίοις ἐγερεῖ, καὶ τὰ πράγματα διαφθερεῖ, πόλεμον ἐμφύλιον κινήσας, τὴν βασιλείαν ἑαυτῷ περιποιούμενος, πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες ἐδέοντο αὐτὸν ἀποκτιννύναι (τοῦτο γὰρ μάλιστα τοῖς πράγμασι λυσιτελεῖν). Ὁ μέγας δὲ δομέστικος, δεινῶς τε ἀπάνθρωπον ᾤετο τὸ πρᾶγμα καὶ ὠμὸν, καὶ τοὺς ἄλλους ἐπεχείρει πείθειν, μηδέποτε λέγων παραστῆναι ἂν αὐτῷ περὶ αὐτῶν τοιαῦτα καὶ βουλεύσασθαι καὶ εἰπεῖν περὶ δεσπότου. Εἰ γὰρ μὴ καὶ ἀφ' ἑαυτῶν αὐτοὶ συνεῖναι τὰ δέοντα ἦσαν ἱκανοὶ, ἀλλὰ τῷ γε βασιλεῖ ἐξῆν χρῆσθαι διδασκάλῳ αὐτοῖς πράγμασι παιδεύοντι ἄχρι νῦν, Θεῷ δὲ θαρρεῖν ὡς καὶ εἰς τοὔπιὸν συνεσομένῳ καὶ παιδεύσοντι ἄχρι πολλοῦ, μὴ ὠμοὺς μηδὲ φονικοὺς εἶναι, καὶ ταῦτα πρὸς ὁμοφύλους. Τίνος γὰρ κατεψηφίσατο θάνατον ὁ βασιλεὺς, καὶ ταῦτα οὐκ ὀλίγους αὐτῷ ἐπιβουλεύοντας εὑρὼν, καὶ αὐτόχειρας μονονουχί; εἰ δὲ αὐτὸς ὑπὲρ ἑαυτοῦ τοσαύτῃ ἐχρήσατο φιλανθρωπίᾳ, οὐδ' ἡμᾶς ὑπὲρ αὐτοῦ δίκαιον θηρίων ἀγριωτέρους ὀφθῆναι, ἀλλ' ἀποστάντας τῶν τοιούτων λογισμῶν, ἡμερώτερα καὶ μετριώτερα βουλεύσασθαι περὶ τ' ἀνθρώπου. Οἱ δ' ἔφασαν οὐ περιόψεσθαι ἐκόντες εἶναι εἰς πολέμους ἐμφυλίους καὶ στάσεις καὶ ταραχὰς τὰ πράγματα χωρήσοντα Ῥωμαίοις. Αὐτοὶ γὰρ εἰδέναι ὁπόσα ἐλυμήνατο τοῖς πράγμασιν ὁ τῶν βασιλέων πρὸς ἀλλήλους πόλεμος. Διὸ μάλιστα μὲν αὐτοῦ δεῖσθαι τὰ ὑφορμοῦντα κακὰ ἐκποδὼν ποιεῖν· καὶ μὴ τοὺς

Jacobi Pontani notæ.

(86) Gregoras : *Constantinus despota cum cæteris vinculis solutus, ut diximus* (captivos jussisse dimitti imperatorem supra dixit, Constantinum despotam, magnum logothetam Metochiten, omnes denique eodem crimine damnatos), *cum paulum se ostendisset, rursus in obscuras latebras noctu a proceribus aulicis est abditus. Veriti enim, ne imperatore defuncto turba in populo oriretur, cum ob alia, tum propter C. litteram, et olim temere de illo jactatum rumorem sic illum tractarunt. Vulgaris enim fama erat, imperium vetere imperatore defuncto, ei esse destinatum, cujus nomen C. littera inchoaret. Unde cum et ipse Constantinus diceretur, suspectus erat.* Pergit deinde, ac docet, quo pacto iidem proceres seniorem Andronicum male multaverint : quæ tamen cum nostra narratione pugnant mirabiliter. Sed cur Gregoras singularem humanitatem et clementiam magni domestici in Constantinum istum prætermittit, qui nullis precibus flecti potest, ut ei oculos eruat, ne dum ut illum (quod in primis volebant proceres) occidat? nescio quæ malignitas hominis se prodit non raro : nam ut multa ignorarit, quod aliquoties jam diximus; tam illustria qui tandem ei inaudita et incomperta esse potuerunt?

Digitized by Google Распознавание текста ABK/FR

περὶ βασιλείας ἐρίζοντας ζῆν ἐᾷν. Εἰ δὲ μή, τά τε δεύτερα, ἐκτυφλοῦν ὡς ἂν μήτ' αὐτοὶ στερίσκωνται τοῦ ζῆν, μήτ' αὐτοῖς αἴτιοι γίνωνται πολλῶν κακῶν. Οἱ μὲν οὖν τοιαῦτα εἶπον· καὶ παρεσκευασμένοι ἦσαν· ὡς εἰ μὴ πείθοιτο ὁ μέγας δομέστικος αὐτοῖς, καὶ ἄκοντος ἐν δεσμωτηρίῳ τὸν δεσπότην ἀποκτενοῦντες. Ὁ δὴ καὶ αὐτὸς ἐκ τῶν λόγων συνορῶν, καὶ βουλόμενος αὐτοὺς ἀποτρέψαι τῆς ὁρμῆς, Τὸ μὲν ἀποκτιννύναι, εἶπεν, οὐδενὶ ἐξέσται τρόπῳ, οὐδὲ περιΐδεῖν ἂν αὐτὸς τὴν βασιλέως ψυχὴν φόνῳ συγγενικῷ δι' αὐτὸν καταχρανθεῖσαν. Τὸ δὲ ἀποστερεῖν τῶν ὀφθαλμῶν, μάλιστα μὲν οὐδὲ αὐτῷ βούλεσθαι ἐκὼν εἶναι· ὡς ἂν δὲ μὴ ὑποψίαν παρέχῃ στάσεως καὶ ταραχῆς, σκεψαμένῳ τῆς νυκτὸς, ὅ τι ἂν λυσιτελοίη τοῖς πράγμασι ποιήσειν εἰς τὴν ὑστεραίαν. Οἱ μὲν οὖν ἐπείθοντο τοῖς λόγοις, οἰόμενοι ἀπαλλάξεσθαι πραγμάτων, ἐὰν τῶν ὄψεων ὁ δεσπότης ἀποστερηθῇ. Αὐτὸς δὲ νυκτὸς τρισὶ τῶν πιστοτάτων οἰκετῶν, τὸν δεσπότην ἐξέλευεν ἐκ τοῦ δεσμωτηρίου λαβόντας, ἐν μυχοῖς κατακρύψαι γῆς ἀσφαλέστατα εἰς ὅσον μάλιστα ἂν ἐξῇ. Κατὰ δὲ τὸν παραῤῥέοντα ποταμὸν, ὃς Ἄδρα καλεῖται, ἀκάτιον ἀνατρέψαι, φήμην δὲ κρύφα διαδοῦναι, πρῶτα μὲν ὡς διαδράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης· ἔπειτα δὲ ὡς ἀποπνιγείη κατὰ τὸν ποταμόν. Οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα· καὶ ὁ δεσπότης ἐκέκρυπτο ἐν ἀδύτοις γῆς. Ἅμα δὲ πρωῒ τοῦ ὄρθρου φήμη διεδόθη, ὡς διαδράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης· καὶ πάντες ἦσαν ἐν θορύβῳ καὶ ταραχῇ, οἰόμενοι ἤδη τὰ πράγματα εἰς στάσιν χωρεῖν. Ἐπεὶ δὲ ἐπύθοντο περὶ τοῦ ἀνατετραμμένου ἀκατίου κατὰ τὸν ποταμὸν, λογισάμενοι αὐτὸν ἐκ προνοίας ἀποπεπνίχθαι, κατεστέλλοντό τε θορυβοῦντες, καὶ οὐκέτι περὶ στάσεως προσδοκίαν οὐδεμίαν εἶχον. Ὁ δεσπότης μὲν οὖν οὕτω διέφυγε τὸ ἀποθανεῖν πρὸς τῷ μηδὲ τῶν ὄψεων ἀποστερηθῆναι· Λάσκαριν δὲ τὸν Καλαμάνον ὁ μέγας δομέστικος εἰς Βυζάντιον πέμψας πρωτοστράτορι, ἐπιτροπεύοντι αὐτοῦ, τά περὶ βασιλέως ἐδήλου· ἐκέλευέ τε αὐτόν τε ὀμνύειν τὸν προειρημένον ὅρκον, καὶ τοῖς ἄλλοις ἐπιτρέπειν τῶν συγκλητικῶν, καὶ τοῖς δυνατοῖς τῶν Βυζαντίων· καὶ ὃς μελλήσας μηδὲν, ἐποίει τὰ προστεταγμένα.

A communi invexerit. Idcirco vehementer etiam atque etiam orare, malis impendentibus obviam eat, nec imperii æmulos vivere sinat; aut saltem oculos illis effodiat, ut hac ratione nec ipsi vitam amittant, et aliis multorum incommodorum auctores ne fiant. Hæc fuit eorum postulatio. Quod nisi magnus domesticus annueret, vel invito ipso, despotam in carcere contrucidare constituerant. Id cum et ipse ex eorum sermone animadverteret, et eos ab hoc turbulento animi motu avocare cuperet, occidi illum nullo modo permissurum dixit; nec passurum, imperatoris animam cognati cæde sua opera contaminari. Ut autem vel lumina ei effodiat, etiam hunc adigi neutiquam posse. Verum ut ne seditionis ac tumultus materiam ministrare B videatur, noctu se capturum consilium (87), et die crastino facturum, quod e republica fuerit. Quibus illi verbis pacati, omni jam molestia defunctos se arbitrabantur, si despota exocularetur. Ea nocte famulis tribus, iisque fidissimis mandat, despotam carcere educant, loco subterraneo quam liceat tutissime abscondant, in Adra præterlabente fluvio naviculam evertant, rumorem clanculum serant, primum quidem e custodia profugisse, deinde in flumine submersum perisse. 244 Famuli jussa facessunt, despotam sub terra locis secretissimis occulunt. Simul atque luxit, fama diditur, despotam e carcere evasisse. Ingens statim tumultus ac turbæ, et res omnium judicio ad seditionem spectare. C Sed ubi de subverso actuariolo auditum est, divinitus aquis præfocatum rati, turbas facere et seditionem aliquam timere desierunt. Despota igitur hunc in modum et mortem, et oculorum orbitatem effugit. Domesticus Calamanum Lascarim Byzantium ad protostratorem præfectum, super statu imperatores significando misit; præcepitque ut et ipse, de quo supra dictum est, juramentum oderet, atque eo optimates et principes civitatis obligaret, qui quam maturrime paruit.

CAPUT XVI.

Andronicus senior vitæ suæ timens, fit monachus. Junior iterum flagitat monasticum habitum, et cum ingenti gaudio impetrat. Domestico subirascitur, per quem stet quominus pater spiritualis, quod maxime cupiebat, ad se in tali tempore veniat. Domestici lacrymæ. Medicus quoque ejus strophum ægre fert; et domestici cum eadem expostulatio. Nolebat enim cucullo indui imperatorem quod eum speraret posse convalescere, timeretque ne oppressus gaudio, quod quibusdam accidit, moreretur, aut in posterum inter monachos vivere obstinaret. Quomodo eumdem medicum terruerit. Mandatum ultimum imperatoris de corpore suo exanimi.

Ἀνδρόνικος δὲ ὁ πρεσβύτερος βασιλεὺς πυθόμενος D περὶ βασιλέως τοῦ ἐγγόνου ὡς νοσήματι ὀξεῖ κατασχεθείς, προσδόκιμός ἐστιν ἀποθανεῖν, ὁρῶν δὲ καὶ τοὺς τελουμένους ὅρκους, οὓς ἐπὶ βασιλέως ἤδει γι-

Andronicus porro senior, nepotem difficili morbo conflictantem prope a janua lethi abesse accipiens, et jam, ut in oblu imperatorum mos est, sacramenta dici, timensque ne eo exstincto quidpiam novi de

Jacobi Pontani notæ.

(87) Vide proverbium ἐν νυκτὶ βουλή, *in nocte consilium*. Tempus nocturnum propter silentium, cum quiescunt voces hominumque canumque, idoneum est captandis consiliis. Quare sapientissimus poeta etiam Æneam suum per noctem plurima volventem, secumque deliberantem inducit : *Æneid.*

At pius Æneas per noctem plurima volvens.

Ad quem versum vide symbolas nostras. Onosander cap. 1, vult imperatorem, sive ducem esse sobrium, sive siccum, ut in arduis negotiis parandis putandisque pervigilet. Noctu enim quasi silente et quiescente animo, multa ducis cogitatio molitur ac perficit.

Digitized by Google Распознавание текста ABK/FR

se fieret (88) : et reperirentur, qui sibi animam extorquerent, quod ipsum rursus imperium invasurum putarent, rogavit in numerum monachorum referri : quod ita demum se vitam retenturum confideret, et protostratoris permissu vestem detritam indùit, mutatoque nomine, pro Andronico Antonius appellatus est. At imperator cum ob morbi magnitudinem spiritum ultimum jamjam se ducturum crederet, coactis medicis : Probe recordamini, inquit, quæ vobis ad monasticam vestem obtinendam dixerim, non quia de vita prorsus desperassem, sed quia arbitrarer, etiamsi firmam spem sospitatis haberem, in utramque partem id mihi bono fore. Sive enim vivorum numero exemptus fuero, **245** proderit mihi coram incorrupto judice in terribili illo judicio cum pœnitentium habitu apparere (89) : sive convaluero, multo melius erit, concessum vivendi spatium in peccatis meis per pœnitentiam expiandis consumere. Cæterum vos, qui jurati promisistis, non me tali bono privaturos, nunc omnino pugnantia facitis, ut video. Nam cum ego paulum distem a mortuis, vos alia potius omnia, quam quæ mihi utilia et jucunda sint, cogitatis. Quamobrem oro, ne diutius negligentes, me non mediocri, sed summo detrimento multetis, et quod hactenus omissum est, nunc resarcire studeatis, priusquam finis vitæ superveniat. Hactenus imperator. Medici erumpentes in lacrymas, multumque ac sæpe optantes, artem medendi nunquam didicisse, ne talia intuerentur, imperatorem suo sibi arbitrio permiserunt : qui præ lætitia vix mente constans, ac velut dona beata consecutus, magnum domesticum accersit, patremque suum spiritualem vocatum (90) celeriter ire jubet. Ille ignarus omnium, quam ob

A νομένους τελευτῇ, δείσας μὴ τελευτήσαντος αὐτοῦ νεωτερισθῇ τι περὶ αὐτὸν καὶ ὑπό τινων ἀποστερηθῇ τὸ ζῆν, οἰησομένων ἐπιθήσεσθαι πάλιν τῇ ἀρχῇ Ῥωμαίων, ἠτήσατο γενέσθαι μοναχὸς, οἰόμενος οὕτως ἂν διαφυγεῖν τὸ ἀποθανεῖν, ἂν ὁ ἔγγονος τελευτήσῃ. Ἐνδόντος δὲ καὶ πρωτοστράτορος ῥάκη τε ἐνέδυ, καὶ Ἀντώνιος ἐξ Ἀνδρονίκου μετωνομάσθη. Ἀνδρόνικος δὲ ὁ βασιλεὺς τῇ νόσῳ συνεχόμενος δεινῶς, καὶ ὅσον οὔπω νομίζων αὐτὸν ἀπολείψειν καὶ τὸ ζῆν, τοὺς ἰατροὺς προσκαλεσάμενος, Ὑμεῖς, εἶπεν, ἴστε σαφῶς ὅσα τε διειλέχθην πρὸς ὑμᾶς αὐτὸς, τοῦ τῶν μοναχῶν ἐφιέμενος σχήματος ἐπιτυχεῖν, οὐχ ὡς ἤδη παντάπασιν ἀπηγορευκὼς τὸ ζῆν, ἀλλ' εἰ καὶ βεβαίας ἔχοιμι τοῦ περιέσεσθαι τὰς ἐλπίδας, οἰόμενος ἔχειν ἀμφοτέρωθεν καλῶς. Ἂν τε γὰρ ἀπέλθω πρὸς τοὺς πλείους,

B ἐν καλῷ μοι κείσεται τῷ ἀδεκάστῳ κριτῇ τὸ μετανοίας ἔχοντα σχῆμα ὀφθῆναι ἐπὶ τῆς δίκης ἐκείνης τῆς φοβερᾶς. Ἂν τε περιγένωμαι τῆς νόσου, μᾶλλον βέλτιον, ὅσῳ καὶ καιρὸν εὑρήσω μετανοίας ἀπολούσασθαι τὰ πεπλημμελημένα. Ὅσα τε ἐπηγγείλασθε αὐτοὶ, καὶ ὅρκοις ἐπιβεβαιώσαντες τοὺς λόγους μὴ τοῦ τοιούτου καλοῦ ἀποστερήσειν, νυνὶ δὲ τοὐναντίον ἅπαν ὁρῶ γινόμενον· αὐτός τε γὰρ ἤδη ὀλίγον ἀποδέω τοῦ ἀψύχοις ἐοικέναι, καὶ ὑμᾶς πάντα μᾶλλον ἢ τὸ τὰ συμφέροντα καὶ φίλα ἐμοὶ διαπονουμένους πράττειν ὁρῶ. Διὸ δὴ καὶ δέομαι ὑμῶν, μὴ

C ἐπὶ πλεῖον καταγρήσασθαι τῇ ἀμελείᾳ, οὐ μέτριά τινα, ἀλλ' εἰς αὐτὰ τὰ καιριώτατα βλαπτούσῃ· ἀλλ' ὃ μὴ πρότερον, νυνὶ σπουδάσαι καταπράξασθαι πληνὴ τὸ τέλος ἐπιστῇ. Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δὲ ἰατροὶ μέγα ἀνοιμώξαντες, καὶ πολλὰ πολλάκις ἐπευξάμενοι, εἰ μηδὲ τὴν ἀρχὴν ἐν ἐπιστήμῃ τῆς θεραπευτικῆς ἐγένοντο, ὥστε τοιαῦτα ἐπιδεῖν, ἐπέτρεπον ὅ τι ἂν βούλοιτο βασιλέα πράτ-

Jacobi Pontani notæ.

(88) Quæ timuerit senex, ne sibi fierent nepote mortuo, ea facta esse nepote adhuc vivo, audacter narrat Gregoras, lib. IX : *In seniorem vero imperatorem plures malorum vias excogitarunt, quæ omnes eodem ducerent. Optionem ei dederunt, malletne monasticum habitum induere, an aliud malum subire. Id vero esse aut cædem, aut acerbissimum exsilium, aut violentam in oblivionis castellum abductionem : quorum omnium vehementissimus minister esset Theodorus Synadenus. Imperator vero tanta periculorum tempestate subito oppressus, diu sine voce in lecto jacuit. Quid enim faceret aliud, nisi ferreus* D *esset, aut corde adamantino? multis barbaris et efferatis militibus circumjusus, domesticis vero omnibus extrusis : cum nemo esset, qui hominem luminibus orbatum duceret, ubi vel staret, vel transiret? Sed ne longum faciam, volentem nolentem tondent, et cucullo induunt, atque Antonium nominant.* His tu, lector, quantum fidei tribuas, cogita. Valde amicum hic Gregoras seniori Andronico se ostendit : ex quo sequitur, ut juniori valde amicus esse vix po sit.

(89) Duo hic observa, unum, homines religiosos, sive monachos securius coram tribunali illius æterni ac justissimi judicis apparere ; alterum habitum monasticum esse pœnitentium habitum. Μετανοίας ἐνδύματα rursus infra nominat. Ex quo sequitur religionem esse statum pœnitentiæ, quod noster Hieronymus Platus in volumine aureo *De bono status religiosi* erudite ac diserte docuit, lib. I, cap. 14. De Manuele Comneno jam morituro, Nicetas lib. VII : Τὸ μοναδικὸν σχῆμα ᾔτησε· καὶ οἱ περὶ αὐτὸν ὅθεν οὖν εὐπορήσαντες (in manuscripto εὑρόντες) τινὸς μοναχοῦ ῥάσα περιδύουσι μὲν αὐτὸν, καὶ ἀπεκδύουσι τὰ μαλακὰ καὶ ἀρχινὰ (τὰ βασιλικὰ) ἄμφια· ἐπενδύουσι δὲ τὸ τραχὺ τῆς κατὰ Θεὸν πολιτείας ἔνδυμα, εἰς ὁπλίτην μετημειφότες πνευματικόν· κράνει τε θειοτέρῳ, καὶ θώρακι σεμνοτέρῳ τῷ οὐρανίῳ στρατολογήσαντες ἡγεμόνι· ***Monasticum postulavit habitum. Ac ministri cucullam, nescio unde nacti, mollibus et regiis vestibus detractis, asperoque illo divinæ vitæ indumento illi inducto, in spiritualem illum mutant militem ; et galea divinore, thraceque honestiore in cœlestis imperatoris album referunt.*** Wolfius cum illa ex manuscripto codice converteret, ***cucullam***, seu ***vestem monachalem***, ut hæreticus, ferre non potuit, transtulit enim ***spiritualem vestem nigro panno, omnis ornatus expertem, ministri nescio ubi naeti.*** Illud autem quod præcedit, τὸ μοναδικὸν σχῆμα ᾔτησε, penitus omisit. Fideliter, si superis placet. Et adhuc projiciemus margaritas ante porcos?

(90) Ille erat episcopus Didymotichensis, de quo multa dicentur infra. Cui ego animæ meæ salutem credidi atque commendavi, qui suis præceptis viam mihi ad cœlum munit, paternamque pro me curam gerit, cur ego illum non patrem nominem? Animadverte quam reverenter et honorifice de patre spirituali loquatur noster historiographus.

Digitized by Google Распознавание текста ABBYY FR

τειν περὶ ἑαυτοῦ· ὁ δὲ ἀκούσας, ἔνθους τε ἐγένετο ὑφ' ἡδονῆς, καὶ ὡς ἤδη λαμπρά τινα εὐτυχηκὼς, τὸν μέγαν δομέστικον μετεκαλεῖτο, καὶ μετὰ σπουδῆς ἐκέλευε πατέρα τὸν πνευματικὸν καλεῖν τὸν ἑαυτοῦ· ὁ δὲ τῶν γεγενημένων εἰδὼς μηδὲν, ἐπυνθάνετο τὴν αἰτίαν τῆς κλήσεως ἥτις εἴη· ἐπεὶ δὲ μάθοι, βασιλεῖ μὲν ὑπισχνεῖτο τὰ κελευόμενα ποιεῖν· τοῖς ἰατροῖς δὲ ἐπετίμα τε οὐ μετρίως, καὶ αὐτὸς ἤνεγκεν οὐκ ἀνεκτῶς. Τριβομένης δὲ ἐπιπολὺ τῆς ὥρας, καὶ τοῦ πνευματικοῦ πατρὸς οὐ παραγινομένου, αὐτός τε ἐπέσπευδε τὴν ἄφιξιν, καὶ τοὺς ἰατροὺς τὴν αἰτίαν τῆς μελλήσεως ἠρώτα. Συνεὶς δὲ ἀπὸ τῶν λεγομένων ὑγιὲς μηδὲν αὐτοὺς λέγειν, ἐστοχάζετο παρὰ τοῦ μεγάλου δομεστίκου κωλύεσθαι τὴν πρᾶξιν· καὶ μετακαλεσάμενος αὐτὸν, τῆς τε ἐκ πρώτης ἡλικίας πρὸς ἀλλήλους αὐτὸν ἀνεμίμνησκε φιλίας, καὶ τοῦ μηδέπω μηδαμῶς παρὰ πάντα τὸν βίον οὐδέτερον ἑτέρῳ ταραχῆς καὶ σκανδάλου ἀφορμὴν παρεσχηκέναι. Νυνὶ δὲ ἀπορεῖν ὅθεν ὁρμώμενος οὕτως ἐξεπίτηδες ἐβουλήθη ἀχθόμενον αὐτῷ εἰς ᾅδην παραπέμψαι. Μή δή τοιαῦτά με ἐργάσῃ κακὸν, ὦ φίλων, ἔλεγεν, ἄριστε, μηδὲ καταπρόῃ μοι τὴν ἐλπίδα τῆς σωτηρίας· ἀλλ' ὥσπερ πολλάκις ὑπὲρ τοῦ δυστήνου σώματος τουτουΐ πάσῃ σπουδῇ καὶ προθυμίᾳ σεαυτὸν ἐνέβαλες εἰς τοὺς κινδύνους, οὕτω νῦν πολλῷ πλέον κινδυνεύοντος κατὰ ψυχὴν, πρόστηθι πάσῃ προθυμίᾳ, οὐ μόνον διὰ τὴν φιλίαν, ἀλλ' ἵνα μὴ καὶ δίκας ὑπόσχῃς τῷ πάντων κριτῇ, τό γε εἰς σὲ ἧκον ἀποστερήσας αὐτὸν ψυχῆς ὑπὲρ ἧς αὐτὸς θάνατον εἵλετο καὶ σταυρόν· μηδὲ κατάτριβε τὸν καιρὸν, οὕτως ἀναγκαῖον ὄντα, ὃν αὖθις εὑρεῖν οὐκ ἐξέσται διαφυγόντα νῦν· ἀλλ' εὐχῶν τε πολλῶν δεόμενον καὶ σπουδῆς οὐ τῆς τυχούσης. Ἐγὼ γὰρ καὶ ὃν ἀναλίσκω σοι διαλεγόμενος χρόνον, ζημίαν ἤγημαι τὴν ἐσχάτην. Ὁ μέγας δὲ δομέστικος ἀποκρίνασθαι μὲν ἴσχυσεν οὐδὲν, τῆς ψυχῆς ἤδη τῇ λύπῃ καταβεβαπτισμένης· ἔξω δὲ ἐλθὼν ἀνώμωξέ τε πικρῶς, καὶ τὸν φίλον ἀνεκαλεῖτο· καὶ μικροῦ μὲν ἐδέησεν ἀφεῖναι καὶ τὴν ψυχὴν ἐπὶ τοῖς θρήνοις. Ὅμως δ' ἀνελάμβανέ τε πάλιν ἑαυτὸν, καὶ τὰς ὄψεις ὕδατι τῶν δακρύων ἀποκαθαίρων, ὥσπερ ἄλλου πάσχοντος ἀδάκρυτος ὡρᾶτο βασιλεῖ. Ὡς δὲ ὁ βασιλεὺς συχνοὺς ἀγγέλους ἐπιπέμπων, τὴν τοῦ πνευματικοῦ πατρὸς ἄφιξιν ἐπέσπευδεν, ὁ μέγας δομέστικος πέμψας, τὸν μὲν πνευματικὸν ἐκέλευεν ἔξω Διδυμοτείχου χωρεῖν, καὶ διατρίβειν ἐν προαστείοις ἄχρις ἂν αὐτὸς τὴν εἴσοδον ἐνδῷ, πρότερον δὲ μὴ εἰσιέναι, μηδ' εἰ πάντες ἄνθρωποι ἐπιτρέποιεν· ἕτερον δὲ ἀνθ' ἐκείνου παραλαβὼν, εἰσήγαγεν ὡς βασιλέα, ἔφασκέ τε τὸν μὲν εἰωθότα τῆς πόλεως ἀποδημεῖν, καὶ ὅρκους προστιθεὶς ὡς ἀληθεύοι, τουτονὶ δὲ εἰσαγαγεῖν οὐδαμῶς ὄντα σοι ἐν συνηθείᾳ καὶ πάνυ ἄκοντα διὰ τὸ βιάζεσθαι ὑπὸ σοῦ. Βασιλεὺς δὲ αὐτὸν προσαγορεύσας, Ὥρα σοι, πάτερ, ἔλεγε, τοῖς πνευματικοῖς χρῆσθαι φαρμάκοις, καὶ τὴν ἐπιστήμην ἐπιδείκνυσθαι τὴν πασῶν φιλανθρωποτάτην, καὶ ψυχὴν ὀδυνωμένην καὶ κακῶς πάσχουσαν ὑπὸ πολλῶν τραυμάτων καὶ πταισμάτων ἀνακαλεῖσθαι, καὶ πρὸς σωτηρίους τρίβους καθοδηγεῖν, καὶ μετα-

A causam accersendus sit quærit, qua intellecta, se facturum recipit, rem indigne fert, medicos acerrime increpat. Hora propemodum transacta, et patre spirituali nondum veniente, imperator ut adveniret instabat, et ex medicis causam cunctationis sciscitabatur. Sed cum nihil sincerum ac simplex responderetur, a magno domestico moras objici, negotiumque impediri conjiciebat. Quem adesse jussum amicitiæ a parvis institutæ admonuit; et quomodo nunquam in omni vita alter alteri aut turbationi, aut offensioni fuisset. Nunc autem nescire se, quo impulsu sic de industria se tanto gravatum pondere ad inferos velit transmittere. Ne, inquit, amicorum optime, tanto malo me mactaveris, neve salutis meæ spem prodideris, sed

B quemadmodum crebro pro hoc misero corpore cupidissime studiosissimeque in discrimina te obtulisti: sic nunc multo in majore periculo versantem animam meam defende, idque non propter amicitiam nostram solum, verum etiam ne universorum Judex pœnas abs te reposcat, qui, quantum in te fuit, animam illi absuleris, pro qua ipse in cruce suffixus necem pertulit. Noli hoc tempus, quæso, tam necessarium, quodque in multis precibus cum studio singulari ponendum est, negligere atque conterere: quod si nunc præterierit, frustra requiretur. **246** Ego vero quod hoc quantumcunque intervallum tecum loquens consumo, mihi damnosissimum judico. Ad hæc magnus domesticus dolore absorptus obmutuit; egressusque

C foras, amici nomen inter amaras lacrymas ingeminavit; quas tam largiter profudit, ut cum ipsis pene animam profunderet. Verumtamen se collegit iterum, ablutaque facie, imperatori, velut alio quopiam, non se ægrotante, nec flevisse quidem visus est. Qui cum nuntios duplicans, spiritualem patrem ad se accelerare juberet, magnus domesticus per certum hominem patrem illum monuit, ut Didymoticho exiens, in suburbio tantisper maneret, quoad ipse ingressum illi permitteret: citius caveret ingredi, quamvis id omnes mortales ei demandarent. Alium vero in ejus locum subornatum ad imperatorem introducit, narrans, ordinarium abesse peregre, et addit juramentum, se vera loqui.

quæ prius habuerat per deditionem recepit: Anchialum autem adhuc Mœsi præsidiarii tuebantur. Alexander siquidem Mœsorum, rex imperatoris impressionem sentiens, cum exercitu quantus erat ad arcendum accurrit, jux aque Actum, non procul ab imperatore, qui apud Rhosocastrum tendebat, castra locat, angusto quodam et aspero transitu ambos exercitus dirimente: quem Alexander peditibus aliquot ibi dispositis custodire occuparat. Imperator Alexandrum in vicino castrametari intelligens, postridie diluculo suos capere arma jussit. Armatos deinde veluti pugnaturos, et per acies digestos, ad transitum illum deduxit, ac Mœsos ad manum conserendam provocavit. Nam quia transitus ille salebrosus et arctus erat, et ab ipsis servabatur, in castra irrumpere commode nequibat. Toto igitur die ibi transacto, quia nemo hostium contra exibat, in sua castra pedem retulit: paucisque diebus, instructis ad prælium militibus, rediit, ac eodem modo ad introitum angustiarum die quam longa est constitit, cum Mœsi ne tum quidem in planitiem se dare foras, et æquo campo lacessere Martem auderent. **282** Imperator itaque perterrefactis audacia sua Barbaris, ut antea, castra subiit. Alexander cernens, si acie congrederetur, fore imparem, per legatos oravit ut facta pace sua uterque retineret. Respondit imperator, neque se priorem arma movisse, neque quidquam Mœsis abstulisse: verum ab ipsis prius lacessitum, compelli resistere, et ablata recuperare. Insuper Anchialum sibi eripi, qua reddita, pacem fœdere firmaturum. Atqui oportuisse, si in rebus suis pertinax et implacabilis esset, nervos omnes ad par pari referendum intendere, et armis sibi vicissim quædam de illorum rebus vindicare. Quoniam vero utrique eamdem religionis sanctitatem colant, et pax cuilibet bello præponderet (32), ipsam se bello huic anteponere: modo sua sibi restituantur. At Alexander, nec se injuste agere; Anchialum enim, cæteraque oppidula, quæ adempta sibi quereretur, non Romanis potius quam Mœsis deberi; nam regibus antecedentibus perdiu subdita fuisse. Idcirco imperatorem esse injurium, qui præter ea quæ abstulerit, etiam Anchialum postulet. Tum imperator, injustitiæ non imponendum nomen justitiæ: neque quia ad tempus alios spoliaverunt, ideo existimandum licere perpetuo spoliare. Has urbes non solum ex antiquo tempore Romanorum ditione contineri, sed etiam complures earum ab ipsis esse conditas, deductasque colonias. Mœsos vix heri et nudius tertius eas sub imperium suum redegisse, a regno Sphentisthlabi sororis suæ mariti videlicet, dum Romanis cum Persis et Catalanis bellum esset (33), qui rex Romanos vehementer afflixerit:

φιλοφρονήσας ἐπιῤῥώσας, τόν τε σῖτον παρασχών, ἠνύσατο ἐκεῖ ἐπὶ δυσὶν ἡμέραις. Ἅμα δὲ ἕῳ εἰς τὴν τρίτην παντὶ τῷ στόλῳ ἐπανέπλευσεν εἰς Κωνσταντίνου. Καὶ διατρίψας ἐν αὐτῇ ἡμέρας οὐ πολλὰς, ἐπεὶ καὶ ἡ στρατιὰ πᾶσα ἤδη παρῆν, καὶ ὅσα ἔδει ἐπεπόριστο, ἅρας ἐκ Βυζαντίου, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐσέβαλεν εἰς τὴν Μυσίαν, καὶ ἐδῄωσέ τινα αὐτῆς· ὑπερβάς τε τὸν Αἷμον, τὰ μὲν ἄλλα πολίσματα ὅσα ἦν καὶ πρότερον ἔχων, παρεστήσατο ὁμολογίᾳ πάλιν· Ἀγχίαλος δὲ ἔτι ἐῤῥουρεῖτο παρὰ τῶν Μυσῶν. Ἀλέξανδρος γὰρ ὁ τῶν Μυσῶν βασιλεὺς, αἰσθόμενος τὴν βασιλέως εἰσβολὴν, ἐβοήθει κατατάχος πανστρατιᾷ ἄγων τοὺς Μυσούς· καὶ ἐλθὼν ἐστρατοπεδεύσατο παρὰ τὸ Ἀετὸν, οὐ πολὺ ἀπέχων βασιλέως, παρὰ τὸ Ῥωσόκαστρον ἐστρατοπεδευμένου, πλὴν ὅτι στενή τις καὶ ἀπόκροτος δίοδος τὰ στρατεύματα ἀμφότερα διεῖργεν· ἣν φθάσας ὁ Ἀλέξανδρος, ἐφρούρει πεζῇ ἐπιστήσας στρατιάν. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο Ἀλέξανδρον ἐγγὺς ἐστρατοπεδευκέναι, ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν· καὶ ἐπειδὴ ἦσαν ὡπλισμένοι, παραλαβὼν αὐτοὺς ὡς μάχην παρατεταγμένους, ἐγγὺς τῆς διόδου ἦλθεν, ἣ παρὰ Ἀλεξάνδρου ἐφρουρεῖτο· καὶ προυκαλεῖτο ὡς ἐς μάχην τοὺς Μυσούς. Προσβάλλειν γὰρ αὐτῶν τῷ στρατοπέδῳ οὐκ ἐνῆν διὰ τὴν δίοδον οὖσαν τραχεῖαν καὶ στενὴν καὶ φρουρουμένην ὑπ' αὐτῶν. Διημερεύσας δὲ ἐκεῖ ἐν ὅπλοις, ἐπεὶ οὐδεὶς ἀντεπῆξεν, εἰς τὸ οἰκεῖον στρατόπεδον πάλιν ἐπανῆλθε. Καὶ ὕστερον ἡμέραις οὐ πολλαῖς, πάλιν ἦκεν ἄγων ὡπλισμένην τὴν στρατιὰν ἐπὶ τὴν μάχην, καὶ διημέρευσεν ὥσπερ καὶ πρότερον πρὸς τῶν στενῶν τὰς εἰσβολάς. Μυσοὶ δὲ οὐδ' οὕτως ἐτόλμησαν εἰς τὴν εὐρυχωρίαν ἐξελθόντες ἐκ τοῦ ἴσου διαγωνίσασθαι πρὸς βασιλέα. Ὁ δὲ εἰς τὸ στρατόπεδον τὸ οἰκεῖον πάλιν ἐπανέζευξε, καταπλήξας τῇ τόλμῃ τοὺς βαρβάρους. Ἀλέξανδρος δὲ ὁρῶν ἤδη ἀδύνατος ὢν ἐκ παρατάξεως ἀντιστῆναι βασιλεῖ, πρεσβείαν πέμψας διελέγετο περὶ εἰρήνης. Ἧξίου τε ἔχοντας ἑκάτερον ἃ ἔχουσι, πολέμου ἀποσχέσθαι. Βασιλεὺς δὲ, οὔτε πολέμου ἔφασκεν αὐτὸς ἄρξαι, οὔτε ἀποστερῆσαί τινα τῶν Μυσοῖς διαφερόντων· ἀλλ' ἀδικούμενος ὑπ' αὐτῶν πολέμου ὑπαρχόντων, ἀμύνεσθαί τε ἀναγκαίως, καὶ τὰ ὑπ' αὐτῶν ἁρπαγμένα ἀνασώζεσθαι. Ἀποστερεῖσθαι δὲ ἔτι Ἀγχιάλου· ἦν εἰ ἀπολήψεται, σπονδὰς θέσθαι ἕτοιμος εἶναι πρὸς αὐτοὺς εἰρηνικάς. Καίτοιγε ἐχρῆν εἰ φιλόνεικος ἦν καὶ ἀπαραίτητος πρὸς τὰς ἀντιδόσεις, πᾶσαν ἐπιδείξασθαι σπουδὴν, ὥστε καὶ αὐτὸν ἐκ τῶν αὐτοῖς διαφερόντων τινὰ κτήσασθαι πολέμῳ· διὰ δὲ τὸ τὰ στρατεύματα ἀμφότερα τῆς αὐτῆς ἔχεσθαι θρησκείας, ἄλλως δ' ὅτι καὶ ἡ εἰρήνη παντὸς πολέμου εἶναι δοκεῖ αἱρετωτέρα, μᾶλλον αὐτὴν αἱρεῖσθαι εἰ τὰ οἰκεῖα μόνον ἀπολήψεται. Ἀλέξανδρος δὲ ἰσχυ-

Jacobi Pontani notæ.

(32) Pulchre M. Tullius, quod hanc sententiam, ut verissimam, confirmat, ad Atticum epist. 14, lib. VII: *Equidem ad pacem hortari non desino, quæ vel injusta utilior est, quam justissimum bellum.*

(33) Sub Andronico seniore; de quo bello Gregoras in septimo. Obiit autem Sphantistlabus, qui Sphendosthlabus, eodem anno quo in juniorem Andronicum anathema pronuntiatum est.

Digitized by Google Распознавание текста ABBYY FR

ρίζετο ἀδικεῖν οὐδὲ αὐτός· Ἀγχιάλόν τε γὰρ καὶ τὰ ἄλλα πολίσματα, ἃ ἦν ἀφῃρημένος, οὐ Ῥωμαίοις προσήκειν μᾶλλον ἢ Μυσοῖς. Τοῖς γὰρ πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐξικανοῦ εἶναι ὑποχείρια τοῦ χρόνου. Διὸ καὶ μᾶλλον βασιλέα ἀδικεῖν πρὸς οἵς ἀφῄρηται ἀπαιτοῦντα καὶ Ἀγχίαλον. Βασιλέως δὲ ἀποκριναμένου μὴ δεῖν τὴν ἀδικίαν ἐν δικαιώμασι ποιεῖσθαι λόγῳ, μηδὲ ὅτι ἐπὶ χρόνον ἀπεστέρησαν, οἴεσθαι διὰ τοῦτο δίκαιον εἶναι καὶ διηνεκῶς ἀποστερεῖν· τὰς γὰρ τοιαύτας πόλεις οὐ μόνον ἄνωθεν ἐκ παλαιοῦ ὑπηκόους Ῥωμαίοις εἶναι, ἀλλὰ καὶ αὐτῶν τὰς πλείους ὑπ' αὐτῶν τε ἐκτίσθαι καὶ κατῳκίσθαι ἀποικίας πεπομφότων· οὕπω δὲ χθὲς καὶ πρώην ὑφ' ἑαυτοὺς πεποιῆσθαι Μυσοὺς ἐκ τῶν Σφεντισθλάβου τοῦ βασιλέως χρόνων, ὃς ἦν τὴν αὐτοῦ ἀδελφὴν γεγαμηκὼς, τοῦ πρὸς Κατελάνους καὶ Πέρσας τοῖς Ῥωμαίοις πολέμου κεκινημένου· ὃς πλεῖστα δὴ ἐκάκωσε τὰ πράγματα αὐτοῖς, ὅτι' ὃν οὐδὲ ταῦτα ἀνασώσεσθαι ἠδυνήθησαν ἐξ αὐτῶν. Νυνί τε αὐτὸν ἀδικεῖν οὐδὲν, ἀλλὰ τά τε ὄντα ἔχειν καὶ τὰ ἐλλείποντα ἀπαιτεῖν, ἃ εἰ μὲν εἰρήνης ἐπιθυμοίη ἀποδιδόναι· εἰ δὲ μή, ἀλλ' αὐτόν γε μὴ δύνασθαι προῖεσθαι τρόπῳ δὲ παντὶ, πειράσεσθαι διασώζειν τὴν ἀρχὴν, ὁ Ἀλέξανδρος (ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύοντο ἀλλήλων καὶ δι' ἐλαχίστου τὰς ἀποκρίσεις ἐποιοῦντο) οὐκ ἔφατο δεῖν περὶ ἀρχῆς τινα διαλεγόμενον ἀποδείξεσι χρῆσθαι καὶ λόγοις πιθανοῖς, ἀλλ' ὅπλοις καὶ χειρὶ βιαιοτέρᾳ τὰ δίκαια βραβεύειν. Οἷς καὶ αὐτὸν ἐκ τοῦ ὑπερέχοντος χρώμενον νυνὶ, περὶ γῆς ὅρων διαλέγεσθαι ἀσφαλῶς· ἐγὼ δὲ παρεχώρησα ἂν καὶ Ἀγχιάλου ἐκ τοῦ ῥᾴστου, εἰ μὴ πολλήν ἐμοί τε καὶ στρατιᾷ τὴν ἀτολμίαν καὶ τὴν μέμψιν ἐπῆγε. Πρὸς γὰρ τῷ μὴ ἀντιστῆναι τολμῆσαι μηδὲ ἐκ παρατάξεως διαγωνίσασθαι ὑμῖν, καίτοιγε ἅπαξ καὶ δὶς πρώτοις ἐπελθοῦσιν, εἰ καὶ Ἀγχιάλου ἐπ' οὐδεμιᾷ παραχωρήσομεν ἀντιδόσει, σαφέστατα δὴ ἐν πᾶσιν ἀνθρώποις ὁμολογήσομεν τὴν ἧτταν. Ἀλλά τινος ἕνεκα αἰσχύνης προκλύμματος, εἰ βούλοιτο, Διάμπολιν ἀποδόντα, τὴν Ἀγχίαλον ἀπολαμβάνειν. Πάντως δὲ εἰδέναι ἀκριβῶς, ὡς, ὅ φασι, χάλκεα χρυσείων ἀνταλλάττεται. Τούτου δὲ γενομένου, αὐτόν τε ἔχειν ἃ συμβήσεται αἰτεῖ καὶ αὐτὸν αἰσχύνης ἀπηλλάχθαι, ἴσ' ἀντ' ἴσων δοκοῦντα ἔχειν. Βασιλεῖς δ' ἐπεὶ ἐδόκουν οἱ λόγοι προσηνεῖς τε εἶναι καὶ ἄξιοι παραδέχεσθαι, τοῦτο μὲν Ἀγχιάλου Διαμπόλεως οὐδὲν εἰπεῖν διαφερούσης, τοῦτο δ' εἴτι καὶ πρόοιτο τῆς εἰρήνης ἕνεκα, οὐδεμίαν αὐτῷ μέμψιν ἂν οἴεσθαι ἐπαγαγεῖν· ἄλλως τε καὶ σιτίων τῇ στρατιᾷ ἐπιλιπόντων, καὶ ἐνδείας οὔσης ἤδη λαμπρᾶς τῷ στρατοπέδῳ καὶ δεομένων ἢ διαγωνίζεσθαι πρὸς τοὺς πολεμίους, ἢ ἀναχωρεῖν, ὥστε καὶ αὐτὸν τὴν ἔνδειαν συνορῶντα πολλοῖς τὴν ἐς τὰ οἰκεῖα ἐπιτρέψαι ἀναχώρησιν, προσδέξατό τε τὴν πρεσβείαν, καὶ ἐγένοντο αἱ συνθῆκαι ἐπὶ τούτοις. Ὥστε Ῥωμαίους καὶ Μυσοὺς ποιήσασθαι σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν· ἀλλ' Ἀγχίαλον μὲν ἀπολαβεῖν Ῥωμαίους· ἀποδοῦναι δὲ Διάμπολιν, καὶ τοῦ λοιποῦ εἰρήνην ἄγειν ἔχοντας ἃ ἔχουσιν ἑκατέρους. Τοιαῦτα μὲν ἀμφοτέροις τοῖς βασιλεῦσιν ἐγεγένητο αἱ σπονδαὶ ἑβδόμῃ καὶ δεκάτῃ μηνὸς Ἰουλίου ἱσταμένου· καὶ οἱ ἀπολῃψόμενοι τὰς πόλεις καὶ τοὺς ὅρκους παρῆσαν ἑκατέροις παρ' ἀλλήλων.

propter quem hæc ipsis tum extorquere non potuerint. Nunc se citra cujusquam injuriam et sua tenere. et quæ suis desunt repetere; quæ, si pacem cupiat, restituat, sin minus, se ea non posse relinquere, moturumque omnem lapidem, uti principatum tueatur atque conservet. Alexander (castris erant propinqui, et per minimum intervallum responsabant) non oportere dixit quemquam de imperio litigantem demonstrationibus et probabilibus conclusionibus, sed ferro et manu fortiore de jure statuere (34) : quibus cum ipse nunc plus satis polleat, de imperiorum finibus secure disserat : se porro et Anchialo non gravate cessurum fuisse, ni ea res et sibi, et exercitui magnæ timiditatis reprehensionem pareret. Nam si præter **283** hoc, quod resistere et acie contra certare, quanquam semel iterumque ab ipsis accedentibus provocati, non fuissent ausi, etiam Anchialo absque compensatione cederent, apertissime omnibus mortalibus sese victos ostensuros. Verumtamen pro tegumento quodam dedecoris sui, si velit, traditurum Anchialum, et Diampolin recepturum; quamvis certissimo sciat se, ut est in proverbio, aurea æreis permutare. Ita futurum ut et imperator habeat quod petit, et ipse probri expers sit, cum æqualia pro æqualibus possidere videbitur. Imperator, quoniam orationem non inhumanam, et admittendam censebat, et quia Anchialus Diampoli præstat, quantum dici non potest; deinde quia si quid etiam pacis gratia de suo jure remitteret, non id sibi vitio datum iri opinabatur : cum præsertim et commeatus exercitum defecisset, et luculenta penuria in castris laboraretur, militesque aut cum hoste committi, aut reduci obsecrarent; ut et ipse misericordia impulsus, multis missionem daret, legationi locum reliquit, pacemque in has conditiones fecit, ut Romanis et Mœsis fœdus esset, ac nihil vicissim injuriarum inferrent, illi Anchialum reciperent, et pro ea Diampolin reponerent, ac de cætero utrique suum sibi habentes, pacem concordiamque colerent. His legibus fœdus inter reges sexdecim kalendas sextiles junctum est, cum uterque et urbi, et sacramento pro se recipiendis vicarios dedisset.

Jacobi Pontani notæ.

(34) Atqui *sapientem omnia prius, quam armis experiri decet*, ut ait Terentius. Et Cicero I Offic. : *Cum sint duo genera decertandi, unum per disceptationem, alterum per vim, cumque illud proprium sit hominis, hoc belluarum, confugiendum est ad posterius, si uti non licet superiore.*

Digitized by Google Распознавание текста ABK/FR

CAPUT XXVII.

Scythæ veniunt Alexandro contra patruum suppetias, quos per fraudem in imperatorem immittit; quibuscum et una cum Mœsis prælio acerrimo contenditur. Mœsi superiores sunt. Alexander fœdus et filiam imperatoris filio suo uxorem petit. Differtur affinitas, fœdus vatratur. Compranditur, et a Mœsis Romani egregie prædicantur.

Ea porro nocte, cui dies jurisjurandi illuxit, Scythæ Alexandro suppetias venerunt, contra patruum Belaorum ab eo invitati, qui seditione concitata, parteque regni ad se avulsa, et reliqua divexanda importunus erat. Existimans autem se ista commoditate opportune usurum, si eos fallacia quadam in imperatorem immitteret, patruum prope adesse dixit, et eum improviso aggrediendum: quem rei totius ignarum, acriter pugnaturum sit verisimile, **284** sed a multo pluribus facillime superatum et interfectum iri: et ita ipsos a labore longi itineris adhuc emetiendi fore liberos. Isto modo Barbaris fucum fecit; nam si scissent, propter fœdus recenter cum imperatore initum, nunquam in eum se intuli sent. Die igitur exoriente, armis induti, angusto calle in Romanos procedunt. Speculatores ibi collocati celeriter hostium adventum in castra nuntiant. Imperator arma expedire jubet, et cum sedecim dispositis phalangibus occurrit. Dextrum cornu protostrator, Zamplaco magnus pappias sinistrum tenebat; medio agmine imperator ipse emicabat. Senæ phalanges frontem totam implebant; post eas reliquæ decem, singulæ cum ducibus suis erant dispositæ. Imperator vero delusum se ideo dolebat, quod bonæ parti militum propter spem fœderis missionem concesserat. Veruntamen cum solis Mœsis sibi pugnandum ratus, fidenter in eos gradiebatur. Et ecce dum incedunt, tubam Scythicam exaudiunt, quæ non instar aliarum tubarum, sed horridum quiddam et absonum sonat: quale Barbaris ad Martem accendendum sufficit. Quare quamvis procul audiatur illud tubæ genus, statim agnoscitur. Putans tamen imperator, non esse Scythas (neque enim pacem secum pactam dissolvisse), sed trans Istrum Getas, qui iisdem quibus Scythæ armis utentes, plerique omnes sunt sagittarii, Getas, inquam, qui Mœsis ad auxilium adessent, et ad terrorem incutiendum Scythica tuba clangerent, quorum virtute nixus Alexander, hilariter ad certamen prodiret, ipse quoque bona spe plenus contra ingreditur. Postquam autem inter se conspexerunt, et sol altius supra finitorem elatus, rerum discrimina clarius ostendit, tum liquido apparuit, adventantium agmen Scythas esse; nam Mœsis non intermisti, suos ordines obtinebant. Cum jam facienda esset impressio, Scythæ imperatorem, cum iis qui erant in fronte, paulum declinantes, succenturiatos invadere; quos parum resistentes in fugam dederunt, et usque Rhosocastrum fugientibus inhæserunt. Ibi conversi Romani facto cuneo Barbaros a muris abstinuerunt. Imperator licet posteriores fugæ se mandassent, cum sex primis phalangibus nihilo magis se abducens, recta

Τῇ αὐτῇ δὲ νυκτὸς καθ' ἣν ἔμελλον εἰς τὴν ὑστεραίαν τελεσθήσεσθαι οἱ ὅρκοι, ἦκον πρὸς τὸν Ἀλέξανδρον κατὰ συμμαχίαν στρατιὰ ἀπὸ Σκυθῶν. Ἦν γὰρ ὃς αὐτοὺς προσκεκλημένος ἐπὶ Μπελαοῦρον τὸν θεῖον, ὃς διαστασιάσας πρὸς αὐτὸν καὶ μέρος τῆς ἀρχῆς παρασπασάμενος, λυπηρὸς ἦν, καὶ κακῶς ποιῶν τὴν χώραν. Νομίσας δὲ εἰς δέον χρήσεσθαι τῷ καιρῷ, εἰ τούτους ἐξαπατήσας ἐπαγάγοι βασιλεῖ, τὸν θεῖον ἔλεγεν αὐτοῖς ἐγγὺς παρεῖναι· ᾧ δέον πρὶν αἰσθέσθαι ἐπελθεῖν· ἐκεῖνον δὲ μηδὲν εἰδότα τῶν γεγενημένων προθύμως καταστῆναι εἰς τὸν πόλεμον εἰκός· τούτου δὲ γενομένου, ἐκεῖνόν τε διαφθαρήσεσθαι ῥᾷστα κρατηθέντα ὑφ' ἡμῶν ὄντων πολλαπλασιόνων καὶ ἡμᾶς πόνων ἀπαλλάξεσθαι μακρὰν ἀνύειν μέλλοντας ὁδόν. Καὶ ἔπεισέ γε τοὺς βαρβάρους μὴ συνιδόντας τὴν ἀπάτην· βασιλεῖ γὰρ οὐκ ἂν ἐπῆλθον εἴπερ ἔγνωσαν, διὰ τοὺς ὅρκους καὶ τὰς σπονδὰς οὓς ἦσαν νεωστὶ πρὸς αὐτὸν πεποιημένοι· ἅμα δὲ ὄρθρῳ ὁπλισάμενοι, ἐχώρουν διὰ τῶν στενῶν ἐπὶ Ῥωμαίους. Αἰσθόμενοι δὲ οἱ βασιλέως σκοποὶ (αὐτόθι γὰρ ἦσαν τεταγμένοι), ἀπήγγελλον τὴν ἔφοδον κατὰ τάχος· καὶ ὁ βασιλεὺς ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν. Ἐπεὶ δὲ ὡπλίσαντο, ἐξῆσαν τεταγμένοι κατὰ φάλαγγας ἓξ οὔσας πρὸς ταῖς δέκα. Ἦρχε δὲ τοῦ μὲν δοξιοῦ κέρως ὁ πρωτοστράτωρ, τοῦ δὲ ἀριστεροῦ Τζαμπλάκων ὁ μέγας παπίας· τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεύς. Ἓξ δὲ φάλαγγες τὸ μέτωπον ἐπλήρουν ἅπαν· καὶ μετ' αὐτοὺς ἦσαν αἱ δέκα τεταγμέναι ὡς ἕκαστοι μετὰ τῶν στρατηγῶν. Βασιλεὺς δὲ ἡνιᾶτο μὲν ἡπατημένος ὡς πολὺ τῆς στρατιᾶς διὰ τὴν τῶν συνθηκῶν ἐλπίδα ἐπιτρέψας οἴκαδε ἀναχωρεῖν· ὅμως δὲ πρὸς μόνους τοὺς Μυσοὺς τὸν ἀγῶνα ἔσεσθαι νομίζων, ἐπῄει θαρρῶν αὐτοῖς. Ἀπιοῦσι δὲ ἠκούετο σάλπιγξ ἠχοῦσα Σκυθική. Ἦχεῖ γὰρ οὐ κατὰ τὰς ἄλλας, ἀλλ' ἀγριόν τι καὶ ἀπηχὲς, ὁποῖον ἱκανὸν εἶναι τοὺς βαρβάρους ἐρεθίζειν πρὸς θυμόν. Διὸ καὶ γνώριμός ἐστι καὶ πόρρωθεν ἀκουομένη. Νομίσας δὲ ὁ βασιλεὺς οὐ Σκύθας εἶναι (οὐδὲ γὰρ ἂν ἠθετηκέναι τὰς σπονδὰς τὰς πρὸς αὐτὸν), ἀλλὰ τοὺς πέραν Ἴστρου Γέτας, οἱ ὁμόσκευοι τοῖς Σκύθαις ὡς τὰ πολλὰ εἰσιν ἱπποτοξόται, κατὰ συμμαχίαν παρόντας πρὸς ἔκπληξιν τῇ Σκυθικῇ σάλπιγγι χρῆσθαι, οἷς θαῤῥοῦντα καὶ Ἀλέξανδρον προθύμως πρὸς τὸν πόλεμον χωρεῖν, ἀντεπῄει καὶ αὐτὸς θαῤῥῶν. Ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων ἦσαν ὅσον ὁρᾶσθαι, ὅ τε ἥλιος τὸν ὁρίζοντα ὑπερβάς, ἐνεργεστέραν ταῖς ὄψεσι τὴν δύναμιν παρεῖχε, τότ' ἤδη καθαρῶς ἐφαίνετο Σκυθικὴ εἶναι ἡ ἐποιοῦσα στρατιά· οὐ γὰρ ἦσαν τεταγμένοι μετὰ τῶν Μυσῶν, ἀλλ' ἰδίαν αὐτοὶ ἐπεῖχον τάξιν. Ἐπεὶ δὲ ἐγγὺς ἦσαν ὅσον ἐμβαλεῖν, οἱ Σκύθαι τὸν μὲν βασιλέα μετὰ τῶν προτάκτων παρεξέκλιναν, ἐπὶ δὲ τοὺς ἐπιτάκτους ἐχώρουν· καὶ ἐτρέψαντο ἀντισχόντας ἐπ' ὀλίγον· καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι Ῥωσοκάστρου. Ἐκεῖ

Digitized by Google Распознавание текста ABK/FR

δὲ συστραφέντες οἱ Ῥωμαῖοι, ἠμύνοντο τοὺς βαρβάρους ἔξω τῶν τειχῶν. Βασιλεὺς δὲ ἅμα ταῖς προτεταγμέναις ἔξ φάλαγξι, καίτοι τῶν ὀπίσω τετραμμένων εἰς φυγήν, οὐδὲν μᾶλλον ὑπεχώρησεν. Ἀλλ' ἦει κατευθὺ Μυσῶν, καὶ συνέβαλον ὀλίγοι πρὸς πολλαπλασίους. Μάχης δὲ καρτερωτάτης ἐφ' ἱκανὸν γεγενημένης, καὶ χειρὸς ἔργα καὶ τόλμης ἄξια πολλὰ τῶν Ῥωμαίων ἐπιδειξαμένων, τέλος ὑπὸ τοῦ πλήθους τῶν Μυσῶν ἐκβιαζόμενοι καὶ ἐν κινδύνῳ ἤδη καθεστῶτες, ὑπεχώρησαν ὀπίσω. Βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ Ἀσάνῃ τῷ Μανουὴλ τῷ τῆς μεγάλου δομεστίκου γυναικὸς ἀδελφῷ (ὃς τῆς βασιλικῆς τάξεων ἦρχε, καὶ ἑτέρους ἄγων πεντήκοντα ἐκ τῶν ἐπιφανῶν λογάδας) πρῶτα μὲν ἐτρέψαντο τοὺς κατ' αὐτούς. Ἔπειτα σφοδροῦ προσερρυηκότος τοῦ πολέμου καὶ πολλῶν περιχυθέντων, οὐκ ἠδυνήθησαν τηρῆσαι τὸν συνασπισμὸν, ἀλλὰ διαλυθέντες ὡς ἠδύναντο ἕκαστος, ἀνεχώρουν· τῶν δύο μόνων ὑπολελειμμένων, βασιλέως καὶ μεγάλου δομεστίκου ἐν ταὐτῷ· κἀκεῖνοι δὲ διαιρεθέντες ἐπ' ὀλίγου, πάλιν τάχιστα εἰς ἓν συνῆλθον, ὡς καὶ τὸν μέγαν δομέστικον εἰπεῖν πρὸς βασιλέα· Καιρὸς εὐψυχίας καὶ τόλμης, ὦ βασιλεῦ· χρῶ τοίνυν τῇ χειρὶ, καὶ ἄξια ἔργα ἐπιδείκνυσο σαυτοῦ· τὸν δ' ἀποκρίνασθαι, Μηδὲν ὄφελος εἶναι τῆς ἀνδρίας καὶ τῆς τόλμης τῆς αὐτοῦ, τῶν ἄλλων ἁπάντων τετραμμένων εἰς φυγήν· ὅμως βασιλεύς τε καὶ ὅσοι εἰς χεῖρας ἦλθον τοῖς Μυσοῖς, καίτοι καὶ γενομένης τῆς τροπῆς οὐ νῶτα βάλλεσθαι παρέσχον φεύγοντες ἀμεταστρεπτί· ἀλλ' ἀμυνόμενοι καὶ περισώζοντες ἑαυτοὺς, ἦλθον ἄχρι Ῥωσοκάστρου· ἐκεῖ δὲ τῇ λοιπῇ στρατιᾷ γενόμενοι εἰς ἓν, ἠμύνοντο ὁμοῦ προθύμως πρός τε Σκύθας καὶ Μυσοὺς ἄχρι τρίτης τῆς ἡμέρας ὥρας· μηδὲν δὲ πλέον οἱ βάρβαροι δυνάμενοι ἀνῦσαι, οὐδὲ γὰρ αὐτὸς Ῥωσοκράστου ἴσχυσαν βιάσασθαι ἐλθεῖν, διαλυθέντες εἰς στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον. Ἔπεσον δὲ παρὰ τὴν μάχην καὶ ἐζωγρήθησαν, Ῥωμαίων, ἀπὸ μὲν τῶν ἱππέων, ἑπτὰ καὶ τριάκοντα, ὧν ἦσαν ἐξ τῆς τάξεως τῆς βασιλικῆς· πεζοὶ δὲ, πέντε πρὸς τοῖς ἑξήκοντα· καὶ τούτων οἱ πλείους, ἢ σύμπαντες σχεδὸν ὑπὸ τῶν Σκυθῶν ἑάλωσαν ἢ ἀπέθανον. Ἀπέθανον δὲ καὶ ἀπὸ τῶν Μυσῶν ὀλίγῳ πλείους τῶν Ῥωμαίων. Πλὴν ἡ νίκη φανερῶς προσεγένετο τοῖς Μυσοῖς διὰ τὸ μὴ τοὺς Ῥωμαίους ἀντισχεῖν, ἀλλὰ τραπέντας ἀτάκτως εἰς Ῥωσόκαστρον ἐλθεῖν. Περὶ δὲ μεσημβρίαν τῆς αὐτῆς ἡμέρας, Ἀλέξανδρος ὁ τῶν Μυσῶν βασιλεὺς, τῶν παρ' αὐτῷ ἐπιφανῶν τὸν Ἰβάνην πέμψας πρὸς βασιλέα πρεσβευτὴν, ἠξίου τὰς γεγενημένας τῇ προτεραίᾳ

A in Mœsos ibat, confligebantque pauci cum multo pluribus. Cum in longa et acerrima pugna Romani strenue dimicassent, multaque virilia facinora edidissent, postremo Mœsorum multitudine vehementius instante, et præsenti periculo cogente, **285** retrocesserunt. Ast imperator cum magno domestico, et Manuele Asane fratre uxoris domestici (qui imperatoriam regebat aciem, et alios de nobilibus quinquaginta sejectos ducebat) primum quidem in se irruentes fugaverunt. Post ingravescente certamine, multis circumfusis, cum testudinem servare amplius nequirent (35), dispersi, quisque ut potuit fugerunt, imperatore et magno domestico simul relictis, qui paulum disjuncti, rursus et celerrime coierunt, ut domesticos impe-

B ratorem sic compellaret : Nunc tempus est audendi viriliter ; nunc utere dextra, imperator, et quæ tua persona digna sunt, perpetra. Qui virtutis suæ nullum fore fructum respondit, quandoquidem cæteri omnes in fugam se dedissent. Nihilominus et ipse, et quotquot cum Mœsis manus contulerant, quanquam fugerent, non tamen sine ulla conversione terga ad vulnera insequentibus præbebant : verum a fronte nihilo minus se tuentes (36), Rhosocastrumque pervenientes, conjuncti cum reliquis, simul contra Scythas atque Mœsos usque ad horam tertiam prœliabantur alacriter. Barbari quia nihil agebant (nec enim per vim Rhosocastrum irrumpere poterant) palantes in tentoria sua

C reverterunt. Ceciderunt captique sunt de Romanis equites quidem septem et triginta, et hi ex turma imperatoria : pedites quini et sexageni, paucis occisis, pene omnes a Scythis capti sunt. E Mœsis paulo plures Romanis occubuerunt. Cæterum victoria sine controversia penes Mœsos stetit, propterea quod Romani non resistentes, vage et sparsim Rhosocastrum fugerunt. Circa meridiem Alexander Mœsorum rex de proceribus suæ gentis Ibanem seu Joannem ad imperatorem legat, et ut fœdus pridie susceptum valeat, atque ad amicitiam securitatemque augendam filiam suam ipsius filio

D despondeat, precatur. Cui imperator, manere fœdus sibi quoque non displicere, siquidem et prius non necessitatis, sed utilitatis causa compositam pacem existimaret, affinitatis conjunctionem in præsentia nolle ; neminem enim aliter judicaturum, quam vel necessitate, vel timore, quia ab illo victus sit, conciliatam : etsi non ob aliud fu-

Jacobi Pontani notæ.

(35) Συνασπισμὸς, quasi dicas, *consculatio*, est, quam nos testudinem appellamus in oppugnationibus urbium. Interpretatur idem Turneb. 7, cap. 8, his verbis : *Faciebat eam exercitus, se tegumentis scutorum undique operiens, at testudo est suo obducta tutamine, eaque specie referebat tectum ædificiorum : sic autem se operiebant crate perpetua clypeorum adversus sagittas Parthorum, et adversus omnia missilia superne cadentia, cum urbem oppugnabant.* Plura in symbolis nostris ad illud II Æneid.

.....obsessumque acta testudine limen.

(36) Genus fugæ, retrocedere, interimque contra hostem insequentem se defendere, in qua fuga plus animi quam timoris inest. Sic Trojanis instantibus fugit Turnus, IX *Æneid.* et in eo leonem imitatur.

Acrius hoc Teucri clamore incumbere magno,
Et glomerare manum, ceu sævum turba leonem
Cum telis premit infensis ; at territus ille,
Asper, acerba tuens, retro redit ; et neque terga
Ira dare, aut virtus patitur, nec tendere contra
Ille quidem, hoc cupiens, potis est, per tela virosque :
Haud aliter retro dubius vestigia Turnus
Improperata refert, et mens exæstuat ira.

Digitized by Google Распознавание текста ABK/FR

gerint, quam quod pauci pluribus pares esse non potuerint. In amissione autem suorum nullum esse discrimen ; imo ipsos plures amisisse. Sed ne victus ab illis habeatur, nolle nunc affinitatem contrahere ; pacem 286 duntaxat et fœdus non recusare ; ubi domum redierit, legationem super matrimonio missurum, et quod sibi re discussa expedire visum fuerit, in tranquillitate et requie facturum. Ibanes cum hoc responso ad regem suum reversus, paulo post cum socio, Alexandri patruo Synadeno rediit. Caput legationis idem quod ante, disseruerunt que de affinitate ista multa probabiliter, quibus se imperatorem flexuros opinabantur. Verum is denuo in eamdem sententiam respondet, pacem quidem se amplecti, eamque fœdere interposito confirmaturum, affinitatem autem non modo, sed cum sibi placuerit ingressurum. Si igitur eadem sit illorum voluntas, quærendum de Scythis, cur illi videlicet pacem ruperint. Sin alia quædam cogitent, eant, et se quatenus libuerit comparent. Legati ut imperatorem nihil a primo immutatum animadverterunt, affinitatem ejus dixerunt regem ipsorum exoptare summopere, sibique imperasse, ut in ea concilianda nullam diligentiam prætermitterent. Sin iret in alia omnia, tum de ea sermonem in aliud tempus opportunius rejicerent, interim pacem fœdere sancirent. Paucis utrinque dictis, res convenit, eademque die inter reges fœdus jurejurando solemni more firmatum, et captivi Romanorum, ut in conditionibus expressum erat, absque pretio dimissi. Diem sequentem totum comprandendo, et de pugna pridiana confabulando exegerunt. Alexander et Mœsi Romanorum virtutem cum stupore prædicabant, qui non multi cum longe pluribus decertassent, et cum postremum agmen manus plane dedisset, nihil tamen animo fracti, quasi nihil contigisset novi, constantissimo spiritu cum hostibus concurrissent, compulsique postea ab instantium catervis, ita recessissent, ut non fugam spectarent, sed abeuntes se defenderent, quod illis ad salutem sane multum profuit. Et asseverabat Alexander, sacramento addito, si adhuc aliquantisper in eo statu res durasset, nec fugissent Romani, sustineri non potuisse, sed Mœsos eorum virtute ac tolerantia, D præcipueque imperatoris attonitos, fugam arrepturos fuisse. Hæc et alia toto die colloquiis agitantes, ad vesperam inter se valedixerunt. Et Alexander quidem in regnum suum discessit, imperator Rhosocastri diebus aliquot moratus, Didymotichum inde profectus, militem dimisit.

A συνθήκας ἀλύτους μένειν, καὶ πλείονος ἕνεκα φιλίας καὶ ἀσφαλείας τῆς πρὸς τὰς σπονδὰς τὴν θυγατέρα τὴν αὐτοῦ τῷ υἱῷ ἐκείνου κατεγγυῆσαι. Βασιλεὺς δὲ τὸ μὲν τελεσθῆναι τὰς γεγενημένας σπονδὰς καὶ αὐτῷ εἶναι ἀπεκρίνατο κατὰ γνώμην, ἐπεὶ καὶ πρότερον, οὐ πρὸς ἀνάγκην, ἀλλὰ διὰ τὸ λυσιτελεῖν νομίζειν τὴν εἰρήνην γεγενῆσθαι· τὴν δὲ συγγένειαν μὴ βούλεσθαι· δόξαι γὰρ ἂν πᾶσι δι' ἀνάγκην ἢ φόβον τοιαῦτα πράττειν οἷα δὴ νενικημένον ὑπὸ σοῦ· καίτοι τὸ μὲν τραπῆναι συμβέβηκεν ἡμῖν μόνοις ὑπὸ πλειόνων βιασθεῖσιν. Ἀποστερήσει δὲ τῶν οἰκείων οὐδὲν διενηνόχαμεν ἀλλήλων. Πλείους γὰρ ἀπεβάλετε ὑμεῖς· ὅμως αὐτοῦ γε ἕνεκα τοῦ ἠσσῆσθαι δοκεῖν ἡμᾶς, οὐ βούλομαι τὴν συγγένειαν ποιήσασθαι νυνὶ, ἀλλ' εἰρήνην μόνον καὶ σπονδάς· ἀναστρέψαντι δὲ B εἰς τὴν οἰκείαν, πρεσβείαν περὶ τῆς ἐπιγαμίας ποιεῖσθαι· καὶ σκεψαμένῳ ὅ τι ἂν λυσιτελεῖν δοκοίη καθ' ἡσυχίαν πράττειν. Ἰβάνης μὲν οὖν ἐπανῆλθεν ὡς βασιλέα τὸν οἰκεῖον, τὰς ἀποκρίσεις τοῦ Ῥωμαίων βασιλέως ἄγων· καὶ μετὰ μικρὸν ἐπανῆλθε πάλιν ἄγων καὶ συμπρεσβευτὴν τὸν Ἀλεξάνδρου τοῦ βασιλέως θεῖον Συναζηνόν, τὰ ἴσα πρεσβεύοντα καὶ αὖθις, περί τε τοῦ κήδους πολλὰ διαλεγόμενοι ἐπαγωγὰ, ἐξ ὧν ᾤοντο τὸν βασιλέα πεῖσαι· ὁ βασιλεὺς δὲ τοῖς προτέροις καὶ αὖθις ἐχρῆτο λόγοις, καὶ τὴν μὲν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, καὶ θέσθαι βούλεσθαι περὶ αὐτῆς σπονδὰς, τὴν συγγένειαν δέ οὐ νυνὶ ποιήσειν, ἀλλ' ἐς ὕστερον ἣν αὐτῷ δοκῇ. Ἂν μὲν οὖν καὶ αὐτοῖς τὰ τοιαῦτα κατὰ γνώμην ᾖ, διαλέ- C γεσθαι περὶ τῶν συνθηκῶν, ἂν δ' ἕτερά τινα διανοῶνται, ἀπελθόντας παρασκευάζεσθαι καθ ὅ τι ἂν δοκῇ. Οἱ δ' ἐπεὶ ἐώρων βασιλέα ἀμεταστρεπτὶ τῶν ἐξ ἀρχῆς ἐχόμενον λογισμῶν, τὴν μὲν συγγένειαν τὸν αὐτῶν ἔφασαν βασιλέα περὶ πλείστου ποιεῖσθαι, καὶ αὐτοῖς προστεταχέναι περὶ ἐκείνης πᾶσαν ἐπιδείξασθαι σπουδήν· ἂν δὲ μὴ προσχωροίη μηδὲ πείθοιτο ὁ βασιλεὺς, τότ' ἤδη τοὺς μὲν περὶ ἐκείνης λόγους εἰς τὸ μέλλον ὑπερθέσθαι ὡς καιρῷ τῷ προσήκοντι γενησομένους· αὐτοὺς δὲ περὶ τῆς εἰρήνης ποιεῖσθαι τὰς συνθήκας. Καὶ γενομένων παρ' ἀμφοτέρων λόγων οὐ πολλῶν, συνέβησάν τε, καὶ τὰς σπονδὰς ἐποιήσαντο αὐθημερόν· καὶ ὅρκους ἐποιήσαντο ἐπ' αὐταῖς οἱ βασιλεῖς κατὰ τὸ ἔθος, καὶ τοὺς περιόντας τῶν Ῥωμαίων δοριαλώτους ἔλυσαν D ἄνευ λύτρων· οὕτω γὰρ ἦν ταῖς συνθήκαις εἰρημένον. Εἰς τὴν ὑστεραίαν τε γενόμενοι ἐν ταὐτῷ συνηριστήσάν τε ἀλλήλοις καὶ συνδιέτριψαν διὰ πάσης τῆς ἡμέρας περὶ τῶν γεγενημένων τῇ προτεραίᾳ κατὰ τὴν μάχην ὁμιλοῦντες. Ἔκπληξις γὰρ εἶχεν Ἀλέξανδρόν τε καὶ Μυσοὺς τῆς Ῥωμαίων τόλμης καὶ τῆς εὐψυχίας, ὅτι ὀλίγοι πρὸς πολλαπλασίους ἀγωνιζόμενοι, καὶ τῶν μετ' αὐτοὺς τεταγμένων ἠττημένων ἤδη λαμπρῶς, οὐδὲν μᾶλλον ὑφῆκαν τῆς ἀνδρίας καὶ τῆς τόλμης· ἀλλ' ὥσπερ μηδενὸς καινοῦ γεγονότος, ἀτρέπτῳ φρονήματι συνέβαλον τοὺς πολεμίους· καὶ βιασθέντες ὑπὸ τοῦ πλήθους μετὰ ταῦτα ἐπεὶ ἀνεχώρουν, οὐ πρὸς φυγὴν παντάπασιν ἀπεῖδον, ἀλλ' ἡμύνοντο ἀπιόντες, ὅπερ καὶ μάλιστα διέσωσεν αὐτούς. Διεβεβαιοῦτό τε Ἀλέξανδρος καὶ ὅρκους προστιθείς, ὡς εἰ χρόνον τινὰ ἔτι ἐνέμειναν μικρὸν ἐπὶ τοῦ χρήματος, καὶ μὴ ἐγένετο ἡ τροπὴ, οὐκ ἂν ὑπέμειναν αὐτοί· ἀλλ' ᾤχοντο φεύγοντες, ἐκπεπληγμένοι τὴν τόλμαν αὐτῶν καὶ τὴν καρτερίαν καὶ μάλιστα βασιλέως. Τοιαῦτα καὶ ἕτερ' ἄττα διὰ πάσης τῆς ἡμέρας ὁμιλήσαντες, πρὸς ἑσπέραν συνταξάμενοι ἀλλή-

Digitized by Google Распознавание текста ABK/FR

λεις, Ἀλέξανδρος μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασιλεὺς δὲ Ῥωσοκάστρῳ ἡμέρας ἐνδιατρίψας οὐ πολλὰς, ἅρας ἐκεῖθεν, ἦλθεν εἰς Διδυμότειχον, καὶ διέλυσε τὴν στρατιάν.

287 CAPUT XXVIII.

Amurius satrapa Persicus in Thraciam irruit. Romanus occurrit; a neutris tamen pugnæ fit initium. Persæ domum abeunt. Andronicus senior, et Xena imperatoris mater vita decedunt. Monomachus Thessaliæ gubernator ad principatum grassatur. Thessali montani imperatori obedientiam deferunt. Ad Cralem, ut amicus, inopinato venit, quicum dies septem jucunde exigit.

Καὶ μετὰ πεντεκαιδεκάτην ἡμέραν ἠγγέλλετο αὐτῷ ὡς ὁ Σμύρνης καὶ Ἐφέσου καὶ ἄλλων τῶν κατὰ τὴν Ἰωνίαν πόλεων σατράπης Ἀμοὺρ, πέντε ἄγων καὶ ἑβδομήκοντα στόλον νεῶν, τὸν Αἰγαῖον διαβαλὼν Σαμοθρᾴκῃ προσέσχε πρῶτον· κἀκεῖθεν πρὸς τὴν ἀντιπέρας ἠπειρον περαιωθεὶς, τὰ ἐκεῖ παράλια τῆς Θρᾴκης παραπλεῖ, ἄδηλος ὢν ὅποι ἀποβήσεται. Αὐτίκα τε ἐκ τῶν παρόντων ὅσους ἐνῆν συναγαγὼν, πρὸς τὰ παράλια ἐχώρει τῆς Θρᾴκης, ὡς τῷ Περσικῷ στόλῳ κώλυμα ἐσόμενος τοῦ μὴ ἀποβάντας κακοῦν τὴν χώραν. Συμβέβηκε δὲ βασιλέα τε κατὰ τὰ Κουμουτζηνὰ πόλισμα τῆς Θρᾴκης οὐ πολὺ ἀπῳκισμένον τῆς θαλάσσης αὐλίσασθαι τὴν νύκτα, καὶ Ἀμοὺρ κατὰ τὴν Πορουῦν παράλιον τῆς Θρᾴκης χώραν καταντικρὺ Κουμουτζηνῶν τὴν ἀπόβασιν ποιήσασθαι. Ἐξελθόντα τε αὐτὸν παντρατιᾷ ὡς ἐπὶ λείαν καὶ βασιλέα ἐπὶ τὸ κωλῦσαι προελθεῖν, συντυχεῖν ἀλλήλοις κατά τι χωρίον ὠνομασμένον Παναγίαν, ὃ ὕπτιον μὲν ἦν καὶ ὁμαλὸν, καὶ μάλιστα ἐπικαιρότατον ἱππεῦσι πρὸς πεζοὺς διαγωνίζεσθαι, καὶ διὰ τοῦτο βασιλεῖ παρεῖχε προθυμίαν συμπλέκεσθαι τοῖς βαρβάροις. Ἀπέτρεπε δὲ αὖθις τὸ πλῆθος τῶν Περσῶν, οὐ τρὶς καὶ τετράκις οὐδὲ δεκάκις, ἀλλὰ καὶ πλεονάκις τοσούτων ὄντων ἢ ὅσους ἦγεν αὐτὸς, καὶ διὰ τοῦτο οὔτε ἀφίστασθαι αὐτῶν ἠδύνατο ὁρῶν οὐκ ἀνέλπιστον τὴν ἐπιχείρησιν αὐτῶν· τό τε συμπλέκεσθαι ἐποιεῖτο ἐν δεινῷ, εἰ ὀλίγους ἄγων πρὸς τοσούτους διακινδυνεύοι. Ἐλπίζων δὲ ἀφίξεσθαι καὶ ἄλλην στρατιὰν ἣ ἦν προστεταγμένη πρὸς αὐτὸν ἐλθεῖν, περιέμενεν ἐκεῖ, ὡς εἰ ἀφίξοιτο τοῖς βαρβάροις συμβαλών. Οὕτω γὰρ ὁ τε μέγας δομέστικος καὶ ὁ τούτου πενθερὸς Ἀσάνης συνεβούλευεν ἐκεῖ παρών· οἵ τε βάρβαροι τῇ φύσει μὲν τοῦ τόπου οὐκ ἐθάρρουν διὰ τὸ μηδεμίαν εἶναι ἀναχώρησιν πρός τι καρτερὸν εἰ βιάζοιντο ὑπὸ τῶν ἱππέων· τῷ πλήθει δὲ ὁρῶντες ἑαυτοὺς ὑπερέχοντας πολὺ τῶν πολεμίων, ἐκαρτέρουν, μήτε ἄρχοντες αὐτοὶ πολέμου, μήτε ἀναχωροῦντες, ἵνα μὴ θάρσος παρέχωσι Ῥωμαίοις ἐπιφέρεσθαι αὐτοῖς. Οὕτω μὲν οὖν ἀμφότερα τὰ στρατεύματα εἱστήκει ἀλλήλοις ἀντιπαρατεταγμένοι, γνώμην ἔχοντες ἑκάτεροι μὴ προεπιχειρεῖν, ἀλλ' ἀμύνεσθαι τοὺς ἐπιόντας. Ἐπεὶ δὲ ἤδη περὶ δείλην ἡ ἡμέρα ἦν, οἱ βάρβαροι πρότερον Ἑλληνιστὶ πρὸς Ῥωμαίους εἶπον· Ὡς οὐ δέον ἀργοὺς οὕτω διὰ πάσης ἑστάναι τῆς ἡμέρας, ἀλλ' ἢ μάχην συνάπτειν, ἢ ἀναχωρεῖν σπονδὰς θεμένους. Μηδὲν δὲ ἀποκρινομένων τῶν Ῥωμαίων, οἱ βάρβαροι μικρὸν διαλιπόντες, ἐπυνθάνοντο πάλιν, ὅθεν εἴη τε ἡ στρατιὰ, καὶ τίς ὁ ἐξηγούμενος αὐτῆς. Κελεύσαντος δὲ βασιλέως, ἀπεκρίναντο, τὴν μὲν στρατιὰν ἐκ τῶν παρακειμένων πόλεων ἐγχωρίων εἶναι συνειλεγμένην, στρατη-

A Post diem quintum decimum nuntius venit, Amurium Smyrnæ, Ephesi, aliarumque urbium Ioniæ satrapam cum classe quinque et septuaginta navium Ægæo pelago transmisso, primum ad Samothracen appulsum, deinde ad oppositam continentem advectum, illic oram Thraciæ legere, esseque incertum, ubi descensurus sit. Extemplo igitur cum præsenti copia quanta quanta erat, ad Thraciæ littora, Persas populatione prohibiturus imperator contendit: quem Cumutzenis oppido non procul a mari pernoctare contigit, et Amurius apud Porum, locum maritimum e regione Cumutzenorum descendit. Dumque is ad prædas agendas cum omnibus suis, et imperator ad prædones cohibendos procedunt, in loco Panagia appellato, sibi occurrunt, regione plana et æquali, equitique contra peditem aptissima: id quod imperatori cupiditatem cum barbaris depræliandi injiciebat. Sed rursum ab ea mente eorumdem multitudo, non ter, quater, sed decies, imo pluries sua major, ipsum revocabat. Atque idcirco abscedere non poterat, cum in abscedentes impetum facturos credibile fieret: et confligere haud æquum judicabat, quod exiguos numero tam multis periculose objiceret. Aliam vero manum, quam venire jusserat, exspectans, illic manebat, ut ubi ea adfuisset, cum Barbaris congrederetur; id enim et magnus domesticus, et ejusdem domestici socer Asanes illic præsentes suadebant, Barbarique naturæ loci non fidebant, quod nihil erat munitum, quo se reciperent, si ab equitibus urgerentur. Cum porro se hostibus longe numerosiores viderent, durabant, neque pugnam auspicantes, neque discedentes: ne Romanis in tergis hærendi ansam porrigerent. Sic igitur ambo exercitus sibi stabant oppositi, et utrique mens eadem non prius invadere, sed invadentes repellere. Sole in occasum vergente, **288** Barbari Romanos Græce compellant: non oportere ita inertes totum diem stare, sed vel manum miscere, vel icto fœdere abire. Quibus tacentibus, Barbari parvo interjecto spatio rursum percunctantur: Unde exercitus, et quis ejus ductor. Imperatoris jussu responsum est, indigenam esse, ex oppidis in circuitu collectum. Duci autem ab eo quem imperator earumdem urbium præfectum creavisset. Tum illi, ducem se approbe nosse, quem ipsorum satrapa Amurius certiorem faciat, eos illuc sua lucra quæsitum venisse, putasseque nihil sibi ad explendum desiderium impedimento fore. Et quoniam ab ipsis impediantur, eapropter ibi totum diem consistentes re docere se

Digitized by Google Распознавание текста ABK/FR

illos non timere, sed si vellnt initium facere, se pugnaturos. Jam autem, quia lucis extremum esset, ad naves et ad castra redeundum. Si ipsis præstare videatur pugna abstinere, idem sensuros; si pugnam velint, pro viribus concertaturos. His dictis composito agmine ad naves recesserunt. Imperatori et comitibus visum sufficere tanta vastitate regionem prohibere : nec per æmulationem dum pauci cum multis dimicant, sese in discrimen conjicere, sed cum Barbari vacuis manibus discedant, amicis etiam de suis aliquot, quos Romani per agros dispersis occurrentes interemerant, ipsos quoque incruenta victoria contentos esse debere. Quocirca tanquam ex fœdere a pugna se repressserunt; et Amurius Pecis (37) naves conscendens, in Asiam, imperator Didymotichum revertit, annoque integro neque ab occidentalibus, neque ab orientalibus bello petitus est.

Post hæc mense Februario, indictione quinta decima, anno quadragesimo supra sexies millesimum et octingentesimum, Antonius imperator avus diem clausit ultimum (38), natus annos septuaginta duos (39). Deinde anno et dimidio post Xena mater Andronici junioris vitam explevit. Sub idem tempus Thessaliæ qua Botiææ confinis est, despota Gabriel Stephanus sebastocrator mortem obiit. Thessalonicæ autem tum præfecturam gerens Monomachus, vir prudentia et usu rerum insignis, in armis exercitatus, et dux egregius, occasionem Thessaliæ invadendæ et imperatori subducendæ oblatam videns, Thessalonica cum delectu quam maximo in eam principis obitu perturbatam incursavit; **289** ejus oppidula Golum, Castrin, Lycostomum cepit. Stagos vero, Tricala, Phanarium, Damasin, Elasonem, quæ in ditione Gabrielis erant, et alia quædam castella, Acarnaniæ despota Joannes dux antea per deditionem occuparat, iisque præsidio firmatis in Acarnaniam reverterat. Imperator rerum Thessalicarum nuntiis excitus eo proficiscendum statuit; pauloque post veniens omnia quæ dux subegerat recepit, ejectosque præsidiarios inoffen-

καὶ μὴ διὰ φιλονεικίαν ἑαυτοὺς εἰς κίνδυνον ἐμβάλλειν, ὀλίγους συμπλεκομένους πρὸς πολλούς. Ἀλλ' ἐπεὶ κεναῖς χερσὶν οἱ βάρβαροι ἀπήλλαξαν καὶ τῶν ἰδίων τινὰς ἀποβαλόντες (τινὰς γὰρ αὐτῶν ἀπέκτειναν οἱ Ῥωμαῖοι, περί τι χωρίον ἐσκεδασμένους ἐντυχόντες), ἀγαπᾷν καὶ αὐτοὺς ἀναιμωτὶ τὴν νίκην καρπουμένους. Διὸ καὶ ὥσπερ ἀπὸ συνθήκης ἀπέσχοντο τῆς μάχης. Καὶ Ἀμούρπεκις μὲν ταῖς ναυσὶν ἐμβὰς, ἀπέπλει πρὸς Ἀσίαν· βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐπανῆκε, καὶ διήγαγεν ἐνιαυτὸν, μήτε ἀπὸ τῶν ἑσπερίων, μήτε τῶν ἑῴων βαρβάρων πόλεμον μηδένα ἔχων.

Μετὰ δὲ τοῦτο, μηνὶ Φεβρουαρίῳ ἰνδικτιῶνι πέμπτῃ ἐπὶ δέκα, ἔτει τεσσαρακοστῷ ἐπὶ ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, Ἀντώνιος ἐτελεύτησεν ὁ βασιλεὺς, δύο καὶ ἑβδομήκοντα ἔτη γεγονώς. Καὶ μετὰ ἥμισυν καὶ ἕνα ἐνιαυτὸν ἀπὸ τῆς βασιλέως τελευτῆς, ἡ Ἀνδρονίκου τοῦ βασιλέως μήτηρ βασιλὶς ἡ Ξένη ἐτελεύτησεν. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους μετὰ μικρὸν καὶ ὁ Θετταλίας δεσπόζων τῆς ὁμόρου τῇ Βοτιαίᾳ Γαβριηλόπουλος Στέφανος ὁ σεβαστοκράτωρ ἐτεθνήκει. Θεσσαλονίκης δὲ ἐπιτροπεύων ἐν τῷ τότε ὕπαρχος ὁ Μονομάχος, συνέσει τε ἀγαθὸς καὶ πράγμασιν εἰδὼς χρῆσθαι, τά τε κατὰ τὰς στρατείας ἐξησκημένος, καὶ στρατηγεῖν ἱκανὸς, συνιδὼν καιρὸν εἶναι ἐπιθέσθαι Θετταλίᾳ, ὡς ἂν ὑπαγάγοι βασιλεῖ, στρατιὰν ὅσην ἐνῆν ἀθροίσας ἐκ Θεσσαλονίκης, ἐσέβαλεν εἰς αὐτὴν, οὖσαν τεταραγμένην διὰ τὴν τοῦ δεσπόζοντος τελευτήν. Καὶ εἷλε τόν τε Γόλον, καὶ Καστρίν, καὶ Λυκόστομον πολίσματα αὐτῆς. Σταγοὺς δὲ, καὶ Τρίκαλα, καὶ Φανάριον καὶ Δαμάσιν, καὶ Ἐλασῶνα, ἃ ὑπὸ Γαβριηλόπουλον ἐτέλουν, καὶ ἕτερα φρούριά τινα, ὁ τῆς Ἀκαρνανίας ἄρχων ὁ δεσπότης Ἰωάννης ὁ δοὺξ φθάσας παρεστήσατο ὁμολογίᾳ· καὶ κατασχὼν φρου-

Jacobi Pontani notæ.

(37) In Græco est Ἀμούρπεκις unico verbo.

(38) Anno Domini, ut vult Onuphrius, 1332. De morte ejusdem multa Gregoras. Etiam prodigia non pauca quæ antecesserint recenset, ex quibus minime omnium fidem meretur, quod de solis defectione narrat, tot dierum, quot annos vixerit, id est, septuaginta duorum, nam tot annos habet noster historicus : Gregoras quatuor supra septuaginta. Quis non putaret tanto prodigio mundum interiturum? Annos imperii ejus quidam 50, alii 60 numerant, noster 62. Næniam in obitum senioris lege, si placet, apud eumdem Gregoram. Xena autem Thessalonicæ defuncta, ibique sepulta est, cui declamatorius ille historicus similiter næniam texit.

(39) In ms. sequentia annotarat quispiam studiosus : Τρισκαιδεκάτῃ Φεβρουαρίου περὶ ὥραν ιβ' τῆς νυκτὸς, ἐν μοναχῶν σχήματι διαγαγὼν ἐνιαυτοὺς δύο παρ' ὀλίγον, προαπεσβηκὼς καὶ τὰς κόρας ἀπὸ φυσικοῦ τινος πάθους· Id est, *Decimo tertio Februarii, circa horam noctis duodecimam [obiit] peractis duobus circiter annis in veste monastica, oculisque morbo quodam ante corruptis.* Vide Gregoram, lib. IX.

Digitized by Google Распознавание текста ABK/FR

ραῖς, ἐπανῆλθεν εἰς Ἀκαρνανίαν. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ κατὰ Θετταλίαν, ἔγνω δεῖν ἐκεῖ παραγενέσθαι. Καὶ ὀλίγῳ ὕστερον ἧλθων, εἶλε πάντα ὅσα ὑπεποιήσατο ὁ δούξ. Καὶ τοὺς φρουροὺς ἐκβαλὼν, ἠδίκησεν οὐδὲν, ἀλλ' εὖ ποιήσας, ἀπέπεμψεν εἰς τὴν οἰκείαν. Διατρίβοντα δὲ ἐν Θετταλίᾳ βασιλέα οἱ τὰ ὀρεινὰ τῆς Θετταλίας νεμόμενοι Ἀλβανοὶ ἀβασίλευτοι Μαλακάσιοι καὶ Μπούϊοι καὶ Μεσαρῖται ἀπὸ τῶν φυλάρχων προσαγορευόμεναι περὶ δισχιλίους καὶ μυρίους ὄντες, προσεκύνησαν ἐλθόντες καὶ ὑπέσχοντο δουλεύσειν. Ἐδεδοίκεσαν γὰρ μὴ χειμῶνος ἐπελθόντος διαφθαρῶσιν ὑπὸ τῶν Ῥωμαίων, ἅτε πόλιν οἰκοῦντες οὐδεμίαν, ἀλλ' ὄρεσιν ἐνδιατρίβοντες καὶ χωρίοις δυσπροσόδοις, ὧν ἀναχωροῦντες τοῦ χειμῶνος διὰ τὸ κρύος καὶ τὴν χιόνα ἄπιστόν τινα ἐν τοῖς ὄρεσιν ἐκείνοις νιφομένην, εὐεπιχείρητοι ἔσεσθαι ἐδόκουν. Βασιλεὺς δὲ ἐκεῖθεν ἀναζεύξας ἦλθεν εἰς Θεσσαλονίκην. Καὶ μετ' οὐ πολλὰς ἡμέρας πρεσβείαν πρὸς αὐτὸν ὁ Κράλης πεπομφὼς, ἠξίου καθ' ὃν ἂν δοκοίη τόπον γενομένους ἐν ταὐτῷ φιλίας ἕνεκα, ἀλλήλοις τε συνησθῆναι καὶ ὁμιλίας τῆς ἀλλήλων καὶ συντυχίας ἀπολαῦσαι. Ἐπεὶ δὲ καὶ βασιλεῖ τοῦτο ἐδόκει κατὰ γνώμην, καὶ ἐπένευε πρὸς τὴν ἀξίωσιν, συνέθεντο μετὰ τῶν πρέσβεων ἐν Βαΐμι τὴν ἕνωσιν γενέσθαι χωρίῳ Μακεδονικῷ. Ὁ Κράλης μὲν οὖν, ἐπεὶ ἐπύθετο τὸ σύνθημα, ἐκ τῆς οἰκείας ὁρμηθεὶς πρὸς τὸ συντεθειμένον χωρίον ἦει. Βασιλεὺς δ' ὥσπερ ἔκπληξίν τινα βουληθεὶς τῷ Κράλῃ ἐμποιῆσαι, ἢ μᾶλλον ἀδόλου καὶ καθαρᾶς φιλίας πίστεις παρασχεῖν, τὸ μετὰ παρασκευῆς καὶ ἀντιῤῥόπου στρατιᾶς εἰς τὸν ὡρισμένον τόπον ἐλθεῖν καταλιπὼν, τριακοσίους τῶν ἰδίων ἀπολεξάμενος, καὶ ἐκ τῶν ἐπιφανῶν τινας ὀλίγους χωρὶς τῶν πρὸς ὑπηρεσίας τεταγμένων, ἔτι περὶ μέσην τὴν οἰκείαν διατρίβοντι τῷ Κράλῃ κατὰ τὸ Ῥαδοβόσδιον προσαγορευόμενον, ἠγγέλλετο ὁ βασιλεὺς ἐξαίφνης προσιών. Πρῶτα μὲν οὖν ἐθορυβήθη δείσας τὴν βασιλέως ἔφοδον μὴ οὐ κατὰ φιλίαν εἴη· ὡς δὲ ἐπύθετο τὸν ἀριθμὸν τῶν ἑπομένων, καὶ τὴν γνώμην βασιλέως ἣν ἔχων μετὰ τοσούτων ἥκει, ὑπερηγάσθη τε τὸν βασιλέα τῆς ἀδόλου γνώμης καὶ τῆς πρὸς τοὺς φίλους ἐλευθερίας, καὶ συνήδετο ἑαυτῷ τοιοῦτον κτησαμένῳ φίλον. Εἰστιασέ τε αὐτὸν φιλοτίμως μάλα καὶ βασιλικῶς, καὶ παρακατέσχεν ἑαυτῷ ἐφ' ἡμέραις ἑπτά. Πολλήν τε ἐπιδειξάμενος φιλοφροσύνην, καὶ μετρίως ἐς τὰ μάλιστα καὶ οἷα δεσπότῃ προσενεχθεὶς τῷ βασιλεῖ μετὰ τὴν ἑβδόμην, αὐτὸς μὲν ὑπελείπετο εἰς τὴν οἰκείαν, βασιλέα δὲ χαίρων χαίροντα οἴκαδε ἀπέπεμπε. Κατὰ ταύτην δὲ τὴν συντυχίαν καὶ μεγάλῳ δομεστίκῳ ἐγένετο πρὸς Κράλην φιλία ἰσχυρὰ πεῖραν ἑαυτοῦ παρασχομένῳ.

sos, et recte quidem, domum remisit. Versantem in Thessalia imperatorem, qui montana ejus nullo rege incolunt Albani (40), Malacasii, Bovii, et Mesaritæ a tribunis sic cognominati, ad duodecim millia, salutatum venerunt, et sua eidem obsequia detulerunt; timebant enim ne per hiemem præsentem a Romanis delerentur, utpote urbem nullam habitantes, sed in montosis et inviis victitantes, a quibus per hiberna propter frigus et nives in montibus illis altissimas digressi, facile opprimi se posse arbitrabantur. Imperator inde Thessalonicam repetivit. Brevi intervallo Crales per legatos petit, ut in quo placeret loco, amicitiæ, hilaritatis, et commercii, collocutionumque causa convenirent. Cum idem optaret imperator, petitioni annuit, et cum legatis Baimam (41) castellum Macedoniæ nominavit. Ita convenisse intelligens Crales, eodem e sua provincia proficisci maturavit. Imperator velut terrefacere Cralem, seu potius germanæ ac sincerae amicitiæ argumentum exhibere volens, in locum definitum cum apparatu et comitatu se digno venire omittens, delectis trecentis, et paucis de nobilitate (præter ministros et caculas videlicet) adhuc prope in medio regionis, Rhadobosdii repentino adventu suo eum oppressit. Crales hujus inexspectati adventus nuntio primum conterritus timuit ne fide non bona secum ageretur. Ut autem de numero qui sequeretur, et quo fine cum tam paucis advenisset, cognovit, imperatorem de candore et libertate erga amicos magnopere admiratus, sibique de tali amico gratulatus est; epulisque splendide et regaliter acceptum dies septem apud se detinuit, humanissimeque, et summa cum submissione, ac tanquam dominum suum tractatum, **290** ipse domi manens a se gaudens gaudentem dimisit. In hoc conventu etiam magnus domesticus cum specimen ingenii ac morum suorum præbuisset, firma cum Crale amicitia copulatus est.

CAPUT XXIX.

Dominicus quidam Genuensis Lesbum insulam occupat. Facinus Galatensibus imperator exprobrans cum classe eo contendit. Delii a Dominico deficiunt: reliqui confligere cum Romanis pertimescunt. Pincerna ad Mitylenen oppugnandam relinquitur; cætera oppida se Romanis dedunt. A Sarchane Satrapa ad Phocæam et Mitylenen obsidendas petitur auxilium, cum promissione liberandorum obsidum. Phocæenses acerrime se defendunt. Cheter, Amur et Sulaimasas filii satrapæ Ioniæ fidem ei suam pollicentur. Nobilium Romanorum clandestina perfidia.

Βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν, καὶ οὐ πολὺ ἐνδιατρίψας, ἦκεν εἰς Βυζάντιον. Καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον ἠγγέλλετο, ὡς Δομένι-

Imperator Thessalonicam, et paucis diebus Byzantium venit: ubi audit Dominicum Andreæ Cattaniæ (42) filium, qui suo beneficio Phocæam

Jacobi Pontani notæ.

(40) De his Albanis et aliis inferioribus Chalcocondylas, lib. VII.

(41) *In hoc ms. est* Baimi.

(42) Gregoræ dicitur *Cutanes*.

Digitized by Google Распознавание текста ABK/FR

novam obtinebat (43), patre divite mortuo hæreditatem crevisse ; et opibus inflatum, Lesbo Romanis erepta, proprium sibi principatum instituere meditatum (44). Is Genua undecim triremibus sumptu suo adornatis (45), e Sicilia una sibi adjuncta, et a Deliis quinque impetratis, bello non indicto, Lesbum adnavigabat. Ac Mitylenæos quidem, utpote imparatos insperatoque casu perterritos expugnavit, et reliqua quotquot erant per insulam oppidula in potestatem redegit. Eressum et Methymnam tentavit ille quidem, sed perspecta suarum imbecillitate virium abstinuit ; hodieque hæc sola oppida in fide et subjectione imperatoris manent. His itaque de Lesbo ad se perlatis, imperator Galatæis Genuensium colonis improbissimum facinus et rerum novarum molitionem exprobrat : Deum hominesque testes appellans, eos pacta inter Romanos et ipsorum populum ac senatum privata nequitia calliditateque violare : unde non detrimenta solum, sed etiam labores et pericula Romanorum imperatoribus creent. Quibus ne ipsi quidem, quasi immerito accusarentur, habebant quod opponerent. Ipse vero totis viginti diebus, quatuor et octoginta navium classem instruxit, quarum quatuor et viginti biremes et trimeres, cæteræ unir mes erant ; onerariæ item, peditem, commeatum, et alia exercitui necessaria portantes sequebantur. Paratis plane omnibus, Byzantio Lesbum solvunt. **291** Ubi Callipolin juxta Hellespontum delati sunt, præsentes ibidem e Lesbo Latinorum speculatores, longa et celeri nave imperatoris adventu explorato, per eam celeritatem et summam in navigando festinationem primi adfuturum nuntiarunt. Genuensibus navium numerum nescientibus, placuit cum imperatoria classe fortunam experiri ; jamque se ad nauticum certamen accingebant. Id aspicientes Delii, navarcho suo sensum suum aperiunt, affirmantique, contra quemvis mortalem potius, quam contra Romanorum imperatorem arma ferre posse. Quare ante pugnam se illi voluntatem suam detegere, ut quamprimum quæ in rem sint decernat, et ne turpiter atque

κος ὁ Ἀνδρέου τοῦ Κατάνια, ὃς τῆς νέας Φωκαίας ἦρχε, βασιλέως παραδόντος κατὰ χάριν, τοῦ πατρὸς αὐτῷ ἀποθανόντος, κληρονόμος τῆς οὐσίας καταστάς, πλούτιος δὲ ἦν, τοῖς χρήμασι φυσηθείς, Λέσβον διανοηθεὶς Ῥωμαίων ἀφελόμενος, ἰδίαν ἑαυτῷ περιποιήσασθαι ἡγεμονίαν. Μίαν καὶ δέκα ἐκ Γενούας οἰκείοις χρήμασι πληρώσας τριήρεις, καὶ ἐκ Σικελίας μίαν προσεταιρισάμενος, Δηλίους τε πείσας πέντε παρασχεῖν, ἀκηρύκτως ἐπέπλευσε Λεσβίοις, καὶ Μιτυληναίους μὲν εἶλε τειχομαχίᾳ, ἀπαρασκεύοις προσπεσών, καὶ καταπλήξας τῷ ἀπροσδοκήτῳ· ἐκράτησε δὲ καὶ τῶν ἄλλων φρουρίων συμπάντων ὅσα ἦν κατὰ τὴν νῆσον· Ἐρεσσοῦ δὲ καὶ Μηθύμνης ἀπεπείρασαν μὲν, ἧττους δὲ ὀφθέντες τῶν τειχῶν, ἀπέσχοντο, καὶ νῦν ταῦτα μόνα τὴν πρὸς βασιλέα εὔνοιαν καὶ δουλείαν ἀποσώζει. Τοιαῦτα περὶ Λέσβου πυθόμενος ὁ βασιλεὺς, Λατίνοις μὲν τοῖς κατὰ Γαλατᾶν ἀποίκοις οὖσι Γενουϊτῶν πολλὴν ὠνείδισε τὴν πονηρίαν καὶ τὴν νεωτεροποιΐαν, καὶ διεμαρτύρατο ὅτι παρὰ τὰ συγκείμενα Ῥωμαίοις καὶ αὐτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ, οἰκείᾳ χρώμενοι μοχθηρίᾳ καὶ πανουργίᾳ πράττουσιν, ἐξ ὧν οὐ ζημίας μόνον, ἀλλὰ καὶ πόνους καὶ κινδύνους τοῖς Ῥωμαίων βασιλεῦσι προξενοῦσιν. Οἷς οὐδὲ αὐτοὶ εἶχον ἀντειπεῖν ὡς δικαίως οὐ κατηγοροῦνται· αὐτὸς δὲ ἐν ἡμέραις εἴκοσι ταῖς πάσαις τεττάρων καὶ ὀγδοήκοντα νεῶν στόλον ἐξηρτύετο, ὧν ἦσαν αἱ τέτταρες καὶ τετταράκοντα διήρεις καὶ τριήρεις· αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. Εἵποντο δὲ καὶ νῆες φορτηγοὶ ἄγουσαί τε στρατιώτας πεζομάχους, καὶ σῖτον καὶ τὰ ἄλλα ἐπιτήδεια τῇ στρατιᾷ. Καὶ ἐπεὶ πάντα παρεσκευασμένα ἦν, καὶ οὐδὲν ἐνέδει ἔτι, ἅπαντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Λέσβον. Γενομένοις δὲ αὐτοῖς κατὰ τὴν Καλλιούπολιν τὴν πρὸς Ἑλλήσποντον, οἱ ἀπὸ τῆς Λέσβου τῶν Λατίνων σκοποὶ οἳ παρῆσαν αὐτόθι μακρᾷ νηῒ ταχυναυτούσῃ, φυλάσσοντες τὴν βασιλέως ἔφοδον, πρότεροι ἐλθόντες, διά τε ταχυτῆτα τῆς νηὸς καὶ τὸ μάλιστα ἐπισπεύδειν τὸν πλοῦν, ἐμήνυον βασιλέως τὸν ἐπίπλουν ὡς οὐ πολὺ ὕστερον ἐσόμενον. Ἐκείνοις δὲ τὸ πλῆθος μὴ εἰδόσι τῶν βασιλικῶν νεῶν, ἐδόκει μαχητέα πρὸς βασιλέα εἶναι, καὶ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Οἱ Δήλιοι δὲ ὁρῶντες αὐτοὺς παρασκευα-

Jacobi Pontani notæ.

(43) *Phocæam hæreditario jure a majoribus acceperant, ab avo imperatore eis datam, procurationis et reditus cujusdam ergo. Quamobrem certis temporibus, qui procurationem ejus accipiebant, perpetuo imperatoris litteris confirmabantur, ne qui temporis diuturnitate imperatorium dominatum detrectarent.* Ita Gregoras. Intelligis igitur, quomodo obtinuerit Phocæam Dominicus.

(44) Hanc insulam diserte describit Bizarus, historiæ Genuensis lib. XVII, qui, quod Francisco Catalusio propter fidelem sibi adversus Cantacuzenum navatam operam ab imperatore donatam Lesbum, et sororem ab eodem in matrimonium illi datam scribit, ab Ænea Sylvio hausit. Duas sorores habuit, Annam et Theodoram, quorum illa Sphentisthlabo Mœsorum regi nupta, patre Michaele adhuc vivo exstincta est ; altera prius Nicephoro Acarnaniæ despotæ uxor, postea Michaeli æque Mœsorum regi nupsit, ut ex nostra historia patet, in qua de auxilio Francisci Catalusii adversus Cantacuzenum nec verbum reperitur.

(45) Gregoras lib. X, initio : *Rhodii vero, et maritimæ Phocææ non procul a Smyrna accolæ, et Cycladum insularum princeps, consilio fraude mutato pepigerant, se Romanas insulas clam oppressuros, et ipsas imperatoris copias : veriti fortasse, ne is aliis rebus omissis, se invaderet. Itaque cum navibus quindecim Lesbum profecti, tota insula potiri non potuerunt : sed subito Mitylenes portum ingressi, urbem proditione ceperunt. Cum autem Rhodii, et Cycladum princeps, et opes diripere, et insulæ ditionem partiri vellent, Phocæensium princeps Catanes, per astum et dolum, suum præsidium in urbem induxit, illisque deceptis, eam sibi vindicavit ; inde enim totius insulæ vel sine sociis facile se potiturum esse putabat : quippe qui solus illos ambos copiis vinceret. Is enim solus octo triremes adduxerat, quas Genuæ compleverat, Rhodii vero quatuor, reliquas tres Cycladum princeps.* Vide reliqua.

Digitized by Google Распознавание текста ABBYY FR

ζομένους, ναυάρχῳ τῷ σφετέρῳ τὴν γνώμην κατάδηλον ἐποίουν, φάσκοντες ὡς πᾶσι μᾶλλον ἀνθρώποις ἢ βασιλεῖ τῷ Ῥωμαίων ὅπλα ἀνταίρειν εἶεν δυνατοί. Οὗ δὴ ἕνεκα καὶ πρὶν καταστῆναι ἐς τὴν μάχην, φανερὰν αὐτῷ τὴν βουλὴν ποιεῖν ὅπως τάχιστα τὰ δέοντα βουλεύσηται καὶ μὴ ἀναγκασθῇ φεύγειν αἰσχρῶς καὶ ἀγεννῶς, μήτε ὅπλα ἀνταιρόντων αὐτῶν μήτε ἀμυνομένων. Ὁ δὲ αὐτοὺς μὲν τῆς ἀληθείας ἕνεκα ἐπῄνεσε, καὶ χάριν ὡμολόγησε πολλήν. Δομηνίκῳ δὲ τῷ παντὸς ἄρχοντι τοῦ στόλου, καὶ τοῖς ἄλλοις ναυάρχοις τῶν Λατίνων προσελθών, οὐκ ἔφασκε δεόντως βεβουλεῦσθαι πρὶν ἀκριβῶς ἐκμαθεῖν ὁπόσας ἄγοι τριήρεις ὁ βασιλεύς, ἀπερισκέπτως πρὸς τὴν ναυμαχίαν οὕτω καὶ θρασέως χωρεῖν. Ἐὰν γὰρ συμβαίη ἡττηθῆναι, οὐδὲν ἄλλο λείπεται ἢ παντάπασι διαφθαρῆναι, πάντων τῶν ἐνθάδε πολεμίων ὄντων καὶ συνεπιθησομένων. Οὗ δὴ ἕνεκα ἐχρῆν πρότερον τὴν δύναμιν βασιλέως ἐρευνᾶν ὁπόσην ἄγει, κἂν μὲν οἷοί τε ἦτε διαναυμαχεῖν, ἂν δὲ μὴ, καταφυγήν τινα ὅπῃ σωθήσεσθε ζητεῖν. Ἐγὼ δὲ προθύμως μὲν ἂν πρὸς τὴν ναυμαχίαν συνηγωνισάμην παρὼν ὑμῖν. Δηλίους δὲ οὐδέν ἐστι τὸ πεῖσον ὅπλα ἀνταίρειν βασιλεῖ, ἀλλὰ πάντα μᾶλλον αἱρετέα, ἢ πρὸς βασιλέα αὐτοῖς πολεμητέα εἶναι λέγουσι. Διάζεσθαι μὲν οὖν οὐκ ἔξεστιν αὐτοὺς πάντας ἐπίσης τὴν ὁμοίαν γνώμην ἔχοντας. Ἔδοξε δέ μοι βέλτιον σκεψαμένῳ, πρὶν βασιλέα ἥκειν, ἀναχωρεῖν. Ἐὰν γὰρ ὀφθέντος φεύγωμεν, αἰσχύνην οὐ τὴν τυχοῦσαν προστριψόμεθα Σπιταλιώταις. Μελήσει δὲ ὑμῖν ὅπως ἂν βέλτιστα διάθησθε τὰ καθ' αὑτούς. Ὁ μὲν οὖν τῶν Δηλίων ναύαρχος, τοιαῦτα εἰπὼν καὶ συνταξάμενος αὐτοῖς, ἀπέπλευσεν εἰς Δῆλον. Δομενίκῳ δὲ καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσιν, οὐκέτι ἐδόκει ναυμαχεῖν· ἀλλὰ πέντε μὲν τῶν τριήρεων ἔπεμψαν εἰς Καλλονὴν φρούριόν τι κατὰ τὴν Λέσβον ἐπὶ τῷ σῖτόν τε εἰσαγαγεῖν καὶ φρουράν. Ἐδεδίεσαν γὰρ περὶ αὐτοῦ μὴ ὑπὸ βασιλέως ἐξ ἐπιδρομῆς ἁλῷ· αὐτοὶ δὲ ταῖς λοιπαῖς ἐφρούρουν Μιτυλήνην. Βασιλεὺς δὲ ἅμα παντὶ τῷ στόλῳ ἦλθεν εἰς Ἔρεσόν· ἐπαινέσας δὲ Ἐρεσσίους τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα, καὶ προνοίας ὅσης ἐδέοντο ἀξιώσας, ἅρας ἐκεῖθεν ἔπλει ἐπὶ Χίον. Ἀπὸ σκοπιᾶς δέ τις μέγα βοῶν, ἐπυνθάνετο περὶ στόλου ὅτων εἴη. Ἀποκριναμένων δὲ, ὡς εἴη βασιλέως, αὐτός τε πάρεστιν ὁ βασιλεύς· Αἱ δὲ ἐν τῷ κόλπῳ τῆς Καλλονῆς, ἔφη, τριήρεις τίνος; Ἐκ τοῦ λόγου δὲ συνεὶς ὁ βασιλεὺς ἐκ τῶν εἰς Μιτυλήνην οὐσῶν εἶναι φρουρούσας Καλλονὴν, ἀναστρέψας ἤλαυνεν ἐπ' ἐκείνους. Ἤδη δὲ ἐπελάβετο ἡ νύξ. Λατῖνοι δὲ ὡς εἶδον βασιλέα προσελαύνοντα, τό τε φεύγειν ἄπορον ὁρῶντες, καὶ τὸ διαγωνίζεσθαι ἀδύνατον, ἐξῶσαν εἰς τὴν γῆν τὰς ναῦς, καὶ αὐτοὶ κατεκρύβησαν ὑπὸ τὴν ὕλην, συνηρεφοῦς τοῦ τόπου πεφυκότος, ἅμα δὲ συνεργοῦντος καὶ τοῦ σκότους. Καὶ τὰς μὲν τριήρεις εἷλκυσαν κενὰς οἱ βασιλικοί. Ἀποβάντες τε καὶ διερευνησάμενοι τὴν λόχμην, ὑπὲρ ἡμίσεις αὐτῶν τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ καὶ εἷλον ζῶντας. Ὅσοι δὲ ὑπὸ σκότος ἠδυνήθησαν διαφυγεῖν, εἰς Μιτυλήνην διεσώθησαν πρὸς τοὺς οἰκείους. Βασιλεὺς δὲ ἐκεῖ πιγκέρ-

A ignaviter cogatur fugere, ipsis nec vim illaturis, nec illatam repulsuris. Navarchus eos de confessione veri collaudat, gratias magnas agit, ad Dominicum totius classis imperatorem cæterosque Latinorum navarchos accedit; non eos bonum cepisse consilium dicit, priusquam exacte didicerint, cum quot triremibus Romanus adveniat, ita improvide confidenterque navale cum ipso prælium committere. Nam si vinci contigerit, nihil superesse quam disperire funditus, cum omnes qui in insula sint, ipsorum hostes sint, unaque cum Romanis ad eorum exitium incubituri videantur. Quare imperatoris vires et potentiam prius indagandam: et si se contra non infirmos sentiant, tum demum confligendum: sin minus, salutis
B aliquod perfugium quærendum. Quod ad me attinet, inquit, cupide vobiscum ad hanc navalem pugnam aggrederer: Delios autem, ut imperatori armis resistant, nemo adducet: qui citius omnia sibi perpetienda, quam adversus eum pugnandum testantur. Cogere igitur illos fas non est, quando ex æquo omnes ita sentiunt. Mihi porro re considerata conducibilius apparet, antequam adsit imperator, recedere. Si enim ante ejus conspectum fugerimus, non qualemcunque labem Hospitalensibus inuremus. Vobis curæ erit, ut illis optime consulatur. Hæc postquam dicta dedit, eos valere jussit, ac Delum cucurrit. Dominico cæterisque ducibus non amplius fuit sententia navibus de-
C certare, sed triremes quinas quidem in castellum quoddam Lesbi, Callonem vocabulo, ad commeatum et præsidium importandum mittunt, quod ab imperatore per incursionem capium iri metuebant: ipsi cum reliquis Mitylenen tuebantur. **292** Imperator cum tota classe Eressum tenens, civium erga se studium commendavit, et eorum rebus pro necessitate prospexit: inde Chium navigavit. E specula porro quidam altum vociferans, quæsivit, cujusnam classis esset; responsum, imperatoris esse, et eum præsentem adesse. At enim quæ in sinu Callones sunt triremes, inquit, cujus sunt? E quibus verbis colligens imperator de iis esse, quæ apud Mitylenen erant, ad Callonem tuendam missæ videlicet, reversus in
D ipsas ferebatur. Jam nox rebus incubuerat, cum Latini illi imperatorem allabi cognoscentes, quia fuga nusquam patebat, et contra pugnare non dabatur, naves ad terram appellunt, et ipsi se in silva proxima, loco natura umbroso et opaco, tenebris etiam eos adjuvantibus abscondunt. Ac triremes quidem vacuas Romani trahentes, descendunt: locaque insidiosa perscrutati, supra dimidium eorum partim trucidant, partim capiunt. Qui per tenebras effugere potuerunt, Mitylenen ad suos salvi pervenerunt. Imperator, pincerna Philanthropeno ad Mitylenen pedestri et equestri manu obsidendam relicto, Phocæam cursum intendit, cui tunc Odoardus præerat. In Lesbo igitur relicti, oppida cætera ad unum in deditionem recipiunt: Mitylene

Digitized by Google Распознавание текста ABK/FR

terra marique obsidetur ; imperator missis legatis ad Sarchanem (46) orienti circum Phocæam imperantem, fœdus et societatem cum eo pepigit, ut ipse pedestri et navali subsidio se ad Phocæam et Mitylenen obsidendas adjuvaret; imperator vicissim Sulimanum Sarchanis, et reliquos Persarum filios, qui nomine obsidum apud Phocæam tenerentur, libertate donaret. Nam qui erant Phocææ Genuates, cum Sulimanum atque alios quatuor et viginti nobilium Persarum filios dolo cepissent, non se illos servitutis causa, sed ut pacis obsides haberent, cepisse aiebant. Sarchanes cum aliud non posset, ingratis pacem accepit, propter charitatem filiorum videlicet. Cum autem imperatoris promissio de libertate illis reddenda accederet, si se in bello contra Latinos prompte adjuvaret, spe libertatis id fecit, ac Phocæam per se cum pedestri et equestri copia veniens, imperatorem venerabundus salutavit, et cum eo urbem obsedit, subjectisque sibi urbibus et locis mandans, ut cibaria Phocæam adveherent, imperatoris exercitui forum uberrimum præbuit. **293** Jam quintum mensem Phocæensium ac Mitylenæorum obsidio duraverat, et Phocææ præsertim tormentis muralibus machinisque oppugnatoriis crebra erat et valida mœnium adhibita oppugnatio : nec tamen propter soliditatem, et quod Latini fortiter constanterque se tuerentur, expugnari poterat. Sed cum obsidio produceretur longius, quoniam eos commeatus jam destituebat, et hostes ab oppugnatione non ante desituros suspicabantur, quam ipsi fame, aut armis subigerentur, quiddam machinati sunt, quo se tueri diutius possent. Romanos quotquot Phocæam incolebant, unumquemque tota cum domo exegerunt : annonam corporique sustentando requisita, in arcem, præsidio a se munitam collegerunt et comportarunt : quibus victitantes, obsidionem tolerarent. Ad imperatorem apud Phocæam filii Aitinis Ioniæ (47) satrapæ, Cheterus et Armurius (quem supra in Thraciam classe devectum docuimus) et tertius Sulaimasas appellatus, amicitiæ ergo veniunt, eumque venerati, benevolentiam ac fidem pollicentur. Quos ille donis ac muneribus affectos domum remisit. In hoc rerum statu Byzantio nuntiatur, Genua sexdecim triremes alia quadam de causa Galatam appelli; quorum cum navarcho et trierarchis quidam nobiles Romani clam collocuti, donis et promissis multis eos pellexerent, ut adjunctis etiam sex aliis, quas Galatæ reperirent, et illis item sex apud Mitylenen, Phocææ ipsum imperatorem adorirentur. Talia Romanos struxisse, non ut Genuensibus consulerent, sed insidiatores et proditores factos, et imperium affectantes, unde

A νην τὸν Φιλανθρωπηνὸν καταλιπὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ τὴν Μιτυλήνην πολιορκεῖν ἀπέπλευσεν εἰς Φώκαιαν ἧς ἦρχε τῷ τότε Ντουνάρδος. Οἱ μὲν οὖν εἰς Λέσβον καταλειφθέντες, τὰ μὲν λοιπὰ φρούρια πάντα παρεστήσαντο ὁμολογίᾳ, Μιτυλήνην δὲ ναυσί τε καὶ πεζῷ περικαθήμενοι ἐπολιόρκουν. Βασιλεὺς δὲ πρεσβείαν πρὸς Σαρχάνην πέμψας, ὃς ἦρχε τῆς ἔω τῆς κατὰ τὴν Φώκαιαν, σπονδὰς ἔθετο πρὸς αὐτὸν καὶ συμμαχίαν, ὥστε Σαρχάνην μὲν ἐπικουρίαν βασιλεῖ παρασχεῖν πεζήν τε καὶ ναυτικὴν πρὸς τὴν τῆς Φωκαΐας καὶ Μιτυλήνης πολιορκίαν, βασιλέα δὲ τὸν παῖδα Σαρχάνη Σουλιμᾶν καὶ τοὺς λοιποὺς παῖδας τῶν Περσῶν, οἳ κατὰ Φώκαιαν ἐν προσχήματι ὁμήρων ἐφρουροῦντο, ἐλευθεροῦν. Οἱ γὰρ εἰς Φώκαιαν ἐκ Γεννούας Λατῖνοι δόλῳ Σουλιμὰν τὸν παῖδα Σαρχάνη καὶ τέτταρας B καὶ εἴκοσιν ἑτέρους τῶν παρὰ Πέρσαις εὐγενῶν κρατήσαντες παῖδας, ἔφασαν οὐκ ἐπὶ δουλείᾳ κεκρατηκέναι, ἀλλ' ὥστε ὁμήρους ἔχειν βεβαίας ἕνεκα εἰρήνης. Σαρχάνης δὲ μὴ ἔχων ὅ τι δράσῃ, ἠσπάζετο καὶ ἄκων τὴν εἰρήνην διὰ τὸ πρὸς τοὺς παῖδας φίλτρον. Τότε δὲ ἐπαγγειλαμένου βασιλέως ἐλευθεροῦν, ἂν συναγωνίσηται προθύμως πρὸς τὸν πόλεμον τὸν κατὰ τῶν Λατίνων, ἐλπίδι τῆς τῶν παίδων ἐλευθερίας συνήρατο πρὸς τὸν πόλεμον τῷ βασιλεῖ, καὶ εἰς Φώκαιαν καὶ αὐτὸς ἐλθὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ, προσεκύνησέ τε καὶ ἠσπάσατο βασιλέα, καὶ συνδιῆγεν αὐτῷ Φώκαιαν πολιορκῶν, παρεῖχέ τε ἀφθονον ἀγορὰν τῇ βασιλέως στρατιᾷ ταῖς ὑπ' αὐτὸν κε- C λεύσας πόλεσι καὶ χώραις τὰ ἐπιτήδεια εἰς Φώκαιαν κομίζειν. Πέμπτος μὲν οὖν ἠνύετο μὴν Φωκαέων καὶ Μιτυληναίων πολιορκουμένων· μάλιστα δὲ κατὰ τὴν Φώκαιαν συχναί τε καὶ καρτεραὶ ἐγίνοντο τειχομαχίαι, καὶ ἑλεπόλεις προσήγοντο καὶ ἄλλαι μηχαναὶ πρὸς ἅλωσιν πόλεων ἐξευρημέναι. Ἐκπολιορκῆσαι δὲ οὐκ ἠδύναντο αὐτοὺς διά τε καρτερότητα τειχῶν, καὶ τὸ εὐρώστως ἀμύνεσθαι Λατίνους καὶ μὴ ἐνδιδόναι. Μηκυνομένης δὲ τῆς πολιορκίας ἐπὶ πλέον, ἐπεὶ ὅ τε σῖτος αὐτοῖς ἐνέδει ἤδη, καὶ τὴν πολιορκίαν ὑπώπτευον οὐ ταχέως λύσειν βασιλέα πρὶν ἢ λιμῷ ἢ τειχομαχίᾳ παραστήσεται αὐτοὺς, μηχανώμενοι τὸ ἐπὶ πλείονα χρόνον ἀντισχήσειν, τοὺς μὲν Ῥωμαίους ὅσοι Φώκαιαν κατῴκουν ἐξῆλασαν πανοικεσίᾳ, αὐτοὶ δὲ τὸν σῖτον καὶ ὅσα ἕτερα ἦν D ἐπιτήδεια συναγαγόντες, εἰσήγαγον εἰς τὴν ἀκρόπολιν ἣν αὐτοὶ ἐφρούρουν, καὶ χρώμενοι αὐτοῖς ὑπέμενον τὴν πολιορκίαν. Διατρίβοντί τε κατὰ τὴν Φώκαιαν βασιλεῖ οἱ τοῦ Αἰτίνη παῖδες, ὃς ἦν σατράπης Ἰωνίας, Χετὴρ καὶ Ἀμοὺρ, ὃν φθάσαντες πρότερον εἰρήκαμεν στόλῳ καταπεπλευκέναι εἰς Θρᾴκην, καὶ τρίτος Σουλαϊμάσας ὠνομασμένος, προσῆλθόν τε κατὰ φιλίαν, καὶ προσεκύνησαν, καὶ ἐπηγγείλαντο εὔνοι ἔσεσθαι καὶ φίλοι βασιλεῖ· βασιλεύς τε αὐτοὺς τῆς εὐνοίας ἕνεκα δώροις ἀμειψά-

Jacobi Pontani notæ

(46) Fuit hic satrapa Turca, cui obtigerunt quæ a Philadelphia et Antiochia Mæandri per maritimam Ioniæ oram patent. Gregoras, lib. VII incunte.

(47) Eam infestarat Aladino etiamnum vivente.

Digitized by Google Распознавание текста ABK/FR

μενος καὶ εὐεργεσίαις, οἵκαδε ἀπέστειλεν. Ἐν τούτοις δὲ ὄντων τῶν πραγμάτων ἠγγέλλετο ἐκ Βυζαντίου βασιλεῖ ὡς ἐκ Γεννούας κατά τινα ἑτέραν χρείαν τριήρεις ἑκκαίδεκα προσέσχον Γαλατᾷ. Ὧν τῷ ναυάρχῳ καὶ τοῖς τριηράρχαις τινὲς τῶν παρὰ Ῥωμαίοις ἐπιφανῶν κρύφα διαλεχθέντες, ἔπεισαν δώροις καὶ ὑποσχέσεσι πολλαῖς προσεταιρισαμένους καὶ τὰς λοιπὰς ἐξ αἷ εἰσιν ἐγχώριοι, ἔπειτα καὶ τὰς κατὰ τὴν Μιτυλήνην ἐξ παραλαβόντας, ἐπιθέσθαι αὐτῷ κατὰ τὴν Φώκαιαν. Ταῦτα δὲ τοὺς Ῥωμαίους συνεσκευακέναι, οὐ τῆς τῶν Γεννουϊτῶν προνοίας ἕνεκα, ἀλλ' ἐπίβουλοι καὶ προβόται βασιλέως γεγενημένοι, καὶ τῆς ἀρχῆς κρατῆσαι βουληθέντες ἐξ ὧν ᾤοντο δυνήσεσθαι διαφθεῖραι ἔπραττον.

A se ipsum imperatorem vita spoliare posse arbitrarentur, id agere ac moliri.

CAPUT XXX.

Ingens Persarum auxilium. Magni domestici et Amurii Persæ satrapæ colloquium et amicitia, et illius apud hunc auctoritas. Domesticus invitatum in tabernaculum suum quemdam nobilem, Joannem Spinulam Latinum, longiore oratione allocutus, deditionem urbis suadere conatur.

Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τοιαῦτα, τήν τε οὖσαν παρεσκεύαζε δύναμιν ὡς ἦν δέῃ ναυμαχήσων, καὶ ἑτέραν ἀπὸ τῶν κατὰ τὴν Ἰωνίαν βαρβάρων προσεπορίζετο ὅση δυνατή. Καὶ Σαρχάνης μὲν τέτταρας καὶ εἴκοσι παρέσχετο ναῦς, καὶ στρατιὰν πολλὴν πεζήν τε καὶ ἱππικήν· ἡ ἐλθοῦσα, ἐστρατοπεδεύετο παρὰ τὴν Φώκαιαν· Ἀμοὺρ δὲ ὁ τοῦ Ἀϊτίνη, τοῦ μεγάλου δομεστίκου πείσαντος, τριάκοντα ναυσὶ συνεμάχει βασιλεῖ. Ὁ γὰρ μέγας δομέστικος καὶ πρότερον μὲν εἶχε πρὸς Ἀμοὺρ φιλίως, καὶ γράμμασιν αὐτῷ ὡμίλει καὶ τὴν εὔνοιαν ἐπεδείκνυτο, συνεγένετό τε καὶ ἐπὶ μικρὸν ὀλίγῳ πρότερον ὅτε κατὰ Φώκαιαν πρὸς βασιλέα ἦκε. Τότε δὲ τῆς χρείας καλούσης, πρεσβείαν πέμψας πρὸς αὐτὸν, οὐ δίκαιον ἔφασκεν εἶναι οὐδὲ καθ' ἡδονὴν αὐτῷ γράμμασι καὶ ἀγγελίαις ὥσπερ πρότερον καὶ αὖθις ὁμιλεῖν· πρότερον γὰρ αἰτίαν εἶναι τῆς τοιαύτης συντυχίας τὸ πολὺ ἀλλήλων διεστάναι. Νυνὶ δὲ ἐγγὺς διατριβόντων δίκαιον εἶναι εἴ γε καὶ αὐτῷ κατὰ γνώμην εἴη ἐν ὡρισμένῳ τινὶ τόπῳ συγγενέσθαι καὶ τῆς ἀλλήλων ὁμιλίας ἀπολαῦσαι καὶ τὴν οὖσαν ἐπιβεβαιώσασθαι φιλίαν. Ὁ μέγας μὲν οὖν δομέστικος τοιαῦτα ἐπρεσβεύετο. Ἀμοὺρ δὲ, ὡς ἤκουσεν, εὐτυχίας οὐδεμιᾶς ἐνόμισε δευτέραν τὴν περὶ τῶν τοιούτων ἀγγελίαν· ἀλλὰ τὰ μέγιστα οἰόμενος εὐεργετεῖσθαι, τῶν ἄλλων πάντων ἀμελήσας κατὰ τὰς Κλαζομενὰς γενόμενος, συνεγένετο αὐτῷ, καὶ ἀποβάντα τῶν νεῶν εἰστιασέ τε φιλοτίμως, καὶ πολλὴν ἐπεδείξατο φιλοφροσύνην. Ἐπὶ τέσσαρσι δὲ ἡμέραις ὁ μέγας δομέστικος αὐτῷ συνδιατρίψας, βασιλεῖ τε ἔπεισε προσέχειν ὡς δεσπότῃ, καὶ τῶν ὑπ' ἐκείνῳ τελούντων ἐπιφανῶν Ῥωμαίων νομίζειν ἕνα, καὶ ἑαυτῷ συνέδησεν ἀῤῥήκτοις φιλίας δεσμοῖς· τάς τε ναῦς παρῆνει πέμπειν ὡς τάχιστα βασιλεῖ δεομένῳ συμμαχίας, αἳ καὶ ἐπέμφθησαν μετ' οὐ πολύ. Καὶ Φιλαδελφεινοῖς ἐκέλευσε φίλον εἶναι καὶ σύμμαχον ἀντὶ πολεμίου, καὶ μηδένα φόρον λαμβάνειν ὃν παρεῖχοντο αὐτῷ ὅτε ἦσαν ἐν σπονδαῖς, καὶ οὐδὲν ἦν ὃ κελεύσαντος τοῦ μεγάλου δομεστίκου μὴ καθ' ἡδονὴν αὐτῷ πράττειν ἦν πρὸς τῷ καὶ χάριν εἰδέναι, καὶ τὰ μέγιστα οἴεσθαι εὐεργετεῖσθαι. Ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος συνταξάμενος Ἀμοὺρ, ἦκεν ὡς βασιλέα. Καὶ ἐπεὶ καὶ αἱ παρὰ τοῦ Σαρχάνη παρῆσαν νῆες, παρεσκευάσαντό τε πρὸς τὴν ναυμαχίαν, καὶ ἠνιῶντο ὅτι οὐ παρῆσαν οἷς ναυμαχοῦνται. Λατῖνοι δὲ, εἴτε τὴν παρασκευὴν βασιλέως δείσαντες, εἴτε καὶ διὰ τὸ

His auditis imperator et quas secum habebat copias ut ad pugnam navalem instruebat, si opus foret, et alias insuper a Barbaris ex Ionia quantas poterat conquirebat. Ac Sarchanes quidem naves quaternas et **294** vicenas, peditumque et equitum magnam vim subministravit, qui prope Phocæam tetenderunt. Amurius vero Aitinis filius, impulsu magni domestici, cum triginta navibus imperatori auxiliatum venit. Domesticus enim et ante Amurium diligebat, amoremque suum crebris ei litteris declarabat, et cum eodem ad imperatorem Phocæam veniente paulo ante familiariter congressus fuerat. Tum autem re ita jubente, legatos ad eum misit, qui dicerent, nec justum, nec sibi jucundum esse, rursum nuntiis et litteris cum eo velut ante colloqui. Nam hujuscemodi colloquiorum causam prius fuisse, quod inter se longius distarent. Nunc quoniam viciniores sint, æquum esse, si idem illi probetur, in loco aliquo certo convenire, mutuaque consuetudine frui, et susceptam confirmare amicitiam. Hæc fuit legatio magni domestici. Amurius hosce nuntios summam felicitatem interpretari, et in maximo beneficio ducere: relictisque cæteris omnibus, Clazomenis cum eo miscere colloquium, ubi de navi descendentem convivio delicatissimo adhibuit, et perhumaniter habuit. Quatriduo cum illo versatus magnus domesticus, persuasit ut imperatori non secus ac domino deditus, se unum de nobilibus Romanis ei subjectis duceret, et sibi vinculis insolubilibus hominem astrinxit. Naves autem ut quamprimum mitteret hortabatur, quod imperator suppetiis indigeret; quæ brevi missæ sunt; præterea ut Philadelphiensibus amicus et pro hoste socius esset, nullumque ab iis tributum acciperet, quod illi pendebant, cum fœderati essent. Demum nihil erat, quod hortante magno domestico non cum voluptate præstaret; quin etiam gratias habebat, et se beneficiis ornari putabat. Amurio igitur valedicens domesticus, ad imperatorem se recepit. Cum naves a Sarchane jam venissent, ad naumachiam se comparabant, dolebantque, quod quibuscum pugnarent nondum adessent. Latini vero an quod apparatu imperatoris terrerentur, an quod Romanis, a quibus incitabantur deprehensis, pavore tenerentur (magni quippe domestici mater.

Digitized by Google Распознавание текста ABBYY FR

et imperatrix (48) præcipientes insidias, quam maxime poterant palatium reliquumque imperium communiverant), depositis cogitationibus illis, dissipati sunt. Quod ut accepit imperator, submissos ab Amurio cum donativo dimisit, ipse obsidioni contentius instare cœpit; jam enim et dies urgebat, autumno appetente scilicet. **295** Dum ita per obsidionem tempus labitur, forte magnus domesticus propter portam quamdam Joannem Spinulam (49) sibi antea notum ac familiarem stare videt, hominem inter Latinos nobilem, et Romanis tinctum litteris. Hunc uti ad se nihil metuens accedat, invitat. Ille fidem habens accedit. Salutat eum domesticus, factumque inhumanum exprobrat, quod ad veterem amicum et familiarem, et tanto tempore ad portas eorum commoratum, ne semel quidem adiisset, nec pro amicitia salutare voluisset. Alia demum tempori accommodata subjungens, in præsentia domum (jam enim diei serum erat) remittit. Postridie ut redeat, si placuerit, hortatur, quo per otium de hoc bello quæ justa censuerint colloquantur. Joannes reversionem pollicitus abit.

A τοὺς ἐνάγοντας Ῥωμαίους καταφώρους γενομένους ὑποπτῆξαι (ἡ γὰρ τοῦ μεγάλου δομεστίκου μήτηρ ἅμα βασιλίδι αἰσθόμεναι τὴν ἐπιβουλήν, ὡς μάλιστα ἐνῆν ἠσφαλίσαντο τά τε βασίλεια καὶ τὴν ἄλλην ἀρχήν), ἀποσχόμενοι ὧν διενοοῦντο, διελύθησαν. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο διαλυθέντας, τοὺς μὲν παρὰ τοῦ Ἀμοὺρ παρόντας κατὰ συμμαχίαν ἀπέστειλεν εὐεργετήσας· αὐτὸς δὲ συντονώτερον εἶχετο τῆς πολιορκίας· ἤδη γὰρ καὶ ὁ καιρὸς ἤπειγε, περὶ φθινόπωρον ὤν. Τριβομένου δὲ τοῦ χρόνου κατὰ τὴν πολιορκίαν, συμβέβηκε τὸν μέγαν δομέστικον παρὰ τὴν τῆς Φωκαΐας πύλην ἰδεῖν ἑστῶτα Ντζουάν ντὲ Σπινιά τινα ὠνομασμένον, ὃς ἦν αὐτῷ γνώριμος πρότερον καὶ συνήθης, ἔκ τε τῶν παρὰ Λατίνοις ἐπιφανῶν ὄντα, καὶ παιδείας τῆς παρὰ Ῥωμαίοις B ἱκανῶς μετεσχηκότα. Καὶ πέμψας αὐτὸν μετεκαλεῖτο, κελεύων ἥκειν πρὸς αὐτὸν μηδὲν ὑποπτεύοντα δεινόν. Ὁ δ' ἦκεν εὐθὺς πεισθείς. Προσαγορεύσας δὲ ὁ μέγας δομέστικος αὐτὸν, καὶ ἀγνωμοσύνην ἐγκαλέσας, ὅτι φίλον ἀρχαῖον ὄντα καὶ συνήθη, καὶ τοσοῦτον ἤδη χρόνον διατρίβοντα πρὸς ταῖς πύλαις ταῖς αὐτῶν οὐδὲ ἅπαξ πρὸς αὐτὸν ἠθέλησεν ἐλθεῖν, οὐδὲ ἀσπάσασθαι οἷα φίλον, καὶ ἕτερ' ἄττα ὅσα ἦν ἁρμόζοντα προσθεὶς τῷ χρόνῳ· ἤδη γὰρ ὀψὲ τῆς ἡμέρας ἦν· τὸ νῦν μὲν ἔχον οἴκαδε ἀπέπεμπεν, εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευσεν, εἴ γε καὶ αὐτῷ καθ' ἡδονὴν εἴη, πρὸς αὐτὸν πάλιν ἐλθεῖν, ὡς ἂν κατὰ σχολὴν καὶ περὶ τοῦ παρόντος πολέμου διαλεχθῶσιν ἄττα ἂν ἑκάστῳ δοκοίη δίκαια ἔχειν πρὸς αὐτόν. Ντζουὰν μὲν οὖν ἀποδεξάμενος τοὺς λόγους, οἴκαδε ἀπῆλθεν.

Altera luce mane in magni domestici tabernaculum venit. Facta consalutatione, solum domesticus sic aggreditur: Quavis occasione bellum gerere, aut in pace vivere, nemo sanæ mentis commendaverit, cum utriusque laus et vituperatio ex causis merito spectanda sit. Quod si quis bellum ordiens viribus suis majora suscipit, præterquam quod injustus est, prudentium judicio etiam stultus habebitur. Consideremus igitur et istuc bellum, quod contra imperatorem nulla in re ab eo læsi suscepistis, num honeste et utiliter a vobis geratur. Primum enim nullam passi injuriam Lesbum ei subjectam invasistis, vexastis, ac diripuistis; quod nec ipsimet negare poteritis. Deinde temeritatis et vecordiæ modum nullum tenuistis. Nam qui bellum incipit, non hoc solum providere

Εἰς τὴν ὑστεραίαν δὲ ἅμα πρωῒ εἰς τὴν μεγάλου C δομεστίκου ἦκεν σκηνὴν καὶ προσηγόρευεν αὐτόν. Ἀντιπροσειπὼν δὲ καὶ αὐτὸς αὐτὸν, καὶ μόνον παραλαβὼν, λόγου ἦρχε πρὸς αὐτὸν τοιοῦδε· Οὔτε τὸ ἐπὶ προφάσει πάσῃ πολεμεῖν τῶν ἐπαινετῶν ἄν τις τιθείη σωφρονῶν, οὔτε τὸ εἰρήνην ἄγειν· ἀλλ' ἑκάτερα βελτίω ἢ χείρω παρὰ τὰς αἰτίας νομίζοιτ' ἂν δικαίως. Ἐὰν δέ τις πολέμου ἄρχων μείζοσιν ἢ καθ' ἑαυτὸν πράγμασιν ἐπιχειροίη, πρὸς τῷ ἀδικεῖν καὶ ἄνοιαν προσοφλήσειεν ἂν παρ' εὖ φρονοῦσι κριταῖς. Σκεψώμεθα δὴ καὶ περὶ τοῦ νυνὶ παρόντος πολέμου ὃν ἤρασθε πρὸς μηδὲν ἀδικοῦντα βασιλέα, εἰ μετὰ βελτίονος τοῦ σχήματος προσγενήσεται ὑμῖν. Πρῶτον μὲν γὰρ μηδὲν ὑπὸ βασιλέως ἀδικούμενοι, πρῶτοι ἐπήλθετε τῇ Λέσβῳ οὔσῃ ὑπηκόῳ, βασιλεῖα [*f.* βασιλέα] ἀδικοῦντες καὶ πλεονεκτοῦντες, οὔπερ οὐδὲ

Jacobi Pontani notæ.

(48) Gregoras: *Cæterum cum imperator cum classe diutius abesset, et in palatio magna impunitas et licentia vigeret, adolescentes aliquot seditionem moverunt, se Latinos quoque, ob intercedentes simultates, socios esse habituros rati. Scopus autem seditionis fuit, ut postea cognitum est, imperatoria potestas, si dominam imprimis, et filium ejus Joannem imperatorem, et eos denique omnes, qui adversari possent, occidissent. Sed dum id facinus adhuc parturiunt, et seditiosi rem clanculum vehementer urgent, Cantacuzena magni domestici mater, quid ageretur animadvertit, quam imperator assistricem conjugi suæ discessurus reliquerat; quippe senatoriam matronam et gravitate morum conspicuam, et singulari prudentia ornatam, et in rebus dubiis præsenti consilio instructam. Ea ergo una cum domina, priusquam scelus auctum erumperet, motum illum prudentissime* D *compescuit*, etc. De insidiatoribus autem istis quid actum sit, idem Gregoras sic exponit: *Paulo post* (ubi Byzantium rediit) *comprehensis insidiatoribus, singulis seorsum interrogatis, verum ab omnibus perquisivit. Mox toto senatu convocato, et episcopis qui tum in urbe agebant, una cum patriarcha accersitis, populique Byzantini proceribus, seditionis auctores, et eorum conjuratos, et testes in medium produxit. Hi vero inter sese jurgantes, et alii alios arguentes, certissimis argumentis conjurationem, et immania ac perniciosa consilia demonstrabant, ut et ipsi absque ulla tergiversatione parricidium suum fateri cogerentur. Ac discerpti statim essent a populo, nisi excellens imperatoris humanitas et clementia impetum illum repressisset.*

(49) In Græco, *Joannem de Spinia.*

Digitized by Google Распознавание текста ABBYY FR

αὐτοὺς οἴμαι ἐξάρνους δυνήσεσθαι γενέσθαι· ἔπειτα δὲ οὐδὲ ἀνοίας καὶ ἀβουλίας κατελίπετε ὑπερβολήν. Τὸν γὰρ ἄρχοντα πολέμου οὐ χρὴ τοῦτο μόνον σκοπεῖν ὅπως ἀδικήσῃ, ἀλλὰ πρῶτον μὲν εἴ γε μάλιστα αὐτῷ τοῦτο δυνατὸν, ἔπειτα δὲ, εἰ καὶ ἀρκοῦσαν δύναμιν ἔχει πρὸς τὸ τὰ ἀδικηθέντα διασώζειν. Ὑμῖν δὲ πρός τε τὸ τὰ ἀλλότρια ἁρπάζειν ἡ δύναμις ἐνδεὴς, καὶ πρὸς τὸ τὰ ἡρπασμένα διασώζειν ἐλαχίστη. Λέσβῳ μὲν γὰρ ἐπιόντες, Δηλίους ἐπείσατε καὶ Σικελιώτας συμμαχεῖν· βασιλέως δὲ ἐπιστρατεύσαντος ὑμῖν, οἱ σύμμαχοι ᾠχοντο ὑμᾶς ἀπολιπόντες, οὐδὲ ὅπλα ἀνταίρειν δυνηθέντες. Ὑμῶν δὲ μόνον ὑπολελειμμένων, οἱ μὲν ἀπώλοντο κατὰ τὴν Καλλονὴν ἐν πέντε τριήρεσι διαφθαρέντες, οἱ δὲ κατὰ τὴν Μιτυλήνην καὶ Φώκαιαν ἀπεκλεισμένοι πολιορκεῖσθε, οὐδεμίαν ἔχοντες ἐλπίδα βεβαίαν σωτηρίας. Μὴ θαυμάσῃς δὲ εἰ μηδεμίαν εἶπον ἐλπίδα βεβαίαν σωτηρίας ὑμᾶς ἔχειν, καίτοι καρτερώτατα ἀμυνομένους ἀπὸ τῶν τειχῶν, καὶ μηδεμίαν ἢ ὀλίγην βλάβην ὑπομένοντας ἀπό τε τῶν ἐκπιπτόντων τῆς μηχανῆς λίθων, καὶ τῶν κλιμάκων, καὶ τῶν ἄλλων μηχανῶν τῶν κατὰ τὰς συχνὰς τειχομαχίας προσαγομένων. Ἀποδείξω γὰρ σαφέστατα ὑμᾶς οὐ πολὺ ἀπέχοντας τοῦ ἐν ἐσχάτοις κινδύνοις εἶναι. Τριῶν γὰρ ὄντων ἃ ἂν μάλιστα διασώζειν δύναιτο τοὺς πολιορκουμένους, τοῦ τέ ποθεν ἔξωθεν ἐπελθοῦσαν δύναμιν τοὺς πολιορκοῦντας ἀνιστᾶν, καὶ τοῦ ἀφθονίαν σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἔχοντας, μετὰ ῥᾳστώνης τὴν πολιορκίαν διαφέρειν, καὶ τρίτου τοῦ τὸν πολιορκοῦντα ἀδύνατον εἶναι προσκαθέζεσθαι ἢ δι' ἀπορίαν ἀναλωμάτων, ἢ διὰ μικροψυχίαν, ἢ τινα αἰτίαν ἄλλην, ἐγὼ ὑμῖν προσὸν ἀποδείξω τούτων οὐδὲ ἕν. Τὴν μὲν οὖν ἴσως ἂν ἐπελθοῦσαν ἔξωθεν βοήθειαν ὑμῖν οὐδαμόθεν ἄλλοθεν ἂν τις οἰηθείη ἢ ἐκ Γενούας οἷα δὴ ὁμοφύλων ὄντων ὑμῖν καὶ συγγενῶν. Τοῦτο δὲ τοσοῦτον ἀπέχει τοῦ εἶναι ἀληθὲς, ἢ ὑμᾶς οἴεσθαι ἐλπίζειν, ὥστε τοὐναντίον μᾶλλον ἐφ' ὑμᾶς ἐλεύσονται ἐκεῖνοι ἐκπολιορκήσοντες ὡς πολεμίους τῷ κοινῷ, ἂν κελεύῃ βασιλεύς. Ἴστε γὰρ δὴ σαφέστατα ὑμεῖς ὡς ἐν ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς πρὸς τὴν βασιλείαν Ῥωμαίων ἡ βουλὴ καὶ ὁ δῆμος ἔθετο Γενούας ἐπὶ τῇ εἰρήνῃ, πρὸς τοῖς ἄλλοις περιείληπται καὶ τοῦτο, τὸ μὴ μόνον τὸ κοινὸν αὐτῶν μηδεμίαν βλάβην ἢ ζημίαν ἐπάγειν τῇ Ῥωμαίων βασιλείᾳ πρόφασιν πολέμου οὐ παρεχομένῃ, ἀλλὰ καὶ ἐάν τις ἰδιώτης Ῥωμαῖον ἀδικήσῃ, ἀπὸ τῶν προσόντων αὐτῷ κτημάτων ἢ πραγμάτων τὴν ζημίαν ὁπολαμβάνειν τὸν Ῥωμαῖον. Ἂν δὲ καὶ τῇ βασιλείᾳ Ῥωμαίων τὴν ζημίαν προξενῇ, ἢ νῆσον διαρπάζων, ἢ πόλιν τινὰ παράλιον ἤ τι ἕτερον, τὸν ἴσον τρόπον ἀπὸ τῶν ἐκείνων κτημάτων καὶ πραγμάτων, εἰ πολλοὶ εἶεν ἢ εἷς, τὴν ζημίαν ἀποτίννυσθαι βασιλεῖ, αὐτὸν δὲ ψηφίζεσθαι πολέμιον τῷ δήμῳ καὶ τῇ βουλῇ, καὶ στρατεύειν ἐπ' ἐκεῖνον ὡς ἄπιστον καὶ προδότην τοῦ κοινοῦ. Οὗ δὴ ἕνεκα καὶ βασιλέα πρεσβείαν πρὸς Γέννουαν ἀπεσταλκέναι, ὥστε μὴ μόνον τὰ κτήματα ὑμῶν τῶν χρημάτων ἕνεκα ὧν ἀνάλωσε πολεμῶν ὑμῖν παραλαβεῖν, ἀλλὰ καὶ τριήρεις καλεῦσαι πέμψαι καθ' ὑμῶν κατὰ τὰ

A debet, quomodo per nefas aliena occupet: sed primum quidem, satisne istuc commode possit; tum an ad ea quæ per vim occupavit conservanda sufficiens ei facultas adsit. Vobis autem et ad aliena rapienda vires sunt parvæ, et ad rapta conservanda parvissimæ. Etenim Lesbum invasuri, Deliorum Siculorumque auxiliis indigetis; et imperatoria classe adventante, socii imbelles diffugerunt; et alii quidem vestrum apud Callonem in quinque triremibus perierunt; alii intra Mitylenen et Phocæam conclusi cum incerta spe salutis obsidemini. Ac nolim te mirari quod dixerim nullam vos salutis certam spem **296** fovere, tametsi vos e mœnibus fortissime defendatis; nec ullam aut leve damnum accipiatis a saxis quæ e tormentis
B jaciuntur, a scalis, cæterisque machinis, quæ in tam crebris oppugnationibus ad muros admoventur; demonstrabo enim luculentissime vos ab extremo discrimine haud longe abesse; nam cum tria sint quæ obsessos servare tuerique potissimum queant: primum aliunde superveniens auxilium, quo obsessi erigant animos; alterum frumenti ac reliqui commeatus abundantia, unde facile perfertur obsidio; tertium, quando hostis diutius assidere aut sumptibus defectus, aut animo fractus, aut alia de causa non potest: ego docebo nihil horum vobis adesse. Forsitan igitur auxilium vobis submissum, et non aliunde quam Genua (utpote a civibus cognatisque vestris) submissum
C quis existimaverit. Atqui hoc tam remotum est a veritate, tantumque abest ut id sperandum vobis sit, ut timendum potius ne contra vos illi venturi, et hortante imperatore ut inimicos reipublicæ obsessuri sint. Scitis enim planissime pactis et fœderibus, quæ cum Romano imperio senatus populusque Genuatium pacis causa fecit, præter alia hoc etiam contineri, ut commune ipsorum non modo nullum Romano imperio detrimentum damnumve importet (si nullam belli occasionem dederit), sed si quis etiam privatus Romanum quempiam læserit, ut de possessionibus aut facultatibus ejus Romano multa solvatur. Sin imperio Romano detrimentosus exstiterit, aut insulam, aut maritimam urbem, aut aliud diripiens, ut eadem
D ratione de eorum possessionibus, aut facultatibus, seu plures, seu unus duntaxat fuerit, imperatori satisfiat, ipseque a senatu populoque Genuensi hostis judicetur, et arma in illum ut perfidum ac reipublicæ proditorem capiantur. Cujus rei gratia et imperatorem ad Genuenses legationem misisse nostis, non solum ut fundos et villas vestras ad reficiendos sumptus, dum vobiscum belligerat, toleratos recipiat, sed eos insuper ad triremes secundum conventa et juramenta contra vos mittendas impulisse. Quamobrem non subsidium Genua, sed bellum et hostilis adnavigatio magis exspectanda vobis est. Porro et victus inopia vos laborare, pauloque post quod hæsitetis non habituros, ex re ipsa duci argumentum certissimum potest. Quos enim urbe

Digitized by Google Распознавание текста ABK/FR

exegistis Romani, **297** quorumque alimentis fruimini, mensuram alimoniæ cum obsessorum multitudine contendentes, intra breve tempus omnimodis commeatu vos caritatis affirmant. Ergo hæc una spes salutis restat, si imperator deses factus, aut propter impensæ magnitudinem, aut propter attritum laboribusque confectum exercitum, aut propter imminentem hiemem obsidionem solvat. Ego vero et in his nostri ipsorum factus proditor, omnem rei veritatem gratuito expromam : quanquam vos vel talentum fuisse numeraturos sciam, si quæ de vobis taciti cogitamus, vere cognoscere licuisset. Sed enim vobis hoc gratis dabo. Imperator, nos, exercitusque magnam partem domum discedemus, ne hic temere ac frustra maceremur : præsertim cum et illic respublica officium industriamque nostram desideret, quam ei nisi præsentes præstare non possumus. Hic ad continuandam obsidionem triremes denas et uniremes vicenas relinquemus : præterea de navibus Sarchanis quatuor et viginti, adnumerato quantum usque ad vernam tempestatem sufficit stipendio. Atque hi vos et Mytilenæos, a mari facto impetu, certo oppugnabunt : a continente Sarchanis copiæ auxiliares satis prement. Mytilenæis vero Romanorum conductitii ingressum in insulam intercludent, ut ambo terra marique victum invehere prohibeamini. Vere novo magna classe revertemur, eo animo, ut tandiu vos oppugnemus, quoad vel fame, vel armis domitos, in servitutem redigamus. Præter hæc alias adhuc imperatoris cogitationes occultas non habebo. Vult enim vobis obsessis omnibus alterius optionem esse juratis, aut intra mœnia manentes, ipsi et Genuensium reipublicæ hostes haberi, aut egressos, et a vobis secedentes, non ab imperatore duntaxat commissorum veniam et ἀμνηστίαν, sed etiam apud commune Genuensium impunitatem ejus auctoritate consequi. Quod quam multis inter obsessos ad defectionem incitamento futurum sit, non te fugit. Quando igitur et ab initio præter fas hoc bellum suscitastis, et nunc rebus contra spem cadentibus non insipientiæ solum audaciæque culpam sustinetis, verum etiam in gravissimum discrimen devenistis, qui tandem conducet, aut quomodo mente sua constantium erit, mala consilia non permutare melioribus, et aliquid inde ad salutem idoneum elicere, **298** sed per stolidam contentionem et arrogantiam semetipsos ire perditum, et propinquis ac necessariis non inopiam et amissionem facultatum tantummodo parere, verum etiam ignominiam perpetuam inurere ? Adhuc præter isthæc omnia cum imperatore bellum ducere, nequaquam vobis prodesse ostendam. Etsi enim neque armis, neque fame, neque alia quadam via ad deditionem vos compellere poterimus, tamen ne sic quidem vobis conducet obsideri. Primum, non ut semper obsideremini, et penuria victus cæterisque bellorum incommodis premeremini, Lesbi tanto cum

A συγχείμενα καὶ τοὺς ὅρκους. Ὥστε ἐκ Γενουάς οὐ μόνον ἐπικουρίαν οὐδεμίαν, ἀλλὰ καὶ πόλεμον καὶ ἐπίπλουν προσδοκᾶν χρή. Ὅτι δὲ καὶ τῶν ἐπιτηδείων νῦν τε ἐνδεεῖς ἐστε, καὶ μετ' ὀλίγον ἐπιλείψει παντελῶς ὑμᾶς, ἐξ αὐτῶν ἂν τις τῶν πραγμάτων ἀληθέστατα τεκμήραιτο. Οἱ γὰρ ἐξελαθέντες τοῦ ἄστεος ὑφ' ὑμῶν Ῥωμαῖοι, ὧν αὐτοὶ τὰ ἐπιτήδεια λαβόντες χρῆσθε, τὸ μέτρον τῆς τροφῆς πρὸς τὸ τῶν πολιορκουμένων πλῆθος λογιζόμενοι, ἐντὸς ὀλίγου χρόνου παντάπασί φασιν ὑμᾶς τὰ σιτία ἐπιλείψειν. Λείπεται δὴ μίαν ὑπολείπεσθαι ἐλπίδα σωτηρίας, τὸ βασιλέα ῥαθυμήσαντα ἢ διὰ τὸ τῶν ἀναλισκομένων πλῆθος χρημάτων, ἢ διὰ τὴν κατὰ τὴν στρατείαν κακοπάθειαν λύσειν τὴν πολιορκίαν, ἢ διὰ

B τὸ χειμῶνα ἐπιγίνεσθαι ἤδη προσδοκᾶν. Ἐγὼ δὲ καὶ περὶ τούτου προδότης γενήσομαι ἡμῶν αὐτῶν, καὶ μηνύσω προῖκα ἅπαν τἀληθές. Καίτοι γε πολλοῦ ἂν ἐπρίασθε αὐτοί, εὖ οἶδα, εἰ ἃ διανοούμεθα περὶ ὑμῶν ἀληθῶς ἐξεγένετο μαθεῖν. Ἐγὼ δὲ ὑμῖν καὶ τοῦτο χαριοῦμαι. Βασιλεὺς μὲν γὰρ καὶ ἡμεῖς καὶ τὸ πολὺ τῆς στρατιᾶς οἱκαδε ἀπελευσόμεθα, ἵνα μὴ εἰκῇ καὶ μάτην κατατριβώμεθα ἐνταῦθα, ἄλλως τε καὶ τῶν ἐκεῖσε πραγμάτων ἐπιμελείας δεομένων, ἣν οὐκ ἐξὸν ποιεῖσθαι μὴ ἐκεῖ ἐπιδημοῦντας.

C Ἐνταυθοῖ δὲ πρὸς τὴν πολιορκίαν δέκα καταλείψομεν τριήρεις, καὶ μονήρεις εἴκοσι, καὶ ἑτέρας τέτταρας καὶ εἴκοσι τὰς τοῦ Σαρχάνη ναῦς, μισθὸν παρασχόντες διαρκέσοντα ἄχρι ἥρος. Οἱ ὑμᾶς τε καὶ Μιτυληναίους ἀσφαλῶς πολιορκήσουσιν ἐφορμοῦντες ἐκ θαλάσσης· ἐκ δὲ ἠπείρου ὑμῖν μὲν ἀρκέσουσιν ἡ τοῦ Σαρχάνη παρακειμένη στρατιά. Μιτυληναίοις δὲ οἱ Ῥωμαίων μισθοφόροι τὴν εἰς τὴν Λέσβον ἔξοδον ἀπείρξουσιν, ὥστε καὶ ἀμφοτέρους ἑκατέρωθεν ἀπείργεσθαι ἔκ τε γῆς καὶ θαλάττης τοῦ μηδὲν εἰσάγειν τῶν ἐπιτηδείων. Ἅμα δὲ ἦρι ἀρχομένῳ, στόλῳ μεγάλῳ αὖθις ἐφ' ὑμᾶς πλευσούμεθα, γνώμην ἔχοντες μέχρι παντὸς διακαρτερεῖν, ἄχρις ἂν ἢ λιμῷ ἢ ὅπλοις παραστησάμενοι, ἐξανδραποδισώμεθα ὑμᾶς. Πρὸς τούτοις δὲ καὶ ἑτέραν βασιλέως ἐπίνοιαν οὐκ ἀποκρύψω. Βούλεται γὰρ τοῖς συμπολιορκουμένοις ὑμῖν πᾶσι δι' ὅρκων αἱρεσιν προθεῖναι ἢ μένοντας ἐντὸς τειχῶν πολεμίους αὐτῷ τε εἶναι καὶ τῷ κοινῷ

D Γενουάς, ἢ ἔξω γενομένους καὶ καταλιπόντας ὑμᾶς, μὴ μόνον παρὰ βασιλέως τυχεῖν συγγνώμης καὶ ἀμνηστίας ὧν ἐξημαρτήκασιν, ἀλλὰ καὶ παρὰ τῷ κοινῷ Γενουάς ἀζημίους εἶναι, βασιλέως τὴν δδειαν παρασχομένου. Ὅπερ ὅτι πολλοὺς τῶν ὑμῖν συμπολιορκουμένων πείσει ἀποστῆναι, οὐδ' αὐτὸς ἀγνοεῖς. Ὅτε τοίνυν ἐξ ἀρχῆς τε οὐ δίκαια ποιοῦντες τὸν πόλεμον κεκινήκατε τουτονί, νῦν τε τῶν πραγμάτων ἐναντίως ἢ αὐτοὶ προσεδοκᾶτε χωρησάντων, οὐ μόνον ἀβουλίας καὶ ἀσυνεσίας ὄφλετε κατηγορίαν, ἀλλὰ καὶ ἐν ἐσχάτοις κατέστητε κινδύνοις, ποῦ λυσιτελὲς ἢ σωφρονούντων ὅλως ἀνθρώπων μὴ μεταβουλεύεσθαι περὶ τῶν κακῶς βεβουλευμένων, καὶ σωτηρίαν τινὰ αὐτοῖς ἐκ τῶν ἐνόντων ἐκπορίζειν, ἀλλὰ διὰ φιλονεικίαν καὶ ἀλαζονείαν νοῦν οὐκ ἔχουσαν, αὐτούς τε ἀπόλλυσθαι κακῶς, καὶ τοῖς οἰκείοις οὐ πενίαν μόνον καὶ ἀποστέρησιν τῶν ὄντων, ἀλλὰ

Digitized by Google Распознавание текста ABK/FR

καὶ ἀδ ξίαν προστρίβεσθαι διὰ βίου; Ἐγὼ δὲ καὶ τούτων ἁπάντων χωρὶς, οὐδαμῶς λυσιτελοῦντα τὸν πρὸς βασιλέα πόλεμον ὑμῖν ἀποφανῶ. Εἰ γὰρ καὶ μήτε ὅπλοις, μήτε λιμῷ, μήθ' ἑτέρᾳ μηχανῇ τινι πραστήσασθαι δυνησόμεθα ὑμᾶς, οὐδ' οὕτω τὸ πολιορκεῖσθαι λυσιτελήσειεν ἂν ὑμῖν. Πρῶτον μὲν γὰρ οὐκ ἐπὶ τῷ διηνεκῶς πολιορκεῖσθαι καὶ ἐνδεΐᾳ καὶ τοῖς ἄλλοις τοῖς ἐκ τοῦ πολέμου κακοῖς πιέζεσθαι Λέσβου κρατῆσαι ὑμῖν ἐπῆλθε τοσαῦτα χρήματα ἀναλωκόσιν, ἀλλ' ἐπὶ τῷ πολλαπλασίῳ τῶν ἀναλωμένων κτησαμένους, καὶ τῆς νήσου ἔχειν τὴν ἀρχήν. Τοῦτο δ' ἐναντίως ἢ αὐτοὶ συμβέβηκε προσδοκᾶτε. Τά τε γὰρ χρήματα ἀνάλωνται εἰς τὰς τριήρεις· καὶ ἡ νῆσος ὑπὸ βασιλέα αὖθις τελεῖ πλὴν Μιτυλήνης, ἣν δεῖ καὶ Φώκαιαν φρουρεῖν μισθοφόρους τρέφοντας χιλίων οὐκ ἐλάσσους. Πόθεν οὖν περιεῖσθε τὴν τροφὴν αὐτοῖς; Οὔτε γὰρ χρήματα εἴχετε ἐν ταῖς ναυσὶν ἃ διαρκέσει πρὸς τὴν πολιορκίαν, οὔτε ἐκ Γεννούας ἐλπὶς ἐλθεῖν. Τὰ γὰρ ἐκεῖσε κτήματα ὑμῶν ἃ παρεῖχε τὰς προσόδους, ὑπὸ βασιλέα ἔσται· αἵ τε ἐκ Φωκαίας προσγινόμεναι πρότερον πρόσοδοι ὑμῖν ἀφῄρηνται διὰ τὸν πόλεμον. Ἐμπορία τε γὰρ ἐκλέλοιπε πᾶσα, θαλασσοκρατούντων ἡμῶν, καὶ γεωργίας ἀπείργομεν, οὐδὲ τὸ πυλῶν προβαίνειν ἀκίνδυνον ὂν ὑμῖν. Ὥστε πάντοθεν συμβαίνει περιίστασθαι τὸν κίνδυνον, ἄν τε κρατῆσθε τοῖς ὅπλοις, ἄν τε μή· ὡς οὖν περὶ σωτηρίας ὑμῖν βουλευσομένοις οὐκ ἐν παρέργῳ χρὴ ποιεῖσθαι τὴν βουλήν, ἀλλὰ μετὰ τῶν φίλων σκεψαμένους τὰ δέοντα ἑλέσθαι.

A impendio potiundæ cupido vobis incessit, sed ut impensas multo majoribus divitiis consolantes, insulæ quoque dominatum obtineretis: in quo multum plane vestra vos delusit opinio. Nam pecuniam in triremes absumpsistis, et insula (Mitylene excepta) imperatorem rursus principem suum agnoscit, quam (sicut et Phocæam) præsidiarios mercede conductos non pauciores mille oportet alere. Unde igitur alimenta illis suppeditabitis? Neque enim in navibus tantum pecuniæ habebatis, quantum obsidioni tolerandæ sufficeret; neque Genua missum iri sperandum est. Nam quæ illic possidetis, et unde vectigalia capiebatis, imperatori adjudicabuntur; et quæ prius Phocæa vobis pendebat bellum sustulit. Etenim mercatura B omnis, nobis mare tenentibus, conquievit; et agricultura per nos usque adeo arcemini, ut ne porta quidem urbis secure pedem efferre possitis. Quare sive armis subjugemini, sive non, unde unde periculis cingimini. Ergo quoniam salus vestra agitur, non obiter et velut per transennam, sed cum amicis res perpendenda, et utilitati consulendum est.

CAPUT XXXI.

Spinula culpam fatetur, consilium a domestico petit. Suadet, veniam ab imperatore petendam, et obsides Persas ei condonandos; Mytilenen et Phocæam restituendas. Quam multis bonis eos remuneraturus sit imperator docet, et, ut maturent, hortatur. Phocæa et Mytilene redduntur. Filios obsides Persæ læti accipiunt: Lesbos tota recuperatur.

Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, C Ντζιουὰν ἐπιπολὺ μὲν ἦν σιωπῶν, ἐκπεπληγμένος ὅτι δὴ σαφέστατα περὶ τῶν κατ' αὐτοὺς πραγμάτων διειλέχθη, συνεώρα τε ἤδη καὶ αὐτὸς τὸν κίνδυνον ὡς ἐν χρῷ. Ἔπειτα ἀνενεγκών, Ὡς μὲν ἀδικοῦμεν πολέμου ἄρχοντες, ἔφη, οὐδὲ αὐτοὶ δυνάμεθα ἀντειπεῖν. Πλὴν ἐλπίδι ἐπαρθέντες τοῦ τε ἐγκρατεῖς γενήσεσθαι τῆς Λέσβου, τοῦ τε ἀμυνεῖσθαι βασιλέα ἂν ἐπίῃ (οὐ γὰρ τοσαύτην γε ᾠόμεθα δύναμιν ἀθροίσειν ναυτικὴν) ἠράμεθα· νυνὶ δὲ ἤδη τά τε χρήματα ἀνάλωται ἡμῖν, καὶ αὐτοὶ πολιορκούμεθα, οὐκ ἀγαθὰς ἔχοντες ἐλπίδας περὶ τῶν μελλόντων. Ἐπεὶ δὲ, ὡς ὁρῶ, τοῦ Θεοῦ κεκινηκότος εἰς τοὺς περὶ τούτων προήχθης λόγους, δέομαί σ λυσιτελῆ δοκεῖ καὶ δέοντα βουλεύσασθαι περὶ τοῦ μέλλοντος. Τὰ γὰρ παρελθόντα οὐκ ἔστιν ἄλλως διαθέσθαι ἢ ὡς ἔτυχε γεγενημένα. Ὁ μέγας δὲ δομέστικος, Εἰ μὲν καθ' ἑαυτοὺς αὐτοὶ περὶ τῶν ὑμετέρων, ἔφη, ἐβουλεύεσθε πραγμάτων, οὐδὲν ἂν ἐκώλυεν εἰρήνην ἢ τὸν πόλεμον ἑλέσθαι. Ἐπεὶ δὲ ἐμοὶ περὶ τῶν ὑμετέρων ἐπιτρέπετε βουλεύεσθαι πραγμάτων, ἃ μοι δοκῶ ὑμῖν συμφέροντα ἐρῶ· ὑμῖν δὲ ἐξέσται ἢ αἱρεῖσθαι τὰ βεβουλευμένα ἢ διωθεῖσθαι. Οἶμαι δὲ οὐδὲ πολλῶν δεήσεσθαι λόγων περὶ τῶν ὑμῖν πειθόντα δοκούντων λυσιτελεῖν. Ἃ γὰρ διειλέχθην πρότερον, πολλῶν κακῶν ὑμῖν τὸν πόλεμον αἰτιώτατον γεγενημένον ἀποφαίνων καὶ ἔτι μέλλοντα, τούτοις ἔξεστι κατασκευάζειν ὡς D Hactenus maguus domesticus; cujus sermone perculsus Joannes, diu siluit, quod suorum conditionem disertissime explicatam videbat, et jam ipse quoque periculum esse in cervicibus intelligebat. Postquam se deinde collegit, ita fari exorsus est: Perperam nos agere, dum ad arma priores prosilimus, nemo vel nostrum inficias **299** ire potest. Cæterum Lesbi insulæ adipiscendæ, et imperatorem, si impedire conaretur, depellendi fiducia elati (haud enim tantam classem comparaturum credebamus) bellum hanc ausi sumus. Nunc et pecuniis exhausti, et insuper ipsi obsessi, bonas spes omnes perdidimus. Quia vero divino, ut arbitror, afflatu de his rebus disseruisti, te oro, ut quæ utilia nobis in posterum et necessaria duxeris, ea consulas, quando præterita corrigere non licet. Ad hæc magnus domesticus: Si, inquit, vobiscum ipsi de re vestra consuluissetis, nihil ad pacem bello præferendam obstitisset. Sed quia mihi in causa vestra judicium omne permittitis, quæ profutura opinor, non tacebo: vobis aut parere consilio meo, aut id repudiare integrum erit. Existimo autem explicationem consilii mei longa oratione haud egere. Nam quæque prius a me dicta sunt, quibus bellum hocce præcipuum et solum complurium malorum vestrorum fontem fuisse probavi, quæque adhuc dicturus sum, ita-

Digitized by Google Распознавание текста ABK/FR

dem pacem complectendam esse, confirmari potest. Modum porro, quo id fructuosissime faciatis, exponam. Antequam eo necessitatis compellamini, ut etiam inviti ad imperatorem vos adjungere videamini, præsenti benevolentia præteritam injuriam exæquate, ac per legatos bellicarum istarum offensarum veniam flagitate. Qui cum sit mitis ingenio, et in se peccantibus promptus ignoscere, si ejus iram fuerint deprecati, etiam vobis, meo insuper accedente impulsu, libenter ignoscet. Ubi eum placaveritis, Sarchanis Persarumque aliorum filios, quos obsidum nomine custoditis, eidem in muneris loco offertote: Mitylenen præterea et Phocæam restituite. Ille vero vestrum hoc erga se studium compensans, una cum venia, qua vos impertiet, etiam sumptus a se in hoc bellum collocatos, et Lesbiis per vos damna irrogata, quæ respublica Genuensis ex fœdere de facultatibus et bonis vestris resarcire debet, benigne remittet. Neque hoc tantum, sed et tanquam hostibus reipublicæ declaratis, ac proscriptis, et perfidiæ pœnam commeritis, impunitatem impetrabit, senatum ad veniam tribuendam cohortatus: quo nulla re spoliatis, denuo in republica libere negotium suum agere liceat. Adde quod Phocææ Romanorum propriæ principatum, et usumfructum sicut prius, quandiu voluerit, vobis permittet. **300** Quin et vestra causa cum Sarchane fœdus feriet, ut ex ejus provincia pristinos fructus percipiatis: perque omnes insulas ac civitates Romanorum mercaturæ faciendæ licentiam dabit. Dispicite igitur, quot infortuniis hoc bellum vos mactaverit, ac forsitan deterioribus mactabit: et quot vicissim bona vobis pax suppeditatura sit, si me audiveritis. Quod autem suadeo, id vel hodie, vel cras exsequi poteritis. Etenim si quasi non necessarium distuleritis, imperatorem deinde ad reconciliationem non perinde promptum invenietis. Nam si stipendia remigibus et aliis mercenariis, qui vos per hiemem obsidebunt, numerata fuerint, quæ jam quæstoribus imperavit, ego vero propter ea quæ dixi, ne darent prohibui, timeo ne postea legationem non admittat, illud secum reputans, ut est credibile, posse vos ad conditionem mancipiorum redigere, dum tempus merendi exeat, et cum modo, tum alias impensam pecuniam recipere. Itaque ut de necessariis deliberaturi, et tempore moras non ferente, quam primum concilium celebrate, et nobis quid statueritis significatote. Sic magnus domesticus Latinos admonuit. Joannes tam sero se cum illo in collocutionem venisse doluit; multis enim profecto malis carere, et aliis carendi auctorem esse potuisse. Verumtamen præterita non revocari: oportere autem se postridie in urbem reversum aliis quoque hoc indicare consilium, et omnium sententias communiter exquirere. Annuente magno domestico, Phocæam regressus, Odoardo et cæteris quid is consuleret exposuit. Quod cum et ipsis ut optimum, atque

A αἱρετέα ἡ εἰρήνη· τὸν τρόπον δὲ ὃν ἂν ὑμῖν μάλιστα λυσιτελήσειεν ὑφηγήσομαι ἐγώ. Πρὶν εἰς τοσοῦτον κινδύνου ἥκειν ὥστε δοκεῖν καὶ ἄκοντας προσιέναι βασιλεῖ, ἐνδείξασθε εὐνοιάν τινα ἀντίρροπον πρὸς τὴν προτέραν ἀδικίαν, καὶ πρεσβείαν πέμψαντες πρὸς βασιλέα, συγγνώμην αἰτήσατε ἐφ' οἷς προσκεκρούκατε κατὰ τὸν πόλεμον. Φύσει δὲ ὢν ἐκεῖνος πρᾶος, καὶ τοῖς ἀδικοῦσιν ἕτοιμος παρέχειν συγγνώμην, ἂν παραιτῶνται τὴν ὀργήν, καὶ ὑμῖν συγγνώσεται ῥᾳδίως, καὶ ἐμοῦ πρὸς τοῦτο μάλιστα ἐνάγοντος. Ἐπειδὰν δὲ τὴν βασιλέως ἐκμειλίξησθε ὀργήν, τὸν παῖδα Σαρχάνη καὶ τῶν ἄλλων Περσῶν οἳ ἐν ὁμήρων προσχήματι φρουροῦνται παρ' ὑμῖν, λαβόντες ὥσπερ δῶρα, προσκομίσατε τῷ βασιλεῖ, καὶ Μιτυλήνην καὶ Φώκαιαν παράδοτε. Κἀκεῖνος ἀμειB βόμενος ὑμᾶς τῆς εὐνοίας ἕνεκα τῆς πρὸς αὐτὸν, μετὰ τῆς συγγνώμης ἣν παρέξεται, καὶ τά τε ἀναλωθέντα χρήματα εἰς τὸν πόλεμον τὸν καθ' ὑμῶν καὶ ἃ ἐζημιώσατε Λεσβίους, ἃ τὸ κοινὸν Γενουάς ἐκ τῶν ὑμετέρων κτημάτων κατὰ τὰς συνθήκας ὀφείλει ἀποτίνειν χαριεῖται. Οὐ μὴν ἀλλὰ καὶ πολεμίους ἀναγεγραμμένους τῷ κοινῷ, καὶ δίκας ὀφείλοντας τῆς ἀπιστίας, ἀπάθειαν κακῶν καταπράξεται ὑμῖν, τῇ βουλῇ συγγνώμην κελεύσας πρασσεῖν, ὥστε ἀδεῶς πάλιν ἐμπολιτεύεσθαι αὐτοῖς ἀποστερηθέντας τῶν οἰκείων μηδενός. Πρὸς τούτοις δὲ καὶ Φωκαίας ὥσπερ πρότερον καὶ αὖθις ἄρχειν ἐπιτρέψει, ὡς ὑπηκόου μὲν Ῥωμαίοις οὔσης, ὑμῖν δὲ παρέχοντος βασιλέως τὴν ἀρχὴν, ἄχρις ἂν αὐτὸς ἐθέλῃ. Καὶ σπονδὰς ὑμῖν πρὸς Σαρχάνην θήσει, C ὥστε καὶ αὖθις τὰς προσόδους ἃς καὶ πρότερον εἴχετε, ἐκ τῆς χώρας τῆς αὐτοῦ καρποῦσθαι. Καὶ κατὰ πάσας νήσους καὶ τὰς πόλεις, αἳ ὑπήκοοί εἰσι Ῥωμαίοις, ἀκώλυτον ὑμῖν τὴν ἐμπορίαν κελεύσει εἶναι. Σκοπεῖτε οὖν ὁπόσα μὲν ὑμῖν ὁ πόλεμος ἐπήνεγκε κακὰ, ἴσως δὲ καὶ χείρονα ἐπάξει, ὁπόσων δὲ ἀγαθῶν ἡ εἰρήνη γενήσεται ἄξια, ἂν πείθησθε ἐμοί. Ταῦτα δὲ ὑμῖν ἢ σήμερον πράττειν ἢ εἰς τὴν ὑστεραίαν ἐξέσται. Ἐὰν γὰρ οὐκ ἀναγκαῖα λογιζόμενοι ὑπέρθησθε, οὐκέθ' ὁμοίως εὑρήσετε βασιλέα ῥᾴδιον πρὸς τὰς καταλλαγάς. Ἐὰν γὰρ τὰ χρήματα διαδοθῇ τοῖς τριηρίταις καὶ τοῖς ἄλλοις μισθοφόροις οἳ μέλλουσι τοῦ χειμῶνος ὑμᾶς πολιορκεῖν, ἃ νυνὶ βασιλεὺς μὲν ἐκέλευσε διαδιδόναι τοῖς ταμίαις, ἐγὼ δὲ D ἐκώλυσα τουτωνὶ τῶν λόγων ἕνεκα, δέδοικα μὴ οὐ προσδέξηται τὴν πρεσβείαν μετὰ ταῦτα, λογιζόμενος· ὥσπερ εἰκὸς, ὡς παραστήσεται ὑμᾶς ἐν ἀνδραπόδων μοίρᾳ, ἄχρις ἂν ὁ χρόνος τῆς μισθοφορᾶς ἀναλωθῇ, καὶ τὰ χρήματα ἀπολήψεται πρὸς τοῖς νῦν καὶ τὰ πρότερον ἀναλωμένα. Ὡς οὖν ἀναγκαίων πέρι ἐσομένης τῆς βουλῆς, καὶ τριδὴν τοῦ χρόνου οὐκ ἐνδεχομένου, παχέως τε αὐτοὶ βουλεύεσθε καὶ ἡμῖν τὰ βεβουλευμένα γνώριμα ποιεῖτε. Τοιαῦτα μὲν Λατίνοις ὁ μέγας δομέστικος ὑπετίθετο ποιεῖν. Ντζιωὰν δὲ ὡς ἤκουσε περὶ τοῦ παρελθόντος ἠνιᾶτο χρόνου, ὅτι μὴ πρότερον μεγάλῳ δομεστίκῳ συνεγένετο· ἢ γὰρ ἂν αὐτός τε πολλῶν ἀπήλλακτο, κακῶν, καὶ τοῖς ἄλλοις αἴτιος κατέστη. Ὅμως μέντοι ἔφασκε, τὰ μὲν γεγενημένα ἀναλῦσαι οὐκ εἶναι δυνατὸν, δεῖν δὲ

Digitized by Google Распознавание текста ABK/FR

οἴεσθαι εἰς Φώκαιαν ἐλθόντα καὶ τοῖς ἄλλοις δῆλην τὴν βουλὴν ποιεῖν, καὶ ἐς τὴν ὑστεραίαν ἐλθόντα, ἃ πᾶσιν ἂν κοινῇ δόξειεν ἀπαγγέλλειν. Καὶ ἐπεὶ ἐπετέθραπτο, εἰς Φώκαιαν ἐλθὼν, Ντεάρδῳ (50) τε καὶ τοῖς λοιποῖς ὅσα ὑπόθοιτο ὁ μέγας δομέστικος ἀπαγγείλας, ἐπειδὴ κἀκείνοις ἄριστα καὶ λυσιτελοῦντα ἑαυτοῖς ἐδόκει τὰ βεβουλευμένα, καὶ ἕτοιμοι ἦσαν πράττειν, αὖθις πρὸς τὸν μέγαν δομέστικον ἐλθὼν, Ντεάρδῳ μὲν καὶ τοῖς λοιποῖς ὅσοι κατὰ Φώκαιαν πολιορκοῦνται, ἀρέσκειν ἔφασκε τὰ βεβουλευμένα, καὶ μάλιστα ἐθέλειν ὡς βασιλέα ἐλθόντας, ὑπὲρ τῶν ἡμαρτημένων δεῖσθαι συγγνώμην παρασχεῖν. Δεῖν δὲ καὶ Δομενίκῳ τῷ κατὰ τὴν Μιτυλήνην πολιορκουμένῳ τὰ πρῶτα μάλιστα φερομένῳ παρ' αὐτοῖς, κοινὴν ποιήσασθαι τὴν γνώμην· μηδὲ γὰρ ἂν δύνασθαι πράττειν μηδὲν, ἐκείνου μὴ συνεπιψηφιζομένου. Καὶ παρασχεθείσης αὐτῷ νεὼς, εἰς Μιτυλήνην ἦλθε· συγγενόμενός τε Δομενίκῳ, καὶ περὶ τῆς εἰρήνης διαλεχθεὶς, ἐπεὶ κἀκείνῳ ἀσμένως ἐγίνοντο οἱ λόγοι, καὶ πολλὰς χάριτας ὡμολόγει βασιλεῖ τῆς ἀνεξικακίας, ἀναστρέψας ἐκεῖθεν, εἰς Φώκαιαν ἐπεραιώθη ἄγων καὶ ἕτερόν τινα ὃς ἔμελλεν ἐκ προσώπου Δομενίκου βασιλέα προσκυνήσειν. Ὅσοι δὲ τῶν ἐπιφανεστέρων ἦσαν ἐν Φωκαίᾳ πολιορκούμενοι, καὶ τὸν υἱὸν Σαρχάνη καὶ τοὺς ἄλλους ὅσοι ἦσαν σὺν αὐτῷ, ὥσπερ δῶρον ἐπαγόμενοι, ἦκουσιν εἰς βασιλέα προσκυνήσαντές τε, καὶ περὶ ὧν κατὰ τὸν πόλεμον ἐξήμαρτον τυχεῖν συγγνώμης δεηθέντες. Βασιλεὺς μὲν ἡμέρως προσεδέξατο καὶ προσηνῶς, συγγνώμην τε παρέσχετο εὐθὺς, καὶ ὅσα πρότερον ἐπηγγείλατο αὐτοῖς ὁ μέγας δομέστικος ἔργῳ ἐπληροῦτο, καὶ αὐτῶν Μιτυλήνην παραδόντων βασιλεῖ, ἐκβληθέντων τῶν φρουρῶν, Σαρχάνῃ τε ὁ βασιλεὺς τὸν παῖδα ἀποδοὺς, καὶ τοῖς ἄλλοις Πέρσαις χάριτας αὐτῷ πολλὰς τῆς ἐλευθερίας τῶν παίδων ἕνεκα ὁμολογοῦσιν, αὐτὸς εἰς Βυζάντιον ἀπέπλευσε, Λέσβον ὑπὸ Λατίνοις ἤδη γεγενημένην Ῥωμαίοις ἀνασώσας.

A utilissimum probaretur, seseque obsecuturos ostenderent, ad magnum domesticum rediens narrat, Odoardo et obsessis omnibus placere sententiam, et omnino ad imperatorem accedere, ab eoque admissorum veniam petere constituisse. Tamen cum Dominico nihilominus qui Mitylenæ obsideretur, et inter eos principis locum dignitatemque obtineret, rem communicandam; nihil enim citra ejus assensum confici posse. Itaque data sibi nave Mitylenen volavit, congressusque cum Dominico, et apud eum de pace locutus, et suffragantem atque etiam imperatori de patientia gratias agentem nactus, Phocæam revertit alio secum adducto, qui pro Dominico imperatorem venerabundus salutaret. **301** Quotquot autem nobilitate clari (50*) inter Phocæenses obsidebantur, filium Sarchanis, aliosque obsides, velut donum secum adducentes, ad imperatorem adeunt, eumque adorantes, veniam super bello male sumpto comprecantur. Eos ille placide ac leniter accepit, venia statim donavit, et promissa magni domestici re complevit. Cumque educto præsidio Mitylenen reddidissent, Sarchani aliisque Persis filios, gratias pro eorum libertate amplissimas agentibus restituit; et Lesbo a Latinis recepta atque ad imperium Romanum denuo adjuncta, Byzantium navigavit.

B

CAPUT XXXII.

Albanorum rebellio et incursiones. Spes Acarnaniæ recuperandæ. In Albanos cum Persico supplemento expeditio; victoria et prædæ immensitas. Civitates ante ab Albanis vexatæ, diem festum agunt. Persæ domum redeunt. Acarnanum procerum de imperatore admittendo pugnantes sententiæ; ipsius reginæ consilium.

Ὀλίγου δὲ παρελθόντος χρόνου, ἠγγέλλετο ἐκ τῆς ἑσπέρας παρὰ τῶν ἐπιτροπευόντων ἐκεῖ, ὅτι οἱ περὶ Βαλάγριτα καὶ Κάνινα νεμόμενοι Ἀλβανοὶ, εὐχερεῖς ὄντες πρὸς μεταβολὰς καὶ φύσει νεωτεροποιοὶ, ἃς πρὸς βασιλέα ἐποιήσαντο συνθήκας παραβαίνοντες, ταῖς ἐκεῖσε πόλεσιν ἐξ ἐφόδου ἐπιόντες, κακῶς διατιθέασι καὶ λεηλατοῦσιν. Οἳ καὶ πρότερον τοιαῦτά τινα ἐτόλμων, καὶ συνιστάμενοι πολλοὶ καὶ ἄποροι, τὰς πόλεις κακῶς ἐποίουν, ἄχρις ἂν στρατιὰν ἐπ' ἐκείνους πέμψας βασιλεὺς, ἀναγκάσειεν εἰρήνην ἄγειν, καὶ τοὺς ἑσπερίους ἀδικεῖν μηδέν. Ἐπειδὰν

C Brevi post tempore a præfectis ex occidente adest nuntius, Albanos ad Balagrita et Canina habitantes, instabiles animis, et natura rerum novarum cupidos, facto fœdere urbes illas ex itinere adorientes male multasse ac diripuisse. Qui et alias hujusmodi facinus ausi, magno numero homines egestate perditi coiverant, civitatesque attriverant, donec imperator misso contra eos exercitu, a vexandis occidentalibus desistere cogeret. Quo exercitu domum regresso, in ipsa jam æstate quiescere amplius non poterant, sed populationibus et incursionibus

Jacobi Pontani notæ.

(50) Idem qui supra Ντουνάρδος.

(50*) De deditione Phocææ sic Gregoras: *Sub brumam autem, cum Phocæenses Latini perseverantia imperatoris neque hiemis rigore frangi, præsertim cum omnes navales copiæ oppugnationem noctu atque interdiu sub dio continenter urgerent, nec longa absentia a suis, nec ulla penuria urgeri cernerent, præsertim cum ipsos jam commeatus deficere inciperet; desperatis rebus, legatos Rhodum mittunt, petentes, ut in tanto discrimine subvenirent. Rhodii ergo apud imperatorem pro eis intercedentes, obsidionem*

D *solvunt. Phocæenses enim Turco Romanos adjuvanti, filios statim restituerunt, quos multo ante furati, in vinculis habebant. Fidem præterea imperatori firmarunt, Rhodiis testibus, Mitylenen statim restituturos, et imperatori dicto audientes fore ut prius moria fuisset, atque a patribus acceptum esset. Sic imperator navalibus copiis inde reductis, ire quidem Mitylenen voluit; sed propter tumultum Byzantium, et defatigationem exercitus ex frigore male affecti, Byzantium cum tota classe rediit.*

Digitized by Google Распознавание текста ABBYY FR

urbes occidentis palam infestabant. Tunc porro multi eadem male faciendi voluntate præditi, facta manu Balagrita et Canina, Screparium et Clisuram (51), castella vehementer affligebant, Timorumque et ipsum prope Balagrita oppidum occidentis jam ad deditionem compulerant : et depræ-dandi incursandique finem nullum faciebant. In illos igitur movendum imperator censuit. Et quia sub idem tempus Joannes ducas Acarnaniæ princeps in fata concesserat, hoc magis ad occidentalem expeditionem evasit, sperans se Arcarnaniam ad fidem et imperium suum reducturum. Hæc secum meditanti etiam auxilium Persicum, et pedestre quidem, propter Albanos, ex Ionia visum est accersendum.

302 Nam quia montes incolebant magnos, accessuque difficiles, in quibus multa latibula atque perfugia, haud facile ab equitibus kædebantur, æstivis præsertim mensibus, cum juga summa conscenderent, ubi peditatus ob loci nativa munimenta, et quod subeuntium capita saxis e superiore loco a propugnatoribus petuntur, adversam aciem explicare nequit. Quare Amurium pedestre subsidium rogat. Is legatum audit humaniter (nihil siquidem ei optabilius, quam imperatori gratum facere) et militem protinus Thessalonicam mittit. Postquam et ipse imperator Romanos ducens eo venit, Persico supplemento assumpto, per Thessaliam contra Albanos contendit, eosque vicissim depopulando Epidamnum accessit ; nec pauci ex eis interempti sunt. Audito enim imperatoris adventu, rati tantummodo equitatum Romanum esse, ad montes et loca impedita confugerunt, ubi se ab exitio tutos fore confidebant. Verum supervenientes Persæ levis armaturæ et sagittarii (quibus pugnare in locis inviis promptissimum est) nullo eos negotio deviceruntnon solum quod cum inermes essent, procul icti concidebant, sed etiam quod ut Barbari rei insolentia in stuporem vertebantur. Ac plurimos partim occiderunt, partim ceperunt. Quibus fuga patuit, liberis, uxoribus, ac fortunis relictis, nescio ubi terrarum se absconderunt. Persæ uxores et filios in servitutem rapiebant : quorum partem contribules, quod imperatorem non offenderant, dato Persis pretio asseruerunt. Nec non complures et ipse imperator, propinquis eorum venientibus et suppliciter rogantibus, sua pecunia redemit : redempturus plures, ac fortassis omnes, si citius ad se ventum esset, dum adhuc nimirum Persæ cum reliquo milite sequebantur. Sed quia post eorum discessum veniebant, misit et liberavit quotquot omnino licuit; major pars servitum in orientem abducta Romani neminem captivum traxerunt (id

Α δὲ ἡ στρατιὰ ἐπ' οἶκου διαλυθείη καὶ τὸ θέρος ἐπιγένοιτο, οὐκέτι οἷοί τε ἦσαν ἠρεμεῖν, ἀλλὰ λῃστεία ς καὶ φαναραῖς ἐπιδρομαῖς ἐπίεζον τὰς πόλεις τὰς ἐκεῖ. Τότε δὲ πολλοί τε καὶ ὁμοίας περὶ τὸ ἀδικεῖν τὰς γνώμας ἔχοντες, συστάντες Βαλάγριτά τε καὶ Κάνινα ἐκακούργουν πάνυ. Καὶ φρούριόν τι Σκρεπάριον ὠνομασμένον καὶ τὴν Κλεισοῦραν. Τίριωρον δὲ φρούριόν τι καὶ αὐτὸ ἑσπέριον περὶ Βαλάγριτα ᾠκισμένον, παρεστήσαντο ἤδη, καὶ βεβαίως εἶχον πρός τε τὰς λῃστείας καὶ τὰς συχνὰς ἀπειρηκὼς ἐπιδρομάς. Διὰ ταῦτα οὖν ἐδόκει βασιλεῖ αὐτὸ ἰς ἐπιστρατεῦσαι. Προσεπιγενομένη δὲ ὑπὸ τοῖς αὐτοῖς χρόνοις καὶ ἡ Ἰωάννου τοῦ Δούκα τῆς Ἀκαρνανίας ἄρχοντος τελευτὴ, μᾶλλον ἐξώρμησε τὸν βασιλέα πρὸς τὴν ἑσπέραν, ἐλπίσαντα Ἀκαρνανίαν ὑποποιήσειν ἑαυτῷ. Τοιαῦτα δὴ βουλευομένῳ, καὶ συμμαχίαν ἐδόκει δεῖν ἐξ Ἰωνίας μεταπέμπεσθαι Περσικὴν ἕνεκα τῶν Ἀλβανῶν πεζήν. Ὄρη γὰρ δυσπρόσοδα νεμόμενοι καὶ μεγάλα, καὶ πολλὰς ἔχοντα ἀποφυγὰς καὶ καταδύσεις, οὐ ῥᾳδίως ὑπὸ τῶν ἱππέων βλάπτεσθαι ἐδύναντο. Καὶ μάλιστα ἐν θέρει εἰς τὰ ἀκρότατα ἀνιόντες τῶν ὀρῶν ὅπου καὶ πεζοῖς ἀντιτάξασθαι οὐκ εὐχερὲς διὰ τὴν ὀχυρότητα τοῦ τόπου, καὶ τὸ ὑπὲρ κεφαλῆς τοὺς ἐπιόντας τοὺς ἀμυνομένους βάλλειν. Καὶ πέμψας πρὸς Ἀμοὺρ, ᾐτεῖτο συμμαχίαν πεζήν. Ὁ δὲ ἄσμενός τε προσεδέξατο τὴν πρεσβείαν βασιλέως (ἦν γὰρ ἄγων περὶ πλείστου τὸ κατὰ γνώμην τι βασιλέως πράττειν), καὶ τὴν στρατιὰν εὐθὺς ἔπεμπεν εἰς Θεσσαλονίκην. Ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς τὴν Ῥωμαίων ἄγων στρατιὰν ἀφίκετο ἐκεῖ, καὶ τὴν Περσικὴν παραλαβὼν διὰ Θετταλίας ἐπὶ Ἀλβανοὺς ἐχώρει, καὶ μέχρι Ἐπιδάμνου ἦλθε λῃζόμενος αὐτούς, διεφθάρησάν τε ἐξ αὐτῶν πολλοί. Πυθόμενοι γὰρ τὴν βασιλέως ἔφοδον καὶ νομίσαντες μόνην ἐκ Ῥωμαίων ἱππικὴν εἶναι στρατιὰν, πρὸς τὰ ὄρη κατέφυγον καὶ τὰς δυσχωρίας, οἰόμενοι διαφεύξεσθαι τὸν ὅλεθρον. Ἐπελθόντες δὲ οἱ Πέρσαι, ψιλοί τε ὄντες καὶ τοξόται, οἷς μάλιστά ἐστι ῥᾳδία ἡ πρὸς τὰς δυσχωρίας μάχη, ῥᾷστά τε ἐκράτησαν αὐτῶν οὐ μόνον διὰ τὸ ἀόπλους ὄντας πόρρωθεν βαλλομένους πίπτειν, ἀλλὰ καὶ διὰ τὸ ἄηθες καταπλαγέντας τῶν βαρβάρων. Καὶ πλείστους τε ἀπέκτειναν αὐτῶν, καὶ εἷλον αἰχμαλώτους. Ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ἐκλιπόντες, ὅπῃ γῆς ἐκρύπτοντο ἦσαν ἀφανεῖς. Γυναῖκας δὲ καὶ παῖδας ἠνδραπόδισαν οἱ Πέρσαι, ὧν μέρος μέν τι οἱ ὁμόφυλοι ἐλύσαντο, ὅσοι μὴ προκεκρουκότες ἦσαν βασιλεῖ λυτρὰ πρασχόμενοι τοῖς Πέρσαις. Ἔλυσε δὲ οὐκ ὀλίγους καὶ ὁ βασιλεὺς λύτροις τῶν οἰκείων προσελθόντων καὶ δεηθέντων. Ἔλυσε δ' ἂν καὶ πλείους ἢ σύμπαντ ς εἰ πρότερον προσῆλθον, ἕως ἔτι οἱ Πέρσαι συνεί-

Jacobi Pontani notæ.

(51) Castellum hoc Clisura inde nomen accepit, ut reor, quod ibi via, seu transitus angustus admodum, per loca videlicet montuosa ; Latini furcas et fauces nominabant. Quanquam et hoc Græcum a Latino est, a claudendo videlicet. Testatur Suidas. Κλεισοῦραι· οὕτω καλοῦνται τὰ ὀχυρώματα τῶν διαβάσεων τῇ πατρίῳ τῶν Ῥωμαίων φωνῇ· *Patria Romanorum lingua clisuræ transituum munitiones appellantur.* Clusura, clusa, clausa ad fines, seu limites imperii, quæ propugnaculis quibusdam muniebantur, quæ et castra, et castella, unde et castellanus miles alicubi. Dicuntur et burgi, a quibus olim Burgundiones, inquit Pithœus. *Adversar.*, lib. I, cap. 14.

Digitized by Google Распознавание текста ABK/FR

ποντο μετὰ τῆς ἄλλης στρατιᾶς. Ἐπεὶ δὲ μετὰ τὴν ἐκείνων ἀναχώρησιν προσῆλθον, ἔλυσεν ὁ βασιλεὺς πέμψας ὅσους μάλιστα ἐνῆν. Τοὺς πλείους δὲ εἰς ἓν ἤγαγον ἐπὶ δουλείᾳ. Ῥωμαῖοι δὲ ἀνθρώπους μὲν οὐκ ἐξηνδραποδίζοντο. Οὐδὲ γὰρ ἔξεστιν αὐτοῖς εἰ μὴ ἀπὸ βαρβάρων εἶεν τῶν τῇ Σωτῆρος Χριστοῦ ὑπὲρ ἡμῶν οἰκονομίᾳ μὴ πεπιστευκότων. Βοσκημάτων δὲ ἐκράτησαν σχεδὸν ἀριθμὸν ὑπερβαινόντων, ἐπίπλων τε καὶ ἄλλων τινῶν χρημάτων οὐκ ὀλίγων. Ἐλέγετο δὲ, καὶ ἦν ἀληθὲς, ὡς ὕστερον ἐξ αὐτῶν τῶν κακῶς παθόντων βασιλεῖ προσελθόντων μετὰ τὴν συμφορὰν ἐκείνην τὴν μεγάλην ἀριθμούντων τὰ αὐτῶν ἐγένετο καταφανὲς ὡς κρατήσειαν οἱ Ῥωμαῖοι κατὰ τὴν λείαν βοῶν μὲν τριάκοντα μυριάδων, πεντακισχιλίων δὲ ἵππων, προβάτων δὲ μυριάδων εἴκοσι καὶ ἑκατόν. Τοσαῦτα δὲ ὄντα τὸ πλῆθος, ἄγειν μὲν οὐκ ἠδύνατο ἡ στρατιὰ, ἀλλὰ τοὺς ἔχοντας μόνον ἀπελάσαντες, κατέλιπον φέρεσθαι ἀνόμευτα ὡς ἔτυχεν. Αἵ τε πόλεις ὅσαι πρότερον κακῶς πάσχουσαι ἦσαν ὑπὸ Ἀλβανῶν, ἐξερχόμενοι ἦγον ὅσα ἕκαστος ἐβούλετο κωλύοντος οὐδενὸς, αὐτοί τε οἱ ἔχοντες, μετὰ τὸ ὑπὸ βασιλέα γενέσθαι καὶ ἐπαγγείλασθαι δουλείαν, πολλῶν ἐγένοντο αὖθις κύριοι, κατὰ νάπας καὶ τὰς φάραγγας εὑρόντες διεσκεδασμένα, ὠνήσαντό τε καὶ ἀπὸ τῆς στρατιᾶς πολλὰ· ὑπὲρ πεντακοσίων ἕνα παρέχοντες χρυσοῦν προβάτων, ὑπὲρ βοῶν δὲ, ἑκατόν. Ἔθους δὲ ὄντος πρότερον τῇ στρατιᾷ, ἐπειδάν τινος κρατήσωσι λείας, ἢ πλείονος ἢ ἐλάσσονος, τὴν πέμπτην μοῖραν παρέχειν ἀριστεῖον βασιλεῖ, καὶ μετ' ἐκεῖνον τῷ μεγάλῳ δομεστίκῳ ἴσην οἵα δὴ τῆς συμπάσης ἡγουμένῳ στρατιᾶς, τότε οὐδὲν ἐποίουν τῶν εἰωθότων. Οὐδέ τις ἠνώχλει αὐτοῖς περὶ τῆς πέμπτης. Ἀλλ' ὥσπερ ἐξ ἀεννάων ποταμῶν ἐξῆν ἑκάστῳ ὅσων ἂν βούλοιτο κύριος γενέσθαι. Τοιαῦτα μὲν Ἀλβανοὶ πρότερον τοὺς ἑσπερίους ἠδίκουν· τοιαύτην δὲ ἔδοσαν τὴν δίκην ὑπὲρ ὧν ἠδίκουν ὕστερον. Πόλεις δὲ αἱ πρότερον πάσχουσαι κακῶς διπλῆς ἀπήλαυσαν εὐεργεσίας· ἐπηρείας τε τῆς παρὰ Ἀλβανῶν ἀπηλλαγμένοι καὶ τῆς βασιλέως ἀπολαύσαντες ἐπιδημίας καὶ προνοίας. Ὃ μεῖζω καὶ λαμπροτέραν αὐτοῖς τὴν ἡδονὴν ἐποίει, καὶ ἑορτὴν ἦγον τὴν πασῶν χαριεστάτην. Ἀπὸ γὰρ τῶν Κομνηνοῦ τοῦ Μανουὴλ βασιλέως χρόνων ἄχρις Ἀνδρονίκου τῶν Παλαιολόγων τοῦ δευτέρου βασιλέως ἕτερος βασιλεὺς οὐκ ἐπεδήμησεν αὐτοῖς, οὐδὲ προνοία; ἠξίωσε τοσαύτης. Διὸ καὶ τὴν ἐπιδημίαν αὐτοῦ οὐχ ὡς τῶν ἐπιγείων τινὸς, τῶν κρειττόνων δὲ ἦγον. Τοὺς μὲν οὖν Πέρσας μετὰ τὸ καταδουλώσασθαι Ἀλβανοὺς ἀπέπεμπεν ὁ βασιλεὺς εἰς τὴν οἰκείαν. Οἱ καὶ διὰ Θετταλίας καὶ Βοττιαίας εἰς Θεσσαλονίκην καταντήσαντες ἐκεῖθεν ταῖς ναυσὶν ἐπεραιώθη-

enim illis nefas) nisi e barbaris, qui Christi Servatoris œconomiam non credunt (52). Pecoris autem numero quodam infinito, præterea supellectile, aliisque rebus plurimis potiti sunt. Ferebatur porro, nec secus erat, postmodum ex ipsis spoliatis, qui se imperatori dedidissent, et post calamitatem illam magnam sua recensuissent, cognitum esse, Romanos in præda adeptos boum trecenta, equorum quinque, ovium **303** duodecies centena millia. Tam immensos greges agere exercitus non poterat: sed dominos tantum abripientes, sine pastoribus eos vagari sinebant. At urbes ab Albanis indigna perpessæ accurrentes, unaquæque quantum libebat, nemine obstante, auferebat. Ipsi possessores, cum de cætero subjectionem spopondissent, non parum recuperarunt, per silvas et valles dispersa invenientes, et ab exercitu quoque multa mercati, pro quingentis ovibus unum, pro totidem vero bobus centum aureos numeraverunt. Consueverat antea exercitus aliqua præda capta quantacunque foret, quintam partem imperatori in fortitudinis præmium seu honorarium offerre, ac secundum illum æque tantum magno domestico, velut duci summo totius exercitus. Hanc consuetudinem tunc penitus omisit; neque fuit qui de quinta parte non reddita conquereretur, sed quasi e perennibus fluviis cuivis quantum sibi pro peculio vellet, tollere integrum erat. Has Albanis occidentalibus injurias irrogarunt, et hancce postea mercedem pro male factis retulerunt. Urbes vero prius direptæ, duplicem fructum perceperunt, et rapinis Albanorum liberatæ, et quod illis uberiorem liquidioremque voluptatem afferebat, imperatoris adventu procurationeque perfruitæ. Quocirca et festum diem omnium in vita jucundissimum agebant. Nam a temporibus Manuelis Comneni imperatoris usque ad hunc Andronicum Palæologorum secundum, alius ad eos imperator non venit, neque tam sollicite illis prospexit. Unde etiam non e terris aliquem mortalem, sed tanquam divum quempiam e cœlis ad se venisse interpretati sunt. Persas compressis Albanis imperator dimisit: qui per Thessaliam et Botiæam Thessalonicam devenientes, inde navibus in Ioniam transmiserunt. Ipsum autem cura de irruptione in Acarnaniam versabat: quo adhuc apud Balagrita morante, de infesto ejus adventu fama jam divulgata multus inter Acarnánas sermo fuit. Erant igitur, qui neque in urbes admittendum, neque a vetusta ergo Angelos, qui longo jam ævo ipsis imperitassent, benevolentia desciscendum, atque imperatori deinceps parendum, sed potius

Jacobi Pontani notæ.

(52) Placet mihi, quod lego apud Jacobum Billium, *Observat. sacrar.* lib. I, cap. 40. Cum innumeris locis Græci Patres οἰκονομίαν ἀντὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ accipiant, eamque etiam ita Theodoretus exponat in Polymorpho, qui tum *dispensationem*, vel *administrationem* vertere malunt, quam *incarnationem*, vel *assumptam humanitatem*, vel (nisi quod hoc vocabulum durius est) *inhumanationem*: quam recte id faciant, ipsi viderint; mihi quidem nihil dicere videntur, quod lector Græci sermonis ignarus intelligat. Docet etiam Budæus commentariis linguæ Græcæ, οἰκονομίαν valere ἐνανθρώπησιν. Imo vita Christi, et ejus theurgia tota, et provincia illi a Deo Patre injuncta, Græcis Patribus οἰκονομία dicitur.

Digitized by Google Распознавание текста ABK/FR

reginæ Annæ, conjugi Joannis despotæ, filiæ protovestiarii (quem postremum inter imperatores bellum potissimum excitasse docuimus) et Nicephoro ejus filio constanter fidem servandam esse censebant. **304** Alii contra, imperatorem omnino recipi, ac belli sementem tolli volebant. Cui si nunc se tradidissent, et regionem, et semetipsos bellicarum miseriarum immunes conservaturos, reginæque ac Nicephoro ejus gnato conducibilia ab imperatore petituros ; sin ad arma veniatur, primum quidem illi resistere non posse, non modo quia exercitum frequentem adducat, verum etiam quoniam qui illi cum copiis occurrat, quique contra stet nemo sit, Nicephoro despotæ filio annum septimum nondum nato. Quod si etiam aliquandiu se queant defendere, nihilo plus profecturos, quam ut regione devastata, et conciso exercitu, tandem et ipsi, non iisdem quibus nunc, sed longe intolerabilioribus conditionibus, imperatore, quia bellum maluerint, iratissimo deditionem facere cogantur. Hæc illis quæ dicerent, occurrerunt, sperantibus non sibi solum et aliis, sed et imperatoris studiosis (ad quos clanculum arcanas litteras missitarat, quo tempore Albanis populationem vastitatemque inferebat) consilium prospere eventurum. Cum sic studia in contraria scinderentur, placuit ad reginam quoque referre, ut quo ipsa propenderet, eo omnes sequerentur. Quæ primum gratiis actis, quod non sibimet duntaxat, sed ipsi quoque et ejus filio providerent, arma dissuasit, quibus non essent bene defuncturi : quando ipsa sit mulier, filius infans, illi propter interregnum factionibus distracti ac perituri. Verum de ipsis prudentissimos, gerendæque reipublicæ scientissimos deligendos, qui ad imperatorem legati, petant : primum, ut magni domestici filiam Nicephoro filio suo despondeat ; post, si fieri queat, ut eos suis viventes legibus regnum administrare pro arbitrio patiatur. Copias præsentes tradituros, quibus quo vellet uteretur : et ipse vicissim si illi egerent, auxilium suppeditaret. Si his conditionibus spretis, regnum sibi omnimodis subjicere contenderet, petitis quæ in suam, et filii, et illorum rem sint, ei cedendum ; ne per contentionem et se, et regionem gravissimis belli calamitatibus involvant.

A σαν πρὸς Ἰωνίαν. Αὐτὸς δὲ διενοεῖτο ὡς εἰς Ἀχαρναν-
ίαν ἐμβαλών. Ἔτι δὲ κατὰ τὰ Βαλάγριτα διατρί-
βοντι λόγος Ἀχαρνάσι πολὺς ἐγίνετο περὶ αὐτοῦ.
Φήμη γὰρ διῆει ὡς αὐτοῖς ἐπιστρατεύσει. Οἱ μὲν
οὖν μὴ δέχεσθαι ταῖς πόλεσιν ἠξίουν, μηδὲ τῆς
παλαιᾶς εὐνοίας τῆς πρὸς τοὺς Ἀγγέλους ἀποστάν-
τας, πολὺν ἤδη χρόνον ἄρξαντας αὐτῶν, ὑπὸ βασιλεῖ
ὑποχειρίους γίνεσθαι, ἀλλὰ τῇ δεσπότου Ἰωάννου
γυναικὶ τῇ βασιλίσσῃ Ἄννῃ, ἣ πρωτοβεστιαρίου
θυγάτηρ ἦν Ἀνδρονίκου τοῦ Παλαιολόγου, ὃν ἱστο-
ρήκαμεν τοῦ πρὸς ἀλλήλους τελευταίου τῶν βασι-
λέων πολέμου μάλιστα αἰτιώτατον γεγενημένον, καὶ
Νικηφόρῳ τῷ ἐκείνου παιδὶ τὴν πίστιν τηρεῖν βε-
βαίαν. Οἱ δὲ ἀντέλεγον· καὶ δεῖν ἐβουλεύοντο δέ-
χεσθαι βασιλέα, καὶ μὴ πόλεμον κινεῖν. Προσχωρή-
B σαντας γὰρ νῦν τῷ βασιλεῖ, τήν τε χώραν διατηρή-
σειν, καὶ σφᾶς αὐτοὺς τῶν ἐκ τοῦ πολέμου ἀπειρά-
τους κακῶν, καὶ βασιλίσσῃ, καὶ Νικηφόρῳ τῷ ἐκείνης
παιδὶ παρὰ βασιλέως τὰ συμφέροντα αἰτήσειν. Ἐὰν
δὲ καταστῶσι πρὸς τὸν πόλεμον, πρῶτον μὲν οὐ
δυνήσεσθαι πρὸς βασιλέα ἀντισχήσειν, οὐ μόνον
διὰ τὸ πολλὴν ἄγειν στρατιάν, ἀλλ' ὅτι καὶ ὁ ἀν-
τιστρατηγήσων αὐτῷ καὶ πρὸς τὸν πόλεμον ἀντι-
καταστησόμενος οὐκ ἔστι, Νικηφόρου τοῦ δεσπότου
παιδὸς οὔπω ἔτη ἑπτὰ γεγενημένου. Εἰ δὲ καὶ ἀν-
τιστῆναι δυνήσονται πρὸς χρόνον, οὐδὲν λυσιτελήσειν
πλέον, ἢ ὅσον τῆς τε χώρας ἀναστάτου γινομένης,
καὶ τῆς στρατιᾶς διεφθαρμένης, τελευταῖον βασιλεῖ
καὶ αὐτοὺς ὑπ' ἀνάγκης προσχωρεῖν, οὐκ ἐπὶ τοῖς
C αὐτοῖς ὥσπερ νῦν, ἀλλὰ χείροσι πολλῷ, ὀργῇ φερο-
μένου βασιλέως πρὸς αὐτοὺς διὰ τὸν πόλεμον.
Τοιαῦτα δὲ αὐτοῖς ἐπῇει λέγειν, οὐ μόνον οἰομένοις
ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις τὴν βουλὴν λυσιτελεῖν,
ἀλλὰ καὶ τὰ βασιλέως πράττουσιν ἀφανῶς (κρύφα
διὰ γραμμάτων πρὸς αὐτοὺς διειλεγμένου καθ' ὅσον
χρόνον ἐληίζετο καὶ ἐπόρθει Ἀλβανούς). Οὕτω δ'
ἑκατέροις αὐτοῖς βουλευομένοις ἀλλήλοις ἐναντία,
ἐδόκει δεῖν καὶ βασιλίσσῃ τὴν βουλὴν ἀνατιθέναι ὡς
ἄττα ἂν ἕλοιτο αὐτὴ, διαπραξομένων καὶ αὐτῶν· ἡ
δὲ πρῶτα μὲν ὡμολόγει χάριτας αὐτοῖς πολλὰς, ὡς
οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ αὐτῆς καὶ τοῦ
παιδὸς πρόνοιαν ποιουμένοις. Συνεβούλευέ τε μὴ
πρὸς βασιλέα πόλεμον κινεῖν ὡς οὐκ ἀπαλλάξοντας
καλῶς, οἷα δὴ αὐτῆς μὲν οὔσης γυναικὸς, τοῦ παι-
D δὸς δὲ νηπίου, αὐτῶν δὲ διὰ τὴν ἀναρχίαν στασια-

Digitized by Google

Распознавание текста ABK/FR

σόντων πρὸς ἀλλήλους καὶ διαφθαρησομένων, ἀλλὰ πρεσβείαν πρὸς βασιλέα πέμπειν, τοὺς συνετωτάτους ἑαυτῶν καὶ μάλιστα εἰδότας πράγμασι χρῆσθαι ἀπολεξαμένους· καὶ πρῶτα μὲν αἰτεῖν τὴν μεγάλου δομεστίκου θυγατέρα Νικηφόρῳ τῷ ἐκείνης παιδὶ κατεγγυᾶν. Ἔπειτα, εἰ μὲν οἷόν τε ᾖ, αὐτονόμους ἐᾶν, τὴν ἰδίαν ἀρχὴν ἣ βούλωνται διοικεῖν αὐτοί. Στρατιὰν δὲ παρέχειν ὅση πρόσεστι πολεμησείουσαν οἷς ἂν κελεύοι βασιλεύς. Καὶ αὐτὸν ὁμοίως ἄν τις αὐτοῖς ἐπίῃ, συμμαχίαν πέμπειν. Ἂν δὲ μὴ βούλοιτο ἐπὶ τούτοις βασιλεὺς, ἀλλ' ὀφ' ἑαυτῷ παντάπασι τὴν ἡμετέραν ποιεῖσθαι ἀρχὴν φιλονεικοίη, ὅσαπερ ἂν δοκοίη ἐμοί τε καὶ υἱῷ καὶ ὑμῖν λυσιτελεῖν αἰτησαμένους, τῆς ἀρχῆς καὶ τῶν πόλεων παραχωρεῖν, καὶ μὴ διὰ φιλονεικίαν ἑαυτούς τε καὶ τὴν χώραν τοῖς ἐκ τοῦ πολέμου κακοῖς ἐσχάτοις περιβάλλειν.

305 CAPUT XXXIII.

Approbatur reginæ consilium. Legati ad imperatorem mittuntur. De nuptiis cum domestici filia asciscitur; αὐτοκράτειαν recusat. Deditur Acarnania. Mansuetudo et munificentia imperatoris in dedititios, ac providentia oppidatim. Puer Nicephorus a malevolis Tarentum traducitur. Imperator constitutis præfectis et prætore, et Deo recuperatam tandem aliquando provinciam gratulans, Thessalonicam abit. Filiam Alexandro Mœsorum regi despondet.

Τοιαῦτα μὲν βασίλισσα παρῄνει Ἀχαρνάσιν. Ἐπεὶ δὲ πλείους ἦσαν οἱ βουλόμενοι τὰ ἴσα (ὀλίγοι γὰρ ἦσαν οἷς πρὸς βασιλέα πολεμητέα ἐδόκει εἶναι), ἐπεψηφίζετο ἡ βουλή, καὶ πρεσβείαν ἀπελέξαντο ἑαυτῶν τοὺς μάλιστα συνετωτάτους, οἷς ἐπετέτραπτο πρὸς βασιλέα ἀπελθοῦσιν, ἅττα ἂν μάλιστα συμφέρειν πᾶσι κοινῇ καὶ ᾗ δυνατὰ πράττειν. Οἳ καὶ εἰς Βαλάγριτα ἐλθόντες προσεκύνησάν τε βασιλέα, καὶ διειλέχθησαν περὶ ὧν ἦκον. Βασιλεὺς δὲ, τὸ μὲν Νικηφόρῳ τῷ δεσπότου παιδὶ τὴν μεγάλου δομεστίκου θυγατέρα πρὸς γάμον συνάπτειν, καὶ αὐτῷ εἶναι κατὰ γνώμην εἶπε, καὶ τὸν γάμον ἐπιτρέπειν· καὶ περιόντος γὰρ ἔτι δεσπότου τοῦ Νικηφόρου πατρὸς πρεσβείαν τούτου ἕνεκα πεπομφότος πρὸς αὐτὸν ἐπιτετραφέναι. Βασιλίσσης τε τῆς ἐκείνου μητρὸς καὶ θυγατέρων πρόνοιαν τὴν προσήκουσαν ποιήσεσθαι, ἀποστάσης τῆς ἀρχῆς, ὥστε διάγειν ὅποι ἂν αὐτῷ βέλτιον δοκῇ. Αὐτούς τε εὐεργετήσειν τιμαῖς τε καὶ προσόδοις ἐτησίοις ὧν ἂν ἕκαστος ἄξιος κριθῇ. Αὐτονόμους δὲ αὐτοὺς ἔχοντας Ἀκαρνανίας τὴν ἀρχὴν, οὐκ ἂν παρόψεσθαι· ἀλλ' ἐπιχειρήσειν παντὶ τῷ τρόπῳ καταδουλοῦν καὶ ὑπάγειν ἑαυτῷ. Καὶ βασιλέας γὰρ τοὺς αὐτοῦ προγόνους πολλὴν φροντίδα πεποιῆσθαι τοῦ Ἀκαρνανίαν ὑφ' ἑαυτοὺς ποιεῖσθαι, ἀδίκως ἀποτετμημένην τῆς Ῥωμαίων ἡγεμονίας, τῶν πρώτως αὐτὴν ἀποστησάντων αὐθαδείᾳ καὶ ἀγνωμοσύνῃ τῇ πρὸς βασιλέα εἰς ἰδίαν ἑαυτοῖς ἀρχὴν περιποιησαμένων, καὶ κρατυναμένων ἐπὶ χρόνον ἤδη συχνόν τινα, διὰ τὸ βασιλέας εἰς ἐθνῶν τινων πολέμους ἑτέρους ἠσχολῆσθαι. Νυνὶ δὲ αὐτὸν ἀμελήσαντα τῶν ἄλλων, ἐνθάδε ἥκειν. Εἰ μὲν οὖν ἐθέλωσιν ἄνευ πόνων καὶ κινδύνων τὰς πόλεις αὐτῷ παραδιδόναι, αὐτόν τε πραγμάτων ἀπαλλάξειν, καὶ σφίσιν αὐτοῖς αἰτίους γενήσεσθαι μεγάλων ἀγαθῶν. Ἐὰν δὲ μὴ, ὡς πολεμήσοντας αὐτῷ παρασκευάζεσθαι ἀπελθόντας. Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν. Οἱ πρέσβεις δὲ ὁρῶντες, ὡς εἰ μὴ πείθοιντο τοῖς βασιλέως λόγοις, οὐδενὸς ἑτέρου λειπομένου ἢ διαφθειρομένην ὑπὸ τοῦ πολέμου τὴν γῆν αὐτῶν ὁρᾶν, παρεσκευασμένης ἐσβάλλειν οὔσης τῆς Ῥωμαίων στρατιᾶς, σφᾶς τε αὐτοὺς καὶ τὰς πόλεις συνέβησαν παραδιδόναι· καὶ μετ' οὐ πολὺ βασιλέως ἐκεῖ γενομένου, αἵτε πόλεις πᾶσαι προσεχώρησαν ἑκοῦσαι, καὶ ἡ στρατιὰ ἅμα τοῖς δυνατοῖς τῶν Ἀκαρνάνων. Βασιλεύς τε ἐπιδεικνύμενος πρὸς αὐτοὺς πολλὴν τὴν πραότητα καὶ φιλοτιμίαν, οὐ μόνον τοὺς τῶν πόλεων δήμους κοιναῖς εὐεργεσίαις ἐθεράπευεν, ἀλλὰ καὶ τοὺς δυνα-

A Tale consilium regina Acarnanibus dabat. Et quoniam, paucis bellum præoptantibus, major pars cum ea sentiebat, ratum fuit, lectique ex ipsis qui legatione fungerentur, intelligentissimi, quibus quæcunque omnibus communiter maxime conducerent, et fieri possent, commissa sunt. Legati Balagrita ingressi, et imperatorem venerati, legationem exposuerunt. Is cum Nicephoro despotæ filio magni domestici gnatam conjungi, sibi quoque non displicere respondit, et nuptias permissurum: quod etiam superstite Nicephori parente, et id per legatos rogante concesserit. Reginam matrem vero cum filiabus, ubi se principatu abdicaverint, pro dignitate curaturum, ut ubi collibuerit, vitam traducat: ipsos legatos ac principes honoribus et annuis reditibus, unumquemque suæ personæ convenienter
B affecturum. Ut autem, nullius imperio subjecti, Acarnaniæ principatum retineant, id se minime passurum, sed omni ope enisurum, ut eum ditioni suæ subjuget atque subdat. Nam et majores suos imperatores admodum cordi habuisse, uti Acarnaniam injuste a Romano abscissam imperio eodem revocarent: quæ quorumdam superbia et scelere adversus imperatorem principio ab ejus fide avocata, deinde in eorum dominatum, jam longinquo tempore, dum imperatores bello cum aliis aliquot gentibus occupantur, corroboratum conversa sit. Nunc aliis posthabitis, huc se profectum. Si igitur citra labores, periculaque urbes sibi tradere velint,
C et se molestiis liberatum iri, et eos ingentia sibimet bona conciliaturos fore. Sin minus, abirent, et viderent, quomodo fortunas suas tuerentur. Hæc imperator. Legati cernentes, nisi parerent, nihil superesse aliud quam ut regionem suam hostiliter devastatam aspicerent, parato ad irruptionem Romano exercitu, seque urbesque tradituros annuerunt:
306 ac brevi civitates omnes, unaque militares copiæ (53), et Acarnanum principes in præsentis adhuc potestatem libentes concesserunt. Imperator egregiam in illos mansuetudinem ac munificentiam declarans, non modo populos per oppida novis congiariis delinivit, verum etiam summates honoribus, et annuis pensionibus, aliisque donis remuneratus est, Nicephoroque magni domestici filiam despondit, et
D omnibus arbitratu et opinione sua rectissime ordinatis constitutisque, urbes Acarnaniæ singulas non lustrandi tantum gratia, quod eas ante non vidisset, sed etiam ut pro necessitate illarum rebus

Jacobi Pontani notæ.

(53) De ista deditione, atque adeo de tota expeditione, et victoria contra Acarnanas, ita Gregoras: *Jam vero imperatorem Ætolorum et Acarnanum res male affectæ, et propter domini eorum obitum laborantes vocabant. Principatus enim, qui a vidua muliere, et immaturæ ætatis puero gubernari non poterat, temere ferebatur, veluti navigium anchoris destitutum, quod hiberno tempore a fluctibus exagitatur*, etc.

Digitized by Google Распознавание текста ABK/FR

consuleret, obivit. Ac cæteri quidem omnes imperatoris jugum æquis animis accipiebant. Quibus autem antea bellum potius arriserat, a rebus novandis non se abstinere poterant : existimantesque bello se valituros, si Nicephorum puerum prius emisissent, ut et ipsi pro eo pugnare viderentur, et alios ad armorum societatem permoverent, Richardum pueri pædagogum, et alios quosdam eo perpulerunt, ut Nicephorum ducam clandestina fuga subducerent : quem noctu in navim, Ionium pelagus trajecturum imponunt, et ad principem, seu dominam Tarentinam transfugiunt (54). Qua fuga audita, imperator artificum insidiis necdum cognitis et propter Tarenti longam ab Acarnania distantiam puerum revocare haud potis, paulum urbibus illis immoratus, et in singulas præsidibus institutis, eorumque omnium duce protostratore Synadeno declarato, et aliis demum omnibus pro arbitrio administratis, Thessalonicam discessit : gaudens simul, ac Deo gratulans, quoniam quod a Romano imperio, idque sub Alexio Angelo (55) semel abstractum, multis sumptibus et defatigationibus majores sui imperatores recuperare nequiverant, id nunc sine bellicis offensionibus prospero successu perficere sibi annuisset. Nam et Michael, qui ex Palæologis primus imperavit, Acarnaniæ et Thessaliæ causa enixe laboravit, qui et magnos sæpe et strenuos exercitus eximiosque duces cum Acarnanibus et Thessalis depræliando perdidit, et post illum Andronicus filius. Huic autem parva molitione, et nihil belli causa durum perferenti, non solum Acarnaniam, sed Thessaliam quoque subigere, et jampridem sejunctas provincias cum reliquo imperio Romano denuo consociare contigit. **307** Paulo post Adrianopolin se contulit, ubi Mœsorum rex Alexander verborum quæ Rhosocastri ad eum super affinitate habuisset, memoriam ei per legatos redintegravit, certiorque fieri voluit, ecquid hoc matrimonium ei cordi esset. Legatio hæc imperatori parum jucunda fuit; filiam quippe suam domi retinere, quam Alexandri filio in communionem tori transdere maluisset, cum sciret puellæ, moribus ac legibus Græcis et imperatoriis educatæ, convictum barbarorum delectabilem non futurum. Tamen eas nuptias Romanæ reipublicæ commodaturas arbitratus, virginem suam despondit (56). Legati, quod imperatori affinitatis conjunctionem persuadere potuissent, gaudio delibuti recesserunt; ipse Byzantium filiæ nuptias adornaturus rediit.

A μένους παρ' αὐταῖς, τιμαῖς τε καὶ προσόδοις ἐτησίοις καὶ ἄλλαις ἠμείψατο εὐεργεσίαις. Νικηφόρῳ τε τῷ δεσπότου παιδὶ τὴν μεγάλου δομεστίκου κατηγγύησε θυγατέρα, πάντα τε διαθέμενος ὡς ἂν αὐτῷ ἔχειν ἄριστα ἐδόκει, τὰς πόλεις πάσας τῆς Ἀκαρνανίας περιῆει οὐ μόνον ἱστορίας ἕνεκα, οὔπω πρότερον ἑωρακὼς, ἀλλὰ καὶ προνοίας ἀξιώσων τῆς δεούσης. Οἱ μὲν οὖν ἄλλοι πάντες ἡγάπων ὑπὸ βασιλέα τεταγμένοι. Οἷς δὲ καὶ πρότερον ἐδόκει μᾶλλον ὁ πόλεμος αἱρετέος, οὐκ ἠνείχοντο εἰ μὴ νεωτερίζοιεν· οἰόμενοι δὲ αὐτοῖς δύναμιν πρὸς τὸν πόλεμον παρέξειν, τὸν Νικηφόρον τὸν δεσπότου παῖδα πρότερον ἐκθέσθαι, ὡς ἂν αὐτοί τε ὑπὲρ τοῦ παιδὸς δοκοῖεν πολεμεῖν, καὶ τοὺς ἄλλους πείθοιεν συναίρεσθαι ὅταν καταστῶσιν εἰς τὸν πόλεμον, τὸν B τοῦ παιδὸς ἔπεισαν παιδαγωγὸν Ῥιτζάρδον, ἅμα καί τισιν ἑτέροις, Νικηφόρον τὸν δούκαν ὑπεκθέσθαι, καὶ παραλαβόντες νυκτὸς, πλοίου τε τὸν Ἰόνιον περαιουμένου ἐπιβάντες, εἰς τὴν Τάραντος κρατοῦσαν πριγκίπισσαν διαφεύγουσι. Πυθόμενος δὲ τὸν δρασμὸν ὁ βασιλεὺς, καὶ μήτε τῶν συνεσκευακότων τὴν ἐπιβουλὴν εἰδὼς, ἀναλαβεῖσθαί τε τὸν παῖδα ὢν οὐ δυνατὸς, διὰ τὸ πολὺ Ἀκαρνανίας Τάραντα διεστηκέναι, ἐπ' ὀλίγον ταῖς πόλεσιν ἐκείναις ἐνδιατρίψας καὶ πάσαις ἡγεμόνας ἐπιστήσας ἐφ' ἑκάστῃ, τόν τε πρωτοστράτορα Συναδηνὸν ἐπὶ πᾶσιν ἀποδείξας στρατηγὸν, καὶ τ' ἄλλα πάντα ὡς ἂν αὐτῷ ἐδόκει διοικησάμενος, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Θεσσαλονίκην, χαίρων ἅμα καὶ Θεῷ τῆς εὐεργεσίας χάριτας ὁμολογῶν, ὅτι ἃ πολλοῖς ἀναλώμασι C καὶ πόνοις ἐκ τῶν Ἀλεξίου τοῦ Ἀγγέλου χρόνων τῆς Ῥωμαίων ἀποτμηθὲν ἡγεμονίας οἱ τούτου πρόγονοι βασιλεῖς ἀνασώσασθαι οὐκ ἴσχυσαν, τοῦτο νῦν ἄνευ πολέμων καὶ κινδύνων παρέσχε κατορθῶσαι. Μιχαὴλ τε γὰρ ὁ πρῶτος ἐκ Παλαιολόγων ἄρξας πολλὴν ἐνεδείξατο σπουδὴν Ἀκαρνανίας ἕνεκα καὶ Θετταλίας, καὶ στρατιὰν ἀπώλεσε πολλήν τε καὶ ἀγαθὴν, πολλάκις καὶ θαυμασίους στρατηγοὺς, Ἀκαρνάσι καὶ Θετταλοῖς πολεμῶν, καὶ μετ' αὐτὸν Ἀνδρόνικος ὁ υἱός. Τούτῳ δὲ ὀλίγα πραγματευσαμένῳ καὶ οὐδὲν ὑποστάντι διὰ τὸν πόλεμον δεινὸν, οὐ μόνον Ἀκαρνανίαν, ἀλλὰ καὶ Θετταλίαν ἐξεγένετο παραστήσασθαι καὶ τῇ λοιπῇ συνάψαι ἡγεμονίᾳ τῇ Ῥωμαίων ἐπ' ἔτεσι πολλοῖς ἀποτμη- D θέντα. Ἐκεῖθεν δὲ οὐ πολὺ ὕστερον ἦκεν εἰς Ἀδριανούπολιν· διατρίβοντί τε ἐκεῖ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος, ἐπεμψε πρεσβείαν ὧν πρὸς αὐτὸν ἐν Ῥωσοκάστρῳ περὶ τοῦ κήδους διειλέχθη λόγων ἀναμιμνήσκων, νυνί τε εἰ κατὰ γνώμην αὐτῷ

Jacobi Pontani notæ.

(54) Græce est, εἰς τὴν Τάραντος κρατοῦσαν πριγκίπισσαν, ex Italico, ut alia multa, *principessa*. Quæ autem hæc mulier vidua fuerit, capite sequenti exponitur.

(55) Sub Alexio Angelo juniore, Isaacii filio, quem Alexius Angelus frater occiderat, circiter annum a Christo nato 1200, sed mense post restitutionem suam in imperium vix exacto (restitutus est autem Gallorum, seu Flandrorum, et Venetorum armis) a Murtzuphlo quodam ignobili, quem tamen ad summum dignitatis gradum extulerat, fraude puer necatur (erat autem annorum 12); urbs Gallis Venetisque dedita est, et imperium deinceps penes Francos seu Flandros fuit. Egnatius, lib. II.

(56) Puellam tum novem annos explevisse, adolescentem vero quindecim, auctor est Gregoras. Unde firma pax inter Romanos et Mœsos constituta sit. De puella vix credi potest. A jureconsultis quidem tempus nuptiis idoneum annis duodecim circumscribitur in femina.

Digitized by Google Распознавание текста ABK/FR

εἴη τὴν ἐπιγαμίαν ποιεῖσθαι εἰδέναι, ἀξιῶν. Βασιλεῖ δὲ τοῦτο μὲν οὐκ ἦν καθ' ἡδονήν. Μᾶλλον γὰρ ἐβούλετο τὴν θυγατέρα οἴκοι διατρίβειν, ἢ Ἀλεξάνδρου τῷ υἱεῖ εἰς κοινωνίαν ἐκδιδόναι γάμου, τὴν παρὰ τοῖς βαρβάροις διατριβὴν εἰδὼς οὐκ ἐσομένην πρὸς ἡδονὴν τοῖς ἤθεσι καὶ νόμοις Ἑλληνικοῖς ἐντεθραμμένῃ καὶ βασιλικοῖς. Τῷ κοινῷ δὲ Ῥωμαίων τὸν γάμον οἰόμενος τῆς θυγατρὸς λυσιτελεῖν, ὑπέσχετο ποιήσειν. Οἱ μὲν οὖν Ἀλεξάνδρου τοῦ βασιλέως πρέσβεις πρὸς τὴν οἰκείαν ἐπανῆκον χαίροντες, ὅτι βασιλέα πεῖσαι ἠδυνήθησαν περὶ τοῦ κήδους. Αὐτὸς δὲ βασιλεὺς ἐκ τῆς Ἀδριανοῦ πρὸς τὸ Βυζάντιον ἦκεν, ὡς τῆς θυγατρὸς ἐξαρτυσόμενος τοὺς γάμους.

CAPUT XXXIV.

Persarum incursio, et in illis trucidandis, capiendis, fugandisque magni domestici, ipsius imperatoris præclara virtus. Nuptiæ apud Adrianopolin filiæ Mariæ cum Michaele Alexandri filio. Ducitur nova nupta in Mœsiam. Acarnanes deficiunt; protostratorem in carcerem trudunt; Nicephorum a principe Tarentina repetunt, et ab ea auxilium petunt. Quem illa libenter e duabus filiabus altera ei desponsa dimittit. Quænam hæc mulier, et quam ambitiosa fuerit. Joannes Angelus Pincerna, et Monomachus cum copiis in Acarnaniam mittuntur. Eodem postea veniens imperator res memorabiles gerit.

Ὄντος δὲ ἤδη περὶ ἐκβολὰς τοῦ θέρους, ἠγγέλ- A λετο ἐκ Τριγλείας τῆς πρὸς Ἑλλήσποντον ὡς στρατιὰ Περσῶν πεζὴ, ἐκ τῶν κατὰ τὴν ἕω πόλεων λογάδες, ὧν Ὀρχάνης ἐστὶ σατράπης, ἓξ καὶ τριάκοντα ναυσὶ πρὸς τὰ περὶ Βυζάντιον χωρία εἰσὶ παρεσκευασμένοι περαιοῦσθαι, ἢ ταύτῃ καθ' ἣν ἠγγέλλετο τὴν νύκτα, ἢ ἐς τὴν ὑστεραίαν· εἶναι δὲ οὕτω παρεσκευασμένους ὡς οὐ ταχέως ἐπανήξοντας, οὐδὲ λαθραίαν τὴν ἁρπαγὴν ποιησομένους, ἀλλ' ἀναίδην, καὶ μετὰ πολλοῦ τοῦ περιόντος ἅπαντα ληΐσομένους. Παρασκευάσασθαι μὲν οὖν ἀντίρροπον δύναμιν πρὸς τὴν Περσικὴν οὐκ ἐνῆν, οὐκ ἐνδιδόντος τοῦ χρόνου διὰ τὴν ταχεῖαν τῶν βαρβάρων ἔφοδον. Ὅμως δὲ τὴν τότε παρατυχοῦσαν ἐν Βυζαντίῳ στρατιὰν εὐαρίθμητόν τινα οὖσαν, τὸν B μέγαν δομέστικον ἐκέλευεν ὁ βασιλεὺς παραλαβόντα, πρὸς τὰ περὶ Βυζάντιον χωρεῖν παράλια χωρία τὴν ἔφοδον τῶν βαρβάρων περιμένοντα. Αὐτὸς δὲ ὡς ἅμα ἐκ θαλάσσης ἐπιθησόμενος, ἐφώπλιζε τριήρεις. Ὁ μέγας μὲν οὖν δομέστικος πρός τινι χωρίῳ Ἐννακοσία προσαγορευομένῳ ἐγκαθίδρυσε τὴν στρατιάν· κατασκόπους τε καταστήσας ἐφ' ὅσα μάλιστα χωρία ἀπόβασιν ὑπώπτευε τῶν Περσῶν, διενυκτέρευεν ἐκεῖ. Περὶ δὲ ὄρθρον ἐκ τῶν κατασκόπων τινὲς ἀπήγγελλον, ὡς οἱ βάρβαροι τοῖς ἐκεῖ αἰγιαλοῖς τὴν ἀπόβασιν ἐποιήσαντο, καὶ τεκμήριον ἀληθὲς τῆς ἀγγελίας ἐποιοῦντο, τὸ τραυματίαι γεγενῆσθαι παρ' αὐτῶν. Οἱ βάρβαροι δὲ οὐκ ἐφ' ἑνὶ χωρίῳ προσέσχον πάντες· ἀλλ' οὐ μακρὰν ἀλλήλων C διεστηκότες, δύο ναυλοχίας ἐποιήσαντο· οἱ μὲν οὖν ἐκ τῆς μιᾶς μερίδος, πρὸς ἕτερα ἐτράποντο χωρία· οἱ δὲ τῆς ἑτέρας ὥσπερ σκοπούς τινας ὀλίγους ἑαυτῶν προπέμψαντες, οἱ λοιποὶ συντεταγμένοι ἦσαν, ὡς διὰ τῶν χωρίων ἐκείνων ἐλευσόμενοι, οἷς ὁ μέγας δομέστικος ἐνήδρευεν. Ὡς δὲ οἱ προτεταγμένοι ἐκεῖνοι ἐγένοντο πλησίον τῆς Ῥωμαίων στρατιᾶς, πλὴν ὀλίγων πάντες ἔπεσον ἀπροσδοκήτοις ἐμπεσόντων· ὅσοι δὲ διεσώθησαν, εἰς τὴν αὐτῶν ἐλθόντες στρατιὰν, ἀπήγγελλον ὡς διαφθαροῖεν, στρατιᾷ περιτυχόντες, ὀλίγῃ μὲν, ὡς ᾠήθημεν, (καθαρῶς οὐκ ἔχοντες διὰ τὴν νύκτα διαγνῶναι), ἀγαθῇ δὲ καὶ τὰ πολέμια κρατίστῃ. Ὁ δὴ καὶ οἱ τῆς Περσικῆς ἄρχοντες πυθόμενοι στρατιᾶς παρεσκευάσαντο ὡς ἐπὶ μάχην. Ἐπιγενομένης δὲ ἤδη καὶ ἡμέρας, συνεπλέκοντο οἵ τε Ῥωμαῖοι καὶ οἱ

Præcipiti jam æstate a Triglia juxta Hellespontum perferuntur nuntii, pedites Persas ex orientis urbibus delectos, Orchane duce, sex et triginta navibus ad loca Byzantio vicina, aut ea ipsa, aut certe postera nocte trajicere paratos esse; sic autem instructos, ut non mox reversuri, neque furtim ad rapinas incubituri, sed impudenter et avare nimis omnia direpturi videantur. Quia igitur festinatus barbarorum adventus, et temporis angustiæ æqualem exercitum colligere non sinebant, nimiorum qui tunc erat Byzantii exiguus, eum mandavit magno domestico ut acciperet, et ad maritima urbis loca venientium impetum exciperet; ipse simul e mari invasurus, triremes armabat. Itaque domesticus loco cui nomen Enacosia, cohortibus suis collocatis, et speculatoribus constitutis, ubi potissimum Persas descensuros suspicabatur, ibi pernoctat. Sub diluculum quidam speculatores narrant, **308** barbaros illic in littus exisse; fidemque narrationi accepta ab illis vulnera astruebant. Cæterum barbari non omnes ad unum locum appellentes, duas navium stationes haud longo intervallo faciebant: et alii quidem ex una parte alio se diffundebant. alii ex altera, velut speculatores quosdam paucos de suis præmittentes, agmine composito incedebant, quasi locos a magno domestico insessos transituri. Ut primum Romanis appropinquarunt, demptis aliquot, omnes, quod in hostem improvisum incidissent, letho occubuerunt. Qui evaserant, ad suos retrogressi, memorabant, quemadmodum commilitones cecidissent, cum in quasdam copiolas, ut videbatur (nam per noctem clare internoscere non potuisse), sed animosas, et bello invictas incidissent. Re intellecta, Persarum duces ad conflictum accinguntur, luceque terris jam diffusa manus conseruntur. Persæ, qui nobiles, et inter suos noti erant, omnes diu se defenderunt. Verumtamen vi victi, præter septem, omnes vel in pugna ceciderunt, vel vivi in potestatem venerunt. Eadem hora etiam imperator duabus triremibus, quas noctu impleverat (reliquæ enim tum navigationi non erant idoneæ) adnavigabat: compertoque, barbarorum aliis a magno domestico fusis, eum in cæteros jam iter moliri, triremi exscendens, quoniam imperatorii equi non aderant, in equum do-

Digitized by Google Распознавание текста ABK/FR

mestici interea ascendit, et cum suis ingenti studio ardoreque contra Persas vadit. Ubi ad locum venit, in quo illi direptionibus ac prædis agundis vacabant, conflixit vicitque viriliter. Nam et ipsos extra paucos, aut interemit, aut captivos duxit. Qui necem effugere potuerunt, ad naves recurrentes, unam quidem compleverunt, duabus aliis, uni octo, alteri decem imponentes vela sustulerunt, ac ventos secundos adepti, exitium præter opinionem suam evaserunt; sic Deo cœlitus barbaris et ut vincerentur, et ut servarentur, ambo, inquam, hæc dispensante. Nam quæ cum imperatore venerunt triremes binæ, ut Persicas naves viderunt pedem fecisse, et fugisse, remigatione fugientes assequi posse diffisi (quod procul eas flamine prospero ferri viderent) festinarunt et ipsæ cum antennis vela tollere. Dum tollerent, horum funes, quibus antennam attrahebant rumpebantur: illorum antenna, vento dejecta in tabulatum decidebat; atque ita re desperata persecutione abstiterunt. **309** Quæ restabant quinæ et tricenæ Persarum naves (57), vacuæ in littore mansserunt. Imperator et sui, cum triremibus illic noctem agentes, cadavera hostium spoliabant. Circa medium ejusdem noctis, alii barbari rei gestæ ignari, novem navibus ad eamdem oram delati sunt, ut se prioribus conjungerent. Improviso autem Romanis triremibus occurrentes, eo casu obstupuerunt. Tamen ex earum paucitate sumpta audacia, pugnam tentarunt, parumque abfuit, quin illas perderent, nam in altoram jam insiluerant. Verumtamen classiarii a viribus suis petentes auxilium, eos devicerunt, omniumque Persicarum navium, una solum effugiente, potiti sunt. Atque hi quoque, ut priores, delecti erant, et domi suæ nominatissimi. Quare et milites Romani, si qui a propinquis peterentur, grandi pecunia eos vendebant. Hunc in modum barbari male mali perierunt. Imperator rebus omnibus ad filiæ nuptias præparatis et instructis, Byzantio Adrianopolin ad eas ibidem peragendas profectus est. Eodem rex Mœsorum Alexander cum filio Michaele Asane (58), rege jam a se nominato venit. Et apprecationes quidem, seu benedictiones, et quæcunque super nuptiis sacræ leges præcipiunt, in urbe fiebant. Convivia vero, et compotationes, et quæ ad lætitiam festorum connubialium inventa sunt, in pratis Comnenes appellatis, non procul ab urbe, prope Tuntzam (59) fluvium obibantur; diebusque octo a Mœsis et Romanis in his sacris nuptialibus consumptis, die nono Alexander rex et Mœsi, imperatoris filiam, reginam suam Mariam e gente Palæologorum assumentes, in Mœsiam abducunt, multis eam ex Romana nobilitate usque Tri-

βάρβαροι ἀλλήλοις, καὶ ἀντέσχον μὲν ἐπὶ πολὺ, τῶν παρὰ Πέρσαις ἐπιφανῶν ὄντες καὶ γνωρίμων πάντες· ὅμως νικηθέντες κατὰ κράτος, πλὴν ἑπτὰ, οἱ μὲν ἀπέθανον παρὰ τὴν μάχην, οἱ δ' ἐάλωσαν. Τῆς αὐτῆς δὲ ὥρας καὶ ὁ βασιλεὺς δυσὶ τριήρεσι παρέπλει, ἃς ἦν τῆς νυκτὸς πεπληρωκὼς, ἕτεραι γὰρ οὐκ ἔτυχον οὖσαι πλώϊμοι. Πυθόμενος δὲ ὡς οἱ μὲν τῶν βαρβάρων ἡττηθεῖεν παρὰ μεγάλου δομεστίκου καὶ τῆς στρατιᾶς, ἐπὶ δὲ τοὺς ἑτέρους ἤδη παρασκευάζονται χωρεῖν, ἀποβὰς τῆς τριήρεως, ἐπεὶ τῶν βασιλικῶν οὐ παρῆσαν ἵπποι, τοῦ μεγάλου δομεστίκου ἵππῳ ἐπιβὰς, ἄγων καὶ τὴν στρατιὰν ἐχώρει κατὰ τῶν Περσῶν σπουδῇ πολλῇ καὶ προθυμίᾳ. Καὶ γενόμενος καθ' ἃ οἱ Πέρσαι ἐληΐζοντο χωρία, συνέβαλλέ τε καὶ ἐνίκα κατὰ κράτος. Πλὴν γὰρ ὀλίγων, καὶ αὐτοὶ οἱ μὲν ἔπεσον κατὰ τὴν μάχην, οἱ δ' ἐάλωσαν. Ὅσοι δὲ τὸ διαφθαρῆναι ἠβυνήθησαν διαφυγεῖν παρὰ τὰς γαῦς τὰς ἑαυτῶν ἐλθόντες, μίαν μὲν ἐπλήρουν, δυσὶ δὲ ἑτέραις, τῇ μὲν ὀκτὼ, δέκα δὲ τῇ ἑτέρᾳ ἐπιβάντες, ἱστία τε ἄραντες, καὶ πνεύματος εὐτυχηκότες ἐπιφόρου, παρὰ δόξαν διέφυγον τὸ ἀπολέσθαι, οὕτως ἄνωθεν τοῦ Θεοῦ καὶ τὴν σωτηρίαν καὶ τὴν ἧτταν τοῖς βαρβάροις πρυτανεύοντος. Αἱ γὰρ μετὰ βασιλέως ἐλθοῦσαι δύο τριήρεις, ἐπεὶ τὰς Περσικὰς εἶδον ἀραμένας πρὸς τὸ πέλαγος ἱστία ἐπὶ φυγῇ, τῇ εἰρεσίᾳ τὴν δίωξιν ἀπαγορεύσαντες διὰ τὸ μηκόθεν τὰς Περσικὰς ὁρᾶν ἐπ φόρῳ πνεύματι χρωμένας, αἴρειν ὥρμηντο ἱστία καὶ αὐτοί. Ἅμα δὲ αἰρόντων, τῶν μὲν ἐρράγησαν οἱ κάλῳ οἷς ἀνῆγον τὴν κεραίαν· τῶν ἑτέρων δὲ ἡ κεραία καταχθεῖσα, κατέπεσεν ἐπὶ τοῦ καταστρώματος· καὶ οὕτως ἀπέσχοντο τὸ διώκειν ἀπαιπόντες. Αἱ λοιπαὶ δὲ πέντε [τρεῖς] καὶ τριάκοντα οὖσαι νῆες Περσικαὶ, κατελείφθησαν ἐπὶ τοῦ αἰγιαλοῦ κεναί. Βασιλεὺς δὲ μετὰ τῆς στρατιᾶς καὶ αἱ τριήρεις ηὐλίσαντο αὐτοῦ τὴν νύκτα σκυλεύοντες τοὺς νεκροὺς τῶν πολεμίων. Τῆς αὐτῆς δὲ νυκτὸς περὶ μέσην, ἕτεροι βάρβαροι, ἐννέα ναυσὶ, μηδὲν εἰδότες τῶν γεγενημένων, κατέπλεσν ἐπὶ τοὺς αὐτοὺς αἰγιαλοὺς ὡς συμμίξοντες τοῖς ἄλλοις· ἀπροσδοκήτως δὲ ταῖς δυσὶ τριήρεσι περιπεσόντες τῶν Ῥωμαίων κατεπλάγησαν μὲν τῷ ἀδοκήτῳ. Πλὴν διὰ τὴν ὀλιγότητα θαρρήσαντες αὐτῶν, συνεπλέκοντο πρὸς μάχην. Καὶ παρ' ὀλίγον μὲν ἦλθον τὰς τριήρεις διαφθεῖραι. Ἐπέβησαν γὰρ οἱ βάρβαροι καὶ τῆς μιᾶς. Πλὴν πρὸς ἀλκὴν τραπόμενοι οἱ τριηρῖται, ἐνίκησάν τε καὶ πασῶν ἐκράτησαν Περσικῶν νεῶν, μιᾶς δ.αδράναι δυνηθείσης. Ἦσαν δὲ καὶ οὗτοι ὥσπερ καὶ οἱ πρότεροι λογάδες τῶν παρὰ Πέρσαις ὀνομαστοτάτων. Ὅθεν καὶ οἱ στρατιῶται τοὺς ἁλόντας αὐτῶν πολλῶν ἔλυσαν χρημάτων ἐκ τῶν οἰκείων μεταπεμπομένους. Οἱ μὲν δὴ βάρβαροι οὕτως ἀπώλοντο κακοὶ κακῶς. Βασιλεὺς δὲ ἐπεὶ τὰ πρὸς τοὺς γάμους τῇ θυγατρὸς

Jacobi Pontani notæ.

(57) Supra dixit, fuisse sex et triginta; postea, tribus fugisse Persas; quomodo ergo supersunt quinque et triginta? potius triginta tres dicendum fuit.

(58) Cur Asanem cognominat? an id ei cognomentum ab Asane honoris causa imposuit?

(59) Trium confluentes amnium sunt Adrianopoli: Marizæ, sive Mariscæ, qui olim Hebrus, Tuntzæ sive Tænari, et Hardæ. Postquam hi fluvii coiere, Mariza superat. Corruptum est Nizan ex Tuntzam, itaque emendare non dubitavi.

Digitized by Google Распознавание текста ABK/FR

πάντα παρεσκευασμένα ἦν, ἄρας ἐκ Βυζαντίου, ἦκεν εἰ Ἀδριανούπολιν, ἐκεῖ τοὺς γάμους ἐκτελέσων. Ἦκε δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἄγων καὶ τὸν υἱὸν Ἀσάνην Μιχαὴλ, βασιλέα καὶ αὐτὸν κεχειροτονημένον ὑπ' αὐτοῦ, καὶ εὐλογίαι μὲν καὶ ὅσα ἱερῶς νενόμισται ἐπὶ τοῖς γάμοις ἔνδον ἐτελοῦντο τῆς πόλεως Ἀδριανοῦ. Εὐωχίαι δὲ καὶ πότοι καὶ ὅσα πρὸς τέρψιν ἐξεύρηντο τῆς ἑορτῆς, παρὰ τοὺς τῆς Κομνηνῆς προσαγορευομένους λειμῶνας οὐ πολὺ τῆς πόλεως διεστηκότας παρὰ τὴν Τοῦντζαν ὠνομασμένον ποταμόν. Ὀκτὼ δὲ ἡμέραις Ῥωμαίων τε καὶ Μυσῶν τοὺς τῶν ἀφετέρων βασιλέων γάμους συνεορτασάντων, τῇ ἐννάτῃ ἅμα ἕῳ, βασιλεὺς Ἀλέξανδρος καὶ Μυσοὶ τὴν βασιλέως θυγατέρα, βασιλίδα δὲ αὐτῶν Μαρίαν τὴν Παλαιολογίναν παραλαβόντες ἀνεχώρησαν εἰς τὴν Μυσίαν· εἵποντο δὲ αὐτῇ καὶ Ῥωμαίων ἐκ τῶν ἐπιφανῶν πολλοὶ ἄχρι Τρινόβου. Ἐκεῖ δὲ ὑπολελειμμένων τῶν παρὰ βασιλέως τεταγμένων ἀεὶ τῇ θυγατρὶ συνεῖναι, οἱ λοιποὶ ἀνεχώρησαν ἐπ' οἴκου. Μετὰ δὲ χρόνον οὐκ ὀλίγον, οἱ παρὰ Ἀκαρνάσι μὴ βουλόμενοι δουλεύειν βασιλεῖ, ἀλλὰ καὶ τοὺς ἄλλους πρότερον ἐξορμῶντες πρὸς τὸν πόλεμον, καιρὸν ἑαυτοῖς πρὸς νεωτερισμὸν εἶναι τὴν βασιλέως ἀποδημίαν οἰηθέντες, καὶ ἑτέρους προσεταιρισάμενοι πολλοὺς, Ἄρταν μὲν ἡ τῆς Ἀκαρνανίας ὡς παρὰ κεφάλαιον τῶν πόλεων ἐστὶ, Νικόλαος ὁ Βασιλίτζης κατέσχεν ἅμα Καβασίλας, ἀποστήσας βασιλέως· καὶ τὸν πρωτοστράτορα αὐτόθι διατρίβοντα εἰς δεσμωτήριον ἤγαγον ὑπὸ φρουρᾷ. Ἀλέξιος δὲ Καβασίλας τὴν Ῥωγώ. Τεσσαράκοντα δὲ τῆς αὐτῆς συνομοσίας ἕτεροι, τὸ Θωμόκαστρον ὀνομαζόμενον παράλιον ὂν κατὰ τὴν θάλασσαν τὴν πρὸς Ἀδρίαν· τῶν ἄλλων ἁπάντων οὐκ ἀποστάντων βασιλέως, ἀλλὰ τὴν εὔνοιαν ἀκμάζουσαν τηρούντων· ἦσαν δὲ οὐκ ὀλίγαι πόλεις. Τά τε Μεσοπόταμον ὀνομαζόμενον, καὶ ὁ Σοποτὸς, καὶ ἡ Χειμάρρα. Πρὸς τούτοις τε τὸ Ἀργυρόκαστρον, καὶ ἡ Πάργα, καὶ ὁ Ἅγιος Δονάτος, καὶ Ἀγγελόκαστρον, καὶ Ἰωάννινα, ὅ τε Εὔλοχος καὶ τὸ Βάλτον, καὶ ἕτερ' ἄττα φρούρια οὐκ ὀλίγα. Ἐκεῖνοι δὲ οἱ ἀποστάντες βασιλέως πρεσβείαν πρὸς πριγκίπισσαν τὴν Τάραντος δεσπότιν πέμψαντες, Νικηφόρον τε τὸν παῖδα ἠτοῦντο δεσπότου ὡς σφῶν ἄρξοντα κατὰ πατρῷον κλῆρον καὶ συμμαχίαν μεθ' ἧς καὶ τὰς ἄλλας δυνήσονται πόλεις ἀποστῆσαι βασιλέως, ἢ ἑκούσας προσχωρησάσας, ἢ βιασάμενοι τοῖς ὅπλοις. Πριγκίπισσα δὲ ἡδέως τε ἐδέξατο Νικηφόρον φυγόντα πρὸς αὐτὴν· ἦλπισε γὰρ Ἀκαρνανίας κρατήσειν δι' αὐτοῦ· καὶ πάλιν ἐπεὶ ἐπύθετό τινας βασιλέως ἀποστάντας καὶ προσχωρήσαντας αὐτῷ, ἐξέπεμπε προθύμως, καὶ μίαν ἐκείνῳ τῶν θυγατέρων (δύο δὲ ἦσαν αὐτῇ) κατεγγυήσας, συμμαχίαν τε παρασχομένη ὅση δυνατή. Ἡ γὰρ πριγκίπισσα αὕτη δὴ ἀπόγονος οὖσα Βαλδουΐνου, ὃς Βυζαντίου ἐβασίλευσεν ἐπὶ καιρὸν καθ' ὃν ὑπὸ Λατίνοις ἐάλω χρόνον, τόν τε πρόγονον

nobum prosequentibus : ubi remanentibus quos ei pater perpetuos honorarios attribuerat, cæteri reverterunt. Multo post id tempus, qui se apud Acarnanas imperatori nolebant subjicere, et cæteros quoque ad arma stimulabant, ejus absentiam ad res novandas opportunam statuentes, complures in sodalitium suum pellexerunt. Et Artam quidem urbium Acarnaniæ velut caput, Nicolaus Basilitzes et Cabasilas a fide imperatoris aversam occupaverunt, ac protostratorem illic degentem in carcerem, adhibitis custodibus compegerunt. Alexius Cabasilas Rhogum vindicavit. Quadraginta porro ejusdem conjurationis satellites et administri Thomocastrum ad mare **310** Adrianum : cum nullum præterea oppidum deficeret, sed recenti semper studio benevolentiaque erga imperatorem floreret. Erantque oppida illa non pauca sane, Mesopotamum, Sopotus, Chimarra, Argyrocastrum, Parga, Sanctus Donatus, Angelocastrum, Joannina. Item Eulochus, Baltum, et alia castella complurla. At enim desertores illi per legatos a domina Tarentina Nicephorum despotæ filium sibi ut parentis legitimum successorem imperaturum repetebant; et simul auxilium, quo et alias urbes, si sponte sua nollent, ad defectionem cogere possent, flagitabant. Tarentina princeps Nicephorum ad se confugientem læta excepit, quod per ipsum se in Acarnania regnaturam confideret. Post, ubi audivit quosdam ab imperatore ad illum descivisse, non invita cum una filiarum (duas enim habebat) eidem desponsa, et subsidio quanto potuit dimisit. Erat hæc femina e minoribus, seu posteris Balduini, qui Byzantio a Latinis capto, aliquandiu ibidem imperavit (60) : et illum familiæ suæ auctorem Romanum imperatorem, sequeimperatricem Romanorum (quippe illius neptem) palam prædicabat. Hinc elaborabat, ut in parte saltem Romani principatus imperare posset. Quam ob causam etiam Nicephorum cupide cum navali copia dimisit, arbitrans, si is filiæ suæ maritus, Acarnaniæ dominus esset, habituram se quod concupivisset : qui et Thomocastri urbe maritima degebat. Imperator statu rerum Acarnanensium percepto, sibimet in præsens, senescente jam autumno, cum exercitu eo proficiscendum non putavit; Joannem autem pincernam et Monomachum illuc cum copiis contendere jussit, ibique hibernare, et simul urbibus adhuc fidem præstantibus opem ac præsidium et iisdem, ne aliarum exemplo deficerent, timorem afferre : simul desertrices, si non omnino obsidere, at saltem populationibus exagitare, ut vere incipiente, et imperatore eodem cum exercitu veniente, per hiemem prius ærumnis conflictatæ, multisque ab hostibus cumulatæ miseriis, facilius subjugarentur. Pincerna mandata facessens, in Acarnania hiemat,

Jacobi Pontani notæ.

(60) De imperatoribus Constantinopolitanis Latinis dicemus infra ad cap. 36 qui fuerint, quandiu singuli imperarint. Dabit enim nobis occasionem Cantacuzenus.

Digitized by Google Распознавание текста ABK/FR

parentes adhuc imperatori civitates custodit, rebelles affligit. Vere primo imperator ipse cum agmine infesto adest, et aliarum quidem urbium populos atque optimates pro fide et benevolentia in se multis donis cohonestat: exercitu autem trifariam diviso (61), **311** urbes perfidas assiduissima obsidione urgere pertendit. Thomocastrum itaque, ubi Nicephorus dux agebat, obsidionem facile tolerabat, utpote a continente tantummodo Romanis oppugnantibus : nam qua mare, ad usum necessaria et importabantur, et exportabantur omnia, quod imperator classem non haberet. Arta autem et Rhogus, quod in continente erant sitæ, magnam ex obsidione penuriam sustinebant : cum præter ea quæ sibi ante imperatoris adventum in hieme conquisissent, invehere nihil possent, et cum a frumento, tum a reliquo victu essent perquam inopes. Quanquam vero ad obsidionem perpetiendam adeo non instructæ essent, nihilo tamen magis acerbitatem minuebant : neque de cætero verbis tenus imperatori cedendum et obsequendum, sed omnia patiunda, et victu abominando utendum potius censebant, quam ut sese dederent. Imperator Artam præsens obsidebat, murosque valide continenterque oppugnans, machinas omnes expugnationi idoneas admovebat. Artæi protostratorem carcere eductum ad illum mittunt, sive timentes, ne quid inceptaret novi, quod quidam cum eo conspirassent, sive aliud quiddam cogitantes ; ipsi e muris fortiter se tuentur, omnesque machinas et impetus vanos irritosque demonstrant. Longo tempore in obsidione contrito (nam a principio maxime veris usque ad exitum æstatis duraverat), imperator Rhogum se conferre, et cum Cabasila coram colloqui decrevit, persuasurum confisus, ut sensim emollitus, urbem citra pugnam ultro traderet. Qui usque adeo monitis non obtemperavit, ut minaretur etiam, si quavis tandem de causa imperatorem Rhogi compotem fieri contingeret, semet de turri præcipitaturum, ne captus iterum illi servire cogeretur. Tantum in eo odium et ira valebant.

A ὡς βασιλέα Ῥωμαίων διεθρύλλει, καὶ ἑαυτὴν βασιλίδα προσηγόρευε Ῥωμαίων ὡς ἀπόγονον ἐκείνου. Διὸ καὶ διὰ σπουδῆς ἁπάσης ἐποιεῖτο μέρους ἄρξαι τινὸς τῆς ὑπὸ τοὺς Ῥωμαίων βασιλέας οὔσης ἀρχῆς. Οὗ δὴ ἕνεκα καὶ τότε Νικηφόρον ἐξέπεμπε διὰ σπουδῆς, καὶ δύναμιν παρασχοῦσα ναυτικὴν, οἰομένη ἂν Ἀκαρνανίας αὐτὸς ἄρξῃ τῇ θυγατρὶ ἐκείνης συνοικῶν, τὴν ἐπιθυμίαν ἠνυκέναι, ὃς δὴ καὶ Θωμοκάστρῳ ἐνδιῆγεν ὄντι παραλίῳ. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο περὶ τῶν κατὰ τὴν Ἀκαρνανίαν, στρατεύειν μὲν αὐτὸς οὐκ ᾤετο δεῖν τὸ νῦν ἔχον ἐπ' αὐτοὺς, ἤδη περὶ ἐκβολὰς τοῦ φθινοπώρου ὄντος· Ἰωάννην δὲ Ἄγγελον τὸν πιγκέρνην ἅμα Μονομάχῳ ἐκέλευσεν ἀναλαβόντα στρατιὰν χωρεῖν ἐπὶ Ἀκαρνανίαν, κἀκεῖ διαχειμάζειν ἅμα μὲν ταῖς ὑπὸ βασι-
B λέα τελούσαις ἔτι πόλεσι δύναμιν παρέχοντας, καὶ δέος τοῦ μὴ συναφίστασθαι ταῖς ἄλλαις· ἅμα δὲ καὶ τὰς ἀφεστηκυίας εἰ μὴ τελείως, ἀλλ' ἐκ μέρους πολιορκήσοντας λεηλασίαις, ὡς ἂν ἅμα ἦρι βασιλεῖ ἐπιστρατεύσαντι ῥᾴδιαι εἶεν παραστήσασθαι, προτεταλαιπωρηκυῖαι τοῦ χειμῶνος, καὶ πολλῶν ἀναπεπλησμέναι κακῶν ἐκ τοῦ πολέμου. Πιγκέρνης μὲν οὖν κατὰ τὰ προστεταγμένα ὑπὸ βασιλέως ἅμα στρατιᾷ εἰς Ἀκαρνανίαν διαχειμάσας, τάς τε οὔσας ὑπηκόους βασιλεῖ πόλεις διεφύλαξε, καὶ τὰς ἀποστάσας ἐκάκου. Ἅμα δὲ ἦρι, καὶ ὁ βασιλεὺς πανστρατιᾷ ἐπὶ Ἀκαρνανίαν ἦλθε· καὶ τοὺς μὲν τῶν ἄλλων πόλεων δήμους καὶ τοὺς δυνατοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ἠμείβετο πολλαῖς εὐεργεσίαις, τὴν
C στρατιὰν δὲ διελόμενος τριχῇ, τὰς ἀποστάσας πόλεις συντονώτατα ἐπολιόρκει. Θωμόκαστρον μὲν οὖν, ἔνθα καὶ Νικηφόρος διῆγεν ὁ δοὺξ, διέφερε ῥᾳδίως τὴν πολιορκίαν, ἅτε ἐξ ἠπείρου τῶν Ῥωμαίων μόνον πολιορκούντων, κατὰ γὰρ τὴν θάλατταν ὅσων ἐδεῖτο εἰσῄγέ τε καὶ ἐξῆγε, δύναμιν μὴ ἔχοντος βασιλέως ναυτικήν. Ἄρτα δὲ καὶ Ῥωγὼ οὖσαι ἠπειρώτιδες, πολλὴν ὑπέμενον τὴν ἔνδειαν ἐκ τῆς πολιορκίας, οὐδὲν πλέον δυνάμεναι ἐπεισάγειν πλὴν τῶν ἐπὶ τοῦ χειμῶνος πρὶν βασιλέα ἀφικέσθαι παρεσκευασμένων. Καὶ φλαύρως εἶχον σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ἀπορίᾳ· καὶ περ δὲ οὕτω πρὸς τὴν πολιορκίαν ἀνεπιτηδείως παρεσκευασμέναι, οὐδὲν μᾶλλον ὑφεῖσαν τῆς πικρίας, οὐδὲ ἠνείχοντο ἄχρι λόγων τὸ ὑπείκειν αὖθις βασιλεῖ· ἀλλὰ πάντα μᾶλλον ᾤοντο ὑπομενετέον εἶναι, καὶ τῶν πρὸς τροφὴν ἀθεμίτων ἅπτεσθαι, ἢ παραδιδόναι βασιλεῖ τὰς πόλεις. Βασιλεὺς δὲ Ἄρταν ἐπολιόρκει αὐτὸς παρών· καὶ τειχομαχίας τε ἐποιεῖτο καρτερὰς καὶ συνεχεῖς. Καὶ μηχανήματα πάντα, ἐξ ὧν ᾤετο παραστήσεσθαι προσῆγεν. Ἀρταῖοι δὲ πρωτοστράτορα μὲν τοῦ δεσμωτηρίου ἐκβαλόντες, ἐξέπεμψον ὡς βασιλέα, εἴτε μή τι νεωτερισθείη παρ' αὐτοῦ, τινῶν δείσαντες συστάντων πρὸς αὐτὸν, εἴτε τι διανοηθέντες ἕτερον· αὐτοὶ δὲ ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς, καὶ ἀπράκτους ἀπεδείκνυον πάσας μηχανὰς καὶ τειχομαχίας. Τριβομένου δὲ τοῦ χρόνου κατὰ τὴν πολιορκίαν (ἀπὸ γὰρ ἦρος μάλιστα ἀρχῆς ἄχρι ἐκβολῆς τοῦ θέρους ἐπολιορκοῦντο) ἔγνω δεῖν ὁ βασιλεὺς Καβασίλᾳ εἰς Ῥωγὼ ἀπελθὼν δι' ἑαυτοῦ διαλειχθῆναι, νομίζων πείσειν ὑπενδοῦναι τῆς φιλονεικίας, καὶ τὴν πόλιν παραδοῦναι ἀμαχεί. Ὁ δὲ τοσοῦτον ἐδέησε τοῦ πείθεσθαι αὐτῷ, ὥστε καὶ ἠπείλησεν ὡς εἰ συμβαίη καθ' ἡντιναοῦν αἰτίαν βασιλέα ἐγκρατῆ Ῥωγοῦς γενέσθαι, κατακρημνίσειν ἑαυτὸν ἀπὸ τοῦ πύργου, ἵνα μὴ ζῶν ἄλοις, ἀναγκασθῇ δουλεύειν αὖθις βασιλεῖ. Τοσοῦτον ἀπεχθείας αὐτῷ καὶ μήνιδος περιῆν.

Jacobi Pontani notæ.

(61) Tres urbes defecerant, Arta, Rhogus, Thomocastrum : singulis obsidendis partem copiarum destinat.

Digitized by Google Распознавание текста ABK/FR

CAPUT XXXV.

Magnus domesticus ægre colloquium Cabasilæ impetrat. Defectionem urbium illi exprobrat. Tertio die reversus, ad deditionem flectere frustra conatur. Demum persuadet, ac lætum nuntium imperatori Artam allaturus, in itinere ad fontem prandet. Eo venit Cabasilas, consilium quærens. Quem edoctum dimittit, et postridie nomine imperatoris urbem accipit. Cabasilas cum primoribus ad imperatorem a magno domestico adducitur, fidem constantem promittit. Imperator illum, cæterosque collaudat et muneratur. Artæi Rhogios maledictis proscindunt, et obdurant.

Ὁ μὲγας δὲ δομέστικος μεμνημένος ὡς Καβασί- A λας οὑτοσὶ, ὅτε πρῶτον Ἀκαρνανίαν ποιήσατο αὐτῷ ὁ βασιλεὺς, πολλὰ αὐτοῦ πολλάκις ἐδεήθη τοῖς φίλοις συναριθμηθῆναι αὐτοῦ καὶ τοῖς οἰκείοις, καὶ πολλῆς ἀπέλαυσε προνοίας τῆς αὐτοῦ πεισθέντος πρὸς τὴν αἴτησιν, ἐλπίσας τέ τι ἐκ τῆς πρὸς αὐτὸν ἀνύσειν Καβασίλα φιλίας, τῶν οἰκείων ὀλίγους παραλαβὼν, ἦλθεν εἰς Ῥωγώ. Καβασίλας δ' ἐπεὶ ἀπὸ τοῦ τείχους ἑώρα προσιόντα, πέμψας ἐδεῖτο, μὴ ἐγγὺς τειχῶν γενέσθαι. Ἦ γὰρ ἀνάγκη συντυγχάνειν παρὰ γνώμην. Πεπεικέναι γὰρ ἑαυτὸν καθάπαξ ἀφίστασθαι Ῥωμαίων, ἢ ἀποθανεῖσθαι· ὃ καὶ αὐτὸ παντὸς ἐπαχθέστερον κακοῦ, καὶ οὐχ ἥκιστα παντὸς ἀνιαρώτερον. Ὁ μέγας δὲ δομέστικος οὐδὲν ἔφασκε τοὺς λόγους εἶναι πρὸς αὐτόν. Αὐτὸς γὰρ ἐπαγγειλάμενος Καβασίλᾳ εἶναι φίλος, τὰ προσήκοντα φίλοις μὴ B κατοκνεῖν ποιεῖν. Ἂν δ' αὐτὸς διωθῆται προσιόντα, τῇ σφετέρᾳ δόξῃ λυμανεῖσθαι, ἀγνώμονα περὶ τοὺς φίλους, καὶ τὴν γνώμην εὐμετάβολον ἀποδεικνύντα ἑαυτὸν, καὶ ταῦτα πρότερον αὐτὸν δεηθέντα, καὶ πείσαντα τοῖς φίλοις τοῖς ἐμοῖς καταγραφῆναι. Καβασίλας δὲ καὶ αὐτὸς διϊσχυρίζετο, μήτε βούλεσθαι, μήτε δύνασθαι τὴν πρὸς αὐτὸν φιλίαν ἀπειπεῖν, καὶ δεινὰ πάσχειν, καὶ τῇ πρὸς αὐτὸν φιλίᾳ τυραννεῖσθαι, οὐ μετρίως ἀνιώμενον, ὅτι μὴ δι' ἑαυτοῦ αὐτὸς, ἀλλὰ δι' ἑτέρων τὸν παρόντα χρόνον ὁμιλεῖ. Δεδοικέναι δὲ μὴ οὐχ οἷός τε ᾖ κρατεῖν ἑαυτοῦ, συγγενόμενος ἐκείνῳ, ἀλλὰ ταὐτὸν τοῖς μαινομένοις πάθῃ, οἳ ἥδονται κατακόπτοντες ἑαυτοὺς, ἀγνοοῦντες ὅτι πάσχουσι διὰ τὴν νόσον. Τούτου μὲν οὖν C ἕνεκα, ὁ μέγας δομέστικος εἶπεν. Ἐπαινῶ, ὅτι φιλίας ἥττησαι τοσοῦτον, ἧς ἥδεται ἡττώμενος πᾶς τις σωφρονῶν. Εἰ δέ σοι φορτικὸν καὶ ἐπαχθὲς τὸ τελείως ἐμοὶ συνελθεῖν, ἀλλὰ τόγε δεύτερον, παρὰ τὴν γέφυραν ἐλθὲ τοῦ ποταμοῦ, ὡς ἂν ἐξ ἑκατέρου μέρους ὁμιλήσαντες ἀλλήλοις, ἐμοί τε τὸ σοὶ ὁμιληκέναι, καὶ σοὶ τὸ μὴ ἐγγὺς ἐμοῦ γενέσθαι, ὃ μάλιστα δέδοικας, περισώζοιτο. Ἐπεὶ δὲ ἦκε παρὰ τὴν γέφυραν πεισθείς, ἄλλα τε διειλέχθησαν ὅσα τις ἂν εἴποι πρὸς ἄνδρα φίλον, καὶ περὶ τῆς ἀποστασίας τῶν πόλεων ὁ μέγας δομέστικος αὐτοῦ κατηγόρει ὡς αἰτιωτάτου μάλιστα γεγενημένου. Ἐφ' οἷς ἀπελογεῖτο καὶ αὐτὸς ὡς λυσιτελοῦντα δράσειεν ἑαυτῷ τε καὶ τοῖς ἄλλοις Ἀκαρνάσι τῆς δουλείας αὐτοὺς ἐλευθερῶν Ῥωμαίων, καὶ τὴν πάτριον αὐτοῖς τῶν Ἀγγέλων ἀρχὴν ἐπανασώζων. Τοιαῦτα καὶ ἕτερά τινα διαλεχθέντες, ὁ μὲν εἰς τὸ στρατόπεδον, ἐς τρίτην ἡμέραν αὖθις ἥξειν D

Magnus autem domesticus, memor quomodo hic Cabasilas, cum primum Acarnaniam reciperet imperator, sæpe multumque rogasset, uti eum amicis ac familiaribus suis allegeret, et quo pacto ejus petitioni annuens, sua cura ac providentia singulari **312** magnum homini fructum attulisset, conceptaque spe, propter eam amicitiam aliquid effecturum, paucis comitatus familiaribus Rhogum adit. Cabasilas accedentem de muro conspicatus, misit oratum, ne propius mœnia veniret: nolle enim cum eo colloqui. Nam induxisse in animum semel, cum Romanis nil habere negotii, aut emori: quod omnium malorum odiosissimum erat atque tristissimum. Tum magnus domesticus, nihil ad se ista verba pertinere: nam cum se Cabasilæ amicum fore spopondisset, non pigrari officium amici præstare. Si ipse se convenientem repelleret, gloriam suam corrupturum, dum semet in amicos inconstantem atque improbum ostenderet: cum tamen petivisset prius et impetrasset, ut ab eo in amicorum numerum referretur. Cabasilas affirmare, nec velle, nec posse initam cum eo amicitiam retractare. Et ob eam excruciari, et quasi tyrannidem quamdam experiri, contristarique non mediocriter, quod non ipse per se, sed per alios hoc tempore cum eo colloquatur. Timuisse vero, si cum illo sit, ne se continere nequeat; sed idem sibi quod furiosis usu veniat, qui corpora sua cum voluptate dilaniant, propter morbum quid faciant ignorantes. Ergo se illum laudare, inquit magnus domesticus, cum tantopere ab amicitia victus sit, qua se victum prudens quilibet lætatur. Quod si onerosum ac molestum sit, proxime secum congredi, certe ad pontem fluminis accedat, ut ex intervallo se appellent, et sibi detur cum eo collocutum esse et illi (quod maxime timeat) non appropinquasse. Ubi morem gerens ad pontem accessit, cum alia, quæ inter amicos solent, ultro citroque dicta sunt, tum magnus domesticus de urbium defectione questus est, cui rei ipse puppis et prora fuisset. Ille defendendi sui gratia refert, se Acarnanibus e Romanorum servitute asserendis, et patrio Angelorum principatu (62) ipsis recuperando, sibi aliisque commodare voluisse. Ilis aliisque inter se dictis, domesticus ad exercitum, tertio die reversionem pollicitus, Cabasilas in oppidum, secunda congressione recusat, digressi sunt. Tertia luce magnus domesticus

Jacobi Pontani notæ.

(62) A temporibus Angeli Alexii abrupta est a Romano imperio Acarnania. Sed cap. sequenti historicus noster explicabit, quomodo ex præfectura facta sit propria provincia. Ex prætore Græciæ Leunclavius hæc verba recitat: *Qui duces aliis in locis alii fuerant hactenus (nondum occupata a Flandris Constantinopoli, et toto fere imperio) singuli regionem administrationi suæ commissam tunc sui juris efficiebant: vel ad hoc impulsi motu proprio, vel ab incolis ad defendendam regionem arcessiti.*

Digitized by Google Распознавание текста ABK/FR

Rhogum, cum Cabasila acturus redit. Qui paulum cunctatus, postquam vidit eum nolle discedere, rursum egressus, ponte transito ad eum accessit; quem, licet longa oratione, domesticus flectere non potuit, ut se urbemque imperatori dederet, tamen animum ejus terruit, ne existimaret sub imperatore vivere plane desperatorum, **313** nec obsessum mori, subjectione optabilius esse, dictaque salute, cum paulo post tertium se adfuturum prædixisset, uterque quo ante se receperunt. Lapsis diebus aliquot adest, et cum eo extra muros die consumpto, persuadet tandem, ut in fidem imperatoris urbe tradita veniat. Ita persuasum Rhogi relinquit : ipse ad imperatorem ad Artam castra habentem, Cabasilam Rhogum traditurum nuntiaturus ire pergit. In itinere ubi ad fontem quemdam aqua frigida ac pellucida, haustuque dulcissima manantem venit, placuit ab equis descendere, et corpus cibo reficere. Descendunt, ac recumbunt : nec mora longa, et Cabasilam propere adequitantem conspicantur. Quo jam vicino, priusquam verbum ederet, Opinor, ait magnus domesticus, te aliis quiritantibus, ac nimiam facilitatem tuam accusantibus, quod ad me, qui hostis esse videor, nullo securitatis pignore tam inconsulto, ut apparet, adeas, volentem facto ipso docere, quod non imperite, neque confidenter, sed probe sciens, cui te credideris, et cui officium præstes, illos quidem cum stultis cogitationibus relinquere, et ad nos, quos aliis fideliores judicasti, advenire. Respondit Cabasilas, nisi primus ipse post sermones Rhogi habitos advenisset, difficile crediturum fuisse, neminem eos ibidem dictorum nuntium accepisse. His enim ipsis inter nos prolatis, inquit, relictis illis ad te advolo. Tu noveris quid me facere melius sit : tecumne ad imperatorem progrediar, an hic, quandiu jusseris subsistam? Ego enim, scias velim, nunquam imperatori me dedidissem : sed quemadmodum illi dixeram, mori, quam ei subjici maluissem. In amore autem tui prorsus me expugnatum confiteor, propterea que me ipsum cum civibus tradidisse, ut integrum tibi sit de nobis statuere quod voles. Magnus domesticus tam benevolæ voluntati actis gratiis ingentibus, Rhogum Cabasilam remittit; se crastina luce cum donis regalibus venturum, ipsumque et cæteros pro imperatore in potestatem accepturum. Inde ad imperatorem tendit, de Cabasila et Rhogo quemadmodum se tradidissent, commemorat : nactusque auctoritatem quæcunque justa et commoda duceret in illos beneficentiæ causa conferendi, die sequenti Rhogum init; quem Rhogii urbe transdita accipiunt; ipse dona imperatoris, ut quoque dignum erat, distribuit, assumptisque quorum inter eos præcipua vigebat existimatio, simulque Cabasila **314** imperatorem adit; quibus se adorantibus subjectionemque profitentibus mansueta ac leni oratione respondit, et pro mutatione in melius laudatos, ad se diligen-

A ἐπαγγειλάμενος, ὁ δ' εἰς τὴν πόλιν, τὴν δευτέραν συντυχίαν ἀπειπάμενος, διελύοντο. Ἐς τρίτην δὲ ἡμέραν ὁ μέγας δομέστικος αὖθις ἦλθεν εἰς Ῥωγὼ, ἐπὶ τῷ Καβασίλᾳ αὖθις συγγενέσθαι. Ὁ δ' ἀναβαλλόμενος ἐπὶ μικρὸν, ἐπεὶ οὐκ ἀφιστάμενον ἑώρα, ἐξελθὼν καὶ αὖθις, τήν τε γέφυραν διαβὰς, εἰς ἓν αὐτῷ συνῆλθεν. Ἐφ' ἱκανόν τε ὁ μέγας δομέστικος αὐτῷ διαλεχθεὶς, πεῖσαι μὲν οὐκ ἴσχυσε προσχωρῆσαι βασιλεῖ καὶ τὴν πόλιν παραδοῦναι· ὅμως δὲ διέσεισεν αὐτοῦ τοὺς λογισμοὺς, τοῦ μὴ τῶν ἀπηγορευμένων παντάπασι τὸ ὑπὸ βασιλέα εἶεσθαι τελεῖν, μηδ' αἱρετώτερον ἡγεῖσθαι τῆς δουλείας τὸ ἀποθνήσκειν πολιορκουμένους. Συνταξάμενος δὲ αὐτῷ, καὶ αὖθις ἥξειν προειπὼν μετ' οὐ πολὺ, ὁ μὲν εἰς τὸ στρατόπεδον, ὁ δὲ εἰς τὴν πόλιν ἀνεχώρησαν. Μεθ' ἡμέρας

B δέ τινας καὶ αὖθις προσελθὼν καὶ συνδιημερεύσας αὐτῷ ἔξω γενομένῳ τῶν τειχῶν, ἔπεισε προσχωρῆσαι βασιλεῖ, καὶ τὴν πόλιν παραδοῦναι. Ἐπεὶ δὲ εἶχε πεπεισμένον, αὐτὸν μὲν ἐν Ῥωγοῖ κατέλιπεν αὖθις· αὐτὸς δὲ πρὸς βασιλέα παρὰ τὴν Ἄρταν ἐστρατοπεδευμένῳ ὅτι παραδίδοίη Καβασίλας Ῥωγὼ ἀπαγγελῶν ἐχώρει· ὁδεύοντι δὲ αὐτῷ, ἐπεὶ ἐγένετο κατά τινα πηγὴν ψυχρὸν ἅμα ῥέουσαν καὶ διειδὲς καὶ ἡδιστον πιεῖν, ἐδόκει δεῖν τῶν ἵππων ἀποβάντας, ἄριστον ἑλέσθαι, καὶ ἀποβάντες κατεκλίνοντο. Μετὰ μικρὸν δὲ καὶ ὁ Καβασίλας σπουδῇ ὡρᾶτο προσελαύνων, καὶ ἐπειδὴ ἐγγὺς ἦν, πρίν τι φθέγξασθαι αὐτὸν, Οἶομαι, ὁ μέγας δομέστικος εἶπε, σοὶ τῶν ἑταίρων μεμφομένων, καὶ πολλὴν κατηγορούντων εὐκολίαν ὅτι

C πρὸς ἐμὲ πολέμιον δοκοῦντα εἶναι, μηδὲν ἔχων ἐνέχυρον ἀσφαλείας, ἀπερισκέπτως οὕτω τὸ δοκοῦν ποιεῖς, βουληθεὶς ἔργοις ἀποδεῖξαι ὡς οὐκ ἀμαθῶς, οὐδὲ θρασέως, ἀλλ' εὖ εἰδὼς ᾧτινι πιστεύεις σεαυτὸν, τὰ δέοντα ποιεῖς, ἐκείνους μὲν καταλιπεῖν ἀνόητα ἐνθυμουμένους, παρ' ἡμᾶς δὲ ἥκειν, οὓς κέκρικας τῶν ἄλλων μᾶλλον πιστοτέρους. Ὁ δ' εἰ μὴ πρῶτος, ἔφασκεν, αὐτὸς ἀφῖκτο μετὰ τοὺς ἐκεῖ ῥηθέντας λόγους, οὐ πιστεῦσαι ἂν ῥᾳδίως μή τινα τῶν λόγων

D ἐκείνων ἄγγελον ἐλθεῖν. Τούτων γὰρ αὐτῶν ἡμῖν πρὸς ἀλλήλους εἰρημένων, καταλιπὼν αὐτοὺς, ἦκω παρὰ σέ· αὐτὸς δ' ἂν εἰδείης ὅ τι πράττειν βέλτιον ἐμέ· καὶ ἢ πρὸς βασιλέα ἥκειν ἅμα σοὶ, ἢ ἐνταῦθα μένειν, ἄχρις ἂν αὐτὸς κελεύῃς. Ἐγὼ γὰρ, εὖ ἴσθι, βασιλεῖ μὲν οὐκ ἄν ποτε προσεχώρησα, ἀλλ', ὅπερ ἔφην πρὸς ἐκεῖνον, μᾶλλον ἂν ἀποθανεῖν εἱλόμην, ἢ ἐκείνῳ ὑποχείριος γενέσθαι· τῆς σῆς δὲ φιλίας ἡττῆσθαι παρὰ πολὺ ὁμολογῶ· καὶ τούτου γε ἕνεκα ἐμαυτόν τε καὶ πολίτας ἐγχειρικέναι τοὺς ἐμοὺς, ὥστ' ἃ σοι κατὰ γνώμην, ἐξεῖναι πράττειν περὶ ἡμᾶς. Ὁ μέγας δὲ δομέστικος πολλὴν αὐτῷ τῆς εἰς αὐτὸν εὐνοίας χάριν ὁμολογήσας, εἰς Ῥωγὼ ἐκέλευσεν αὖθις ἐπιέναι, ὡς τὴν ὑστεραίαν αὐτοῦ μετὰ τῶν βασιλικῶν ἀφιξομένου δωρεῶν, καὶ αὐτόν τε καὶ τοὺς ἄλλους παραληψομένου· ὁ δὲ πεισθεὶς, αὖθις ἐπανῆλθεν εἰς Ῥωγώ. Ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος εἰς βασιλέα ἐλθὼν, καὶ περὶ Καβασίλα καὶ Ῥωγοῦς ὡς προσεχώρησαν ἀπαγγείλας, ἐπιτραπείς τε παρ' ἐκείνου ὅσα ἂν ᾖ δίκαια καὶ συμφέροντα εὐποιΐας ἕνεκα πράσσειν πρὸς αὐτούς, εἰς τὴν ὑστεραίαν αὖθις εἰς Ῥωγὼ ἐλ-

Digitized by Google Распознавание текста ABK/FR

θὼν, εἰσεδέχθη τε παρὰ τῶν Ῥωγίων τὴν πόλιν παραδόντων· καὶ αὐτὸς ἑκάστῳ καταξίαν τὰς βασιλέως παρέσχετο εὐεργεσίας· συμπαραλαβών τε αὐτῶν τοὺς μάλιστα ἐν λόγῳ, Καβασίλαν τε σὺν αὐτοῖς ὡς βασιλέα ἦκε, προσκυνήσασί τε αὐτοῖς καὶ ὡμολογηκόσι τὴν δουλείαν· καὶ ὁ βασιλεὺς ἠμείβετο λόγοις ἡμέροις καὶ προσηνέσι· καὶ τῆς πρὸς τὰ βελτίω μεταβολῆς ἐπῆνει, καὶ πρὸς εὔνοιαν μάλιστα προσήγετο. Καβασίλας δὲ τοῖς μὲν ἄλλοις ἔφασκε προσήκειν τοὺς πρὸς βασιλέως εἰρημένους λόγους, αὐτῷ δὲ μή. Εἰ γάρ τι καὶ εἴργασται τῶν κατὰ γνώμην βασιλεῖ, οὐκ ἐκείνῳ μᾶλλον ἢ μεγάλῳ δομεστίκῳ λογίζεσθαι τὴν χάριν. Ἐκεῖνον μὲν γὰρ ὥσπερ ἔπεισέ τε ἐξ ἀρχῆς αὐτὸν καὶ πρὸς βασιλέα εἰς Ῥωγὼ ἐλθόντα εἶπεν ὡς μᾶλλον ἂν ἕλοιτο ἀποθανεῖν, ἢ ὑπὸ βασιλέα γενέσθαι, αὖθις τὴν ἴσην καὶ ὁμοίαν γνώμην ἐσχηκέναι ἄχρι προτεραίας· ἀγνοεῖν δὲ ὅπως τοῖς μεγάλου δομεστίκου λόγοις κατάκρας ἡττηθεὶς, τἀναντία πρᾶξαι ὧν προείλετο. Ἐκεῖνο δὲ εἰδέναι μόνον σαφῶς, ὡς δεσμώτης ἀχθείη τοῖς ἐκείνου λόγοις· γνώμην τε ἀντὶ τῆς προτέρας ἐσχηκέναι νῦν ὡς οὐδ' ἂν εἴ τι καὶ γένοιτο ἕως ἂν περιῇ τῆς πρὸς αὐτόν τε βασιλέα καὶ τὸν μέγαν δομέστικον εὐνοίας ἀποσταίη. Τοιαῦτα Καβασίλα εἰπόντος, τοὺς λόγους ἐπαινέσας ὁ βασιλεὺς, λόγοις τε ἠμείβετο πολλοῖς, τὴν πραότητα ἐπιδεικνύμενος καὶ τὴν εὐμένειαν τὴν πρὸς αὐτὸν, καὶ τὸ μεγάλου κονοσταύλου ἀξιώματι ἐτίμα, καὶ τοὺς ἄλλους ἀναλόγως. Οἱ πολιορκούμενοι δὲ κατὰ τὴν Ἄρταν, Καβασίλαν καὶ Ῥωγίους ὁρῶντες προσκεχωρηκότας βασιλεῖ, ὕβριζόν τε εἰς αὐτοὺς ὡς προδότας τῶν κοινῇ συμφέροντα προϊεμένους, καὶ πολλὴν κατεγίνωσκον τὴν μοχθηρίαν καὶ τὴν φαυλότητα αὐτοῖς τῶν τρόπων. Ἦσάν τε οὕτω παρεσκευασμένοι ὡς οὐκ ἐνδώσοντες πρὸς τὴν πολιορκίαν οὔτε φόβῳ τῶν ἐκ τοῦ πολέμου κακῶν, οὔθ' ὑποσχέσεσι μυρίων ἀγαθῶν.

dum mirifice illexit. Cabasilas ejus verba in alios, in se minime quadrare autumavit. Quanquam enim gratum aliquid ipsi fecerit, non sibi magis, quam magno domestico ob id gratiam deberi. Se enim, quod ab initio statuisset, et imperatori Rhogum venienti affirmasset, malle mori, quam denuo illi subesse, id ipsum eodem plane modo usque ad diem hesternum in animo fixum habuisse. Nescire autem, quomodo sermone magni domestici omnino devictus, decretum suum fregerit. Illud solum pulchre scire, verbis magni domestici injecta sibi vincula, quibus duceretur quo is vellet; et nunc priori contrariam induisse mentem, ut quicunque casus exstiterit, quandiu spiritus suppeditaverit, ab imperatoris et magni domestici amicitia nunquam desciscat. Hæc locutum Cabasilam laudibus ornavit imperator, et multis respondens, humanitatem ac propensionem illi suam ostendit: ac ipsum quidem magni Contostauli honore, alios pro portione aliis ornamentis cohonestavit. Artæi obsessi Cabasilam et Rhogios ad imperatoris auctoritatem rediisse cognoscentes, maledictis eos, ut communis emolumenti proditores, et qui propter compendia propria communes utilitates in postremis ducerent, incessebant, ac pro nequissimis ignavissimisque mortalibus damnabant: eruntque sic animati, ut quamvis obsiderentur, nec tantillum tamen vel timore malorum bellicorum, vel promissione millium bonorum vellent cedere.

CAPUT XXXVI.

Artæorum pertinaciam castigat magnus domesticus: quæ bona perdiderint, quæ mala passuri sint, ostendit. Eorum in Rhogios contumelias æyre fert. Quam iniqne resistant, et quomodo Acarnania Romanis debeatur, docet. Hortatur, ut se illius fidei permittant. Artæi deditionem decernunt; præteritam pertinaciam excusant. Laudat eos, et gratias agit magnus domesticus. Imperatoris et exercitus invaletudo.

Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις μετὰ τὸ Ῥωγίους προσχωρῆσαι, παρὰ τὰς πύλας Ἄρτας ὁ μέγας δομέστικος προσελθών, εἰς λόγους ἐλθεῖν ἠτεῖτο Βασιλίτζῃ ἐπιτροπεύοντι αὐτῆς. Ἐλθόντι δὲ καὶ αὐτῷ πρὸ τῶν πυλῶν, Οὐ δίον, ἔφασκεν, αὐτοὺς νοῦν ἔχοντας καὶ λογισμοῖς χρωμένους, οὕτω φέρεσθαι ἀλόγως, ὥστε μήτε πρότερον βουλεύσασθαί τι τῶν δέοντων, καίτοι παραινοῦντος καὶ ἐμοῦ, μήθ' ὕστερον μεταβάλλεσθαι μετὰ τὴν πεῖραν τῶν δεινῶν. Εἰ γὰρ ὅτε πρῶτον πρὸς ὑμᾶς ἥκομεν πρὶν ἄρξασθαι πολιορκίας, ἐμοὶ παραινοῦντι τὰ δέοντα ἐπείθεσθε, αὐτοί τε ἂν ἦτε τῶν ἐκ τῆς πολιορκίας κακῶν ἀπηλλαγμένοι, ἥ τε χώρα ἄτμητος ἔτι οὖσα διεσώζετο ἂν ὑμῖν ἀφ' ἧς αὐτοί τε οἱ δυνατοὶ εἴχετε πολλὰς προσόδους, καὶ ὁ δῆμος ἀφθόνων ἀπέλαυε τῶν ἐπιτηδείων. Νυνὶ δὲ ὑμᾶς τε αἱ πρόσοδοι ἐκλελοίπασι διεφθαρμένων τῶν κτημάτων, καὶ ὁ δῆμος ἐνδείᾳ κινδυνεύει ἀπολέσθαι. Ταῖς γὰρ ἠπειρώτισι ταύταις πόλεσιν, ἂν τὴν χώραν ὑπὸ τοῦ πολέμου ἢ ἑτέρου ὁτουοῦν συμβαίη ἀπολέσθαι, ἑτέρωθέν πο-

Non diu post Rhogiorum deditionem, magnus domesticus ad portas Artæ gradum ferens, Basilitzis præfecti alloquendi copiam petit. Quo ante portam exeunte, domesticus ita cœpit: Non oportebat vos intelligentia consilioque præditos, usque eo cæco raptari impetu 315 ut neque antea, quanquam hortante me, quidquam ex usu deliberaveritis, neque postea, suadente malorum experientia, sententiam mutaveritis. Si enim, quando primo adventu nostro priusquam obsideremini, mihi recta monenti paruissetis: et ipsi nullum ex obsidione detrimentum pertulissetis, et ager vester, ex quo et vos optimates largos reditus, et plebs rerum victui opportunarum ubertatem percipiebat, integer vobis intactusque servaretur. Nunc et vos propter illatam possessionibus vestris calamitatem vectigalia defecerunt, et plebs ob egestatem proxima est interitui. Nam urbium mediterranearum inopiæ aliunde succurrere, si agrum bellum aut alia quæcunque clades afflixerit, non est facile.

Digitized by Google Распознавание текста ABK/FR

Quanquam si maxime liceret, nobis aliquo modo obsidione depulsis secure vivere, ne ita quidem, ob accepta damna videlicet, vobis ipsis utiliter consuluisse, a sapientibus videremini. Atqui graviora prioribus in posterum exspectanda sunt. Non enim est, non est, inquam, nisi quid præter opinionem de cœlo ad salutem vestram expediendam impetretis, quod nos ab oppugnatione revocaverit : ut vos cum agro urbem quoque amissuros verisimile fiat. Miror autem quod, cum iisdem, vel gravioribus etiam malis quam Rhogii exerceamini, et velitis nolitis propediem in imperatoris jus ac potestatem venturi sitis, non solum eos (ut qui suis rationibus bene honesteque prospexerint, dum antequam in extremum delaberentur discrimen, salutem et commodum consilii mutatione sibi quæsierunt) non commendetis, sed multas potius contumelias in ipsos effuderitis, quia temeritatis ac stultitiæ vestræ socii esse noluerunt. At enim intuemini paulisper, quam iniqui, quam damnosi et vobismet ipsis, et reliquis Acarnanibus sitis, dum in hac cogitatione persistitis. Ipsi quippe bello consumpti periistis, et aliis oppidis, tametsi defectionis vestræ haud participibus, nocumenta non vulgaria invexistis. Exercitus enim (63), ac præsertim tantus, in extera regione hærens, hostium agros inclementer depopulatur. Sin autem e sociorum suaque provincia alimoniam capiat, repentinam illi famem inducit. Agitis porro iniquissime, qui pro Romanorum imperio, quod a Julii Cæsaris ferme temporibus ipsis patrium est (64), Tarentinorum, hominum barbarorum dominationem introducitis. Nicephorus enim, cujus potissimum causa hoc bellum vos militare profitemini, ad libertatem **316** neque vobis, neque sibimet pariundam satis habet virium : verum ad Tarentinos cum perfugerit, inde adjutus ex Acarnania imperatorem se expulsurum opinatur. Hoc autem se posse, nec illos fas est opinari nec, si poterunt, sine magnis laboribus, periculisque poterunt. Qui igitur tale bellum pro vobis adversus imperatorem gerendum suscipient, si superiores evadere quiverint, nonne provinciam vestram, tanquam virtutis, certaminumque multorum præmium habituros arbitramini? Non recte sapitis, si hoc non creditis. Ego vero, etiamsi per vos Nicephoro Acarnaniæ principatum acquirere possetis, in imperatorem injuriosissimos esse pronuntiarem. Angeli enim non a Barbaris Acarnania asserta, principatum consecuti sunt, sed jam tum subjectam Romanorum imperatoribus, cum ab eis annuam ejus procurationem haberent, propter bellum, quod Latini Romanis intulerunt, eam sibi ut propriam vindicarunt. Quibus, Latinis inquam, con-

Θεν οὐ ῥᾴδιόν ἐστιν ἰάσασθαι τὴν ἔνδειαν, καίτοι εἴ γε μάλιστα ἐνῆν τρόπῳ δή τινι ἀναστήσαντας ἡμᾶς ἐκ τῆς πολιορκίας διάγειν ἐν ἀδείᾳ, οὐδ' οὕτω λυσιτελούντως σφίσιν αὐτοῖς ἂν ἐδοκεῖτε βεβουλεῦσθαι παρὰ σωφρονοῦσι διὰ τὴν γεγενημένην βλάβην· νονὶ δὲ συμβαίνει δεινότερα πείσεσθαι προσδοκᾷν ὑπαρξάντων. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδέν, εἰ μή τι παράλογον ἐξ οὐρανοῦ πρὸς σωτηρίαν ὑμῖν πραχθείη, ὃ τοῦ πολιορκεῖν ἡμᾶς πείσει ἀποσχέσθαι· ὥστε εἰκὸς πρὸς τῇ χώρᾳ καὶ τὴν πόλιν ὑμᾶς προσαπολεῖν. Θαυμάζω δὲ ὑμῶν εἰ τοῖς αὐτοῖς ἢ καὶ μείζοσι κακοῖς ἐνεχόμενοι Ῥωγίοις, καὶ μέλλοντες ὑπ' ἀνάγκης ὅσον οὐδέπω βασιλεῖ προσχωρεῖν αὐτοὶ οὐ μόνον οὐκ ἐπαινεῖτε ὡς καλῶς καὶ συμφερόντως ἑαυτοῖς βεβουλευμένους, ὅτι πρὶν εἰς ἔσχατον κινδύνου ἥκειν, σωτηρίαν καὶ ὠφέλειαν ἐπορίσαντο ἑαυτοῖς ἐκ τῆς μεταβολῆς, ἀλλὰ καὶ ὕβρεις καταχέετε αὐτῶν πολλάς, ὅτι οὐ τῆς αὐτῆς ὑμῖν ἀβουλίας εἵλοντο εἶναι κοινωνοί· καίτοι σκέψασθε ὡς οὔτε δίκαια οὔτε συμφέροντα οὔθ' ἑαυτοῖς, οὔτε τοῖς ἄλλοις Ἀκαρνάσιν αὐτοὶ ποιεῖτε τῆς αὐτῆς ἐχόμενοι ἐννοίας. Αὐτοί τε γὰρ ἀπολώλατε διαφθαρέντες ὑπὸ τοῦ πολέμου, καὶ ταῖς ἄλλαις πόλεσι βλάβης οὐ μετρίας αἴτιοι κατέστητε, καίτοιγε ὑμῖν βασιλέως οὐ συναποστάσαις. Στρατιὰ γὰρ ἐπὶ ξένης διατρίβουσα καὶ μάλιστα τοσαύτη, τὴν μὲν πολεμίαν κείρει ἀφειδῶς· ἐν δὲ τῆς συμμαχίδος καὶ οἰκείας τρεφομένη, λιμὸν αὐτῇ αἰφνίδιον ἐπάγει· ἀδικεῖτε δὲ τὰ ἔσχατα, ἀντὶ τῆς Ῥωμαίων βασιλείας, ἣ σχεδὸν αὐτοῖς ἐκ τῶν Καίσαρος χρόνων πάτριός ἐστι, τὴν Ταραντίνων αὐτοῖς ἀνθρώπων βαρβάρων ἐπάγοντες ἀρχήν. Νικηφόρος γὰρ, ὑπὲρ οὗ μάλιστα αὐτοὶ οἴεσθε τὸν πόλεμον αἱρεῖσθαι, οὔθ' ὑμῖν οὔθ' ἑαυτῷ οἷός τέ ἐστιν ἐξαρκεῖν πρὸς τὴν ἐλευθερίαν· ἀλλὰ Ταραντίνοις προσφυγὼν, τῇ ἐκεῖθεν οἴεται δυνάμει Ἀκαρνανίας βασιλέα ἐξελάσειν. Τοῦτο δὲ οὔτε δυνήσεσθαι οἴεσθαι αὐτὸν εἰκὸς, οὔτ' εἰ δυνήσεται ἄνευ πόνων μεγάλων καὶ κινδύνων. Τοὺς οὖν πόλεμον τοιοῦτον ὑπὲρ ὑμῶν πρὸς βασιλέα ἀναδεξαμένους, εἰ κρείττους δυνήσονται γενέσθαι, οὐκ οἴεσθε ὑμᾶς τῆς ἀρετῆς ἆθλον καὶ τῶν ἀγώνων σχήσειν τῶν πολλῶν; οὐκ ἄρα δόξετε ὀρθῶς φρονεῖν. Ἐγὼ δὲ εἰ καὶ καθ' ἑαυτοὺς ὑμεῖς Ἀκαρνανίας τὴν ἀρχὴν Νικηφόρῳ ἡδύνασθε περιποιεῖν, ἀδικοῦντας ἂν τὰ μέγιστα βασιλέα ἀπέφηνα ὑμᾶς. Ἀγγέλους γὰρ οὐκ ἀπὸ βαρβάρων Ἀκαρνανίαν ἐλευθερώσαντας κτήσασθαι συνέβη τὴν ἀρχήν· ἀλλ' ὑποχειρίους ὄντας Ῥωμαίων βασιλεῦσι, καὶ παρ' ἐκείνων ἐτήσιον ἀρχὴν τῆς χώρας ἐπιτετραμμένους, σφετερίσασθαι τὴν ἀρχὴν διὰ τὸν ἐπενεχθέντα τότε παρὰ Λατίνων Ῥωμαίοις πόλεμον· ὧν δὴ τοῦ κρείττονος συγχωρήσει Βυζαντίου κρατησάντων καὶ Θρᾴκης ἁπάσης, καὶ τῶν κατὰ Μακεδονίαν πόλεων πολλῶν, βασιλέα μὲν ἡ Ῥωμαίων ὑπέθορε πρὸς ἕω· Ἀκαρνανίας

Jacobi Pontani notæ

(63) Demosthenis sententia est in Olynthiacis, quibus orationibus Athenienses ad auxilium Olynthiis contra Philippum ferendum cohortatur, ne in sua regione hostem habeant, si illos deseruerint.

(64) Inde usque a Julio Cæsare Romani tenent Acarnaniam.

Digitized by Google Распознавание текста ABK/FR

δὲ τὴν ἀρχὴν Ἄγγελοι προσεποιήσαντο ἑαυτοῖς· καὶ ἄλλοι ἄλλας τῶν ἑσπερίων ἐπαρχιῶν ὧν ἕκαστοι ἔτυχον ἐπιτροπεύοντες, διὰ τὸ βασιλεῦσι Ῥωμαίων δίοδον οὐκ εἶναι πρὸς αὐτοὺς διὰ Θράκης καὶ Μακεδονίας οὐσῶν ὑπὸ Λατίνοις. Ὕστερον δὲ ἔτεσι πολλοῖς ὑπὸ τῶν Παλαιολόγων ἰθυνομένης τῆς Ῥωμαίων βασιλείας, Λατίνους μὲν αὖθις τοῦ Θεοῦ συναιρομένου, τῆς Ῥωμαίων ἐξήλασαν ἡγεμονίας· καὶ Ἀσίαν καὶ Εὐρώπην ὅσης ἦρχον εἰς ἓν συνῆψαν· Ἀκαρνανίαν δὲ Ἀγγέλους ἀπαιτοῦντες, οὐκ ἠδύναντο ἀπολαβεῖν· ἀλλ' ἄδικα καὶ βίαια ποιοῦντες, ἀπεστέρουν· καὶ στρατιὰν πολλάκις ἐπ' ἐκείνους πέμψασιν, ὅπλα ἀντῆροντο, καὶ τοὺς περιοίκους συμμάχους ἐπήγοντο βαρβάρους. Τὸν βασιλεύοντα δὲ νυνὶ ἐπιστρατεύοντα ὑμῖν, καὶ τῇ ἄνωθεν ἐπικουρίᾳ δουλωσάμενον, οὐκ ἀδικεῖν ἄν τις φαίη τὴν ἑτέρων παραιρούμενον ἀρχήν· ἀλλὰ μάλιστα τὰ δίκαια ποιεῖν ἀπολαμβάνοντα τὴν πατρῴαν. Εἰ γὰρ Νικηφόρῳ δίκαιον τὸ ἐκ προγόνων οὐ πολλῶν ὄντων τὴν ἀρχὴν κατάγεσθαι, πολλῷ μᾶλλον βασιλεῖ τῶν ἐξ ἀρχῆς βασιλευσάντων Ῥωμαίων ὄντι ἀπογόνῳ κατὰ τὸν λόγον τῆς διαδοχῆς. Εἰ δὲ τὸ τοῦ χρόνου μῆκος ἀξιόχρεων δοκεῖ πρὸς δικαίωσιν ὑμῖν, ἴστε τἀναντία λογιζόμενοι τῶν ὄντων· μᾶλλον γὰρ διὰ τοῦτο δίκης ἄξιοι, ὅτι τοσοῦτον χρόνον ἠδικεῖτε. Εἰ οὖν μηχανῇ τε οὐδεμιᾷ τὸ ἁλῶναι οὐ δύνασθε διαφυγεῖν, εἴ τε καὶ δύναμις ὑμῖν παρῆν Ἀκαρνανίας βασιλέα ἐξελαύνειν, τὸ ἀδικεῖν οὐκ ἂν ἦν διαφυγεῖν, τί δεῖ ἀνήνυτα πονοῦντας τὴν κακοπραγίαν ἐπιτείνειν ἑαυτοῖς, καὶ μὴ πειθομένους ἐμοὶ τὰ βελτίω συμβουλεύοντι, σφίσι μὲν αὐτοῖς αἰτίους γενέσθαι μεγάλων ἀγαθῶν, ἡμᾶς δὲ ὀλίγου πόνου ἀπαλλάξαι ὃν ὑπομενοῦμεν ὑμᾶς καταστρεφόμενοι; Ὅτι δὲ ἡ ἐμὴ παραίνεσις συμφέρουσα ὑμῖν, ἔξεστι χρήσασθαι συμβούλοις τοῖς συγγενέσι καὶ ἑταίροις ὑμῶν Ῥωγίοις, οἳ ἐμοὶ πάντα ἀναθέμενοι τὰ κατ' αὐτούς, ὅσης ἀπήλαυσαν εὐνοίας καὶ προνοίας τῆς πρὸς βασιλέως, μαρτυρήσουσιν αὐτοί. Εἰ οὖν καὶ ὑμεῖς τὰ ὑμέτερα ἀνάθησθε ἐμοί, εἴσεσθε καλῶς ὡς ἀληθεῖ καὶ δικαίῳ καὶ δυναμένῳ εὖ ποιεῖν ἐπιστεύσατε ἀνδρί. Ἀπολογίαν μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις ἀπαιτεῖν οὐ δίκαιον νυνί, τῶν πλειόνων τε ἀπόντων, καὶ ὑμῶν ἀμελετήτων πρὸς τοὺς λόγους ὄντων· ἐκκλησίαν δὲ ἀθροίσαντες καὶ βουλευσάμενοι περὶ τῶν δεόντων, ἐς τὴν ὑστεραίαν, εἰ δοκεῖ, ἀπόδοτε τὸν λόγον. Ὁ μὲν οὖν εἰπὼν τοιαῦτα πρὸς Ἀρταίους, ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, Καβασίλαν καὶ τοὺς ἄλλους Ῥωγίους διαλέγεσθαι αὐτοῖς καταλιπών,

A cessu Numinis Byzantio, universa Thracia, multisque urbibus Macedoniæ potitis, Romanorum quidem imperium in Orientem sese contraxit (65). Acarnaniam autem Angeli, aliique alias occidentales provincias, quarum prætores erant, sibi subdiderunt : propterea quod Romanis imperatoribus, Thraciam et Macedoniam Latinis tenentibus (66), ad illas transitus non patebat. Tandem post annos plurimos, cum imperium Romanorum a Palæologis regeretur, Latinos Deo opitulante principatu depulerunt et Asiam atque Europam quousque imperabant, iterum conjunxerunt : Acarnaniam ab Angelis frustra repetiverunt, qui per vim et scelus eam retinentes, sæpius contra se missis exercitibus, cum vicinis barbaris ad auxilium invocatis restiterunt. Imperatorem porro hunc, qui nunc vos cœlesti fultus ope armis subegit, nemo injustum esse dixerit, dum alios imperare non patitur, sed justissimum, qui paternam hæreditatem reposcat. Si enim æquum est, Nicephorum a majoribus haud ita multis principatum deducere, quanto æquius imperatorem, imperatorum qui ab initio Acarnaniam tenuerunt nepotem successoremque legitimum? Quod si longinquitatem temporis causæ vestræ satis patrocinari censetis, scitote vos falsum ratiocinari (67); nam ob id magis supplicio digni estis, qui tandiu in facienda injuria perseveraveritis. Ergo si nulla fraude evadere potestis, quin convincamini, **317** et si viribus ad imperatorem Acarnania ejiciendum valeretis, non possetis tamen injuriæ opinionem effugere, quid, quæso, inaniter laborantes, miseriam vobis producitis? Quin mihi salutaria monenti obsequentes, et vobis uberrimum fructum adipiscimini; et nos a tantillo labore, quem vobis edomandis sustinebimus, liberos esse sinitis? Cæterum cohortationem meam ut non inutilem rebus vestris, Rhogii cognati ac socii vestri testabuntur, si eos adhibere consiliarios volueritis : qui cum in arbitrio meo sua posuissent, quanta cura benevolentiaque ab imperatore dignati sint, ipsi loquentur. Si item vos vestra mihi permiseritis, efficiam ut ea homini veraci et justo, et qui benefacere possit, permisisse præclare intelligatis. Responsionem in præsens non postulo, quando major pars abest; et vos ad respondendum non estis meditati. Ubi acto conventu de summa rerum deliberaveritis, crastino die, si libebit, respondete. Ilis

A

B

C

D

Jacobi Pontani notæ.

(65) Theodoro Lascari imperatore designato circa Nicæam Bithyniæ.

(66) Per annos fere 63. Interea Nicomediæ in Bithynia sedem habuerunt Constantinopolitani imperatores. Primus autem ex Latinis imperavit Constantinopoli, anno Domini 1206, Balduinus Flander mensibus II. Quo a Mœsis et Bulgaris capto atque interfecto, interregnum fuit anno uno et mensibus quatuor. Secundus, Henricus, Balduini filius, qui sine liberis obiit. Tertius, Petrus, comes Altisiodorensis. Quartus, Robertus. Petri filius. Quintus, Balduinus secundus, Roberti filius. Donec Michael Palæologus imperium Latinis ereptum Græcis restituit, anno Domini 1258. Quomodo præclaram illam urbem Latini occuparint, et quam horribilia scelera designarint, fuse docet Nicetas in Alexio Comneno, lib. III, in imperio Alexii Ducæ, cognomento Murtzuphli.

(67) Non vult dari præscriptionem in regnis et provinciis : et qui vel centum annis possederit regnum non suum, quod inique occuparit, eo ab hærede legitimo depelli posse; de quo jureconsulti viderint.

Digitized by Google Распознавание текста ABK/FR

Digitized by Google Распознавание текста ABK/FR

δέοντα καὶ σφίσιν αὐτοῖς καὶ πατρίδι βουλευσάμενοι λυσιτελοῦντα, καὶ ἑαυτοὺς σεσώκατε καὶ πατρίδα· ὧν τὰ σῶστρα ὑμῖν ὀφείλειν αὐτὸς ὁμολογῶ, διὰ τὴν εὐμένειαν τὴν πρὸς ὑμᾶς, πάνυ' ὅσα πρὸς ὑμᾶς ἥκει ἀγαθὰ λογιζόμενος διαφέρειν ἐμαυτῷ. Τοιαῦτα καὶ ἕτερ' ἄττα πολλῆς γέμοντα πραότητος καὶ χάριτος πρὸς αὐτοὺς διαλεχθείς, ἅμα Βασιλίτζῃ τῷ τῆς πόλεως ἄρχοντι καὶ τοὺς ἄλλους ὅσοι ἦσαν ἐν λόγῳ παραλαβών, ἤγαγεν ὡς βασιλέα· συγγνώμης τε ἐφ' οἷς ἀπέστησαν τυχόντες καὶ πολλῶν ἑτέρων εὐεργεσιῶν, ἐπανελθόντες καὶ ἀναπετάσαντες τὰς πύλας, εἰσεδέξαντο βασιλέα καὶ τὴν ἄλλην στρατιάν, τὴν πόλιν παραδόντες. Βασιλεὺς δὲ καὶ πρότερον μὲν ἐκεκάκωτο τὰ σπλάγχνα, καὶ διέκειτο πονηρῶς ὑπ' αὐτῶν· τότε δὲ ἐκ τῆς κακοπαθείας τῆς κατὰ τὴν στρατείαν, μάλιστα δὲ καὶ διὰ τῶν ἀέρων τὴν ἀήθειαν, παρὰ πάντα τὸν τῆς πολιορκίας χρόνον ἐνόσει· καὶ ἡ ἄλλη δὲ πᾶσα στρατιὰ διαῤῥοίαις κατεχόμενοι καὶ πυρετοῖς καὶ κεφαλῶν ἀλγήμασιν ἔπασχον κακῶς· καὶ ὀλίγοι ἦσαν οἱ διαφυγόντες τὸ κακόν. Ἐτεθνήκει δὲ οὐδεὶς ὑπὸ νόσου, εἰ μὴ Σφραντζῆς ὁ μέγας στρατοπεδάρχης· ἐπὶ χρόνον δὲ συχνὸν παλαίοντες τῇ νόσῳ, ἀπηλλάττοντο· ἵπποι δὲ καὶ ἡμίονοι, καὶ εἴ τι τῶν ἀλόγων ἕτερον ἦν, χαλεπῶς διέφευγε τὸ ἀποθνήσκειν. Διὸ καὶ ἐκ πολλῶν ὀλίγοι ἵππους ἔχοντες ἀνέζευξαν· τότε δὲ ἐπεὶ ἡ Ἄρτα προσεχώρησε, βασιλεὺς μὲν διὰ τὴν νόσον καταλέλειπτο ἐκεῖ.

A vos, et patriam conservatum vistis : quorum vobis sōstra [id est, libertatis ac salutis conservatæ pretium] deberi confiteor, qui amore quodam vestri, omnia ad vos bona confluentia, mea bona judico. Talia et plura suavitatis gratiarumque plena cum disseruisset, Basilitzem præfectum et alios civitatis principes ad imperatorem adducit : qui venia ac donis insuper affecti redeuntes, portis reclusis cum exercitu eum intromiserunt, urbemque dediderunt. Imperator cum antea quoque intestinorum dolere torqueretur, et ex eis vehementer laboraret, tunc ex incommodis expeditionis, et præsertim ex cœli insolentia toto obsidionis tempore ægrotabat. Exercitum præterea totum alvus citata exercebat, febresque et dolor capitis B divexabant, ac pauci hujus mali expertes manebant. **319** Nemo tamen præter Sphrantzem magnum stratopedarcham, interiit, sed diutius cum morbo colluctati convalescebant. Equi, muli, et si quid aliud animalium erat, difficulter vitam retinebant. Quare de multis haud multi cum equis redierunt. Arta recepta, imperator ibidem ob afflictam valetudinem mansit.

CAPUT XXXVII.

Thomocastrenses a magno domestico obsidentur. Quare essent tam superbi et refractarii. Ad deditionem exstimulantur. Eodem scopo et cum pædagogo Nicephori multis agitur. Ille rem ad primores refert, et renuntiat; concilio visum deditionem imperatori faciendam. Laudat factum domesticus; pædagogum cum Nicephoro et optimatibus ad se redire jubet.

Ὁ μέγας δὲ δομέστικος στρατιὰν ἀναλαβὼν ἦλθεν C εἰς Θωμόκαστρον καὶ πρότερον πολιορκούμενον· ἔνθα καὶ Νικηφόρος ὁ δεσπότου παῖς ἐκ Τάραντος ἐλθὼν μετὰ τῶν ἄλλων τῶν φυγάδων ἔτι νήπιος ὢν ἐπολιορκεῖτο· οὗτοι δὲ ἅτε καὶ ἐν ἀφθόναις ὄντες διὰ τὸ θαλασσοκρατεῖν, τριήρεων μὲν παρουσῶν βασιλικῶν, καὶ δυσπειθέστεροι τῶν ἄλλων μᾶλλον ἦσαν, καὶ οὐδὲ λόγου γοῦν ψιλοῦ ἠξίουν τοὺς πολιορκοῦντας. Καὶ γὰρ καὶ τοῦ μεγάλου δομεστίκου ἐν δύο καὶ εἴκοσιν ἡμέραις, αἳ μετὰ τὴν ἄφιξιν αὐτοῦ παρῆλθον προσπέμποντος ἀεί τινας αὐταῖς καὶ τὴν αἰτίαν ἐρομένου δι' ἣν οὕτως ἀσυμβάτως ἔχουσι πρὸς βασιλέα, καὶ πάντα μᾶλλον αἳ (68) ὑπομένειν ἢ ὑπ' αὐτὸν τελεῖν, οὐδεμίαν παρέσχον ἀπολογίαν· ἅμα μὲν καὶ διὰ τὸ μὴ ἐκατέρωθεν γῆς πολιορκεῖσθαι καὶ θαλάσσης, ἅμα δὲ καὶ συμμαχίαν ἐκδεχόμενοι D ἐκ Τραντίνων [γ. Τάραντος] ἥξειν ἣν ὤφοντο αὐτοῖς λύσειν τὴν πολιορκίαν τοὺς Ῥωμαίους ἐκφοβήσαντας· μετὰ δὲ τὴν δευτέραν καὶ εἰκοστὴν ἡμέραν, ἧκον ἐκ τοῦ Τάραντος αἱ προσδοκώμεναι δέκα τριήρεις, καὶ πεντηκόντοροι τρεῖς· ἃς ἰδόντες οἱ πολιορκούμενοι ἐν Θωμοκάστρῳ, ἡδονῆς τε ἦσαν ἔμπλεω, καὶ σωτήρια ἐώρταζον, καὶ ἐπαιάνιζον ἀπὸ τοῦ τείχους, ὡς ἤδη τῶν κακῶν ἀπηλλαγμένοι· οἱ δὲ ἦσαν

Magnus domesticus exercitum Thomocastro ante jam obsesso admovet, ubi puer Nicephorus (69), despotæ filius, Tarento cum aliis fugitivis reversus, obsidebatur. Thomocastrii velut copiis omnibus circumfluentes, quod mare obtinerent, ubi imperatoriæ triremes nullæ erant, multo plus cæteris calcitrabant, nec verbis saltem nudis obsessores dignabantur. Etenim cum magnus domesticus per dies duos et vicenos ab adventu suo ad eos quotidie mitteret, et causam exquireret cur adeo nullam cum imperatore compositionem paterentur, et quidvis, quam ei parere mallent, nihil responsi dabant, simul quia non utrinque, terra marique oppugnabantur, simul quia Tarento auxilium exspectabant, quod Romanis perterritis obsidione eos liberaret. Post secundum autem et vicesimum diem Tarento venerunt exspectatæ triremes decem, et tres aliæ, quarum singulæ quinquaginta remis agebantur. Earum conspectu obsessi plurimum exhilarati, σωτήρια [id est, diem festum salutis] agebant, ac de muro divinas laudes, ut jam malis defuncti, concinebant; qui tamen nihilo magis minoribus erant in malis. Magnus siquidem domesticus, etsi propter mare castra posuisset,

Jacobi Pontani notæ.

(68) Nihil ad rem istud αἳ. Legendum videtur αἱροῦνται.

(69) Miror, cum paulo post dicat, fuisse duodenem : qua certe ætate non sunt infantes. Nisi forte per μείωσιν aut contemptum vocet νήπιον.

Digitized by Google Распознавание текста ABK/FR

nec tantillum se commovit, obsidionemque perpetuavit. Tarentini stantes in anchoris, ad terram ut hostilem naves appellere, ac prope urbem descendere non audebant. Tertio post die suspicatus magnus domesticus, Thomocastriis spiritus paullatim comprimi, quandoquidem Tarentino subsidio non fruerentur, per internuntium eos in hanc sententiam verbis est aggressus. **320** Se illos non posse satis admirari, quod cum viri prudentes, ac rerum usu triti sint, ut quidem fama prædicentur (nam adhuc recenti adventu suo paucos eorum vidisse), nunc existimationi suæ minime servire, ac neutiquam ea facere, unde se omni crimine prorsus liberent. Ipso enim circiter quinque et viginti dies ad muros sedente, et avente causam noscere, ob quam subesse imperatori prorsus intolerabile videatur, eos nihil plane respondere, neque ex his, quæ faciant, suspicionem afferre, quasi aut hostibus incommodum, aut sibimet ipsis molestiarum vacuitatem prudenter meditentur : sed idem illis, quod polypis accidere, qui egressi e latibulo (70), si quid apprehenderint, non facile dimittunt, donec aut per se, aut vi abstracti, quod constrinxerant, dimiserint. Sic ipsos, cum semel imperatorem se nolle principem agnoscere testati sint, idem semper et præfracte testari. Quanquam si de rebus immutabilibus ita meditato loquerentur, haberent rationem aliquam, cur in iis perseverarent, quæ a principio statuissent. Nunc palam esse, eos de iis loqui, quæ nec unum diem sunt eadem, sed varie commutantur. Quare et verba cum rebus ad eorum utilitatem oportuisse congruere : admonebatque, ut e prudentioribus aliquem mitterent, quem, quid ipsis expediret, docere posset. Et si quidem is sibi assentiretur, bene ; sin autem, rursum eis integrum fore, ea persequi, quæ profectura ducerent. Sic ille verbis quodammodo cum ipsis velitabatur. Qui cum respondissent, missuros aliquem, si concilio placuisset, postridie Richardum, Nicephori pædagogum, cæteris nobiliorem ac prudentiorem mittunt. Congressus cum eo magnus domesticus, sic ait : Neminem ego mortalium, nisi a mente desertissimum, non ad finem aliquem, in quibuscunque actionibus suis respicere judico. Quod igitur primum fidem prodidistis, et nunc in obsidione istam animi, quæ videtur, altitudinem adhibetis, non alia de causa id facere vos autumo, quam ut Nicephoro despotæ filio ad principatum, et vobis ipsis aliquid ad felicitatem adjumenti afferatis. Ergo age, utrumque consideremus : ita, ut si quidem ex iis quæ facta sunt, aut ex iis quæ speratis, invenerimus quidpiam, quo consulta vestra finem suum sortiantur, id ne omittatis : sin contra invenerimus, quam vos suspicamini, ut non **321** so-

A οὐδὲν μᾶλλον ἐν ἐλάττοσι κακοῖς. Ὁ μέγας μὲν γὰρ δομέστικος καίτοι ἐγγὺς ἐστρατοπεδευμένος τῆς θαλάσσης, οὐδὲν μᾶλλον ἐκινήθη· ἀλλ' ἀτρέμας τῆς πολιορκίας εἶχετο. Ταραντῖνοι δὲ ἐπ' ἀγκυρῶν ἐφώρμουν, τῆς τε γῆς ἀπεχόμενοι ὡς πολεμίας, καὶ πρὸς τῇ πόλει οὐδεμίαν ποιούμενοι ἀπόβασιν. Εἰς τρίτην δὲ ἡμέραν ὕστερον ὁ μέγας δομέστικος ὑποπτεύσας τοῖς ἐν Θωμοκάστρῳ τὸ φρόνημα ὑπενδοῦναι, ἐπεὶ οὐδὲν ἀπώναντο τῆς βοηθείας Ταραντίνων, προσῆγεν αὐτοῖς τοὺς λόγους προσπέμπων τοὺς διαλεξομένους. Ἔφασκέ τε θαυμάζειν μάλιστα αὐτῶν ὅτι συνετοί τε ὄντες, καὶ πράγμασιν εἰδότες χρῆσθαι, ὡς περὶ αὐτῶν ἀκούειν ἔξεστιν (ὀλίγοις γὰρ αὐτῶν ἐωρακέναι κατὰ τὴν πρώην τὴν ἔφοδον), νῦν οὐ

B προσήκοντα ποιοῦσιν ἑαυτοῖς, οὐδ' ἐξ ὧν μάλιστα ἂν ἀπολύοιντο αἰτίας. Αὐτοῦ γὰρ δὴ ἐπὶ πέντε καὶ εἴκοσιν ἡμέραις περικαθημένου, καὶ τὴν αἰτίαν ἐθέλοντος μαθεῖν ἧς ἕνεκα αὐτοῖς τὸ ὑπὸ βασιλεῖ τετάχθαι νομίζεται τῶν πάνυ ἀδυνάτων, μήτε παρέχεσθαι ἀπολογίαν μηδεμίαν, μήτε ἐξ ὧν πράττουσιν ὑποψίαν ἐνδιδόναι ὡς σωφρόνων ἀνθρώπων χρῶνται λογισμοῖς ὑφ' ὧν ἢ ἡμᾶς κακώσουσι τοὺς πολεμίους, ἢ σφίσι αὐτοῖς πορίσονταί τινα ἀπαλλαγὴν τῶν ἀλγεινῶν· ἀλλὰ ταὐτὸν πάσχειν οἷον τοὺς πολύποδας φασίν· οἳ ἐπειδὰν ἐξέλκωνται τῆς θαλάττης, ἂν συμβαίη τινὸς ἐπιλαβέσθαι, οὐ ῥᾳδίως μεθιᾶσιν, ἄχρις ἂν ἢ ἐπιλείψωσί τι ἑαυτῶν, ἢ παρασπάσωσι τῶν ἡμμένων, τοιοῦτόν δή τι συμβαίνειν καὶ περὶ αὐτούς. Ἅπαξ γὰρ ὡς οὐ βασιλεῖ προσθήσονται εἰπόντες τοῖς

C αὐτοῖς λόγοις χρῶνται διηνεκῶς, καὶ οὐδεμίαν ἐπιδέχονται μεταβολὴν καίτοι εἰ μὲν περὶ ἀκινήτων πραγμάτων ἦσαν, τοὺς λόγους ἐσκεμμένοι, εἶχεν ἄν τινα λόγον ἐμμένειν τοῖς βεβουλευμένοις ἐξ ἀρχῆς. Νῦν δ' ἔξεστι συνορᾶν ὡς οὐδ' ἐπὶ μιᾶς ἡμέρας τῶν αὐτῶν μενόντων, ἀλλὰ ποικίλας δεχομένων τὰς μεταβολὰς ποιοῦνται. Ὥστε ἐχρῆν σὺτοῖς καὶ τοὺς περὶ ἐκείνων λόγους ὁμοίως τοῖς πράγμασι μεθαρμόζεσθαι πρὸς τὸ λυσιτελοῦν· παρῆνει τε αὐτοῖς τῶν συνετωτέρων παρ' αὐτοῖς τινα πέμψαι πρὸς αὐτόν, ὥστε ἃ αὐτοῖς οἴεται λυσιτελοῦντα ὑποθέσθαι. Κἂν μὲν καὶ αὐτῷ συμφέροντα δοκῇ· εἰ δὲ μή, ἀλλ' αὐτοῖς γε ἐξεῖναι πάλιν ἃ ὀνήσειν οἴεται ἐλέσθαι. Τοιούτους μὲν ὥσπερ διὰ προβολισμῶν πρὸς ἐκείνους ἐποιήσατο τοὺς λόγους· ἐκεῖνοι δὲ ἀποκρινάμενοι

D ὡς εἰ δοκεῖ αὐτοῖς συμβουλευσαμένοις πέμπουσί τινα εἰς τὴν ὑστεραίαν, πέμπουσι Ῥιτζαρδὸν τὸν Νικηφόρου παιδαγωγὸν ἐπιφανέστερόν τε καὶ συνετώτερον τῶν ἄλλων ὄντα· καταστάντων δὲ εἰς λόγους, τοιαῦτα πρὸς αὐτὸν ὁ μέγας δομέστικος διελέχθη· Οὐδένα οἶομαι τῶν πάντων εἰ μὴ παντάπασι ἀπεστέρηται φρενῶν, μὴ πρός τι τέλος ἀποβλέποντα ὁτιῳδήποτε ἐπιχειρεῖν. Διὸ τήν τε ἀποστασίαν πρῶτον καὶ τὴν ἐπὶ τῇ πολιορκίᾳ νῦν δοκοῦσαν μεγαλοψυχίαν οὐκ ἄλλου του ἕνεκα ἐλέσθαι ὑμᾶς νομίζω ἢ ὥστε Νικηφόρῳ τῷ τοῦ δεσπότου παιδὶ εἰς τὴν ἀρχὴν, καὶ ὑμῖν αὐτοῖς εἰς εὐπραγίαν ὠφέλειάν τινα ἐργάσασθαι· σκεψώμεθα

Jacobi Pontani notæ.

(70) De polypo hæc Plinius, lib. IX, cap. 29 : *Polyporum multa genera; terreni majores, quam pelagii, omnes brachiis ut pedibus ac manibus utuntur : cauda vero quæ est bisulca, et acuta, in coitu. Cæterum per brachia velut acetabulis dispersis haustu quodam adhærescunt, tenent supini, ut avelli non queant*, etc.

Digitized by Google Распознавание текста ABBYY FR

δὴ ἐπ' ἀμφοτέρων· κἂν μέν τινα ἐκ τῶν εἰργασμέ- A
νων ἢ ἐξ ὧν αὐτοὶ ἐλπίζετε δυνώμεθα εὑρεῖν, τοῦτα
πράττειν ἐξ ων ἂν εἰς πέρας ἔλθοι τὰ βεβουλευμένα·
ἂν δ' ἐναντίως ἔχοντα ἢ αὐτοὶ ὑποπτεύητε, μὴ μόνον
ἀφίστασθαι τῶν μὴ ὀρθῶς ἐχόντων, ἀλλὰ καὶ
ἐμοὶ πείθεσθαι παραινοῦντι τὰ συνοίσοντα. Ὑμεῖς
τοίνυν βασιλέως ἀποστάντες οὐδὲν εἰς ὑμᾶς ἀγω-
μονήσαντος, προσεχωρήσατε τοῖς Ταραντίνοις, οὐχ
ἁπλῶς οὐδὲ ἀλόγως, ἀλλ' οἰόμενοι τῇ ἐκείνων συμ-
μαχίᾳ Ἀκαρνανίαν δυνήσεσθαι ὑπάγειν ἑαυτοῖς. Τοῦ-
το δὲ οὐδὲ ὀλίγου δεῖ τοῦ εἶναι δυνατόν· αὐτοὶ γὰρ ἀφ'
ἑαυτῶν ἰδίᾳ κινούμενοι πλεονεξίᾳ πολλάκις Ἀκαρνάσι
στρατῷ μεγάλῳ ἐπεστράτευσαν, καὶ τὴν χώραν ἐκάκω-
σαν ὅσα μάλιστα ἐξῆν. Πόλεως δὲ οὐδεμιᾶς ἠδυνήθησαν
κύριοι γενέσθαι, οὔτε ὅπλοις βιασάμενοι οὔτε πολιορ-
κίᾳ ἀναγκάσαντες ὁμολογίᾳ παραδοῦναι, ἀλλ' ἀνεχώ- B
ρησαν ὧν ἦγον ἀποβαλόντες οὐκ ὀλίγους, πλὴν εἰ μὴ
ὧν αὐτοῖς ἑκόντες οἱ Ἀκαρνανίας ἄρχοντες παρεχώ-
ρησαν, Βοντίτζης καὶ Ναυπάκτου καὶ Βοθρεντοῦ,
ὥστε ἔχειν αὐτοὺς συμμάχους πρὸς τὸν πρὸς βασι-
λέα Ῥωμαίων πόλεμον. Οἱ οὖν Ἀκαρνάσι μόνοις πο-
λεμοῦντες οὐδὲν ἠδυνήθησαν ἀνύσαι πλέον, τίς ἐλ-
πὶς περιγενέσθαι νῦν καὶ βασιλέως παρόντος ἅμα
στρατιᾷ, ὃς πρότερόν τε καὶ νῦν ῥᾷον ἐξαρκεῖ Ἀκαρ-
νάσιν ἁμοῦ καὶ Ταραντίνοις πολεμεῖν; Οὐ μὴν, ἀλλ'
οὐδὲ ὑμῖν ἐλπὶς Ἀκαρνάνων τινὰς συναποστῆναι·
καὶ οἱ γὰρ πρότερον, Ῥώγιοι καὶ Ἀρταῖοι, συνα-
πέστησαν, καλῶς περὶ σφῶν αὐτῶν βουλευσάμενοι
τὰ δέοντα, βασιλεῖ τὰς πόλεις παραδόντες προσεχώ-
ρησαν. καὶ σφίσι τε αὐτοῖς αἴτιοι ἐγένοντο εὐπραγίας·
πολλῶν γὰρ ἐπέτυχον τῶν βασιλέως εὐεργεσιῶν, καὶ C
τοῖς πολίταις τοῖς αὐτῶν. Ὡς μὲν οὖν εἰ καὶ ἤξουσι Τα-
ραντῖνοι, ὀλίγα ἢ οὐδὲν λυσιτελήσουσιν ὑμῖν, δέ-
δεικται ἡμῖν· ὅτι δὲ οὐδὲ ἥξουσι τὴν ἀρχὴν, αὐτόθεν
ἤδη πειράσομαι κατάδηλον ποιεῖν. Πᾶς γὰρ ὁστισοῦν
ἰδίων ἕνεκα ἐγκλημάτων ἢ ἑτέροις συμμαχῶν ἀπτό-
μενος πολέμου, ἐν ἀρχαῖς μὲν μάλιστα καὶ χρήμασι
καὶ ὅπλοις ἐῤῥωμένος ἔχεται προθύμως, ἐὰν δὲ
ἅπαξ καὶ δὶς ἐπιχειρήσας σφαλῇ, ἀμβλύνεται· πριγ-
κίπισσα τοιγαροῦν, ὡς αὐτοί τε οἴεσθε, καὶ ἡμεῖς
οὐκ ἂν ἕξαρνοι γενοίμεθα, προθύμως τοῦ ὑπὲρ ὑμῶν
πολέμου ἀπτομένη ἐν ἐνιαυτῷ μάλιστα ᾧ πολεμεῖσθε
ὑφ' ἡμῶν, παρασκευαζομένη νῦν τὰς δέκα ταύτας
πέπομφε τριήρεις· οἱ οὐχ ὅτιγε ὑμῖν, ἀλλ' οὐδὲ ἑαυ-
τοῖς ἀμύνειν οἷοί τέ εἰσιν. Ἐμοῦ γὰρ παρὰ θάλασσαν D
ἐστρατοπεδευμένου, οὔτε ἀπέβησαν, οὔτε ἀποβῆναι
οἷοί τέ εἰσιν· ἀλλ' ὀλίγον ἀπεοίκασιν ἀψύχων. Λεί-
πεται δὴ οὖν κεναῖς χερσὶ πρὸς τὴν πέμψασαν
ἐπανελθεῖν· ἐκείνη δὲ ὁρῶσα ὡς οὐκ ὀλίγων τινῶν
ἀναλωμάτων, οὐδὲ φαύλης πραγματείας ὁ πρὸς βα-
σιλέα δεῖται πόλεμος, ἀποσχήσεται ἐπιχειροῦσα
ἀδυνάτοις· ὑμῖν δὲ ἐρήμοις τῆς ἐκεῖθεν βοηθείας
λειπομένοις, οὐδὲν ἄλλο λείπεται ἢ σφᾶς αὐτοὺς ἐν
ἀνδραπόδων μοίρᾳ παραδοῦναι ἐνδείᾳ πιεσθέντας,
καὶ δούλους καὶ ἀναστάτους γενέσθαι, ἢ πολιορκου-
μένους ἐνταῦθα ἀπολέσθαι πανδημεὶ ἐν φρουρίῳ
πνιγηρῷ καὶ πλήρει δυσωδίας κατακεκλεισμένους.
Ἔξεστιν οὖν συνορᾶν τὴν ὠφέλειαν ἧς αὐτοί τε καὶ
Νικηφόρος ὁ ὑμῶν δεσπότης ἀπολαύσεται ἐκ τῆς

lum, quod verum et rectum non est deseratis, sed et mihi bene consulenti obtemperandum existimetis. Vos itaque nullo imperatoris peccato offensi, ad Tarentinos transfugistis; nec id simpliciter et inconsulte, sed rati illorum opibus Acarnania potituros. Hoc autem, proh! quantum ab effectu abest? Ipsi enim sua privatim cupiditate et avaritia impulsi, sæpius in Acarnanas cum magno profecti exercitu, regionem quidem populationibus et maleficiis infestam habuerunt, urbem tamen nullam nec armis expugnando ceperunt, nec obsidendo ad deditionem coegerunt, sed copiis non parum imminutis, remearunt. Paucas, nempe Bontitzen, Naupactum et Bothrentum excipio, quibus Acarnaniæ principes, ut eos belli contra imperatorem socios haberent, cesserunt. Qui igitur cum Acarnanibus solis bello contendentes, nihil egerunt, quæ spes superaturos nunc præsentem imperatorem cum exercitu, qui et alias potuit, et nunc facilius potest cum Acarnanibus et Tarentinis simul bellum gerere? At neque vobis sperare licet, Acarnanum aliquos vestro exemplo defecturos. Nam qui prius vobiscum defecerant Rhogii et Artæi, rebus suis probe consulentes, imperatori se addixerunt, multaque sibi ac civibus suis ab eo dona consecuti, felicem statum invenerunt. Tarentinos itaque, etiamsi venerint, parum aut nihil vobis operæ navaturos demonstratum est: prorsus autem non venturos, inde conabor ostendere. Quicunque aut propter privatas offensiones, aut ut socius belli capessit, principio quidem, dum armis et pecunia est instructissimus, impigre opus invadit; si semel iterumque id frustra fecerit, languescit impetus. Princeps igitur Tarentina vestra opinione, et vero etiam nostra, prompte pro vobis bellum capessens, uno hoc anno, quo a nobis oppugnamini, comparatas triremes hasce misit, quæ tantum abest, ut vos defendant, ut nec seipsas queant defendere. Me enim juxta mare castrametante, nec descenderunt classiarii, nec quasi essent mortui descendere potuerunt. Reliquum est, ut vacuis manibus ad eam redeant, a qua missi sunt. Quæ cum intelliget, bellum adversus imperatorem nec modicis sumptibus, et magnis D egere laboribus, de cætero quæ effici non possunt, non tentabit. Vobis vero illo frustratis auxilio, aliud nihil **322** restabit, quam ut vexati et rerum egestate oppressi, pro mancipiis vos tradatis, ac sedibus vestris profugi servitutem serviatis, aut hic in oppidulo æstuoso ac fœtoris pleno obsessi et conclusi, cum populo universo intereatis. Quamobrem hinc utilitatem, quam vobiscum despota vester ex hac defectione capturus sit, perspicere licet. Quod si etiam concederemus, cum ingenti apparatu concitatos huc venire Tarentinos, incertum est, num et sic nos Acarnania queant depellere, qui nec a solis Acarnanibus, quamvis eos sæpe aggressi, sine detrimento potuerunt discedere. Quod si et hoc daremus, illos nobis po-

Digitized by Google Распознавание текста ABK/FR

tentiores existimatos, urbes subacturos; nihilominus tum quoque misera erit vestra et infelix conditio. Necessario enim illis servietis. Non enim profecto adeo insipientes sunt, ut quod sæpenumero cupierunt, si id post magnos labores et pericula assequantur, citrâ ullam necessitatem vobis condonent. Quale autem et quam durum Tarentinorum aliorumque Latinorum imperium sit, vos experientia ipsa melius quam nos cognovistis. Quocirca sive adjuvabimini a Tarentinis, sive non; sive nos vicerint, sive a nobis vincentur, nihil aberit, quominus in extremis malis versemini. Sed neque nos diuturnitate remissiores factos obsidionem soluturos arbitrari prudentis est hominis. Nos ipsi quidem non semper vobis assidebimus. Nunc enim imperator, arbitrans ipso eventu doctos, quam de vobismet male merueritis, mutata voluntate ad se accessuros, et ipse adhuc exspectat, et quas in aliis urbibus habetis facultates, nondum in alios dispertit. Si vos calculum reducturos desperaverit, non vestras duntaxat, sed et cognatorum vestrorum fortunas Acarnanum potentissimis gratis dabit. Qui sui quæstus cupidine commoti, vel ultra vires animosi, et parvo ab imperatore accepto præsidio, ut perniciosissimos hostes vos oppugnabunt, nec obsidere cessabunt, quoad subactos cum conjugibus et liberis patria extorres reddiderint. Nos cum imperatore domum revertemur. Videte igitur, quibus casibus hoc bellum vos objectabit. Si me meliora suadentem audieritis, vosque et urbem imperatori dedideritis, primum quidem, quod studetis, Nicephoro despotæ vestro commodare licebit; ego enim filiam meam ei uxorem conjungam, quod in summa felicitate ponendum nec vos nescitis. Præterea ut filium meum **323** educabo; et imperator, qui mihi bene vult, mea causa honoribus ac beneficiis apud Romanes amplitudinem ejus illustrabit. Adde quod et vobis non pauca hinc emolumenta parabitis. Nam et hic opes vestras cumulabit imperator, et quæ Nicephoro despotæ vestro assignabuntur, ex iis fructum aliquem capietis. Plura acervanda dictis non censeo, cum ex his, qui sapiunt, possint intelligere, quantam vim malorum bellum, quantam vicissim bonorum copiam deditio allatura sit. Vos considerate, et utrumvis eligitote. Ut absolvit domesticus, Richardus inter familiares Nicephori primas tenere se ipse quoque non negabat, tamen ad illos quoque referendum, et communiter quid agi conveniret, decernendum. Approbante magno domestico, die sequenti rediturum responsumque relaturum pollicitus, in urbem se recepit. Coacto e præsentibus conventu, quærunt, ecquid se et oppidum tradant, magnique domestici monitis obsequelam faciendam consensu firmant. Postridie rediens Richardus Deum testatur, ipsos neque odio imperatoris, neque sui quæstus causa ejus frenos excussisse, sed opinantes, si primi deficerent, reliquos Acarnanas secuturos, et hoc modo

A ἀποστασίας. Εἰ δ' ἄρα καὶ συγχωρήσαιμεν παρασκευῇ μεγάλῃ Τοραντίνους ἐκ τῆς οἰκείας ὁρμηθέντας ἐνθάδε ἥκειν, ἄδηλον μὲν εἰ καὶ οὕτω δυνήσονται ἡμᾶς Ἀκαρνανίας ἐξελάσαι, οἳ οὐδὲ πρὸς μόνους Ἀκαρνάνας, καίτοιγε πολλάκις ἐπιχειρήσαντες, ἰσχυσαν χωρὶς ζημίας ἀπαλλάξαι πολεμοῦντες. Εἰ δ' ἄρα καὶ τοῦτο δοίημεν τὸ ἡμῶν αὐτοὺς ὀφθέντας κρείττους παραστήσασθαι τὰς πόλεις, τότε γε ὑμῖν τὰ πράγματα οὐδεμιᾶς βέλτιον ἕξει δυσπραγίας. Ἀνάγκη γὰρ ὑμᾶς αὐτοῖς δουλεύειν. Οὐ γὰρ δήπου γε ἀνοηταίνουσι τοσοῦτον, ὥστε οὗ πολλάκις ἐπεθύμησαν, μετὰ τοὺς μεγάλους πόνους καὶ κινδύνους εἰ παρέσται ἀνάγκης οὐδεμιᾶς παρούσης ὑμῖν προέσθαι. Ὁποία δὲ ἡ Ταραντίνων καὶ τῶν ἄλλων Λατίνων δουλεία, αὐτοὶ ἴστε πείρᾳ βέλτιον ἡμῶν·

B ὥστε εἴτε συμμαχήσουσιν ὑμῖν οἱ Ταραντῖνοι, εἴτε μή, εἴτε νικήσουσιν ἡμᾶς, εἴτε ἡττηθήσονται αὐτοί, οὐδὲν ὑμῖν ἐλλείπει τοῦ μὴ εἰς ἔσχατον κινδύνου ἀφικέσθαι· οὐ μὴν ἀλλ' οὐδὲ ἡμᾶς ὀλιγωρήσαντας διὰ τὸν χρόνον, ἀποστήσεσθαι τῆς πολιορκίας οἰέσθαι, νοῦν ἐχόντων ἐστὶν ἀνθρώπων. Οὐ γὰρ δὴ αὐτοὶ καθοδούμεθα μέχρι παντὸς ὑμᾶς πολιορκοῦντες. Νῦν μὲν γὰρ βασιλεὺς οἰόμενος ἐξ αὐτῶν διδαχθέντας τῶν πραγμάτων ὡς οὐ λυσιτελοῦντα ἐβουλεύσασθε ὑμῖν αὐτοῖς, μεταγνόντες προσχωρήσετε αὐτῷ, αὐτός τε ἔτι περιμένει, καὶ οὐδὲ τὰς κτήσεις ὑμῶν τὰς ἐν ταῖς ἄλλαις πόλεσι παρέσχετο ἑτέροις· ἂν δὲ ἀπογνῷ τὴν μεταμέλειαν ὑμῶν, οὐ μόνον τὰ ὑμέτερα κτήματα, ἀλλὰ καὶ τῶν ἄλλων

C συγγενῶν ὑμῶν τοῖς δυνατωτάτοις Ἀκαρνάνων παραδώσει· οἱ κέρδους ἕνεκα ἰδίου, καὶ ὑπὲρ δύναμιν πολεμήσουσιν ὑμῖν ὡς πολεμιωτάτοις καὶ ὀλίγην ἔχοντες ἐκ βασιλέως στρατιάν, καὶ οὐκ ἀνήσουσι πολιορκοῦντες; ἄχρις οὗ παραστησάμενοι αὐτούς τε καὶ γυναῖκας καὶ τέκνα, θήσουσιν ὑπερορίους. Βασιλεὺς δὲ καὶ ἡμεῖς οἰκαδε ἀναχωρήσομεν. Σκέψασθε οὖν οἳ κακῶν ὁ πρὸς βασιλέα πόλεμος ὑμῖν χωρήσει· ἐὰν δ' ἐμοὶ τὰ βελτίω παραινοῦντι πείθησθε καὶ ἑαυτοὺς βασιλεῖ καὶ τὴν πόλιν παραδῶτε, πρῶτον

D μὲν, ὅπερ αὐτοὶ διὰ σπουδῆς ποιεῖσθε τὸ Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ὠφέλειάν τινα ἐξευρεῖν ἔξεσται. Ἐγὼ γὰρ αὐτῷ τὴν ἐμὴν κατεγγυήσω θυγατέρα· ὅπερ ὅτι γε οὐδενὸς δεύτερον εἰς εὐτυχίας λόγον, οὐδ' αὐτοὶ ἀγνοεῖτε δήπου. Ἐγώ τε γὰρ ὡς υἱὸν ἐκθρέψω· καὶ βασιλεὺς τῆς εἰς ἐμὲ εὐνοίας ἕνεκα, τιμαῖς τε καὶ πολλαῖς εὐεργεσίαις περιφανῆ παρὰ Ῥωμαίοις θήσει. Ἔπειτα καὶ ἑαυτοῖς οὐκ ὀλίγων τινῶν ἀγαθῶν αἴτιοι γενήσεσθε. Ἐνταῦθά τε γὰρ ὑμᾶς εὖ ποιήσει βασιλεὺς, οἷς εἴχετε πρότερον καὶ ἕτερα προσθείς· καὶ τῶν Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ἀπονεμηθησομένων ἀπολαύσετε τὸ μέρος. Πλείω μὲν οὖν οὐκέτι δεῖν οἶομαι συνείρειν, ἱκανὰ γὰρ παρ' εὖ φρονοῦσι καὶ τὰ εἰρημένα, ὅσων τε κακῶν ὑμῖν ὁ πόλεμος αἴτιος ἔσται καταμαθεῖν, καὶ ὅσων ἀγαθῶν τὸ προσχωρῆσαι βασιλεῖ. Ὑμῖν δὲ ἐξέσται διασκεψαμένοις, τῶν εἰρημένων προσθέσθαι ὁποτέροις. Τοιαῦτα διειλεγμένου τοῦ μεγάλου δομεστίκου, ὁ Ῥιτζάρδος τῶν μὲν Νικηφόρῳ συμπαρόντων ἄλλων ὡμολόγει καὶ αὐτὸς προέχειν, δεῖν

Digitized by Google Распознавание текста ABK/FR

δὲ ἔφασκε καὶ ἐκείνους περὶ τῶν εἰρημένων πυθομένους, κοινῇ τῶν πρακτέων τὴν ψῆφον ἐξαγαγεῖν. Ἐπαινοῦντος δὲ καὶ τοῦ μεγάλου δομεστίκου, ἀνεχώρησεν εἰς τὴν πόλιν, ἐπαγγειλάμενος εἰς τὴν ὑστεραίαν ἥξειν ὡς λόγον ἀποδώσων. Ἐκκλησίαν δὲ συναθροίσας ἐκ τῶν συνόντων, ἐβουλεύετο ἅμα αὐτοῖς εἰ δέοι βασιλεῖ σφᾶς αὐτοὺς καὶ τὴν πόλιν ἐγχειρίζειν· καὶ ἐδόκει αἱρετέα εἶναι ἃ αὐτοῖς ὁ μέγας δομέστικος παρήνει. Ἐπεὶ δὲ ἐδέδοκτο εἰς τὴν ἐπιοῦσαν ὁ Ῥιτζάρδος αὐτοῖς τῷ μεγάλῳ δομεστίκῳ προσελθών, ἐμαρτύρετο Θεὸν, ὡς Οὔτ' ἀπεχθῶς διακείμενοι πρὸς βασιλέα, οὔθ' ἑαυτοῖς τινα οἰόμενοι ὠφέλειαν ἐκ τῆς ἀποστασίας προξενήσειν, εἰλόμεθα ἀποστῆναι βασιλέως· οἰόμενοι δὲ, ἂν αὐτοὶ πρῶτοι ἀποστῶμεν, καὶ τοὺς ἄλλους Ἀκαρνάνας συνέψεσθαι ἡμῖν, καὶ τὴν πατρῴαν ἀρχὴν Νικηφόρῳ ἀποδώσειν ἑκόντες ὄντες εἰσήχθημεν εἰς τοὺς κινδύνους, εὔκλειάν τε ἑαυτοῖς, καὶ ὠφέλειαν τῷ ἡμετέρῳ δεσπότῃ οἰόμενοι προξενήσειν· τῶν πραγμάτων δὲ ἀνεστραμμένων, ἀπέβη τἀναντία ἢ αὐτοὶ προσεδοκῶμεν. Νῦν οὖν καὶ ἡμῖν πολλὰ περὶ τῶν παρόντων διασκεψαμένοις, λυσιτελέστερον οὐδὲν ἐν τῷ παρόντι οὔθ' ἡμῖν, οὔτε Νικηφόρῳ, ἢ ὧν συνεβούλευσας αὐτὸς, εὑρέθη. Οὗ δὴ ἕνεκα, σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν διὰ σοῦ παραδιδοῦμεν βασιλεῖ· αὐτὸς δ' ἂν εἰδείης ὅτῳ τρόπῳ βέλτιστα ἡμῖν τὰ πράγματα παρασκευάσεις ἔχειν. Ὁ μὲν οὖν τοιαῦτα εἶπεν· ὁ μέγας δὲ δομέστικος, ἐπαινέσας τῆς μεταβολῆς αὐτοὺς, καὶ ὧν ἐδέοντο ἐπαγγειλάμενος πράξειν αὐτοῖς παρὰ τῷ βασιλεῖ, ἐκέλευεν ἐλθόντα εἰς τὴν πόλιν καὶ Νικηφόρον καὶ τοὺς ἄλλους παραλαβόντα ἥκειν πρὸς αὐτόν.

paternum regnum Nicephoro restitutum iri, ultro se periculo involvisse, ut Nicephoro, inquam, auxilio essent, et sibi decus compararent. Rebus autem retro sublapsis, contra exspectationem evenisse. Nunc ipsis quoque diligenter statum suum contemplatis, nihil in præsens vel sibi, vel Nicephoro repertum utilius quam quod ipse suasisset. Quapropter et se et urbem eos per manus ejus imperatori transdere; nosse ipsum, quid rebus eorum quam optime faciat. Tum magnus domesticus illorum ad partes meliores conversionem laudavit, et quibus egerent, ab imperatore impetraturum fidem dedit, jussitque, ut in urbem regressus, cum Nicephoro et aliis ad se reverteretur.

324 CAPUT XXXVIII.

Nicephorus cum primoribus a domestico ad imperatorem deductus, humaniter et munifice accipitur. Matthæus Cantacuzenus magni domestici filius, Demetrii despotæ filiam ducit domum. Enixe contendit Apocauchus, ut sibi monachum fieri liceat. Ejus preces imperatori suspectæ sunt. Exploratur animus. Iterum instat, et classis contra Barbaros præfecturam, ut sibi et reipublicæ salutarem petit et impetrat. Imperator Apocauchum pro ignavo et improbo habet. Recensentur castella quæ ædificarit, et urbes quas instaurarit.

Ἐπεὶ δὲ εἰς τὴν ὑστεραίαν ἅμα καὶ Νικηφόρον ἄγοντες τὸν δούκαν εἰς τὸ στρατόπεδον παρῆσαν, καὶ τῶν Ταραντίνων ἔτι παρόντων ταῖς ναυσὶ καὶ ὁρώντων τὰ πραττόμενα, Θωμοκάστρῳ μὲν ἐγκατέλιπε φρουρὰν τοῦ μὴ παρὰ τῶν Ταραντίνων τι ἀδικηθῆναι τῆς στρατιᾶς ἀναχωρούσης· αὐτὸς δὲ Νικηφόρον τὸν δούκαν ἅμα τοῖς ἄλλοις παραλαβὼν, ἐπανέζευξεν εἰς βασιλέα. Βασιλεὺς δὲ ἀσμένως ἐδέξατο αὐτοὺς, καὶ πολλαῖς ἠμείψατο εὐεργεσίαις· Νικηφόρον δὲ τὸν δούκαν τῷ τε τοῦ πανυπερσεβάστου τετίμηκεν ἀξιώματι, καὶ πολλῆς ἠξίωσεν εὐμενείας καὶ οἰκειότητος τῆς πρὸς αὐτόν. Διατρίψας δὲ ἐν Ἀκαρνανίᾳ ἐξ ἐκείνου ὑπὲρ εἴκοσιν ἡμέρας, καὶ ὅσα μάλιστα ἔδει πρὸς ἀσφάλειαν ταῖς πόλεσι καταστήσας, ἐπανέζευξεν εἰς Θεσσαλονίκην, χειμῶνος ἤδη ἀρχομένου, Νοεμβρίου μηνὸς ἐνιστα μένου, καὶ διεχείμασεν ἐκεῖ. Κατὰ δὲ τὸν αὐτὸν χειμῶνα καὶ οἱ Ματθαίου τοῦ Καντακουζηνοῦ τοῦ μεγάλου δομεστίκου πρώτου υἱοῦ ἐτελοῦντο γάμοι ἐν Θεσσαλονίκῃ. Ἔγημε γὰρ τὴν Δημητρίου τοῦ δεσπότου θυγατέρα, ὃς ἦν βασιλέως Ἀνδρονίκου τοῦ πρώτου τῶν Παλαιολόγων παῖς· τελεσθέντων δὲ τῶν γάμων πολυτελῶν τε καὶ περιφανεστάτων, ἐπεὶ καὶ ὁ χειμὼν ἤδη περὶ ἐκβολὰς ἦν, παρεσκευάζετο βασιλεὺς ὡς εἰς Βυζάντιον ἐπανήξων. Μεταξὺ δὲ παρασκευαζομένῳ, καὶ ὁ παρακοιμώμενος Ἀπόκαυχος ἐκ Βυζαντίου ἦκεν· οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, ἀνεμίμνησκέ τε παλαιῶν εὐεργεσιῶν ὧν ὑπῆρ-

Postquam die altero Nicephorum ducem secum adducentes in castris adfuerunt, Tarentinis adhuc cum classe præsentibus et quæ fierent aspicientibus, domesticus Thomocastri præsidiariam manum reliquit, ne quid exercitu recedente Tarentini per injuriam molirentur; ipse cum Nicephoro duce aliisque ad imperatorem rediit. Quos ille accipit humaniter, et muneribus multis honorat; Nicephorum Panhypersebasti dignitate condecorat, præcipuaque benevolentia et familiaritate dignatur. Cumque in Acarnania dies adhuc plus vicenos mansisset, et quæ ad urbes tutandas potissimum pertinebant, præscripsisset, hiemis initio, mense Novembri instante, Thessalonicam revertens, ibidem hiberna egit. Eadem Matthæi Cantacuzeni primogeniti magni domestici nuptiæ cum filia Demetrii despotæ, Andronici Palæologi senioris filii, Thessalonicæ sumptuosissimæ splendidissimæque peractæ sunt. Secundum quas hieme jam præcipiti, dum se imperator ad reversionem Byzantium instruit, Apocauchus cubiculo sacro præfectus inde veniens, paucis post diebus magnum domesticum adit, quibus olim beneficiis ultro ab eo esset obligatus in memoriam redigit: rogat, ut filii sui redituum, quos in singulos annos caperet, imperatoris concessu hæredes instituantur, sibi autem ejusdem bona venia monasterium liceat ingredi, valedicentem rebus hujus vitæ omnibus, et in una tantummodo sollicitudine versantem, quo pacto ex anima

Digitized by Google Распознавание текста ABK/FR

sua tot maculas quotidianis actionibus inustas eluat; et hanc unam causam profectionis hujus sibi exstitisse. Magnus domesticus illum vera narrare opinatus, nec se id permissurum, nec cum imperatore super ea re locuturum asseveravit. Apocauchus rursum ac sæpius accedere, idem flagitare, et jurare se ex animo petere, **325** sibique tam frugiferum nihil posse contingere, quam a mundo secedere (71) : nec susceptam voluntatem depositurum, quo res cunque ceciderit. Orabat igitur suppliciter, ut ad multa in se benefacta hoc postremum adjicere ne gravaretur. Itaque ille quidem serio, ut videbatur, hoc efflagitabat. Magnus autem domesticus quanquam de isto secessu dolens et anxius animi, tamen quia petitionem videbat momenti maximi, eam imperatori exponit : quem suspicio vera incessit, rem non ita se habere, sed alia quapiam de causa totum fingi. Proinde mirari se dixit magnum domesticum, si fidem possit tribuere. Quo asseverante, esse aliter non posse, Ergo tu, inquit, pericliteris velim, eique dicas, non probaturum, sed moleste laturum potius imperatorem, si a vita communi se removerit. Verumtamen ne rem adeo honestam, Deoque amabilem impediendo videatur ei bona invidere, non repugnaturum. Non opus est, excipit magnus domesticus, tentandi gratia hæc ei dicere; simul enim responsum audiet, valedicet ac secedet; sed potius, si quid eo egeat, cœpto prohibendum. Imperator iterato jubet eadem dici; nam audientem fore, et in statu priore perstiturum. Paret domesticus; imperatoris responsum Apocaucho renuntiat. Qui nec totum quidem audire sustinens, putare se ait, secessum suum imperatori etiam atque etiam jucundum accidere, ejusque facultatem libentissime concedere : quia vero ipsi domestico displiceret, non se facturum. Is verbis ejus antea se circumscriptum fuisse intelligens, imperatori jocabundus quid ille responderit narrat. Unde non mediocriter delectatus imperator, domestico per ludum, Saltem nunc credes, inquit, me solertiorem esse te, magisque nosse ex hominum verbis eorum sensa conjicere. Tum domesticus, et jampridem credidisse, nec ita excellere ipsum judicio, ut lateret; et nunc maxime confiteri, se ab eo intelligendi prudentia longe victum esse. Hæc illi inter se jocantes. Apocauchus paucis diebus interjectis, denuo magnum domesticum conveniens, mundo penitus nuntium remittere non sibi licuisse dixit, quantumvis id ardentissime cupivisset : verum secundam, quod aiunt, navigationem sibi occurrere, ut divisis inter filios facultatibus, divitiarum sibi partem potiorem retineat, quam in bellum Persicum conferat. **326** Scis enim, inquit, quomodo plenis classibus insulas jam prope

A ξεν εἰς αὐτὸν, καὶ νῦν ἐδεῖτο, τῶν μὲν ἐτησίων προσόδων, ἃς αὐτὸς καρποῦται, βασιλέως παρασχόντο; κληρονόμους εἶναι παῖδας τοὺς αὐτοῦ. Αὐτὸν δὲ ἀδείας τυχόντα ἐκ βασιλέως, φροντιστηρίῳ προσελθεῖν, πᾶσι τοῖς τοῦ βίου χαίρειν ἀπόντα· μίαν δὲ ποιούμενον φροντίδα, τὸ τὴν ψυχὴν ἐκ τῶν πολλῶν κηλίδων ἃς αὐτῇ προσετρίψατο ἐκ τῶν πραγμάτων ἐκκαθᾶραι. Εἰς τοῦτο γὰρ ἐκ Βυζαντίου ἥκειν· οὐδεμίαν ἑτέραν τῆς ἐπιδημίας ἔχοντα αἰτίαν. Ὁ μέγας μὲν οὖν δομέστικος οἰόμενος τὰ εἰρημένα εἶναι ἀληθῆ, αὐτό; τε ἔφασκεν οὐκ ἂν ἐνδώσειν, μήτε βασιλεῖ περὶ τούτου διαλέξεσθαι. Ὁ δὲ αὖθις καὶ πολλάκις προσελθὼν, ἐδεῖτο περὶ τῶν αὐτῶν, καὶ ὅρκους προσετίθει ὡς οὐ πλάττεται τὴν αἴτησιν· ἀλλὰ προὔργου παντὸς αὐτῷ ἡ ἀναχώρησις τοῦ κόσμου, καὶ ὡς οὐδ' ἂν εἴ τι γένοιτο μεταβάλοι τῆς προθέσεως. Διὸ καὶ ταύτην ἱκέτευε τελευταίαν εὐεργεσίαν καταθεῖναι ἐπὶ πολλαῖς ταῖς πρότερον γεγενημέναις. Ὁ μὲν οὖν τοιαῦτα μετὰ σπουδῆς ἐδεῖτο ὡς ἐδόκει. Ὁ μέγας δὲ δομέστικος, ἀΐγῶν μὲν καὶ τὴν ψυχὴν δακνόμενος ἐπὶ τῇ τούτου ἀναχωρήσει, ὅμως δὲ ἀναγκαίαν τὴν αἴτησιν ὁρῶν, ἀπήγγελλε βασιλεῖ ὅσα ὁ παρακοιμώμενος ἐδεῖτο. Βασιλεὺς δὲ ὑποπτεύσας; ὅπερ ἦν, ὡς οὐκ ἀληθῆ τὰ εἰρημένα, ἀλλά τινος ἕνεκα αἰτίας πλάττεται ἑτέρας, θαυμάζειν ἔλεγε τῷ μεγάλῳ δομεστίκῳ, εἰ ταῦτα ὄντως οἴεται εἶναι ἀληθῆ. Τοῦ δὲ διϊσχυριζομένου μὴ ἂν ἄλλως ἔχειν, Οὐκοῦν, αὐτῷ ἔφασκε, πείρας ἕνεκα φράσον ὡς βασιλεῖ μὲν οὐκ ἂν εἴη κατὰ B γνώμην, ἀλλὰ καὶ ἄχθοιτο μᾶλλον, τοῦ βίου σοῦ ἀναχωροῦντος. Ὡς ἂν δὲ μὴ πράγματος οὕτω καλοῦ καὶ θεοφιλοῦς κώλυμα αὐτὸς ὀφθεὶς δοκῇ βασκαίνειν τοῖς καλοῖς, ἐνδίδωσιν. Ὁ μέγας δὲ δομέστικος, μὴ πείρας ἕνεκα τοιαῦτα λέγειν ἔφασκε δέον· ὡς οὐκ ἂν φθάνοι τὴν ἀπολογίαν εἰληφὼς, καὶ συνταξάμενος ἀναχωρήσει· ἀλλὰ μᾶλλον εἴ τι δέοιτο αὐτοῦ, κωλύειν. Βασιλεὺς δὲ καὶ αὖθις ἔφασκε τὰ προειρημένα λέγειν πρὸς αὐτόν. Καὶ γὰρ ἀκούσεταί τε τῶν λόγων, καὶ μενεῖ ἐπὶ τοῖς πρότερον. Ὁ μὲν οὖν ἐπείθετό τε βασιλεῖ· καὶ παρακοιμωμένῳ ἐξήγγελλε τοὺς βασιλέως λόγους. Ὁ δὲ μηδὲ ὅλους σχεδὸν ἀκοῦσαι ἀναμείνας, οἴεσθαι ἔφασκε μάλιστα κατὰ γνώμην εἶναι βασιλεῖ τὴν ἐκείνου ἀναχώρησιν καὶ ὅλῃ προθέσει ἐπιτρέπειν· ἐπεὶ δὲ οὐ φίλον αὐτῷ, οὐδ' αὐτὸν D ποιήσειν. Ὁ μὲν οὖν ὡς ἐπὶ τοῖς πρότερον λεγομένοις ἐξηπατᾶτο συνιείς, βασιλεῖ μετὰ παιδιᾶς προσελθὼν, ἀπήγγελλεν ὅσα ὁ παρακοιμώμενος ἀποκριθείη. Βασιλεῖ δὲ διατριβήν τε οὐ μετρίαν παρέσχοντο οἱ λόγοι, καὶ τῷ μεγάλῳ δομεστίκῳ παίζων ἔλεγεν, ὡς νῦν γοῦν ἂν πεισθείη, ὀξύτερόν τε νοεῖν ὄντα αὐτοῦ, καὶ μᾶλλον ἐκ τῶν λόγων εἰδότα καταστοχάζεσθαι γνώμας ἀνδρῶν· ὁ δ' ἔφασκε, πάλαι τε πεπεῖσθαι οὐδὲ τοσοῦτον ὅσον λανθάνειν διαφέροντα, καὶ νῦν μάλιστα ὁμολογεῖν ὡς ἁπάσαις ψήφοις αὐτοῦ κρατεῖ πρὸς τὸ φρονεῖν· οἱ

Jacobi Pontani notæ.

(71) Istum secessum ἀναχώρησιν ἐκ τοῦ κόσμου, et ἐκ τῶν πραγμάτων alibi appellat. Inde ἀναχωρηταί, ad verbum, *secessores*. Quid autem mundi nomen sacris scriptoribus valeat, quis tam crassa Minerva, ut non intelligat ?

Digitized by Google Распознавание текста ABK/FR

μὲν οὖν τοιαῦτα πρὸς ἀλλήλους διειλέχθησαν ἐν παιδιᾷ. Ἀπόκαυχος δὲ οὐ μετὰ πολλὰς ἡμέρας αὖθις τῷ μεγάλῳ δομεστίκῳ προσελθών, Τὸ μὲν ἀποστῆναι, ἔφασκε, παντάπασι τοῦ κόσμου, καίτοι μάλιστα κατὰ γνώμην ὄν, οὐκ ἐξεγένετο. Δεύτερον δὲ, ὅ φασιν, ἐπῆλθέ μοι πλοῦν, τὴν οὐσίαν τοῖς παισὶ διελομένῳ, τὴν διαφέρουσαν ἐμοὶ τοῦ πλούτου μοῖραν εἰς τὸν κατὰ τῶν Περσῶν πόλεμον ἐξαναλῶσαι. Οἶσθα γὰρ ὡς ἤδη καὶ αὐτοὶ στόλοις ὅλοις χρώμενοι, νήσους τε ἤδη ἐξηνδραποδίσαντο σχεδὸν, καὶ πρὸς Θράκην περαιούμενοι καὶ τὴν ὅλλην Μακεδονίαν, οὐ μὴν ἀλλὰ καὶ Ἑλλάδα καὶ Πελοπόννησον κακῶς ποιοῦσιν. Εἰ οὖν σοι πρῶτον, ἔπειτα καὶ βασιλεῖ πυθομένῳ δόξειε λυσιτελεῖν, καὶ παράσχοισθε Βυζαντίου τε καὶ τῶν νήσων τὴν ἀρχὴν, καὶ χρήματα ἐκ τῶν κοινῶν ὅσα ἂν ὑμῖν βουλομένοις ᾖ, στόλον ἐξαρτύσομαι αὐτὸς, καὶ ἐκ τῶν ἰδίων προσαναλώσας· καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πολεμήσω τοῖς βαρβάροις· οἶμαι δὲ Ῥωμαίοις τε ὠφέλειαν οὐ τὴν τυχοῦσαν τὴν ναυτικὴν ταύτην προξενήσειν δύναμιν θαλασσοκρατοῦσαν καὶ ἀπείργουσαν τοὺς βαρβάρους τοῦ μὴ τὰς νήσους καὶ τὴν ἤπειρον κακουργεῖν· καὶ πρὸς τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς τὰ μέγιστα συμβαλέσθαι ἂν οἰονεὶ λύτρα τὰ χρήματα παρεχομένῳ ὑπὲρ τῶν μελλόντων ὑπὸ τῶν βαρβάρων ἀποκτίννυσθαι καὶ ἐξανδραποδίζεσθαι. Ὡς οὖν εἴς τε τὸ κοινὸν Ῥωμαίων τῆς ἐκεῖθεν ὠφελείας διαβαινούσης, καὶ ἰδίᾳ ἐμοὶ οὐκ ὀλίγης ἐσομένης εἰς τὴν σωτηρίαν τῆς ψυχῆς, δέομαι βασιλέως τε καὶ σοῦ, τὴν χάριν ταύτην παράσχειν. Ὁ μέγας δὲ δομέστικος ἑαυτῷ τε καὶ τῷ κοινῷ λυσιτελοῦντα οἰόμενος παρακοιμώμενον αἰτεῖν, αὐτόν τε ἐπείθετο, καὶ ἐπηγγέλλατο ποιήσειν· καὶ βασιλεῖ ἀπήγγελλε προσελθών· ἅμα καὶ ἐνάγων πρὸς τὸ δεῖν τὴν ἀξίωσιν αὐτοῦ λυσιτελοῦσαν πράττειν τῷ κοινῷ. Βασιλεὺς δὲ εἰ σπουδάζων ταῦτα καὶ μὴ εἰρωνευόμενος λέγει ἐπυνθάνετο· ὡς δ' ἤκουεν οὐκ ἐν παρέργῳ, ἀλλὰ μετὰ σπουδῆς λέγειν, θαυμάζειν ἔφασκεν αὐτοῦ πολλὰ, εἰ πρὸς τοιαύτην ἐπιχείρησιν ἀξιόχρεων ψῆφον ἔσεσθαι Ἀπόκαυχον. Εἰ μὲν γὰρ οἰόμενος σοὶ φίλον εἶναι ταύτην ἐβουλεύσω αὐτῷ τὴν χάριν καταθεῖναι, ἴσθι σεαυτὸν ἐξαπατῶν. Οὐδὲν γὰρ ἧττον ἐγώ σοι πολέμιος, ἢ ἐκεῖνος φίλος· εἰ δὲ ὡς τῷ κοινῷ λυσιτελήσοντα τὸν κατὰ Περσῶν πόλεμον ἐγχειρίζειν παραινεῖς, ἔτι μᾶλλον θαυμάζειν, ὅθεν ὁρμώμενος αὐτός τε ἐπείσθης, καὶ ἐμοὶ προεῖλου τὰ ἴσα συμβουλεύειν. Οὐδὲ γὰρ οὐδὲ παρὰ πάντα τὸν βίον, οὔτε κατεπράξατό τι στρατιώτῃ πρέπον, οὔτε ἐμέλησεν· ἀλλὰ φόρων τε εἰσπράξεις δημοσίων καὶ χρημάτων καὶ προσόδων διοικήσεις φίλαι, αἷς ἐγγεγηρακὼς, εἰκότως ἐν τοῖς τοιούτοις ἐμπειρίαν ἐκτήσατο πολλήν. Τὰς δὲ τοιαύτας πράξεις καὶ τὰς ναυμαχίας, ἀνδρὸς δεῖσθαι μᾶλιστα τοῖς ὅπλοις ἐντραφέντος, καὶ σαφεῖς τὰς ἀποδείξεις ἐν πολλοῖς παρεσχημένου τῆς τε τόλμης καὶ τῆς ἐμπειρίας τῆς κατὰ τὰς μάχας. Ὁ δ' ἔφασκε, τὰ ἴσα μὲν καὶ αὐτὸς εἰδέναι περὶ παρακοιμωμένου. Οὔτε γὰρ ἑαυτὸν ἥσκει παρὰ τὸν βίον ἐν τοῖς προσήκουσιν ἔργοις στρατιώτῃ· οὔτε ἀπό-

A in servitutem redegerint, quomodo Thraciam et Macedoniam, eo trajicientes, imo et Helladem ac Peloponnesum incursent. Quare si tibi primum, deinde imperatori abs te persuaso conducere videbitur, ut Byzantii insularumque præfectum me declaretis, pecuniamque ex ærario, quantam volueritis, subministretis, ego addens de meo classem instruam, omnique diligentia et alacritate cum Barbaris decertabo. Puto autem navalem istam expeditionem mare obtinentem, Barbarosque coercentem, ne in insulas et continentem grassentur, cum Romanis non parum profuturam, tum ad animæ meæ salutem momentum præcipuum allaturam, si mihi argentum meum ad futura tanquam lytrum peccatorum impendenti, a Barbaris B aut captivum abduci, aut interfici contigerit. Quando igitur ad commune Romanorum, et ad me seorsum, ad salutem animæ non parva ex hoc redundatura est utilitas, imperatorem et te rogo, uti hoc apud me beneficium ponere velitis. Magnus domesticus Apocauchum sibi et reipublicæ commoda petere judicans, assensit, et facturum spopondit, reque ad imperatorem relata, cum ad petitionem hujus, veluti reipublicæ salutari, obsequendum impellere instit. Imperator, num ex animo ista citraque dissimulationem dicat sciscitatur, audiensque non quasi aliud agentem, sed dedita opera dixisse, Equidem te impense miror, inquit, cum ad hujuscemodi conatus Apocauchum C idoneum censuisti. Si enim arbitratus esse amicum tibi, hoc in eum collocare meritum voluisti, crede mihi, tute tibimet illudis. Tam enim ego tibi inimicus atque hostis, quam ille amicus. Si autem bellum ei contra Persas aggrediundum suades, amplius miror, undenam tu persuasus idem mihi persuadere nitare. Nunquam hic homo, nunquam in omni vita sua militare aliquod facinus edidit, neque edet, sed tributorum publicæque pecuniæ et redituum coactiones procurationesque eum delectant; in quo munere quoniam consenuit, jure multam experientiam est adeptus. Hæc autem negotia et prælia maritima virum quærunt, maxime, qui militiam a puero toleraverit, claraque fortitudinis et bellicæ exercitatio- D nis documenta sæpe dederit. Tum ille, se quoque haud nescire, Apocauchum quandiu adhuc vixerit, in nullo opere militari versatum, **327** neque ullum vel generosi animi vel usus bellici specimen prodidisse. Quocirca non se auctorem esse, ut tanquam accommodato duci bellum Persicum mandetur, sed cum videat Persas pedestri equestrique pugna valere plurimum, quibus dux bene peritus opponi debeat, navali autem conflictu eosdem propter insolentiam timidissimos, facileque a quovis obvio superari: ad hæc, in Romanis triremibus fore navalis et terrestris prælii scientissimos, quos ille magistros capere poterit, ideo se existimasse, ejus ad res præclaras impetum retun i non oportere, et ut nava-

Digitized by Google Распознавание текста ABK/FR

lis exercitus imperator fiat, rogatum venisse. Forsitan enim ardorem ejus timiditatem pristinam et inscitiam compensaturum, et alicui rei agendæ aptum atque utilem redditurum. Rursum imperator, Quia te ad triremium præfecturam Apocaucho mandandam mire propensum cerno, plura non dicam; tu quod deliberatum habes, facias licet. Utinam falsus vates reperiar. Post colloquium istuc, ubi certum fuit, Apocaucho Byzantii insularumque præfecturam cum earum vectigalibus committere, instrumentum imperatoris nomine confectum est, quo ille classis contra Persas ductor designabatur, et de ærario centum aureorum millia sumere jubebatur, ut hinc et ex propriis, quod pollicebatur, triremes compararet, ac mercenariis militibus de victu provideret. His litteris acceptis, et præfecturam consecutus, Byzantium venit, nec eas in conventu legendas exhibuit, ut omnes nossent, classem imperatoriæ erga illos benevolentiæ ac sollicitudinis opus esse, sumptumque de imperatoris pecunia suppeditari, quo proinde illum vulgus admurmurationibus et laudibus prosequeretur, sed eas quidem occultavit. Ipse cum a quæstoribus clam pecuniam acciperet, domo sua manifeste aliam petebat, et triremes instruebat, ac popularem auram captabat, magnopereque celebrabatur ab omnibus, quod nec pecuniis suis, nec laboribus adjuvandæ reipublicæ causa parceret. Contra imperatorem autem, ut erat consentaneum, apud plebem querelæ murmuraque excitabantur, ut qui subjectorum commoda nullo loco haberet. Apocauchus instructis triremibus insulas usque Chium circumnavigans, cum in novem Persicas naves incidisset, iis cum ipsis vectoribus potitus, Byzantium relegit. Imperator, ut ejus in litteris supprimendis nequitiam, et quomodo in vulgum voces sparsisset, non imperatoris, **328** sed suam esse pecuniam, quæ in triremes impenderetur, rescivit, in hominem excandescens, magnum domesticum, ut ejus perpetuum fautorem his verbis compellat: Sentin' quid Apocauchus struat? Ego vero, tametsi frequens quod erat mearum partium volui, abs te impeditus omisi. Nunc mihi ad ea quæ e republica fore judico facienda, nihil erit impedimento. Hæc ille irarum plenus. Domesticus sibi conscius ut auctori hujus tragœdiæ (ipse namque imperatore nolente præfectura illum auxerat), cum silentio discessit. Imperator usque ad vernam tempestatem Thessalonicæ moratus, inde Didymotichum et paulo post Byzantium se contulit, ubi cum haud diu mansisset, rursum in Thraciam erat egressurus, ut antiquam urbem jam eversam, alicubi muris usque hodie adhuc integris (cujus Arcadium Theodosii magni filium conditorem ferunt, a quo et nomen invenit, Arcadiapolis dicta) reædificaret, loci natura delectatus videlicet. Erat siquidem imperator etiam ædificationum percupidus, paratusque non necessitatis modo, sed et voluptatis causa in ædificia sumptus impendere. Certe prope

δειξίν τινα παρέσχετο οὐδεμίαν, οὔτε τόλμης, οὔτε ἐμπειρίας. Ὅθεν οὐδὲ εἶα ἀξιόχρεων πρὸς στρατηγίας τὸν κατὰ Περσῶν πόλεμον αὐτῷ ἐγχειρίζειν παραινεῖν· ἀλλ' εἰδὼς μάλιστα τοὺς Πέρσας πεζομαχίας μὲν καὶ ἱππομαχίας ἐμπειροτάτους, καὶ δεινοῦ δεομένους τοῦ ἀντιστησομένου στρατηγοῦ, ἐν ναυμαχίαις δὲ ἀτολμοτάτους δι' ἀπειρίαν, καὶ ῥᾳδίους τῷ προστυχόντι παντὶ ἡττᾶσθαι· ἄλλως τε καὶ τριήρεσι ταῖς ἡμετέραις πολλοὺς παρεσομένους ἐμπειροτάτους καὶ ναυμαχιῶν καὶ πεζομαχιῶν, οἷς χρήσεται παρακοιμώμενος διδασκάλοις πρὸς τὸν πόλεμον, αὐτός τε ᾠήθην μὴ δεῖν ἀμβλύνειν τὴν προθυμίαν αὐτοῦ τὴν περὶ τὰ καλά· καὶ σοῦ ἧκω δεησόμενος τὴν στρατηγίαν ἐπιτρέπειν. Ἴσως γὰρ ἡ προθυμία τῇ ἀτολμίᾳ καὶ ἀπειρίᾳ ἀντίῤῥοπος ὀφθεῖσα, χρήσιμον πρός τι τῶν δεόντων ἀποδείξει. Πρὸς ταῦτα ὁ βασιλεύς, Ὁρῶ μέν σε, εἶπε, μάλιστα προθυμούμενον Ἀποκαύχῳ τῶν τριήρεων ἐγχειρίζειν τὴν ἀρχήν. Καὶ διὰ τοῦτο οὐδὲ πολὺν περὶ αὐτοῦ βούλομαι ποιεῖσθαι λόγον· ἀλλ' ὃ προεῖπου πράττε· εὔχομαι δὲ μὴ κἀν τοῖς τοιούτοις αὐτὸς φανεῖσθαι ἀληθεύων. Τοιαῦτα πρὸς ἀλλήλους αὐτῶν διειλεγμένων ἐπεὶ ἐδέδοκτο παρακοιμωμένῳ Βυζαντίου καὶ τῶν νήσων ἐπιτρέπειν τὴν ἀρχὴν ἅμα τοῖς ἐκ τούτων ἐτησίοις φόροις, γράμματα ἐγράφετο βασιλικά, ἄρχοντα ἀποδεικνύντα παρακοιμώμενον τοῦ στόλου τοῦ κατὰ Περσῶν· καὶ ἀπὸ τῶν δημοσίων κελεύοντα λαμβάνειν χρυσίου μυριάδας δέκα ὥστε ἔχειν ἔκ τε τούτων καὶ ἀπὸ τῶν ἰδίων ὡς ὑπέσχετο, τριήρεις τε παρασκευάζειν, καὶ τὸ μισθοφορικὸν τρέφειν τὸ ἐν ταύταις. Ἐπεὶ δὲ τά τε γράμματα εἰλήφει καὶ τὴν ἀρχὴν ἐνεχειρίσθη, πρὸς Βυζάντιον ἐλθών, τὰ μὲν βασιλικὰ γράμματα οὐ παρέσχετο ἀναγινώσκεσθαι ἐπ' ἐκκλησίας, ὡς ἂν εἰδεῖεν πάντες ὡς τῆς περὶ αὐτοὺς εὐνοίας εἴη καὶ κηδεμονίας βασιλέως ὁ στόλος ἔργον, ἔκ τε τῶν βασιλικῶν χρημάτων ἡ δαπάνη, ἵνα καὶ ἡ εὐφημία τῶν πολλῶν καὶ ὁ ἔπαινος πρὸς βασιλέα ᾖ· ἀλλὰ ταῦτα μὲν ἀφανείᾳ παρεδίδου· αὐτὸς δὲ τὰ μὲν βασιλικὰ χρήματα παρὰ τῶν τὰ δημόσια πραττόντων λαμβάνων κρύφα, οἴκοθεν δὲ ἀναφανδὸν μεταπεμπόμενος, ἐπλήρου τὰς τριήρεις. Ἐξ ὧν αὐτὸς μὲν ἐθηρᾶτο τὴν δόξαν τὴν παρὰ τοῦ πλήθους· καὶ πολὺς ἦν ᾀδόμενος παρὰ πᾶσιν ὡς τῶν οἰκείων οὐ φειδόμενος οὔτε χρημάτων οὔτε πόνων ὑπὲρ τῶν κοινῇ λυσιτελούντων. Βασιλεῖ δὲ, ὥσπερ εἰκὸς, προσετρίβετο τὴν μέμψιν καὶ τὸν γογγυσμὸν τὸν παρὰ τῶν πολλῶν, ὡς τῶν λυσιτελούντων ὑπηκόοις μηδεμίαν ποιουμένῳ πρόνοιαν. Ὅμως δὲ πληρώσας τὰς τριήρεις περιέπλευσε τὰς νήσους μέχρι Χίου, καὶ ἐννέα ναυσὶ Περσικαῖς περιτυχὼν ἐκράτησεν αὐτάνδρων, καὶ πάλιν ἀπέπλευσεν εἰς Βυζάντιον. Πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα αὐτῷ περὶ τὰ βασιλικὰ γράμματα κακουργηθείη, καὶ ὡς λόγου διαδοίη, μὴ βασιλέως, ἀλλ' ἐκ τῶν ἰδίων εἶναι τὴν δαπάνην τῶν τριήρεων, ὀργῇ τε ἐφέρετο πρὸς αὐτὸν, καὶ πρὸς τὸν μέγαν δομέστικον, ὡς ὑπὲρ ἐκείνου πράττοντα ἀεὶ, Ὁρᾷς, ἔφη, οἷα Ἀπόκαυχος τυοεύει; ἐγὼ δὲ καίτοι πολλάκις ὁρμηθεὶς τὰ δέοντα

Digitized by Google Распознавание текста ABK/FR

ποιεῖν, σοῦ κωλύοντος ἀπεσχόμην. Νυνὶ δέ μοι δοκῶ μηδὲν ἐμποδὼν ἔσεσθαι ἃ αὐτὸς οἶομαι λυσιτελεῖν ποιεῖν. Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν ὀργιζόμενος. Ὁ δ' ἑαυτῷ συνειδὼς μάλιστα αἰτίῳ τῶν παρόντων ὄντι (αὐτὸς γὰρ παρέσχετο Ἀποκαύχῳ τὴν ἀρχὴν βασιλέως ἀντιλέγοντος), σιωπῇ παρῆλθε μηδὲν ἀποκριθείς. Βασιλεὺς δὲ ἄχρι ἦρος ἀρχομένου διατρίψας ἐν Θεσσαλονίκῃ, ἅρας ἐκεῖθεν ἦλθεν εἰς Διϐυμότειχον, καὶ μετὰ μικρὸν ἐγένετο ἐν Βυζαντίῳ· ἐνδιατρίψας δὲ καὶ Βυζαντίοις χρόνον τινά, οὐχὶ συχνόν, ἔμελλεν αὖθις εἰς Θρᾴκην ἐξελθὼν πόλιν παλαιὰν κατεσκαμμένην (ἧς φασιν Ἀρκάδιον εἶναι οἰκιστὴν τὸν Θεοδοσίου τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν προσηγορίαν ἔλαχεν Ἀρκαδίου προσαγορευομένη πόλις) αὖθις ἀνοικοδομεῖν, ἔστιν οὗ καὶ ἄχρι νῦν περισωζομένων τῶν τειχῶν, ἀγασθεὶς τοῦ τόπου τὴν εὐφυΐαν· ἦν γὰρ καὶ περὶ τὰς οἰκοδομὰς φιλότιμος· ὁ βασιλεὺς, οὐ μόνον χρείας ἕνεκα, ἀλλὰ καὶ ψυχαγωγίας ὢν ἕτοιμος ἀναλοῦν. Περὶ μὲν γὰρ Θεσσαλονίκην οὕπω πρότερον ὢν τὸ Γυναικόκαστρον προσαγορευόμενον ἐτείχισε, καὶ πύργον ἐπιστήσας μεγέθει τε μέγιστον καὶ καρτερώτατον ἀντισχεῖν πρὸς πολεμίων μηχανάς· ὅθεν ἔλαχε καὶ τὴν προσηγορίαν, ὡς καὶ γυναικείας οὔσης φρουρᾶς, κρειττων ἐσόμενος παντοίας πολεμίων προσβολῆς. Καὶ περὶ Φερὰς ἕτερον Σιδηρόκαστρον, καὶ αὐτὸ διὰ τῶν τειχῶν τὸ εὐπαγὲς καὶ λίαν ὀχυρὸν ὠνομασμένον. Ἀμφίπολιν δὲ τὴν ἐν Στρυμμόνι πόλιν Ἑλληνίδα παλαιὰν ἐκ πολλῶν ἐτῶν κατεσκαμμένην αὖθις ἐτείχισεν ὁ βασιλεύς. Καὶ συνῴκισεν ἐκ τῶν πέριξ πόλεων πέμψας ἀποικίας. Οὐ μὴν ἀλλὰ καὶ περὶ Θρᾴκην παρόλιον ἑτέραν πόλιν κατεσκαμμένην καὶ αὐτὴν, ἧς φασιν Ἀναστάσιον βασιλέα Ῥωμαίων οἰκιστὴν καὶ ἐξ ἐκείνου προσαγορευομένην, ἀνέστησεν αὖθις, οὐ πᾶσαν, ἀλλ' ὅσον μάλιστα ἐνῆν ἀπολαβών, καὶ Περιθεώριον προσηγόρευσεν· ἕτερον δὲ φρούριον ἐδείματο, οὐ πολὺ ἀφεστηκὸς θαλάσσης, Διπόταμον προσαγορευθέν· ἃ δὴ πάντα οὐ μᾶλλον φιλοτιμίας ἢ ἀσφαλείας τῶν χωρίων ἕνεκα ἐν οἷς ἐκτίσθησαν, ἐτείχισεν ὁ βασιλεύς. Ἀρκαδιούπολιν δὲ διὰ τὰς ἐκ τῶν Σκυθῶν ἐφόδους ἀναγκαίαν οὖσαν, ἀνοικοδομῆσαι ἠβουλήθη πολυτελῶς, καὶ οἰκήτορας ἐκ τῶν ἐπιφανῶν ἐγκαθιδρῦσαι, εὐδαίμονά τε καὶ ὄλβιαν ἀποδεῖξαι, καὶ τῶν κατὰ τὴν Θρᾴκην ἄλλων πόλεων ὑπερέχουσαν πολλῷ μετὰ τὴν μεγάλην πόλιν.

A Thessalonicam a fundamentis Gynæcocastrum appellatum construxit, et turrim magnitudine maxima, atque ad hostium machinas excipiendas validissimam imposuit ; unde et nomen sortita est, quia quamvis a feminis defensa, quemvis hostium impetum elusura sit. Juxta Pheras Siderocastrum excitavit, et ipsum ob murorum soliditatem egregiam sic nominatum. Amphipolim autem ad Strymonem fluvium, urbem Græcam et vetustam, multis abhinc annis dirutam instauravit, et ex urbibus finitimis coloniam eo deduxit. Quin et aliam Thraciæ maritimam urbem ab Anastasio imperatore, ut fama est, conditam et ab eo dictam, tum autem destructam restituit : non totam illam quidem, sed quantum potuit, mœnibus complexus, et B Peritheorium indigitavit. Præterea haud procul a mari castellum Dipotamum ædificavit. Atque hæc omnia non gloriæ causa magis, quam ut loca, in quibus ea construebat, secura ac tuta redderet. Arcadiopolim vero, Scytharum incursionibus prohibendis necessariam, majoribus impendiis instaurare, et nobilibus incolis ibidem collocatis, felicem ac beatam, et inter civitates Thraciæ secundum magnam illam urbem longe principem efficere voluit·

329 CAPUT XXXIX.

De Barlaamo monacho Latino, quomodo turbas in ecclesia Constantinopolitana exorsus sit. Laus Gregorii Palamæ, et duorum ejus fratrum, propter monachismum. Monetur Barlaamus, ut genus vitæ τῶν ἡσυχαζόντων lacerare conviciis desinat. De lumine, quod sanctos circumfulsit. Divinum et increatum lumen videri posse oculis corporeis. De lumine in monte Thabor, quod Barlaamus increatum negat.

Συμβάσης δέ τινος ταραχῆς περὶ τὴν Ἐκκλησίαν, περιμείνας ὥστε τὰς προφάσεις τῆς ταραχῆς ποιῆσαι ἐκποδὼν, ἐτελεύτησε μετὰ μικρὸν, μηδὲν ὧν ἐσκέπτετο εἰς ἔργον ἀγαγών. Μοναχὸς γάρ τις ὁρμώμενος ἐκ Καλαβρίας τοῖς Λατίνων ἤθεσι καὶ νόμοις ἐντραφεὶς ὄνομα Βαρλαὰμ, ἄλλως δὲ νοῆσαί τε ὀξὺς καὶ τὰ νοηθέντα ἐξηγήσασθαι ἱκανώτατος, καὶ τὰ Εὐκλείδου καὶ Ἀριστοτέλους καὶ Πλάτωνος ἐκμελετήσας, καὶ διαϐόητος περὶ ταῦτα ὤν, ἐπὶ κακῷ τῇ Ῥω-

C Cæterum quibusdam turbis in Ecclesia excitatis, paulo post, dum earum occasiones amputandi commoditatem exspectat, vita excedit, infectis omnibus quæ fuerat meditatus. Monachus enim quidam e Calabria profectus, Latinorum moribus et legibus educatus, nomine Barlaamus (72), acutus alioqui et perspicax, et ad intelligentiam explicandam disertissimus, insuper in Euclide, Aristotele, Platone volutatus, et ob id illustri fama, ad calamitatem

Jacobi Pontani notæ.

(72) Meminit hujus monachi et Gregoras, lib. x, et similia nostris scribit, quamvis brevius. De eodem, lib. II, *De magnitud. Romanæ Ecclesiæ*, hunc in modum Stapletonus : *Nihilominus sub proximo imperatore Andronico juniore, cum missis a Benedicto XII Constantinopolim legatis pro Ecclesiarum unione, omnem collationem ac disputationem Græci pertinaciter recusarent, unus Barlaam monachus Calaber Constantinopolim profectus, hæresin hanc Græcanicam tribus tolis annis publice exagitavit, nemine resistente, donec Palamam quemdam Græci illi opponerent : quem cum ex scriptis ejus hæreticum hominem esse in publico consessu, cui et imperator interfuit, probare vellet, ab omnibus explosus, audiri non potuit.* Hactenus ille. Quod autem ita laudatur Palamas, et vituperatur Barlaamus, ignoscendum est, juxta illud, *Doribus Dorice loqui fas est.* Præterea non Constantinopolim, sed Thessalonicam primum venisse Barlaamum ex nostro liquet.

Digitized by Google Распознавание текста ABBYY FR

Romani imperii ; Thessalonicam advenit ; multis enim magnisque seditionibus Ecclesiam pacatam implevit. Qui cum se Latinorum dogmata profligaturum simulasset, libellis adversum illos compositis, conclusione rationum demonstrabat, eos in religionis doctrina hallucinari ac labi, nostrisque gaudebat institutis et legibus, et a se Latinorum cæremonias atque dogmata ex animo damnari apertissima dabat indicia, ut apparebat. Ob hanc igitur sacram, et illam aliam civilem eruditionem imperator honore et amore eum dignabatur, et magnus quoque domesticus curabat et diligebat ; nec illi quidquam ad felicitatem deerat. Hic ergo Barlaamus sive statim a principio ea opinione imbutus, sive postea immutatus, vel, ut dicam rectius, a communi Christianorum hoste instinctus, occasionem quamdam affectans, qua nostra quasi per comœdiam traduceret, et bellum nobiscum apertum gereret, velut discendi causa ad quemdam ex iis qui dicuntur quiescentes [sive solitarii], mente ac ratione plane vacuum, paulumque a bruto differentem, neque idiotæ saltem instar prudentem accessit, seque ab ipso institui, et modum vitæ solitariæ, ac præcepta obedientiæ ab illo discere velle simulavit. Quem precibus vicit, paucosque apud eum dies mansit. Posthæc ab imperito illo contendit, ut se genus illud vitæ doceret, et quomodo ipse quoque vel ipso illo die inter solitarios referri posset. Qui dolum haud olfaciens, et nimia levitate elatus, cum alia hominem improbissimum ipse stultus docuit, tum **330** quo pacto paulatim proficientes solitarii, et tranquille precationibus intenti, exsultatione animi et divina quadam inexplicabilique voluptate perfundantur, et oculis corporeis lumen se circumfulgens aspiciant. Barlaamus et alioqui hominem valde indoctum amentemque judicare, et lumen audiens cerni oculis corporeis, non sibi temperare, quin communiter solitarios insectaretur, eos impostores, mendaces, Massalianos (73) et Omphalopsychos (74), germanorumque Ecclesiæ dogmatum corruptores, et similibus vocabulis appellans, palamque testificans, omnes ab eorum consuetudine refugere debere, qui seducerent et seducerentur : quos oportebat virtute perfectos et doctrinæ religionis peritissimos esse, utpote quibus cæteri mortales, propter eam quam præ se ferrent pietatem, animas suas credidissent.

μαίων ἐπεδήμησε βασιλε'α· πολλῶν γὰρ ἐνέπλησε καὶ μεγάλων στάσεων εἰρήνην ἄγουσαν τὴν Ἐκκλησίαν. Ὑποκρινάμενος γὰρ τὰ Λατίνων ἀποσείεσθαι, λόγους τε συνεγράφετο κατ' αὐτῶν, καὶ ἀπεδείκνυε λογικῶς περὶ τὴν πίστιν σφαλλομένους, καὶ τοῖς ἡμετέροις ἔχαιρεν ἤθεσι καὶ νόμοις· καὶ ὅλως σαφεῖς ἐδόκει παρέχεσθαι τὰς ἀποδείξεις τοῦ κατεγνωκέναι τὰ Λατίνων ἀληθῶς. Διὰ ταῦτά τε οὖν καὶ τὴν ἄλλην σοφίαν τῆς τε παρὰ βασιλέως ἀπέλαυνεν εὐμενείας καὶ τιμῆς, καὶ παρὰ μεγάλου δομεστίκου οὐδὲν ἧττον ἠγαπᾶτο καὶ προνοίας ἠξιοῦτο, καὶ οὐδὲν ἐνέδει αὐτῷ τοῦ μὴ ἐν εὐπραγίαις εἶναι. Οὗτος δὴ ὁ Βαρλαὰμ εἴτε καὶ εὐθὺς ἐξ ἀρχῆς τὴν ὁμοίαν γνώμην ἔχων, εἴτε ὕστερον μεταβαλών, μᾶλλον δὲ ὑπὸ τοῦ κοινοῦ τῶν Χριστιανῶν πληρώματος πολεμίου ἐναγόμενος, πρόφασίν τινα ζητῶν ἐξ ἧς τὰ ἡμέτερα διακωμῳδήσει καὶ πρὸς πόλεμον χωρήσει φανερῶς ὡς δὴ μαθητῶν τινι προσῆλθε τῶν ἡσυχαζόντων, λόγου τε ἀπεστερημένῳ παντελῶς, καὶ ὀλίγου διαφέροντι ἀλόγων, καὶ οὐδὲ φρονήσεως γοῦν μετεσχηκότι πρεπούσης ἰδιώτῃ· καὶ ὑπεκρίνετο βούλεσθαι μαθητεῦσαι παρ' αὐτῷ, καὶ τὴν ὁδὸν τῆς ἡσυχίας ἐκδιδάσκεσθαι, καὶ τοὺς νόμους τῆς ὑποταγῆς. Ἔπεισέ τε δεηθείς, καὶ διέτριψε παρ' αὐτῷ ἡμέρας οὐ πολλάς. Καὶ μετὰ ταῦτα τοῦ ἀμαθοῦς ἐκείνου ἐδεῖτο διδάσκειν περὶ ἡσυχίας· καὶ ὅτῳ τρόπῳ καὶ αὐτὸς ἐν ἡσυχασταῖς αὐθημερὸν τελέσειεν ὑποθέσθαι. Ὁ δὲ τόν τε δόλον μὴ συνιδών, ὑπό τε τῆς ἄγαν κουφότητος ἐπαρθείς, ἄλλα τε ἐδίδασκε τὸν πονηρότατον ὁ ἀνόητος, καὶ ὡς προκόπτοντες κατὰ μικρὸν οἱ ἡσυχάζοντες, καὶ προσευχόμενοι ἀθορύβως, ἀγαλλίασίν τέ τινα καὶ ἄῤῥητον ἡδονὴν καὶ θείαν ἐπιδέχονται ἐν τῇ ψυχῇ· καὶ φῶς ὁρῶσι τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀστράπτον περὶ αὐτούς. Ἐπὶ μὲν οὖν τοῖς ἄλλοις, πολλὴν κατεγίνωσκεν ὁ Βαρλαὰμ ἄνοιαν τοῦ ἀνδρὸς καὶ ἀμαθίαν· ὡς δὲ ἀκούσας ὁρώμενον ὀφθαλμοῖς σωματικοῖς, οὐκέτι οὐδὲ ἠρεμεῖν ἠνέσχετο, ἀλλὰ κοινὴν ἐποιεῖτο τῶν ἡσυχαζόντων καταδρομήν, ἀπατεῶνας καλῶν καὶ ψευδομένους καὶ Μασσαλιανοὺς καὶ Ὀμφαλοψύχους, καὶ τὰ ὀρθὰ τῆς Ἐκκλησίας δόγματα διαστρέφοντας, καὶ εἴ τι ἕτερον τοιοῦτον· καὶ διεμαρτύρετο ἀναφανδὸν ὡς δεῖ πάντα ὀντιναοῦν ἀπέχεσθαι αὐτῶν πλανώντων τε καὶ πλανωμένων, οὓς ἔδει τήν τε ἀρετὴν τελείους εἶναι, καὶ περὶ τὰ δόγματα μάλιστα ἀσφαλεῖς, ὡς τῶν ἀνθρώπων τὰς ψυχὰς αὐτοῖς διὰ τὴν δοκοῦσαν εὐλάβειαν ἐμπιστευόντων. Ταῦτα δὲ

Jacobi Pontani notæ.

(73) Massaliani, seu Messaliani sub Valent. imperatore et Damaso pontifice nati, circiter annum Domini 380 a quibusdam dicti Euchitæ, id est, orantes, a nonnullis Enthusiastæ, id est, numine afflati, dæmone videlicet. Negabant animos creari a Deo. Nullam baptismo virtutem tribuebant. Eucharistiam docebant nec prodesse homini, nec obesse. Laborem manuum ut malum aversabantur. Somno indulgebant, et somnia sua prophetias appellabant. Vide Theodoretum, lib. IV, cap. 11, *Historiæ ecclesiasticæ ;* Nicephorum lib. II, cap. 14 ; Cedrenum, in Constantino ; Augustinum, lib. *De hæres.*, cap. 57.

(74) Existimat Gretserus noster Barlaamum vocasse hos monachos ὀμφαλοψύχους, ad verbum, *umbilicanimos*, quia eos ut ventri deditos notare ac perstringere voluit, quasi animam in ventre ferentes, eo modo, quo olim Tertullianus ad Montanum transgressus, orthodoxos appellare solebat psychicos, animales, voluptuarios, *etc.* ut ὀμφαλόψυχοι sint gastrimargi : seu, ut Apostolus Cretenses vocat, γαστέρες ὀργαί, *ventres pigri*. Et Nicephorus Gregoras Barlaami partibus postea studens, in eosdem monachos, ut crapulæ et vinolentiæ deditos, acerbe invectus est, ut libro quarto Cantacuzenus scribit.

Digitized by Google Распознавание текста ABK/FR

οὐ λόγοις μόνον διεθρύλλει κοινῶς κατὰ τῆς ἡσυχίας ὡς αἰτίου τῆς πλάνης γινομένης, ἀλλὰ καὶ συνεγράφετο, ἵνα ἐς ἀεὶ ἀνάγραπτος ἡ ὕβρις εἴη. Ταῦτα δὲ ἐπράττετο ἐν Θεσσαλονίκῃ ἐν οἷς καιροῖς καὶ ὁ βασιλεὺς ἐπὶ Ἀκαρνανίαν ἀπεδήμει. Ἐν ταύτῃ δὲ ἄλλοι τε παρῆσαν ἡσυχάζοντες πολλοί, οἳ δεινὰ ἐποιοῦντο τὰ Βαρλαὰμ διαθρυλλούμενα, καὶ μάλιστα Γρηγόριος ὁ Παλαμᾶς, ὃς καὶ ὕστερον εἰς ἀρχιερέας ἐτέλεσε Θεσσαλονίκης· ὃς ἐξ Ἀσίας ὢν τὸ γένος, καὶ βασιλείοις αὐλαῖς ἐντεθραμμένος, ἅμα δυσὶν ἑτέροις ἀδελφοῖς, ἐπὶ πάνυ παιδικῇ τῇ ἡλικίᾳ, κτῆσιν καὶ γονέας καὶ τὴν ἄλλην περιφάνειαν τοῦ βίου, καὶ τὰς ἐκ βασιλέως τιμάς, ὡς ὀλίγου ἢ οὐδενὸς ἐκλιπόντες ἄξια, Χριστῷ εἵλοντο μόνῳ ἀκολουθεῖν, καὶ τὴν ἐκεῖθεν λαμπρότητα ἐπιζητεῖν· καὶ Ναζιραῖοι τῷ Θεῷ γεγεννημένοι, τὴν πτωχείαν μᾶλλον εἵλοντο τὴν δι' αὐτὸν, καὶ τὴν ἀκτησίαν καὶ τὴν δουλείαν. Καὶ πρὸς Ἄθῳ τῷ ἱερῷ γενόμενοι ὄρει (ὅπερ οὐκ ἄν τις ἁμάρτοι πόλιν προσειπὼν οὐράνιον) ἐκδεδώκασιν ἑαυτοὺς ὑποταγῇ πατρὸς πνευματικοῦ· οὗ δὴ τὸν πνευματικὸν ἀγωνιζομένων δίαυλον, καὶ θεόντων τὸν περὶ ψυχῆς, ὁ τελευταῖος ἐξέλιπε τῶν ἀδελφῶν πρῶτος· χωρήσας πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως· καὶ μετ' ἐκεῖνον ὁ διδάσκαλος ὀλίγῳ ὕστερον ἀπηλλάττετο τῶν δεσμῶν τοῦ γεώδους τούτου καὶ ταπεινοῦ σαρκίου, καὶ πρὸς ὃν ἐπόθησε μετέβαινεν ἐξ ἀρχῆς. Γρηγορίῳ δὲ καὶ τ' ἀδελφῷ ἐκ πατρὸς καταλειφθεῖσιν ὀρφανοῖς, οὐκ ἐδόκει δεῖν ἔτι πιστεύειν τῇ ἡλικίᾳ· ἀλλ' ἑτέρῳ φέροντες ὑπέταξαν πατρὶ πνευματικῷ· ὑφ' ᾧ ὑπὲρ ὀκτὼ τελέσαντες ἔτη, ἐπεὶ κἀκεῖνος τῶν τῇδε ἀπηλλάττετο, πρὸς τῇ κατὰ Βέρροιαν Σκήτῃ φροντιστήριον οἰκοδομήσας ὁ Γρηγόριος, καὶ κατακλείσας ἑαυτὸν, πᾶσάν τε ἀποθέμενος φροντίδα γῆινην, ἑαυτῷ δὲ μόνῳ καὶ Θεῷ προσαδολεσχῶν, δέκα διετέλεσεν ἔτη, πολλὰ τὴν σάρκα παιδαγωγήσας καὶ ὑποτάξας τῷ πνεύματι· ὡς ἐκ τῆς συντονωτάτης καὶ ἄγαν ἀνενδότου ἀσκήσεως, καὶ τοῦ σπηλαίου τῆς πρὸς ψύχος ἀσυμμετρίας, νόσῳ δεινῇ περιπεσόντα, οὐ μακρὰν γενέσθαι τοῦ ἀποθανεῖν· οὗ μετὰ τὰ δέκα ἔτη ἀποστὰς τῶν ἐκεῖσε διακριτικῶν Πατέρων κελευσάντων, οἷς οὐκ ἐξῆν

A Atque hæc non verbis tantum publice contra statum solitarium, ut causam erroris disseminabat, sed in litteras quoque redigebat, ut exstarent semper ejus contumeliæ. Hæc Thessalonicæ acta sunt, quo tempore imperator in Acarnaniam abierat. Ibi cum multi solitarii versarentur, qui jactatos a Barlaamo sermones ferebant graviter, tum præsertim Gregorius Palamas, qui postea archiepiscopus Thessalonicensis renuntiatus est, genere Asiaticus, et in aula imperatoria educatus. Hic et duo fratres ejus, ætate admodum puerili possessiones, parentes, et quidquid est in hominum vita conspicuum et admirabile, et honores ab imperatore promissos, ut parvi aut nullius momenti reliquerant, Christumque solum sequi, et quæ in cœlis est claritatem

B expetere instituerant: ac Nazaræi Christo facti (75), paupertatem magis possessionumque inopiam, et subjectionem illius causa elegerant. Atque apud Atho sanctum montem degentes (quem qui cœlestem civitatem appellarit, non erraverit) Patris ibidem spiritualis arbitrio, seu obedientiæ se consecrarant. Ubi nimirum in spiritali circo illis certantibus, et cursum pro animæ salute currentibus, minimus natu primus decessit, ad bravium supernæ vocationis profectus. Non diu post illum magister vinculis terrenæ hujus et abjectæ carunculæ exsolutus, ad eum quem ab initio concupierat, evolavit. Gregorio autem et fratri, quasi orphanis a patre relictis, visum est, non oportere jam ætati credere;

C quare alteri patri spirituali se subdunt, sub quo octo annis transactis, postquam et ille ab his rebus moriens recessit, apud Sceten Berrhœæ ædificato **331** monasterio se Gregorius includit, omnique labentium ac pereuntium cura deposita, secum solo et cum Deo colloquens, decennium ibi traducit, studens vehementer frangere appetitiones suas, et spiritui eas subjicere, adeo ut ex assiduissima asperrimaque pietatis exercitationum usurpatione (76), et speluncæ frigore, in difficilem morbum delapsus, non procul ab interitu abesset. Inde cum post annum decimum, auctoritate Patrum illic discretorum (quorum optimis consiliis refragari

Jacobi Pontani notæ.

(75) Monasticum habitum supra indumentum Nazaræorum appellavit, et nunc monachos Nazaræos nominat, propter similitudinem vitæ morumque. Lex autem Nazaræorum hæc est, *Numerorum* cap. IV: *Vir sive mulier, cum fecerint votum, ut sanctificentur, et se voluerint Domino consecrare, a vino, et omni quod inebriare potest, se abstinebunt. Acetum ex vino et ex alia qualibet potione, et quidquid de uva exprimitur, non bibent; uvas recentes siccasque non comedent cunctis diebus, quibus ex voto Domino consecrantur. Quidquid ex vinea esse potest, ab uva passa usque ad acinum, non comedent. Omni tempore separationis suæ novacula non transibit per caput ejus, usque ad completum diem quo Domino consecratur. Sanctus erit crescente cæsarie capitis ejus*, etc. Nazaræi fuerunt Samson, ut scriptum est *Judicum* cap. XIII, et Rechabitæ filii Jonadab, nepotes Rechab, *Jeremiæ* cap. LIII. Bene autem hoc illis nomen imponitur; Nazaræus enim sonat Latine *separatus, sanctificatus;* et tales Domino separantur sanctificanturque.

D

(76) Apud sacros auctores ἀσκεῖν est vitam sanctam ac religiosam profiteri. Unde ἄσκησις vel ἀσκητικὸς βίος, pro pio ac Dei cultui dicato, atque consecrato vitæ genere usurpatur: et ἀσκητὴς appellari solet, qui pietatis colendæ studio se totum mancipavit. At quanquam hujusmodi vox plerumque iis duntaxat tribuatur, qui ad monasticam vitam se contulerunt (unde etiam apud Basilium regulæ illæ, quas monachis sanciebat, *τὰ ἀσκητικὰ* inscribuntur), certum est tamen, eam latius patere, atque ad eos omnes etiam pertinere, qui, tametsi palam ac publice concepto voto monasticis legibus sese minime obstrinxerint, tamen in mundo ita vivunt, atque si in monasterium concessissent, atque abjectis omnibus voluptatibus, ac vitæ hujusce curis, totos se ad pietatis cultum et divinarum rerum meditationem conferunt. Billius, *Observat. sacrar.* lib. I, cap. 40.

Digitized by Google Распознавание текста ABK/FR

nefas erat) discessisset, primum quidem diu in monasteriis apud Atho montem vixit, deinde curatione morbi urgente, Thessalonicam venit. Hic ergo aliique monachi Barlaamo sacræ quietis instituto insultanti, multisque conviciis illud cumulanti succensentes, quibusdam amicis ad illum pro legatis usi, rogabant, ut talia et sentire, et loqui adversus quiescentes (sive solitarios) desineret, et ne propter unius imperitiam omnes damnaret, quodque ad ipsum attineret, supremo ac perfectissimo vitæ genere homines privatum iret, dum quæ non essent mentiretur, et calumniis ut nescio quorum malorum originem oppugnaret, abstinendumque ab eo persuadere conaretur. Sed si quid audisset indecentius, inscitiæ dicentis ascriberet : ipsam vitæ rationem sanctam et divinam duceret, et ei oblatrare desisteret. Si quid etiam adversus eamdem affectu non bono a recto detortus conscripsisset, ut perditione dignum, flammis aboleret. Nec enim esse fas, nec secundum rationem, quempiam geometrica, astronomica, et numerorum proportiones volentem percipere, nedum ad indoctissimum, sed ad doctissimum venitare, in vera autem philosophia et cognitione rerum cœlestium profanum ac non initiatum magistrum adhibere. Oportuisse enim illum ut philosophum, et intelligentia præstantem multis, siquidem talia discere cupiebat, aut prius quæsisse a Deo hujusmodi gratia dignatum (non enim humano intellectu studiove ista acquiruntur) et sincero animo, atque ab omni malignitate vacuo accedere, et de quibus vellet, rogare doceri (qui utique divinarum rerum gnarus, et quantum quisque hujus disciplinæ caperet, haud nescius, juxta divinæ purgationis modulum non statim ab initio aures flaccidas tonitrui sonitu imbuisset, sed vitæ prius accuratione, multaque scientia, **332** et omnium cogitationum terrenarum, ac rationi consentientium repugnantiumque depositione animum expurgare docuisset, et ita ad sacra vestibula hujus divinæ sapientiæ accedere, multa Deum, multa viros hac perfectione dignos habitos precantem, ut ad opus tam sublime, et humana facultate superius, adjumento sibi esse ne recusarent), aut postquam propter desidiam suam inconsulto ad proximum accessisset, auditum sermonem illius inscitiæ tribuere : nec velut dedita opera, et tanquam insperatum lucrum ea verba arripere, arroganterque et projecte in sacram quietem invadere, et ea fruentes maledictis conscindere, impostores, mendaces, Massalianos nuncupare, ex eo quod audisset sanctos lumine circumfundi, plurium contumeliarum ansa arrepta videlicet. Quanquam doctorem istum de aliis quidem merito forsitan, de hoc autem a nemine posse reprehendi. Nam et alios multos persecutionis temporibus pro Christo dimicantes, hoc divinum lumen convestisse (77), et sanctum Anto-

A τὰ βελτίω συμβουλεύουσι μὴ πείθεσθαι, πρῶτα μὲν ἐφ' ἱκανὸν ἐν τοῖς κατὰ τὸν Ἄθω διέτριψε φροντιστηρίοις. Ἔπειτα τῆς περὶ τὸ σῶμα νοσοκομίας ἐπειγούσης, ἦλθεν εἰς Θεσσαλονίκην. Οὗτος δὴ ἅμα τοῖς ἄλλοις οὐ μετρίως δυσχεράναντες κατὰ Βαρλαὰμ τὰ τῆς ἱερᾶς ἡσυχίας ἐξορχουμένου, καὶ πολλὰς αὐτῆς καταχέοντος τὰς λοιδορίας, τισὶ τῶν φίλων πρὸς αὐτὸν χρησάμενοι πρεσβευταῖς, ἐδέοντο παύεσθαι τοῦ τοιαῦτα καὶ φρονεῖν, καὶ λέγειν κατὰ τῶν ἡσυχαζόντων· καὶ μὴ διὰ τὴν ἀπειρίαν ἑνὸς τὰ ἴσα πάντων καταψηφίζεσθαι, καὶ τό γε εἰς αὐτὸν ἧκον, τοῦ ἀκροτάτου βίου καὶ τῆς τελεωτάτης πολιτείας τοὺς ἀνθρώπους ἀποστερεῖν τὰ οὐκ ὄντα καταψευδόμενον, καὶ ὡς κακῶν αἰτίαν διαβάλλοντα καὶ πείθοντα ἀπέχεσθαι αὐτῆς. Ἀλλ' εἰ μέν τι καὶ
B παρὰ τὸ προσῆκον ἤκουσται αὐτῷ, τῇ ἀπειρίᾳ τοῦ εἰπόντος προσλογίζεσθαι· αὐτὴν δὲ ἡγεῖσθαι θεῖόν τι χρῆμα καὶ ἱερὸν, καὶ τοῦ τε κατ' αὐτῆς παύεσθαι λέγειν. Ἀλλὰ καὶ εἴ τι συναρπασθεὶς συνέγραψε κατ' αὐτῆς, ὡς ἀπωλείας ἄξια παραδιδόναι πυρί. Οὐδὲ γὰρ ὅσιον, οὐδὲ ἄλλως νοῦν ἔχον, γεωμετρίαν μὲν καὶ ἀστρονομίαν, καὶ ἀριθμῶν ἀναλογίας βουλόμενόν τινα ἐκδιδάσκεσθαι μὴ τῷ ἀμαθεστάτῳ, ἀλλὰ τῷ δεινοτάτῳ περὶ ταῦτα φοιτᾷν· τῆς δὲ ὄντως φιλοσοφίας, καὶ τῆς περὶ οὐρανίων πραγμάτων γνώσεως τῷ περὶ ταῦτα ἀμυήτῳ χρῆσθαι διδασκάλῳ. Ἐχρῆν γὰρ αὐτὸν ὄντα φιλόσοφον, καὶ τῶν πολλῶν ὑπερέχοντα συνέσει, εἴγε περὶ τοιούτων ἐδεῖτο μαθεῖν πραγμάτων, ἢ πρότερον διερευνησάμενον, τῷ παρὰ Θεῷ τῆς τοιαύτης χάριτος ἠξιω-
C μένῳ (οὐ γὰρ δὴ ἀνθρωπίνῃ γε συνέσει ἢ σπουδῇ τὰ τοιαῦτα περιγίνεται) ἀδόλῳ γνώμῃ, καὶ πάσης ἀπηλλαγμένῃ κακουργίας προσελθεῖν, καὶ περὶ ὧν ἐβούλετο δεῖσθαι μαθεῖν (ἦ γὰρ ἂν ἐκεῖνος σοφὸς ὢν τὰ θεῖα καὶ μέτρα μαθημάτων ἑκάστῳ προσήκοντα εἰδὼς κατὰ τὴν τῆς καθάρσεως ἀναλογίαν, οὐκ ἂν ἐνεπίστευσεν ἀκοῇ σαθρᾷ βροντῆς ἦχον ἐκ προοιμίων εὐθὺς, ἀλλὰ βίου πρότερον ἀκριβείᾳ καὶ πολλῇ φιλοσοφίᾳ, καὶ πασῶν γηΐνων ἐννοιῶν εὐλόγων τε καὶ μὴ τοιούτων ἀποθέσει, τὴν ψυχὴν ἂν πρότερον ἐδίδαξεν ἐκκαθάραι, καὶ οὕτω τῶν ἱερῶν προθύρων τῆς θείας ταυτησὶ σοφίας ἐπιβαίνειν δέομένου, καὶ Θεοῦ πολλὰ καὶ ἀνδρῶν τῶν τὰ τοιαῦτα
D δύνασθαι ἠξιωμένων συνάρασθαι πρὸς τὸ ἔργον οὕτως ὂν ὑψηλὸν, καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον δύναμιν)· ἢ ἐπειδή γε διὰ ῥᾳθυμίαν ἀπερισκέπτως τῷ προστυχόντι προσεχώρησε, τῇ ἐκείνου ἀμαθίᾳ προσλογίσασθαι τοὺς λόγους, ἀλλὰ μὴ ὥσπερ ἐξεπίτηδες ὥσπερ τινὸς ἑρμαίου λαβόμενον τῶν λόγων, αὐθαδῶς καὶ θρασέως κατ' αὐτῆς τῆς ἱερᾶς χωρῆσαι ἡσυχίας, καὶ τοῖς ἡσυχάζουσι πολλὰ προστρίψασθαι ὀνείδη, ἀπατεῶνας καλοῦντα, καὶ ψευδομένους καλοῦντα καὶ Μασσαλιανοὺς, ἐκ τοῦ φῶς περιαστράπτειν τοὺς ἁγίους ἀκηκοέναι τὰς ἀφορμὰς εἰληφότα τῶν πολλῶν λοιδοριῶν· καίτοι γε τῷ διδάξαντι, περὶ ἄλλων μὲν ἄν τις μέμφοιτο

Jacobi Pontani notæ.

(77) Hoc ex historiis martyrum patet, in quibus persæpe legas, eos ante judicum tribunalia, et inter manus carnificum cœlesti quodam splendore circumfusos fuisse : quo signo Deus suos esse testes

δικαίως, περὶ τούτου δὲ οὐδεί;. Ἄλλους τε γὰρ περιήστραψε πολλοὺς τὸ θεῖον τοῦτο φῶς ἐν τοῖ; τοῦ διωγμοῦ καιροῖς ἀγωνιζομένους ὑπὲρ Χριστοῦ, καὶ Ἀντώνιον τὸν θεῖον, οὐ πρὸς τυράννους, ἀλλὰ τοὺς δεινοτέρους τυράννων δαίμονας παρστεταγμένον, ὡς ἐκ τῶν περὶ αὐτοῦ συγγεγραμμένων ἔξεστι μαθεῖν, οὐ μὴν ἀλλ' εἰ δεῖ καὶ ταῦτα πάντα παραδραμόντας πρὸς τὸ πρῶτον παράδειγμα ἀναδραμεῖν, σαφῶς ἐξέσται τοῦ δυνατὸν εἶναι τοῖς σωματικοῖ; ὀφθαλμοῖς θεῖον καὶ ἄκτιστον φῶς θεάσασθαι τὴν ἀπόδειξιν λαβεῖν. Παραλαβὼν γὰρ, φησὶν, ὁ Κύριος πρὸ τοῦ πάθους τοὺς προκρίτους τῶν μαθητῶν, καὶ ἀνελθὼν ἐπὶ Θαβὼρ, μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡ; ὁ ἥλιος. Οὔ μὴ φέροντες τὴν λαμπρότητα ὁρᾷν οἱ μαθηταὶ, κατέπεσον ἐπὶ τὴν γῆν. Εἰ οὖν κἀκεῖνοι, ἄνθρωποί τε ὄντες, καὶ ἔτι ἀτελέστερον διακείμενοι, τὸ περιαστράψαν αὐτοὺς θεῖον καὶ ἄκτιστον φῶς ἠδυνήθησαν ἰδεῖν, τί θαυμαστὸν εἰ καὶ νῦν τοὺς ἁγίους φαίημεν φῶς ὁρᾷν ἄνωθεν ἐλλαμπομένους ἐκ Θεοῦ; Ἀ ὁ δή σου κ.ὶ δεόμεθα περὶ τῶν τοιούτων μήτε λέγειν, μήτε λογογραφεῖν, ὡ; ὀλίγα ἢ οὐδὲν περὶ αὐτῶν εἰδότα· ἀλλὰ καὶ τὰ γεγραμμένα ἀφανίζειν, ὡς πολλοῖ; αἴτια βλάβης παρεσόμενα οὐ τῆς τυχούσης. Τοιαῦτα μὲν Γρηγόριος καὶ οἱ περὶ αὐτὸν διεπρεσβεύοντο πρὸς Βαρλαάμ, οἰόμενοι τὴν παραίνεσιν αὐτῷ τὴν γλωσσαλγίαν στήσειν. Τὸ δ' ἐναντίως ἢ αὐτοὶ ᾠήθησαν ἀπέβη. Ὡς γὰρ τοὺς λόγους ὁ πρεσβεύων διῆει πρὸς αὐτὸν, ἐν μὲν τοῖς ἄλλοις ἡσυχίαν ἦγε· τὸ ἐν Θαβωρίῳ δὲ λάμψαν φῶς ἄκτιστον ἀκούσας, Τῆς ἀτοπίας, ἀνεβόησε· καπνὸν γὰρ φεύγοντες, ἐμπεπτώκαμεν εἰς πῦρ· ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ· τὸ ἐν Θαβὼρ φῶς ἄκτιστον, καὶ τί ἄλλο ἢ Θεὸς καθ' ὑμᾶς; Οὐδὲν γὰρ ἄκτιστον ὅτι μὴ Θεός· εἰ οὖν μήτε κτίσμα τὸ φῶς ἐκεῖνο, μήτε Θεοῦ οὐσία (*Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε*). τί λοιπὸν ἢ δυσὶ λατρεύειν θεοῖς, ἑνὶ μὲν τῷ πάντων δημιουργῷ, ὃν καὶ ἀόρατον πᾶς τις ἂν ὁμολογήσειε, δευτέρῳ δὲ τῷ καθ' ὑμᾶς ὁρωμένῳ ἀκτίστῳ τούτῳ φωτί; ἐγὼ δὲ οὔτε πρότερον οὔθ' ὕστερόν ποτε ἀνασχοίμην ἂν ὁπωσοῦν τι διαφέρον τῆς οὐσίας τοῦ Θεοῦ ἄκτιστον ἡγεῖσθαι. Ἐκ τούτων δὴ τῶν λόγων ὥσπερ ἀφετηρίας ὁρμηθεὶς, πολλὰ καὶ εἶπε καὶ συνεγράψατο κατὰ Γρηγορίου καὶ τῶν ἄλλων μοναχῶν, πρὸς τοῖς πρότερον καὶ διαβεβλημένοις ἐγκαλῶν. Οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἠμέλουν τοῦ μὴ ἀντιλέγειν φανερῶς καὶ διεφθαρμένα δόγματα εἰσάγοντα ἀποδεικνύναι καὶ τοῖς θεοσόφοις λόγοις ἐναντία. Βαρλαὰμ δὲ οἰόμενος καὶ τῶν ἀρχαίων

refert, quæ a magno domestico acceperit, et jussa efficit. Quæ tam insperatos, et inexspectatos sermones auribus hauriens contristatur, et ad stuporem miratur, quid eum ad hæc cogitanda, et sibi eloquenda perpulerit. Tamen ut se collegit, ei vicissim nuntiari jubet nulla ratione hæc ipsum loqui decere, neque ejus ingenio, neque amore illo, quo se ipse et imperator mutuo dilexerint, quemque a pueritia usque ad hoc tempus purum sincerumque conservarint, digna esse. Quocirca se credere etiam non posse, eum propter hominem fatuum eo iracundiæ ægritudinisque processisse. Deinde se nec audisse quid diceret; nec si audire contigisset, operæ pretium censuram fuisse hominem multare, quando ipsemet non minorem quam ipsa, et puniendi a quibus offensus sit, et ignoscendi, si velit, auctoritatem habeat. Quamobrem si propter illud verbum duntaxat indignaretur, a semetipso magis, quam ab illa pœnas sumere convenire. Si quo alio sibi opus sit, quod ipsa usque nunc ignoret, cum fiducia aperiat : nihil fore, in quo ejus animo non libenter gratificatura sit, nisi multo maxime ad præstandum impossibile fuerit. Sic imperatrix magno domestico respondendum curavit. Qui ad patriarcham, Et tu penitus vim verborum meorum ignoras, inquit, et Augusta a cogitatione eorum quæ fiunt, abest longissime. Ut autem et tu scias, et illi exponas, quam non iniqua in corde meo versem, audi quis sit meus de republica sensus. Meam cum defuncto imperatore a pueris perfectissimam amicitiam, et te nescire credibile est; et imperatrix in patria adhuc degens nosse qui potuit? Quod vero ad bellum contra avum et inceptum, et finitum attinet, quando reliquis omnibus multum et varie immutatis, omnibusque adversantibus in extremas fere difficultates devenit, quam promptus ei adjutor exstiterim, nec corpori meo, nec pecuniis, nec alii cuipiam rerum mearum parcens, sed temporibus miseris, et amicos germanos requirentibus, omnia ei factus sim, nullumque officium prætermiserim ; et postquam rerum summam obtinuit, quantum ad externos hostes, Græcos, inquam, et Barbaros, et ad domesticos insidiatores attinet, **358** quomodo ego tanquam alter ille ei collaborarim, et cum eo, ac pro eo multa gravia periculosaque sustinuerim (sileo enim de administratione, quo pacto omnem ego laborem perferens, imperium ipsi facillimum reddiderim), Romani omnes scire possunt, rebus ipsis manifestissime clamantibus, et testimonium ferent; præque omnibus imperatrix, quam non experientia tantum, sed ipsemet quoque imperator de mutua inter nos concordia docuit : quæ quidem tanta fuit, ut opinione mea omnes et antiquos, et recentes ab amicitia nobilitatos superaverit. Unde non modo vicissim nos adjuvari, sed etiam usque ad hoc tempus in summa gloria vixisse contigit. Turpe igitur, me, qui antehac nunquam ullius dedecoris occasionem mihi præbuerim, nunc sponte, ac libentem ma-

A δέ τινα καὶ ἄλλα ἔχειν ἀνέκφορα ἐν τῇ ψυχῇ. Αὐτίκα μὲν οὖν ὁ πατριάρχης ἐποίει τὰ κεκελευσμένα, καὶ τῇ βασιλίδι ἀπήγγειλεν ὅσα ὁ μέγας δομέστικος πρὸς αὐτὸν διαλεχθείη. Ἡ δὲ ἐλπίδος τε ἔξω, καὶ πέρα προσδοκίας λόγους ταῖς ἀκοαῖς εἰσδεξαμένη, ἠνιᾶτο μὲν ἐπὶ τοῖς λεγομένοις, ἐξεπέπληκτο δὲ, ὅ, τι τὸ τὸν μέγαν δομέστικον πεῖσαν τοιαῦτά τε ἐνθυμηθῆναι καὶ πρὸς αὐτὴν εἰπεῖν· ὅμως ἑαυτὴν ἀναλαβοῦσα, ἀντεμήνυεν αὐτῷ, μὴ παντάπασιν αὐτῷ προσήκειν τοὺς τοιούτους λόγους, οὐδὲ τῆς αὐτοῦ διανοίας ἀξίους εἶναι· οὐδὲ τῆς πρὸς βασιλέα φιλίας ἣν ἐκ παίδων ἄχρι, καὶ εἰς τόδε χρόνου ἀλλήλοις διετηρήσατε ὄδολον καὶ καθαράν. Διὸ οὐδὲ πείθεσθαι οἷά τε εἰμὶ ὡς παραφρονοῦντος ἕνεκα ἀνθρώπου προήχθης εἰς τοσοῦτον καὶ ὀργῆς
B καὶ λύπης. Ἐγὼ δὲ μήτ' ἀκηκοέναι τοῦ ἀνθρώπου λέγοντος ὁμολογῶ, μήτ' εἰ καὶ συνέβαινε πυθέσθαι, προῦργου ποιήσασθαι κολάζειν τὸν εἰπόντα· οὐδὲ γὰρ αὐτὸς σὺ ἐλάττω δύναμιν ἔχεις, ἢ ἐγὼ κολάζειν τε τοὺς προσκρούοντας, καὶ συγγνώμην παρέχειν ἂν ἐθέλῃς. Εἰ μὲν οὖν ἐκείνων ἕνεκα τῶν λόγων μόνον ἀγανακτεῖς, παρὰ σαυτοῦ μᾶλλον ἢ παρ' ἐμοῦ προσήκει λαμβάνειν δίκας. Εἰ δὲ καί τινος ἑτέρου δέῃ ὅπερ ἄχρι νῦν ἄγνωστον ἐμοὶ, λέγειν θαῤῥοῦντα, ὡς παρ' ἐμοὶ δύσκολον ἐσόμενον μηδὲν ὅπερ ἂν σοι κατὰ γνώμην ᾖ, εἰ μὴ πάντη τῶν ἀδυνατωτάτων εἴη. Τοιαῦτα μὲν ἡ βασιλὶς πρὸς τοὺς τοῦ μεγάλου δομεστίκου λόγους ἀπεκρίνατο· ὃ δ' ἔφασκεν, αὐτόν τε παντάπασιν ἠγνοηκέναι τὴν
C δύναμιν τῶν λόγων τῶν αὐτοῦ, καὶ βασιλίδα τὴν διάνοιαν τῶν γιγνομένων μάλιστα ὡς πορρωτάτω ἔχειν. Ἵνα δὲ αὐτός τε εἰδῇς καὶ βασιλίδι φράσῃς ὡς δίκαια διανοοῦμαι, ὡς ἔχω περὶ τῶν πραγμάτων ἄκουσον. Τὴν μὲν ἐμοῦ τε καὶ βασιλέως ἐκείνου πρὸς ἀλλήλους ἐκ παίδων ἀκροτάτην φιλίαν, σύ τ' ἂν ἀγνοίης ὥσπερ εἰκὸς, καὶ ἡ βασιλὶς πρὸς τὴν οἰκίαν διατρίβουσα· ὅσα μέντοι γε πρὸς τὸν πρὸς βασιλέα τὸν πάππον πόλεμον, καὶ ἀρχομένου καὶ τελευτῶντος, ὅτε τῶν ἄλλων ἁπάντων πολλὰς καὶ παντοδαπὰς ὑποστάντων τὰς μεταβολὰς, πάντων ἀντιτεταγμένων σχεδὸν εἰς ἰσχάτην ἀπορίαν συνηλάθη, αὐτῷ προθύμως συνηγωνισάμην, μήτε σώματος φειδόμενος, μήτε χρημάτων, μήτ' ἄλλον τῶν οἰκείων μηδενὸς, ἀλλ' ἐν τοῖς μάλιστα ἐπείγουσι
D τῶν καιρῶν καὶ δεομένοις γνησίων φίλων πάντα ἐγινόμην αὐτῷ, καὶ τῶν δεόντων ἐνέλιπον οὐδὲν, καὶ μετὰ τὸ τῶν πραγμάτων ἐγκρατῆ γενέσθαι, ὅσα τε πρὸς τοὺς ἔξωθεν πολεμίους, καὶ Ἕλληνας λέγω, καὶ βαρβάρους, καὶ πρὸς τοὺς ἔνδον ἐπιβούλους, ὥσπερ ἄλλος ὢν αὐτὸς, καὶ συγκατειργαζόμην καὶ συνδιέφερον αὐτῷ τοὺς ὑπὲρ ἑαυτοῦ πόνους καὶ κινδύνους (ἐῶ γὰρ λέγειν τὴν διοίκησιν τῶν πραγμάτων, ὡς αὐτὸς πάντα πόνον ὑφιστάμενος, ἄλυπον αὐτῷ καὶ ἄπονον ἐποίουν τὴν ἀρχὴν), πάντες μὲν ἂν εἰδεῖεν Ῥωμαῖοι, αὐτῶν σαφέστατα βοώντων τῶν πραγμάτων, καὶ συμμαρτυρήσαιεν ἐμοί. Τῶν ἄλλων δὲ πάντων μάλιστα ἡ βασιλὶς ὅσα μὴ μόνον ὑπὸ τῶν πραγμάτων, ἀλλὰ καὶ βασιλέως αὐτοῦ τὴν πρὸς ἀλλήλους ἡμῶν ὁμόνοιαν,

Digitized by Google Распознавание текста ABK/FR

τὴν πάντας ὡς ἐγῷμαι καὶ τοὺς πάλαι καὶ τοὺς νῦν ὑπερελάσασαν ἐπὶ φιλίᾳ ὑμνουμένους σαφῶς διδασκομένη. Ἐφ' οἷς οὐκ ὠφελεῖσθαι μόνον παρ' ἑκατέρων συνέβαινεν ἡμῖν, ἀλλὰ καὶ τὸν ἄχρι νῦν χρόνον εὐκλεέστατα βεβιωκέναι. Ἄτοπον οὖν, τὸν μὲν πρὸ τοῦ χρόνον ἅπαντα, μηδέποτε μηδεμίαν ἀδοξίας πρόφασιν παρεσχηκέναι ἐμαυτῷ, νυνὶ δὲ ἐκοντὶ λοιδορίας ἄξια καὶ μέμψεως ποιεῖν· ἄν τε γὰρ ἀγνοήσας οἷων κακῶν τὰ πράγματα χωρήσει, ἐμαυτῷ μὲν ἀδοξίας, τοῖς λοιποῖς δὲ Ῥωμαίοις φθορᾶς καὶ κινδύνων αἴτιος καταστῶ, οὐδεμίαν παραιτεῖσθαι δίκαιος συγγνώμην αὐτὸς παρ' ἐμαυτῷ κριτῇ. Ἄν τε καὶ συνορῶν (ὥσπερ ἤδη καὶ ἐπίσταμαι σαφῶς), ἔπειτα καταμαλακιζοίμην δέει τοῦ μὴ δοκεῖν ἐν καιροῖς, ἐπὶ κινδύνοις τὴν ἀρχὴν μεθίεσθαι, οὐ λοιδορίας ἄξιος μόνον, ἀλλὰ καὶ δίκης τῆς ἐσχάτης, ὅτι καί τοι προειδὼς, ὑπέμεινα ἐκὼν εἶναι κακὸς ὀφθῆναι, καὶ μήτε καιροῖς, μήτε πράγμασιν ὡς δέον χρήσασθαι εἰδώς. Οὗ δὲ ἕνεκα κινδύνων τε καὶ ἀδοξίας ἔγνων ἀπαλλάττειν ἐμαυτόν. Καί τοι γε οὐδὲ βασιλίδι τε καὶ τοῖς βασιλέως παισὶν ἐκ τῆς ἀδοξίας ταυτησὶ καὶ τῶν κινδύνων ὠφέλειάν τινα ἕξεστι πορίζειν. Ἦν γὰρ ἂν τοῦτο παραμύθιον οὐ φαῦλον, ὡς ἂν δὲ μὴ δοκῶ τοὺς ὑπὲρ τῶν βασιλέως παίδων πόνους καὶ κινδύνους ἀποδιδράσκειν, νῦν μὲν ἐν τῆς εἰρήνης τοῖς καιροῖς, ὅτε μήτε πόλεμος οὐδείς, μήτε κακῶν προσδοκία μηδεμία, πατριάρχης τε καὶ σύγκλητος ἅμα βασιλίδι ἰθυνόντων τὴν ἀρχὴν, καὶ τὰ ἐκ ταύτης ἀγαθὰ καὶ τὰς τιμὰς καρπούσθων. Ἐὰν δέ ποτε συμβαίῃ πόλεμόν τινα ἀναφυῆναι κίνδυνον ἀπειλοῦντα βασιλέως τοῖς παισὶ, τότ' αὐτὸς ἤδη προθύμως τοῖς κινδύνοις ἐμπαρέξω ἐμαυτὸν, καὶ ἢ συνδιασώσω τὴν ἀρχὴν αὐτοῖς, ἢ ὑπὲρ αὐτῶν μαχόμενος πεσοῦμαι· ὡς ἂν ἐμοὶ μὲν οἱ πόνοι καὶ τὸ κινδυνεύειν, ὑμῖν δὲ τὸ ἐντρυφᾷν τοῖς πράγμασι, καὶ αὐτῶν καταπολαύειν μηδενὸς παρενοχλοῦντος περιγίνοιτο. Κεφάλαιον δὲ τῶν λόγων τῶν ἐμῶν, ὡς ἔστιν οὐδὲν τὸ πεῖσον, ὥσπερ καὶ πρότερον, ἔχεσθαι τῶν πραγμάτων τῆς ἀρχῆς· ὡς ἂν δὲ καὶ ἔργοις ὃ λέγω κατάδηλον ποιήσω, τῆς συνήθους καθέδρας ἐξαναστὰς, ἐφ' ἑτέραν καθεδοῦμαι, ἵν' εἰδείη τε βασιλίς τε καὶ ὑμεῖς, ὡς οὐδὲν ἤδη τὸ κωλῦον ἕτερόν τινα ὃν ἂν βούλησθε αὐτοὶ τοῖς πράγμασιν ἐφιστᾷν· οὕτως εἰπὼν, ἐφ' ἕτερον μετέβη τόπον, ὥσπερ ἔργῳ παραχωρῶν ἑτέρῳ τῆς ἀρχῆς. Ὁ πατριάρχης δὲ τοιαῦτα ὁρῶν τε καὶ ἀκούων, Σκληρός ἐστιν ὁ λόγος, εἶπε, καὶ μάλιστα δυνάμενος τῆς ψυχῆς τῆς βασιλίδος καθικέσθαι. Ὀδ', Ἀληθῆ λέγεις, ἔφη, καὶ ἔδει γε μηδὲν τοιοῦτον μήτε εἰρῆσθαι, μήτε εἶναι, νυνὶ δὲ εἰς τοσοῦτον ἀνάγκης συνηλάθην, ὥστε καίτοι τῶν ἄλλων μάλιστα ἁπάντων ὅσα εἰς παραμυθίαν πολλῶν ἄνεσιν ἀνιαρῶν (ὅσα βασιλίδι ἐκ τῆς βασιλέως προσεγένετο τελευτῆς) λέγεσθαι βουλόμενος ἐπ' αὐτῆς ἐναντιώτατα πράττειν ἐμαυτῷ δυοῖν ἕνεκα. Ἢ γὰρ ἀπρακτεῖν παντελῶς ἀνάγκη, ἢ φαύλως καὶ οὐχ ἧ προσῆκεν, ἄρχειν. Εἴτε τοίνυν πράττοντος μηδὲν, καὶ ὁ βασιλὶς ἐφησυχάζοι ὡς χθὲς καὶ πρώην τὴν ἀρχὴν οἰομένη διοικεῖσθαι παρ' ἐμοῦ,

A ledictis, et reprehensione digna committere. Sive enim nescius quo miseriarum res evadent, mihi quidem ignominiam, cæteris autem Romanis pericula exitiumque creavero, nullam vel me ipso judice veniam; sive etiam animadvertens (quemadmodum jam liquido scio), tamen emollescam timore, ne scilicet dubiis ac formidolosis temporibus imperium videar dimittere, præter vituperationem crudelissimum quoque supplicium commerebor: quod quanquam præsciens, sustinuerim volens ignavus, et neque occasionum, neque rerum bene utendarum peritus videri. Quam ob causam et discriminibus, et infamiæ me decrevi subducere; unde nec ad imperatricem, nec ad imperatoris liberos aliquid emolumenti redundabit; esset enim hoc
B non exiguum solatium. Ne autem labores propter filios imperatoris capessendos vitare existimer, nunc quidem in ista pace, cum nec bellum est ullum, nec malorum exspectatio, patriarcha, et concilium una cum imperatrice imperium regant, ejusque bonis et honoribus perfruantur. Quodsi aliquando arma imperatoris liberis periculum denuntiantia movebuntur, rursum impigre hostium telis me objectabo, et aut imperium illis servabo incolume, aut eorum causa in medio certamine occumbam: ut ego quidem labores habeam et pericula, vos autem omnibus copiis affluentes, deliciis et gaudiis dediti, vitam nullo impediente transigatis. Caput denique et summa orationis meæ est, re nulla me adductum iri, ut quomodo antehac
C imperium administrem: **359** et quo facto simul quod dico comprobem, e sella consueta surgens alibi sedebo, ut Augusta, et vos scire queatis, nihil jam obstare, quominus alium quempiam e vestra sententia tantis rebus præficiatis. Hæc fatus, in alium locum, tanquam ipso opere alteri imperium cedens concessit. At enim patriarcha hæc videns et audiens: Durus est, inquit, hic sermo, et qui animum imperatricis gravissime vulnerare possit. Vera loqueris, ait domesticus; et sane nihil horum neque dici oportebat, neque fieri. Nunc autem eo necessitatis compellor, ut quamvis præ omnibus maxime, quæcunque ad consolationem, mœrorumque levationem pertinent (qui ex obitu
D imperatoris multi ad imperatricem confluxerunt), apud illam dicere velim, faciam tamen, quæ solatio illius plurimum repugnant; idque duabus de causis, vel quia omnino cessandum, vel quia male et contra quam fas sinit, imperandum est. Seu igitur me feriante, etiam imperatrix vacaverit, credens ut nuperrime, a me imperium temperari, omnia pessum ire oportebit; seu somniculose et secus quam convenit gubernante, eadem est exspectanda calamitas; et ego insuper non aliis solum, verum etiam mihimet improbitatis pœnas dabo; ut utrinque referat hæc imperatricem cognoscere, etiamsi inde ægra animi futura sit; siquidem præstat, ut percepto rerum statu tecum et cum aliis pro eo ac debet de imperio consultet,

Digitized by Google Распознавание текста ABK/FR

quam ut eo ignorato, haud multo post non horum duntaxat, sed et imminentium incommodorum causa doleat.

ἀνάγκη πάντα ἀπολέσθαι. Εἴτε καὶ φαύλως καὶ μὴ κατὰ τὸ δέον ἄρχοντος, τὸν αὐτὸν τρόπον πάλιν φθείρεσθαι συμβαίνει, καὶ προσέτι γε αὐτὸν, οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ ἑαυτῷ τῆς μοχθηρίας ὀφείλειν δίκας· ὥστ' ἀμφοτέρωθεν λυσιτελὲς γνώριμα ταῦτα γίνεσθαι τῇ βασιλίδι, κἂν εἰ μέλλοι ταραχὴν καὶ λύπην προξενεῖν. Βέλτιον γὰρ περὶ τῶν γινομένων ὡς ἔχουσι μαθοῦσαν, ἅμα σοί τε καὶ τοῖς ἄλλοις τὰ δέοντα βουλεύσασθαι περὶ τῆς ἀρχῆς, ἢ ἀγνοήσασαν, ὀλίγῳ ὕστερον μὴ τούτων μόνον, ἀλλὰ καὶ τῆς συμβησομένης βλάβης ἕνεκα ἀγανακτεῖν.

CAPUT IV.

Dolor et lacrymæ imperatricis, ob inexspectatum nuntium. Item querela miserabilis de viduitate sua, et puerorum orbitate, neglectoque a domestico amici officio. Eam porro amiciliam exaggerat, et miris modis ad mutandum consilium inflectere virum conatur.

Hæc omnia patriarcha imperatrici renuntiabat. Ea cum audiret, quæ nec unquam ipsa cogitasset, nec alio narrante credidisset, primum quidem præ dolore nihil respondere poterat. Deinde cum diu largas in silentio lacrymas effudisset : Facilius, inquit, persuasisset mihi (93) quispiam montem transferri, quam mentem magni domestici ad momentum temporis immutari posse. Quoniam ergo de illo talia jam est audire, qualia mihi nunquam succurrerunt, quid apte respondeam, penitus hæreo. Verumtamen ex iis, quæ me **360** præcipue momorderunt, respondendi ducam initium. Dico igitur (quasi enim præsentem alloquar), tu modo vel ut mente alienatam, aut sopore profundo, veternoque demersam, ad sensum circumstantium me malorum perduxisti. Prius namque, etsi certo sciebam imperatorem esse mortuum, nihilominus cum tu ad me ventilares, etiam illum, ut consueveratis, ad me putabam ingredi, et absentem licet, te tamen comitari, ac tantum non etiam in tua loquela illius affatus haurire, et omnino mediocribus quibusdam malis cinctam me arbitrabar. At nunc velut peripetasmate sublato, interiora patent omnia : sic tu spe, quæ nos ludificabatur erepta, res nudas aspectui subjecisti, et filios quidem meos jam pupillos, me autem viduam, et miseriis cum viduitate conjunctis implicatam spectatoribus exhibuisti. Quid porro dicemus de te, aut quid cogitabimus? An te oblitum esse conjunctissimæ illius necessitudinis, et admirabilis amicitiæ, quæ imperatori tecum fuit, quam propter magnitudinem credere imperitum vulgus non poterat? atqui hoc te nequire opinor, etiamsi velis. Sic enim statuo, quidquid est in genere humano conjunctionis, et familiaritatis si quis in unum colligeret, deinde ad exemplum aliquod respicere vellet, ex quo et aliis, et sibi vim ejus liceret perspicere, vobis solis præteritis (ut qui etiam terminos hujus transcendistis), inter alios potius id investigandum : usque adeo non amicos tantummodo quoslibet, sed ipsam quoque insidentem in animis amicitiæ ideam, speciemque exsuperastis. Atque hoc non in iis solum quæ agebatis erat observare, sed imperatorem præterea sæpenumero multis verbis testificantem au-

Ὁ μὲν οὖν πατριάρχης πάντα ἀπήγγελλε τῇ βασιλίδι. Ἡ δ' ἅπερ οὔτ' ἂν ποτε αὐτὴ διενοήθη, μήθ' ἑτέρου λέγοντος ἐπείθετο ἀκούσασα, πρῶτα μὲν ὑπὸ τῆς λύπης οὐδὲ ἀντιφθέγγεσθαι ἠδύνατο. Ἔπειτα ἐφ' ἱκανὸν πολλὰ δάκρυα σιγῇ τῶν ὀφθαλμῶν καταγαγοῦσα, Ῥᾷον ἄν, εἶπεν, ἀνέπεισέ τις ὄρος δύνασθαι μεταβῆναι ἢ τὴν μεγάλου δομεστίκου γνώμην κινηθῆναι πρὸς βραχύ. Ἐπεὶ δὲ περὶ ἐκείνου τοιαῦτ' ἀκούειν ἔστι νῦν, ἅπερ οὐδ' ἂν ποτε ἐνεθυμήθην, προσηκούσης μὲν ἀπολογίας ἀπορῶ. Ὅμως ἐκ τῶν μάλιστά μου καθικομένων τῆς ψυχῆς, ποιήσομαι τῆς ἀπολογίας ἀρχήν. Λέγω τοίνυν πρὸς αὐτὸν, ὡς ἄρτι νῦν, ὥσπερ ἐξεστηκυῖαν τῶν φρενῶν, ἢ κάρῳ βαθεῖ καὶ ὕπνῳ κατεσχημένην εἰς αἴσθησιν ἤγαγες τῶν περισχόντων με κακῶν. Πρότερον γὰρ, εἰ καὶ μάλιστα σαφῶς τὴν βασιλέως ἠπιστάμην τελευτὴν, ἀλλ' οὖν εἰσιόντος τε σοῦ πρὸς ἐμὲ, κἀκεῖνον ἐδόκουν, ὥσπερ ἔθος ἦν συνεισιέναι, καὶ ἀπιόντα συνέπεσθαι. Καὶ μονονοὺ καὶ φθέγξεσθαι ἐλογιζόμην ἐκεῖνον ὅτε διελέγου πρὸς ἐμέ. Καὶ ὅλως μετρίαν τινὰ ἐλογιζόμην τὴν περισχοῦσάν με τῶν κακῶν ἐπιφοράν· νυνὶ δὲ ὥσπερ τινὸς παραπετάσματος ἀρθέντος πάντα φαίνεται τὰ ἔνδον, οὕτω σὺ τῶν ἐλπίδων ἡμᾶς ὑφ' ὧν ἐφενακιζόμεθα ἀποστερήσας γυμνὰ παρεσκεύασας τὰ πράγματα καθορᾶν. Καὶ τοὺς μὲν ἐμοὺς οἴεσθαι παῖδας, ὀρφανοὺς πατρὸς, ἑαυτὴν δὲ χηρείᾳ καὶ τοῖς ἐκ ταύτης κακοῖς συνεσχημένην· ἀλλά τί ἄν τις φαίη, ἢ καὶ λογίσαιτο περὶ σοῦ; πότερον ὡς ἐπιλέλησαι τῆς ἀκροτάτης συναφείας καὶ τῆς θαυμαστῆς ἐκείνης φιλίας βασιλέως τῆς πρὸς σὲ, ἢ διὰ τὸ μέγεθος οὐδὲ πιστεύειν ἔχον οἱ πολλοί; ἀλλ' οὐκ οἶομαι δυνήσεσθαι εἴ γε καὶ μάλιστα ἐβούλου. Οἶμαι γὰρ εἴ τις τὴν ἐν ἀνθρώποις ἅπασαν φιλίαν συλλαβὼν, ἔπειτα πρὸς παράδειγμά τι θελήσειε σκοπεῖν, ἐξ οὗ τοῖς ἄλλοις τε κἀκείνῳ τὴν αὐτῆς ἰσχὺν ἐξίσταται κατιδεῖν, ὑμᾶς ἂν μόνους παραδραμὼν (ὡς καὶ τοὺς ὅρους ταύτης ὑπερβάντας) ἐκ τῶν ἐπιλοίπων ἐξευρίσκειν, ὅ τι ἂν εἴη πειρᾶσθαι πρῶτον. Τοσοῦτον οὐ τοὺς φίλους μόνον, ἀλλὰ καὶ ἰδέαν αὐτὴν φιλίας ἔσεσθε κατόπιν. Καὶ τοῦτο οὐκ ἐκ τῶν πραττομένων μόνον ὁρᾶν καὶ βασιλέως ἦν ἀκούειν πολλὰ πολλάκις φθεγγομένου, ὡς καὶ φιλτάτων καὶ γυναικὸς καὶ συμπάντων ὡς εἰπεῖν χρη-

Jacobi Pontani notæ.

(93) Oratio hæc imperatricis ad magnum domesticum, qua eum permovere conatur, ne se vidua, et duobus filiis parvulis orphanis, atque ad imperandum minime adhuc idoneis, imperii procurationem deponat, plane insignis, et vel ipso Cicerone, aut Demosthene digna est.

Digitized by Google Распознавание текста ABK/FR

μάτων τὴν εἰς σὲ φιλίαν προηγοῖτο. Πότερον οὖν ὡς μὲν ἐπιλέλησαι τῆς βασιλέως φιλίας, οὐδὲ τῷ λίαν συκοφαντικῷ τοὺς τρόπους εἰπεῖν ἐξέσται, ὅτι δὲ μεμνημένος ἀγνωμονεῖς, καὶ τοῖς βασιλέως παισὶν ἐναντίας ἢ προσῆκεν ἀποδίδως ἀμοιβὰς μετὰ τὴν ἐκείνου τελευτήν; ἀλλ' οὔτε τοῦτο σόν, ὥσπερ οὐδὲ τὸ πρῶτον. Οὐ μήν· ἀλλ' οὐδὲ τῶν πρὸς ἐμέ σου λόγων οἷς ἑκάστοτε καὶ βασιλέως ζῶντος διεξίεις, ἄξια τὰ δεδογμένα νῦν. Οὐ γὰρ δή πού γε ἐπιλέλησαι ὡς πολλοὺς ἀγῶνας καὶ κινδύνους καὶ θάνατον εἰ οἷόν τε εἰπεῖν ὑπὲρ τῆς ἐμῆς ὠφελείας καὶ τῶν παίδων ἑτοιμότατος εἶναι καιροῦ καλοῦντος ὑπομένειν ἰσχυρίζου. Οὗ νῦν παρόντος εἴ σοι ἐξελέγχεσθαι ἐπὶ τῶν ἔργων εὐπρεπὲς, αὐτὸς ἐρεῖς. Ἔτι δὲ οὐδ' ἐμαυτῇ τι σύνοιδα σοὶ προσκεχρουκυῖα· ἀλλ' ἐξ ὅτου παρεγενόμην ἐν τοῖς βασιλείοις οἴκοις, οὐδὲν ἀποδέουσαν οὔτ' εὔνοιαν, οὔτε τιμὴν ἢ τἀδελφῷ κἀντῷ παρεισχόμην, μᾶλλον δὲ καὶ πλεῖω παραπολύ. Ὅσον ἐκείνου μὲν οὔτε τεθνεῶτος ἐμοί τις βλάβη, οὔτ' ὠφέλεια ζῶντος ἔψεται τοσοῦτο διῳκισμένου· σὺ δὲ καὶ ζῶν τὰ μέγιστα ἂν ὀνήσαις, καὶ ἀποθανὼν οὐδὲν ἧττον ἡμῖν τε καὶ τοῖς Ῥωμαίων πράγμασι λυμανῇ. Ἐγὼ δὲ καίτοι πολλὰ συνείρειν ἔχουσα, καὶ ἀποδεικνύναι δι' αὐτῶν ὡς οὔτε συμφέροντα, οὔτε δίκαια ἐβουλεύσω, ἐκεῖνο μόνον ἐρῶ τὰ ἄλλα καταλιποῦσα. Εἰ γὰρ περιόντα τινὰ ὀδὸν τῶν ἐπιφανῶν τινι συνέβη γυναικὶ συντυχεῖν χηρείᾳ μὲν συνούσῃ, καὶ τοῖς ἐκ ταύτης κακοῖς, καὶ παισὶν ὀρφανοῖς, καὶ μηδένα τὸν προστησόμενον ἔχουσι προστετηκυίᾳ, καὶ διὰ ταύτας πολλοὺς ὑφορωμένῃ τοὺς κινδύνους, καὶ δεομένῃ τῆς δυστυχίας οἰκτεῖραι, καὶ αὐτῆς προστῆναι τῶν παίδων οὐδὲν ἕτερον εἰς δικαίου λόγον προβαλλομένῃ, ἢ τὴν εὐγένειαν καὶ τὴν παρὰ ἀξίαν κακοπραγίαν, οὐκ ἔδει καί σε καὶ πάντα ὀντινοῦν οἷος σὺ, τῶν ἄλλων ἀμελήσαντα, πρόνοιαν ποιήσασθαι τῆς γυναικὸς ὅση δυνατὴ καὶ ἀξιόχρεως τοὺς ὑπὲρ ἐκείνης νομίσαι πόνους εἰς εὐκλείας λόγον καὶ δικαιοσύνης; εἰ τοίνυν τοῦτο μόνον ἦρκεσεν ἂν εἰς πειθὼ, τίνα ἂν εὐπρόσωπον ἀπολογίαν ἀποδοίης, εἰ αὐτοῦ τε τούτου καὶ πολλῶν ἑτέρων ἰσχυροτέρων παρόντων, ἀπαραίτητος ὀφθῇς; Διὸ σοῦ δέομαι, ταύτης ἀποστῆναι τῆς βουλῆς, καὶ μὴ προφάσεως ἕνεκα μικρᾶς, ἐμέ τε καὶ νηπίους παῖδας τοὺς ἐμοὺς ὥσπερ ἐν μέσῳ πελάγει ναῦν ἐρήμην κυβερνήτου καταλιπεῖν· Ἀλλ' εἶτ' αὐτὸς πρῶτος ἐνεθυμήθης, ἄκαιρον ἡγήσασθαι καὶ μυρίων γέμουσαν τὴν βουλὴν κακῶν, εἶθ' ἑτέρῳ συμβουλεύοντι ἐπείσθης, μὴ τῶν φίλων ἐκεῖνον, ἀλλ' ἔχθιστον ἡγεῖσθαι. Καὶ σοὶ μὲν πρὸς τὴν εὔκλειαν καὶ τὴν τιμὴν, ἡμῖν δὲ πρὸς αὐτὴν ἐπιβουλεύοντα τὴν σωτηρίαν, προσθήσω ὅ' ὅτι καὶ πᾶσι τοῖς Ῥωμαίων πράγμασι κοινῇ. Ἐγὼ δὲ εἰ καὶ μὴ ἀφ' ἑαυτῆς αὐτὴ τὸ δέον συνεώρων, οὐδεμία τις ἑτέρα κοινῇ τοῖς πράγμασι βεβαιοτέρα σωτηρία, ἢ σὲ τοῖς πράγμασιν, ὥσπερ καὶ ζῶντος βασιλέως ἐφεστάναι. Ἐξ αὐτῶν γοῦν τῶν βασιλέως λόγων οὓς περὶ σοῦ πολλάκις ἐποιεῖτο πρὸς ἐμὲ, μάλιστα δὲ πρὸ τῆς τελευτῆς μικρὸν, ἐχρῆν συνεῖναι τὸ συνοῖσον. Ἀνακείμενος γὰρ ἐπὶ

A divimus, te sibi et liberis, et uxore, et ut breviter dicam, rebus omnibus chariorem esse. Num igitur, ne insignis quidem calumniator te hujus amicitiæ oblitum, memorem autem, nihilominus improbe agere, liberisque imperatoris post ejus obitum alias quam debuisti gratias referre dicere poterit? Atqui non magis hoc tuum est, quam prius. At vero nec tuis sermonibus, quos semper, etiam vivo imperatore, mecum habebas, consentientia sunt, quæ statuisti. Non enim e memoria excidit tibi profecto, ut multa te certamina, variosque casus, et mortem quoque ipsam, si dici fas est, pro meis, filiorumque meorum rationibus turbulentis temporibus promptissime subiturum asseveraveris. Qua quidem necessitate nunc præsente, an re ipsa et refelli ac

B redargui pulchrum adeo tibi sit, tu videris. Præterea non mihi sum conscia, offendisse aliquando voluntatem tuam, sed ex quo **361** in domum imperatoriam nupsi, æque ut fratrem meum germanum Sabaudiæ comitem te colui, ac dilexi; imo vero multo amplius, quod ex illo mortuo neque detrimenti quidquam, nec superstite quidquam commodi, tantis a me terrarum spatiis disjuncto adipiscar. Tu autem quantum prodesse potes vivus (potes autem longe plurimum) tantum, mihique, et reipublicæ Romanæ nocere potes mortuus. Quanquam porro multa queam adhuc adjungere, et inde ostendere te neque frugiferum, neque justum cepisse consilium, omissis aliis, illud tantum dicam. Si cui viatori contingeret, in mulierem aliquam

C nobilem incidere, viduitatis calamitate conflictantem, cum liberis orphanis, tutore prorsus destitutis, et idcirco multa metuentem aspera, orantemque ut ærumnarum suarum misertus, sui liberorumque patrocinium susciperet, et argumenti ad impetrationem nihil afferentem, nisi nobilitatem suam, et conditionem infelicem, ac se indignam: nonne oporteret, et te, et quemcunque tui similem cæteris sepositis curare talem feminam, quantum in te esset, laboresque pro illa non recusatos ad celebritatis justitiæque rationem reputare idoneos? si ergo hoc duntaxat ad persuadendum sufficeret, quem, amabo, defensionis colorem habebis, si hoc ipso, multisque præterea firmioribus argu-

D mentis suppeditantibus inflecti haud potuisse videbere? Quapropter te obsecro, muta istam mentem, et noli tam levi occasione me cum tenellis adhuc liberis tanquam in medio pelago navim magistro carentem deserere: sed sive per te in hac sententiam es ingressus, alienam, et mille malorum plenam existimes, sive alterius suasu huc es delapsus, ne illum amicum, sed inimicissimum, et tuæ quidem gloriæ honorisque, nostræ autem salutis, imo totius imperii Romani communiter insidiatorem arbitrere. Et tametsi per me non viderem, quid necesse sit, nimirum, non aliunde certius ac stabilius fore salvam Romanam rempublicam quam si tu ejus gubernacula teneas, perinde ut vivo imperatore tenuisti: at saltem ex ipsis ejus sermo-

Digitized by Google Распознавание текста ABK/FR

nibus, quos de te non raro mecum, præcipueque paulo ante mortem habuit, quid expediret, me intelligere oportebat. Recubans enim te præsente in gremio meo, Tempus quidem mei ex hac luce discessus adest, inquit : tibi cavendum est, ne falsis ratiocinationibus, aut oratione quorumdam decepta, repulso hoc viro cuiquam alteri auscultes. Nam ita si fiat, et tu, **362** et liberi tui, et Romanum imperium universum necessario peribitis. Sin illi morem gesseris, tibi, et reipublicæ etiam atque etiam profueris. Si igitur hæc ab imperatore didici, et per me similiter judico, quomodo non ineptum sit, quæ tu male, et secus quam decebat, cogitasti, iis me quoque libenter assentiri? Quare si ex his quæ dixi, tu quoque summa rei indignitate perspecta hæc velle, et loqui desieris, et ut consueveras, in gubernando processeris, ipse quidem divina te adjuvante manu, quæ in commune Romanis commodabunt, efficies : mihi vero a calamitatibus meis deflendis, ac plangendis requiem præstabis (quæ sola erit consolatio mea, et malorum meorum induciæ), et quæ justa, utilia, tibique decora sunt perpetrabis. Sin contemptis, et abjectis omnibus in hoc uno te obfirmaveris, quod tibi proposuisti, quid ipsa contra factura sim, enuntiabo. Omni verecundia, et imbecillitate muliebri deposita, ac veluti præ malorum magnitudine mentis inops, in media urbe loco aliquo editiore conscenso, unde verba mea ad omnium aures allabantur, intentissima plenissimaque voce exclamabo : Viri Romani, vosque Græci, vosque Barbari, audite; perierunt, occiderunt omnia, nec ulla manet amicis apud homines gratia (94), nec cuiquam veritas, et justitia curæ sunt; et animi constantia, summatim, bona omnia ab hominibus demigrarunt; siquidem magnus domesticus ceu vento reflante sibimet ex diametro contrarius evasit, et amicitiæ, quæ illi cum imperatore intercedebat, oblitus, neglectaque, quod minime decebat, veritate atque justitia, et honestatis amore postbabito, ipse quidem, quod superest annorum, per inertiam traducere constituit : me autem, liberosque meos nunc aliena, et multa sollicitudine indigentes, ita reliquit, ac si onus inutile rejiceret : quasi nesciret, ecquid unquam nos de facie nosset, aut res nostras auribus accepisset. Si animum tuum a colenda amicitia alienum, et inconstantiam, mobilitatemque tuam omnibus palam prodidero, et ita res tulerit, etiam læta moriar, quandoquidem me pœna de te sumenda explevero. His de causis rursum te oro, ne turbas moveas, sed verbis istiusmodi temperans, quemadmodum ab initio solebas, officio servias, et rempublicam administres.

A γόνασι τοις ἐμοῖς σοῦ παρόντος, Ὁ μὲν καιρὸς, ἔφη, τῆς ἐμῆς ἥκει τελευτῆς· σὲ δὲ χρὴ σκοπεῖν ὅπως ἐμοῦ μὴ ἀπελθόντος, λογισμοῖς τισιν ἢ καὶ λόγοις ἐνίων ἀπατηθεῖσα, ἑτέρῳ τινὶ πρόσχῃς τὸν ἄνδρα τουτονὶ διωσαμένη. Εἰ γὰρ τοῦτο συμβαίη, οὐδὲν ἔτι τὸ λεῖπόν σέ τε καὶ τέκνα καὶ τὴν ἄλλην ἅπασαν τῶν Ῥωμαίων ἡγεμονίαν ἀπολέσθαι· αὐτῷ δὲ προσέχουσα, ἄριστα σαυτῇ τε καὶ τοῖς πράγμασι βουλεύσῃ. Εἰ δὴ τοιαῦτα πρός τε βασιλέως ἐδιδάχθην, καὶ παρ' ἐμαυτῆς αὐτὴ τὰ ὅμοια γινώσκω, τίν' ἔχοι λόγον οἷς αὐτὸς κακῶς καὶ ὡς οὐ δέον ἐβουλεύσω, πείθεσθαι καὶ αὐτὴν ἐκοῦσαν εἶναι. Εἰ μὲν οὖν οἷς εἶπον τὴν ἀτοπίαν καὶ αὐτὸς τοῦ πράγματος ὅση κατιδὼν, ἀπόσχῃ τοῦ τε τοιαῦτα καὶ βουλεύεσθαι καὶ λέγειν, καὶ τῶν πραγμάτων, ὥσπερ
B εἴωθας ἐχόμενος, αὐτὸς μὲν τὰ κοινῇ συνοίσοντα Ῥωμαίοις καὶ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης πράττεις, ἐμοὶ δὲ παρέχεις ἡσυχίαν τὰς ἐμὰς θρηνεῖν καὶ κόπτεσθαι συμφοράς· τοῦτο γὰρ ἐμοὶ παραμυθία μόνον καὶ τῶν κακῶν ἀνακωχὴ, δίκαιά τε ὁμοῦ καὶ συμφέροντα καὶ σαυτῷ προσήκοντα ποιήσεις. Ἂν δὲ πάντα διωσάμενος καὶ ἀποῤῥίψας, ἑνὸς μόνου γένῃ τοῦ τοῖς δεδογμένοις ἐγκαρτερεῖν πᾶσι χαίρειν εἰπὼν, ὃ καὶ αὐτὴ ποιήσω, σοὶ θήσω φανερόν· πᾶσαν γὰρ αἰδῶ καὶ γυναικείαν ἀσθένειαν ἀποθεμένη, καὶ τῶν τοῦ σωφρονεῖν ὥσπερ λογισμῶν ὑπὸ μεγέθους ἐκτραπεῖσα τῶν κακῶν, κατὰ μέσην τὴν πόλιν γενομένη, καὶ ἀναθεῖσα ἑαυτὴν ἐπί τινος μετεώρου, ἵν' ἐξῇ διὰ πάντων ἐξικνεῖσθαι
C τὴν φωνὴν, ὀρθιον βοήσομαι καὶ μεγαλοφωνότατον· Ἄνδρες Ῥωμαῖοι, μᾶλλον δὲ καὶ Ἕλληνες καὶ βάρβαροι πάντες, εὖ ἴστε ὡς πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ οὔτε φιλίας χάρις οὐδεμία κεῖται παρ' ἀνθρώποις, οὔτ' ἀληθεία, μέλει καὶ δικαιοσύνης οὐδενί· λογισμῶν τε στερρότης οἴχεται ἐκ τῶν ἀνθρώπων· καὶ συλλήδδην, πάντα ἀγαθά· εἰ δὴ ὁ μέγας δομέστικος ὥσπερ ἔκ τινος ἀντιπνοίας ἐναντιώτατος ἑαυτῷ φανεὶς, καὶ τῆς μὲν φιλίας ἐπιλελησμένος βασιλέως, ἀμελήσας δὲ καὶ τῆς αὐτῷ προσηκούσης ἀληθείας καὶ δικαιοσύνης καὶ φιλοτιμίας τῶν καλῶν, αὐτὸς μὲν ἐσκέψατο ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον βίον ζῆν· ἐμὲ δὲ καὶ παῖδας τοὺς ἐμοὺς πολλῆς νυνὶ τῆς κηδεμονίας δεομένους
D ὥσπερ τι βάρος ἀνότητον ἀπετρίψατο καὶ κατέλιπεν, ὥσπερ ἀγνοήσας εἰ δήποτε καὶ μορφὴν ἡμῶν ἔγνω, ἢ ἀκοῇ παρειλήφει τὰ καθ' ἡμᾶς. Οὕτω δὲ τὸ ἄφιλον τῆς σῆς γνώμης καὶ ἄστατον καὶ ἀβέβαιον στηλιτεύσασα, εἴ γε συμβαίη καὶ τεθνήξομαι ἡδέως, παρὰ σοῦ δίκας ἀρκούσας ἐμοὶ λαβοῦσα. Ἐπὶ τούτοις δὲ πᾶσιν αὖθις σοῦ δέομαι μηδὲν παρενοχλεῖν, ἀλλὰ τῶν τε λόγων ἀποσχέσθαι τουτωνὶ, καὶ τὰ δέοντα ποιεῖν ὥσπερ ἐξ ἀρχῆς ἐχόμενον τῶν πραγμάτων.

Jacobi Pontani notæ.

(94) Catullus :

Omnia sunt ingrata, nihil fecisse benigne est.

Virgil. IV, Æneid. : *Nusquam tuta fides.* Est autem argumentatio a minoribus. Si magnus domesticus hoc facit, multo magis cæteri et faciunt, et facient. Minus enim verisimile erat, domesticum hoc facturum.

Digitized by Google Распознавание текста ABK/FR

363 CAPUT V.

Responsum magni domestici præsente patriarcha, ad imperatricem. Mos bonorum virorum in pacificatione. Exponit quid ejus nomine patriarcha sibi dixerit, ut num vera sint intelligat. Deinde suspicionem affectati imperii a se removet; etiam divini judicii metu adducto, et a calumniatoribus cavendum monet. Conditionem proponit, qua servata, ad imperium demum regendum se revocari patietur.

Τοιαῦτα μὲν ἀπεκρίνατο ἡ βασιλὶς ἐξ ἄγαν ἀλγούσης καὶ ὀδυνωμένης ψυχῆς. Ὁ μέγας δὲ δομέστικος ὥσπερ ἐλεγχόμενος αὐτὸς ὑφ' ἑαυτοῦ, ὡς δίκαιά τε ὁμοῦ καὶ προσήκοντα ἐφθέγξατο, καὶ μηδὲν ἀντιλέγειν ἔχων πρὸς οὕτως ἀπόδειξιν ἐναργῆ τῆς ἀληθείας, πρὸς πατριάρχην μὲν ἐφθέγξατο οὐδέν. Παραλαβὼν δὲ αὐτὸν, εἴσεισιν εἰς βασιλίδα· ἡ μὲν οὖν εὐθὺς ὡς εἶδε, λύπῃ κάτοχος γεγενημένη, δάκρυσι περιερρεῖτο, καὶ ἐθρήνησεν ἐφ' ἱκανὸν, τῆς ἔνδον ἀλγηδόνος ἐναργῆ τεκμήρια τὰ δάκρυα παρεχομένη. Ἐπεὶ δὲ ἐπαύσατο, λόγου πρὸς αὐτὴν ὁ μέγας δομέστικος ἦρχετο τοιοῦδε. Ἔθος ἐστὶ τοῖς ἀγαθοῖς ἀνδράσιν, ἐπειδὰν αὐτοῖς τινες χρήσωνται διαλλακταῖς, ἢ πρὸς φίλους καὶ οἰκείους, ἐάν τε πρὸς αὐτοὺς διενεχθῶσιν, ἢ καὶ πρὸς ἄγαν πολεμίους, τὰ μὲν σκληρὰ τῶν ἀποκρίσεων, καὶ ὅσα μάλιστα δυνατὰ τήν τε εἰρήνην διαλύειν, καὶ διερεθίζειν τὸν ἀκούοντα πρὸς ὀργὴν, ταῦτα μὲν συγκαλύπτειν καὶ περιέναι σιγῇ. Ὅσα δὲ προσηνῆ καὶ ἥμερα καὶ ἱκανὰ πρὸς διαλύσεις, τὰ τοιαῦτα ἀπαγγέλλειν, οὐκ ἐλάττω ἢ ὅσα ἤκουσε προστιθέντα καὶ παρ' ἑαυτοῦ. Ὥσπερ αὖ πάλιν οἱ τοὺς τρόπους μοχθηροὶ, καὶ συγκρούειν τοὺς ἀνθρώπους πρὸς ἀλλήλους ἠρημένοι, τὰ πρὸς ὀργὴν μὲν ἀπαγγέλλουσι μετὰ προσθήκης· ὅσα δὲ πρὸς διαλλαγὰς ἐπιτήδεια καὶ συμβάσεις, σιωπῶσι. Νυνὶ δὲ δὴ καὶ αὐτὸς τῷ πατριάρχῃ μηνυτῇ χρησάμενος τῶν λόγων τῶν ἐμῶν, καὶ πάλιν δι' αὐτοῦ τὴν γεγενημένην ἀπολογίαν παρὰ σοῦ μεμαθηκὼς, ἔδεισα μὴ τὴν ἐμὴν ψυχὴν, οἰδαίνουσαν καὶ φλεγομένην ὑπὸ λύπης ἀναψύχειν βουλόμενος καὶ καταστέλλειν, τοιαῦτα ἐφθέγξατο ἥμερα καὶ προσηνῆ· πρὸς σὲ δὲ οὔτε τοὺς ἐμοὺς ἀκεραίους διεσώσατο λόγους, μήτ' αὖ πάλιν οἷας ἔτυχεν ἀπολογίας ἀπήγγειλε καὶ πρὸς ἐμέ· ἀλλ' ἀνθ' ἑτέρων ἕτερα εἰπὼν, νῦν μὲν διαλλάξει πρὸς καιρὸν, ὕστερον δὲ ὀλίγῳ μείζω καὶ βαρυτέραν κατασκευάσει γενέσθαι τὴν διαφοράν. Οὗ δὴ ἕνεκα καὶ αὐτὸς εἰ τοιαῦτα ὄντως εἴρηται παρὰ σοῦ, δεῖν ἔγνων ἀκριβῶς μαθεῖν, ὡς ἂν εἰδείην ᾗ χρὴ καὶ περὶ τῶν ἐπιλοίπων ποιήσασθαι τοὺς λόγους. Καὶ πάντα διεξελθὼν ὅσα πατριάρχης πρὸς αὐτὸν διαλεχθείη, ἐπυνθάνετο αὐτῆς, εἰ καὶ αὐτῇ τοῦτον εἴρηται τὸν τρόπον. Ἐφ' ἅπασι δὲ συντιθεμένης ὡς ὀρθῶς καὶ ἀληθῶς γεγενημένοις, οὐκοῦν εἶπεν· εἰ καὶ πρὸς τὰ ἐπίλοιπα τραχέως δόξω προσφέρεσθαι καὶ ἀπερισκέπτως, μηδεμίαν ἐμοῦ κατιγνώσκειν, μήτ' ἀπειροκαλίαν, μήτ' αὐθάδειαν καὶ θρασύτητα τῶν τρόπων ἀξιῶ· ἀλλ' εἴ τις προσείη καὶ τοῖς λόγοις ἀταξία, ἐκείνην μὲν προσλογίζεσθαι τῶν πραγμάτων τῇ ἀνάγκῃ, ἐμοὶ δὲ παρέχεσθαι συγγνώμην ὡς ὑπ' αὐτῶν βιαζομένῳ. Ἐγὼ νομίζω πάντα ὄντινοῦν ὅστις μέλλει καλῶς, καὶ ἦθος κατασκέπτεσθαι ἀνδρὸς, καὶ τὰς τῆς ψυχῆς ὁρμὰς ὁποίας ἔχει, μήτε τοῖς ἔξωθεν περὶ αὐτοῦ προσ-

A Hoc responsum e nimium dolente, et afflicto pectore profectum remisit imperatrix. Magnus autem domesticus tanquam a semetipso convictus, eam justa, rationique consentanea locutam, et nihil potis adeo manifestæ veritatis demonstrationi opponere, patriarchæ quidem nihil respondet, sed cum eo ad imperatricem ingreditur. Quæ primo ejus aspectu dolore oppressa, diu largo humectavit ora flumine, et lacrymis intestinum cruciatum testata est. Postquam quievit, magnus domesticus sic eam compellavit: Usitatum est viris bonis, cum pro pacificatoribus aut ad amicos et cognatis, si quid inter eos dissidii natum fuerit, aut etiam ad hostes capitales missi fuerint, quæ in responsione duriora sunt, et quæcunque tum pacem distinere, tum B audientem irritare ad iram possunt, ea silentio tegere, ac præterire: quæ autem lenia, mansueta, et ad compositionem idonea, ea renuntiare, ac non pauciora his quæ acceperunt de suo apponere. Quomodo contra improbi, et qui homines inter se committere constituerunt, quæ ad excitandam iracundiam valent, cum auctario nuntiant: quæ autem ad reconciliationem, et pacta ineunda quadrarent, illa reticent. Nunc quia et ipse patriarcha verborum meorum ad te internuntio usus sum, rursusque per eum responsionem tuam accepi, timui, ne animum quidem meum ira, doloreque tumentem, et ardentem refrigerare, ac reprimere volens, tam placida et mitia protulerit: ad te an- C tem neque mea verba importuniora servaverit, neque rursum, quæ respondisti, retulerit, sed alia pro aliis locutus, nunc ad tempus nos conciliet, pauloque post dissidium inter nos majus et gravius efficiat. Quapropter num hæc vere abs te dicta sint, accurate cognoscendum duxi. Mox omnia repetens, quæ ex patriarcha audierat, num eadem ipsa dixerit sciscitatur. Qua ut recte, et vere relatis assentiente, **364** igitur (subjecit magnus domesticus) tametsi de reliquo ferocius me, et inconsideratius videbor gerere, nullius me aut ineptiæ, aut arrogantiæ, audaciæve condemnandum: sed si qua fuerit in oratione mea confusio, ac perturbatio, illam rerum necessitati ascribendam, mihi ut ab ipsis coacto ignoscendum autumo. Ego D arbitror unumquemque qui mores et affectiones alterius probe perpensurus et dispecturus sit, neque iis quæ foris de eo dicuntur, debere attendere: neque illum per seipsum considerare, quibus temporibus consulta implendi potestatem non habebat, sed quibus maxime sua ei libertate, ac potestate uti licitum est. Si enim is tum nihil horum committere videbitur, qualia quispiam commissurum putaret, hic in posterum haud quaquam ingenium immutaverit. Proinde et ego de me dicam

Digitized by Google Распознавание текста ABK/FR

libere, nec ante cupivisse præsentem habitum mutare cum imperatorio, quamvis toties a superstite adhuc beatæ memoriæ imperatore (95) invitarer, neque jam cupere. Si enim hujusmodi nefanda cupiditate irretitus fuissem, quid tandem erat impedimenti, quando mortuo imperatore ipse acceptis in tutelam ejus filiis palatium custodia muniebam, et qui erant intus tuto tenebantur, qui autem foris, eorum alii bene mihi volebant, alii potentiam meam formidabant, nec hiscere contra audebant, quominus latentem intus ambitionem foras exererem : vel potius in tanta intercedentium solitudine cupiditatem meam satiarem? Quod tantum abest, ut fecerim, aut meditatus sim, ut plane contrarium fecerim. Nam te, et filiis imperatoris neque ad diem ab ejus interitu nonum tutissime in palatio servatis, postea præsidium a me ibi collocatum deduxi : et alio imposito, quantum ad insidiatorum, si qui exsisterent impetus cohibendos suffecturum censui, domum recessi; moderamen imperii, quod vivo imperatore habueram resumpsi, omnes hortans, omnibus suadens, minarum etiam terrore interposito, ne quid molirentur novi : sed puram et candidam tibi æque, ac filiis tuis benevolentiam obedientiamque præstarent, nec dissimulans, me novarum rerum auctoribus pœnas irrogaturum, bellumque pro vobis suscepturum. Quid ergo? tunc quidem noluisse me dicet quispiam, cum possem; nunc autem velle cum tantæ potentiæ facultas non sit? Atqui non minus hodie, quam tunc me posse, vos juxta mecum confitebimini. **365** Itaque neque prius, neque nunc, quia malefacere nequirem, ideirco abstinui : sed ideo potissimum, quia nolui, talemque morum mutationem pessimam omnino reputavi. Quamobrem si nec alias, non modo, quamvis facillime possem, quidquam ejusmodi, quale quis suspicetur, me animo agitasse certum est, etiam in futurum mihi fidere, nec sycophantis, et mendaciloquis, qui multi contra me exorientur, assentiri convenit. Haud enim in parvis, et despicabilibus eorum versabitur obtrectatio, sed de vita amittenda, aut certe non honeste, decenterque, sed turpiter et illiberaliter sub alterius jugo exigunda timorem vobis ingenerabunt : quod ipsum iis qui imperare consueverunt, nullo genere mortis, si dolorem spectemus, tolerabilius est. Tales autem complures exorituros, non conjectura providere, sed manifestissime scire vobis datur. Imperator namque ipse rerum dominus, et nullam in acta sua ab ullo inquisitionem veritus, alia quidem sponte, si volebat, condonare aliis poterat; alia fortassis etiam negligebat. At nunc nihil tale ulli concederetur, verum omnia cum

A ἐχειν λεγομένοις, μήτ' αὐτὸν ἀφ' ἑαυτοῦ σκοπεῖν ἐν οἷς καιροῖς οὐκ ἐπ' ἐκείνῳ ἦν τὸ τὰ βεβουλευμένα δύνασθαι εἰς ἔργα ἀγαγεῖν· ἀλλ' ἡνίκα ἔξεστι μάλιστα χρῆσθαι τῇ δυνάμει. Εἰ γὰρ τότε μηδέν τι φαίνεται τοιοῦτον δρῶν, οἷον αὐτὸν ἄν τις οἰηθείη, σχολῇ γ' ἂν εἰσέπειτα μεταβαλεῖν ὁ τοιοῦτος ἔλοιτ' ἄν. Τοίνυν καὶ αὐτὸς ἐρῶ μετὰ παῤῥησίας περὶ ἐμαυτοῦ, ὡς οὔτε πρότερον ἐπεθύμησα εἰς βασιλέως σχῆμα μεταμεῖψαι τὸ παρὸν, καίτοι πολλὰ πολλάκις ὑπὸ περιόντος ἔτι τοῦ μακαρίτου βασιλέως ἐκείνου παρακληθείς, οὔτε νῦν ἐρῶ. Εἰ γὰρ τοιούτοις ἔρωσιν ἀτόποις συνέδαινεν ἁλῶναι, τί τὸ κωλύον ἦν, ὅτε βασιλέως τετελευτηκότος, αὐτὸς παραλαβὼν τοὺς παῖδας τοὺς ἐκείνου, τὰ βασίλεια κατέσχον ἐν φρουρᾷ, τῶν τε ἔνδον ἀσφαλῶς κατεχομένων, καὶ τῶν ἔξω πάντων, τῶν μὲν εὐνοϊκῶς ἐμοὶ διακειμένων, τῶν δὲ ὑποπτησσόντων τὴν δύναμιν τὴν ἐμὴν, καὶ οὐδὲ τολμώντων ἀντιγρύζειν, τὴν οἰκουροῦσαν ἄγειν εἰς φῶς κακίαν, ἢ τὴν ἐπιθυμίαν μᾶλλον κατὰ πολλὴν τοῦ κωλύσαντος ἐρημίαν ἐκπληροῦν; νυνὶ δὲ οὐ μόνον οὐδὲν τοιοῦτον δεδρακὼς ἢ βεβουλευμένος φαίνομαι, ἀλλὰ καὶ τοὐναντίον πᾶν. Ἐν ἀσφαλείᾳ γὰρ πάσῃ καὶ τοὺς βασιλέως παῖδας καὶ σὲ ἄχρις ἐνάτης ἡμέρας ἐκ τῆς βασιλέως τελευτῆς διατηρήσας, μετ' ἐκείνην, τήν τε φρουρὰν ἀπήγαγον τῶν βασιλείων, ἣν αὐτὸς ἐγκαθιδρύσας ἦν καὶ ἄλλην καταστήσας ὅσην πρὸς τὸ τῶν ἐπιβουλευσάντων ἴσως ἐπέχειν τὰς ὁρμὰς ἔκρινα αὐτὸς ἀρκεῖν, εἴκαδε ἀνεχώρουν, τῶν πραγμάτων ἐχόμενος; ὥσπερ καὶ ζῶντος βασιλέως. Πᾶσι παραινῶν, συμβουλεύων, δεδιττόμενος ταῖς ἀπειλαῖς, μηδὲν νεωτερίζειν· ἀλλὰ καθαρὰν καὶ ἄδολον τηρεῖν καὶ τὴν εὔνοιαν καὶ τὴν δουλείαν σοί τε ὁμοίως καὶ παισὶ τοῖς σοῖς· καὶ δῆλος ὢν ὡς δίκας ἐπιθήσων τοῖς νεωτεριοῦσι, καὶ τὸν πόλεμον αὐτὸς ἀναδεξόμενος ὑπὲρ ὑμῶν. Τί οὖν ἄν τις εἴποι; τότε μὲν μὴ βουληθῆναι δεδυνημένον, νυνὶ δὲ βουλόμενον, μὴ τῆς ἴσης δυνάμεως εὐπορεῖν; ἀλλ' οὐδὲν ἧττον ὥσπερ καὶ τότε αὐτός τε ἂν δύνασθαι ἰσχυρισαίμην, καὶ ὑμεῖς συνομολογήσαιτε ἐμοί. Ὥστε οὔτε πρότερον, οὔτε νῦν ἐκ τοῦ μὴ δύνασθαι ἀπεσχόμην τῶν κακῶν, ἀλλ' ἐκ τοῦ μάλιστα μὴ βούλεσθαι, καὶ τῶν φαυλοτάτων τὴν τοιαύτην οἴεσθαι μεταβολήν. Εἰ οὖν οὔτε πρότερον, οὔτε νῦν, καίτοι ῥᾷστα καταπράξασθαι δυνάμενος, οὐδὲν τοιοῦτον οἷον ἄν τις ὑποπτεύσειε βεβουλευμένος ὤφθην, προσῆκον καὶ περὶ τοῦ μέλλοντος ἐμοὶ θαῤῥεῖν, καὶ μὴ τοῖς συκοφάνταις προσέχειν καὶ λογοποιοῖς πολλοῖς κατ' ἐμοῦ φυησομένοις. Οὐδὲ γὰρ περὶ μικρῶν τινων καὶ εὐκαταφρονήτων διαβαλοῦσιν, ἀλλὰ περὶ τοῦ ζῆν ὑμῖν ἐξαρτήσουσι τὸν φόβον. Ἢ τά γε δεύτερα, περὶ τοῦ μὴ καλῶς καὶ ὡς προσῆκον, ἀλλ' αἰσχρῶς καὶ ἀνελευθέρως καὶ δουλεύοντας ἑτέρῳ

Jacobi Pontani notæ.

(95) Qui ex hac vita discessissent, quasi ejus miseriis et ærumnis jam liberatos atque defunctos, μακαρίτας, id est, *beatos* appellabant. Nos idem significare volumus, cum mortuos nominantes, hæc verba præfamur, *beatæ memoriæ*, quasi diceremus, nos beatorum usurpaturos nomen, aut memoriam, Tametsi Christiani nos etiam alium μακαρισμὸν hoc verbo respicimus, et quos beatæ memoriæ nominamus, eos jam tum in cœlo beatos aut esse, aut brevi fore pie confidimus.

Digitized by Google Распознавание текста ABK/FR

ζῆν. Ὃ καὶ αὐτὸ τοῖς εἰθισμένοις ἄρχειν, οὐδενὸς θανάτου δεύτερον εἰς ἀλγηδόνος λόγον. Ὅτι δὲ τοιοῦτοι φυήσονται πολλοί, οὐ στοχάζεσθαι ἔξεστιν ἡμῖν, ἀλλὰ σαφέστατα εἰδέναι. Βασιλεὺς μὲν γὰρ κύριος αὐτὸς τῶν πραγμάτων ὤν, καὶ μηδεμίαν μηδ' ὑφ' ἑνὸς τῶν πραττομένων ὑφορώμενος ἐξέτασιν, τὰ μὲν αὐτὸς ἐκὼν εἶναι εἴπερ ἐβούλετο χαρίζεσθαί τι ὅσον ἠδύνατο, τὰ δ' ἴσως ἂν καὶ ἠμελεῖτο. Νυνὶ δὲ οὐδὲν τοιοῦτον ἐξέσται οὐδενί, ἀλλὰ πάντα σὺν λόγῳ καὶ μετὰ ἀκριβείας πράττειν ἀνάγκην πᾶσιν ἐπιθήσω· οὐ τῆς ὑμετέρας ἕνεκα κηδεμονίας μόνον, ἀλλὰ μὴ ἐλάττω τὴν ἀρχὴν ἣν παρέλαβον, ἀλλὰ καὶ μείζω καὶ βελτίω καιροῦ καλοῦντος ἀποδῶ, ἀλλὰ καὶ φιλοτιμίας καὶ δόξης ἕνεκα ἐμῆς. Τὸ δέ γε τούτων πάντων καὶ μεῖζον καὶ φοβερώτερον ἐμοί, τῆς ἐκεῖθεν τῶν πραττομένων ἐξετάσεως καὶ τῶν εὐθυνῶν ἃς αὐτὸς ὑφέξειν ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου ὑπὲρ τῶν εὖ ἢ κακῶς διῳκημένων μέλλω. Τὰ δὲ τοιαῦτα, τοῖς εἰθισμένοις ἀμελεῖν καὶ λυμαίνεσθαι τοῖς δημοσίοις, καὶ τὰ ἴδια ἐκ τῆς φθορᾶς ἐκείνων αὔξειν, παντί τε δῆλον ὡς οὐκ ἔσται ἀνεκτά. Ὥστε αὐτοὺς εἰκὸς τὸν τὴν τοιαύτην ἀνάγκην αὐτοῖς ἐπαγαγόντα ἐκ μέσου ποιεῖν τίθεσθαι διὰ σπουδῆς. Τοῦτο δὲ ἄλλως αὐτοῖς οὐκ ἂν ἐξέσται, εἰ μὴ πρότερον πολλὰ ψεύδη καὶ συκοφαντίας πλάσαντες, ἐκπολεμώσουσιν ἡμᾶς ἀλλήλοις. Εἰς ὅσον δὲ ἀτοπίας ἐξελάσει τὰ πράγματα ἡμῖν ἂν συμβῇ τοιαῦτα, καὶ αὐτὴ μὲν ἂν συνορᾷς οὖσα συνετή, σαφέστερον δὲ διδάξω καὶ αὐτός. Ἡ γὰρ ἐμὲ παρὰ πάντα δίκαιον λόγον ἀνάγκη ἀποθνήσκειν, ἔργον γεγενημένον συκοφαντίας καὶ διαβολῆς, ἄνθρωπον οὐ μόνον εὔνουν βασιλεῖ καὶ τοῖς ἐκείνῳ προσήκουσιν ὑμῖν ἐπὶ τοσοῦτον χρόνον ἐξητασμένον ἀκριβῶς, ἀλλὰ καὶ τὰ Ῥωμαίων πράγματα ἀδόλως καὶ καθαρῶς διῳκηκότα. Ὃν εἰ κατά δή τινα τύχην παρὰ βαρβάροις δή τισι συνέβαινε διατρίβειν πόρρω τῆς Ῥωμαίων γῆς, πολλῆς ἂν ἦτε μέμψεως ἄξιοι δικαίως καὶ κατηγορίας, εἰ μὴ πᾶσαν ἔθεσθε σπουδὴν ἐπανάγειν καὶ ἀνακαλεῖσθαι χρησόμενοι ᾗ αὐτῷ προσῆκεν. Ἢ εἰ μὴ αὐτὸς ἐκὼν αἱρήσομαι τὸν θάνατον, ἀλλ' ἐθελήσω προνοίας ἐμαυτὸν ἀξιοῦν, καὶ μὴ καταπροΐεσθαι τοῖς βουλομένοις τὴν σωτηρίαν, ἀνάγκη σοῦ ἀφίστασθαι καὶ σώζειν ἐμαυτόν. Τούτου δὲ γενομένου ὅτι πλείους ἐμοὶ τῶν Ῥωμαίων ἕψονται, καὶ πόλεμος ἐμφύλιος ἔσται, χαλεπὸς δὲ πόλεων ἀναστάσεις, καὶ μυρίων φθοραὶ πραγμάτων, καὶ συμπάσης, ὡς εἰπεῖν, κατάλυσις τῆς Ῥωμαίων ἡγεμονίας, πάντα ὀντινοῦν οἶομαι μὴ ἀγνοεῖν τὸν καὶ ὁπωσοῦν φρενῶν μετειληχότα. Ὧν τὰς δίκας παρ' ἀμφοτέρων λήψεται ἡμῶν ἐπὶ τῆς δίκης ἐκείνης τῆς φοβερᾶς ὁ πάντας μέλλων κρίνειν ζῶντας καὶ νεκρούς, ὡς τούτων αἰτίους πάντων γενησομένους. Μᾶλλον δὲ παρὰ μόνης σοῦ, τῆς μήτε παρ' ἑαυτῆς τὸ δέον συνιείσης, μήτε παρ' ἐμοῦ μαθεῖν διδάσκοντος βουλησομένης. Ἐγὼ γὰρ αὐτὸς ἰσχυρίζομαι καὶ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, ὡς οὐδὲν παραβήσομαι τῶν δεόντων· οὐδ' ἔστιν ὅ με πείσει πρόφασιν τῷ πολέμῳ παρασχέσθαι. Εἰ μὲν οὖν οὕτω πέπεικας σαυτήν, ὥστε μηδὲν μηδέποτε φαῦλον λογίζεσθαι περὶ ἐμοῦ,

A ratione, et summa diligentia faciendi necessitatem imponam omnibus, non solum ob sollicitudinem vestri, ne minus quam accepi, sed et majus, et melius suo tempore imperium restituam, verum etiam propter incensum quoddam nominis mei propagandi studium. Quodque his omnibus et potius, et terribilius mihi est, propter examen factorum meorum, quod me illic manet : et rationes, quas apud tremendum tribunal, recte aut secus administratæ reipublicæ reposcendus sum. Quæ socordibus, et cum jactura communi suas privatim opes augentibus intoleranda fore, nemo non videt. Itaque probabile fit, eum qui tali ipsos necessitudine constrinxit, e medio tollere conaturos : quod aliter non procedet, ni ante multis conflictis B mendaciis, et consutis sycophantiis nos mutuum exasperaverint. Quo vero turpitudinis res evasura sit, si hoc contigerit, et tu pro tua prudentia videre potes, et ipse nihilominus docebo. Aut enim me calumniæ obnoxium præter omne jus fasque mori necesse est, hominem non solum imperatori, et vobis sanguineis ejus amicum, tandiu diligenter exploratum et in re Romana cum fide integritateque administranda versatum; quem, si fortuna aliqua apud Barbaros, procul Romanorum terris degeret, valde reprehendendi, et accusandi merito censeremini, nisi eum reducendum ac revocandum omni cura ac sedulitate studeretis, ejus opera ut decet usuri : aut **366** si mortem C fugiens, saluti meæ prospicere, nec eam inimicis prodere voluero, ut me ipsum servem, abs te cogar deficere. Quo facto plures Romanorum me secuturos, bellumque civile sævum, et crudele emersurum, urbes et alia innumera perditum iri, et Romanum principatum, ut uno verbo complectar, occasurum, neminem prorsus utcunque rationis participem non cernere opinor. Quorum pœnas ab utrisque nostrum tanquam auctoribus horum omnium in judicio illo horrendo expetet, qui vivos mortuosque judicabit : imo abs te sola potius, quæ neque per te intellexeris, quid te facere conveniret, neque me docere volentem attenderis. Equidem Deo bene propitio ab officii tramite nusquam deflexurum me assevero : nec D mortalium ullus mihi persuadebit, ut bello occasionem præbeam. Quare si ea tibi mens, ut nihil sinistrum aliquando de me cogitare velis, sed existimare, omnia me facta, et cogitata ad tuendam imperatoris filii tui auctoritatem, dignitatemque dirigere, accusatores autem meos in sycophantis, communibusque inimicis ducere, nec unquam illis ut veracibus credere; credere autem, imo nec ad aures quidem eos admittere, juste, et quod tibi, ac mihi, pariterque Romanis prosit, statueris, et hac conditione gubernacula recipiam. Sin autem ad hæc præstanda infirmitatem perspicis animi tui, ac de me fluctuant cogitationes tuæ, quid opus est mihi, ac vobis facessi negotium ? cur non potius mihi bene monenti obtemperatur,

Digitized by Google Распознавание текста ABK/FR

et ego quidem domi solutus occupationibus, quod volui, relinquor : tu vero cum patriarcha aliisque multis et bonis viris communi Romanorum commodo servis? Non enim tam insipiens sum, nec tam a recta ratione disto, ut in malum ante oculos positum me præcipitem : idque non pecuniis meis duntaxat pro utilitate publica, sed nec ipsi vitæ, si res vocabit (omnino autem et sæpius vocabit), ullo modo parsurus. Nec ullam aliam laborum, periculorumque, et tantorum sumptuum remunerationem exposco, quam ut primum quidem tutus sim a malis, deinde propter præclara facta celebritatem, et gloriam, cujus desiderio non vinci (96) haud valde insignium conspicuorumque, sed eorum est, qui vitam ignavam, et inhonoram vulgaremque plane vivere instituerunt. Mihi igitur re considerata et privatim cuique nostrum, et simul omnibus hæc conducere visa sunt. Tuarum partium erit, re una cum aliis, et sola tecum excussa, quæ conducibiliora fuerint, eligere. Faxit autem Deus, ut meliora eligas (97).

A ἀλλὰ πάντα ἡγεῖσθαι πράττειν καὶ διανοεῖσθαι ὑπὲρ σοῦ τε καὶ βασιλέως τοῦ σοῦ παιδός. Τοὺς δὲ διαβάλλοντας, ἡγεῖσθαι συκοφάντας καὶ κοινοὺς ἐχθρούς· καὶ μηδέποτε αὐτοῖς ὡς ἀληθεύουσι μὴ μόνον μὴ πιστεύειν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν αὐτοῖς ὑπέχειν οὓς πρὸς τὰς συκοφαντίας, δίκαιά τε ὁμοῦ καὶ σαυτῇ τε καὶ ἐμοὶ συμφέροντα ἐβουλεύσω, καὶ πᾶσι τοῖς Ῥωμαίων πράγμασι κοινῇ, καὶ αὐτὸς τῆς διοικήσεως ἔχεσθαι πείθομαι τῶν κοινῶν. Εἰ δὲ πρὸς ταῦτα τὴν ψυχὴν ὁρᾷς ἀδυνατοῦσαν, καὶ ἀμφιβόλους δόξης ἔχουσαν περὶ ἐμοῦ, τί δεῖ σφίσι τε αὐτοῖς, κἀμοὶ πράγματα παρέχειν, ἀλλὰ μὴ πειθομένους ἐμοὶ τὰ βελτίω συμβουλεύοντι, ἐμὲ μὲν ἐᾷν οἴκοι καθῆσθαι τὴν ἀπραγμοσύνην ἡρημένον, αὐτὴν δ' ἅμα πατριάρχῃ καὶ τοῖς ἄλλοις, πολλοῖς τε καὶ

B ἀγαθοῖς οὖσι, τὰ κοινῇ συμφέροντα Ῥωμαίοις πράττειν; Οὐδὲ γὰρ ἀνόητος, οὐδ' οὕτως ἔξω φρενῶν ἐγὼ, ὥστ' εἰς προῦπτον κίνδυνον ἐμβάλλειν ἐμαυτὸν, καὶ ταῦτα μέλλων, μὴ χρημάτων μόνον τῶν ἰδίων ὑπὲρ τῶν κοινῇ Ῥωμαίοις συμφερόντων, ἀλλ' οὐδ' αὐτῆς εἰ δεήσει φείδεσθαι ψυχῆς. Πάντων δὲ δεήσει καὶ πολλάκις, μηδεμίαν δὲ ἑτέραν τῶν πόνων καὶ τῶν κινδύνων καὶ τῶν τοσούτων ἀναλωμάτων τὴν ἀντιμισθίαν ἀπαιτεῖν, ἢ πρῶτον μὲν τὸ ἀπαθῆ κακῶν διατηρεῖσθαι· δεύτερον δὲ τὴν ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις εὐκλειαν καὶ εὐδοξίαν ἧς τὸ μὴ ἡττῆσθαι οὐ τῶν πάνυ λαμπρῶν καὶ περιδόξων, ἀλλὰ τῶν φαύλως καὶ ἀτίμως καὶ οὐδὲν ἄμεινον τῶν πολλῶν βιοῦν προῃρημένων. Ἐμοὶ μὲν οὖν σκεψαμένῳ τοιαῦτα, ἔδοξε πρὸς ἐμαυτὸν ἰδίᾳ τε ἡμῶν ἑκάστῳ καὶ πᾶσιν ὁμοῦ συμφέρειν. Σὲ δὲ προσήκει καὶ κοινῇ μετὰ τῶν ἄλλων καὶ ἰδίᾳ σκεψαμένην περὶ τῶν αὐτῶν, ἅττα ἂν εἴη λυσιτελέστερα ἑλέσθαι. Δοίη δὲ Θεὸς ἑλέσθαι τὰ βελτίω.

367 CAPUT VI.

Laudat orationem domestici imperatrix. Pollicetur, quæ ille voluit. Magnus domesticus mentem suam interpretatur, et judicium adversum se postulat, si peccare videatur. Jusjurandum utrinque datur. Domesticus imperatricis fidem, ut mulieris, suspectam habet. Patriarcham per beneficia in illum collata obtestatur, ne calumniatoribus suis credat, causam suam tueatur. Patriarcha omnem operam suam spondet et sponsionem juramento sancit.

Cum ita libere, sineque ullo integumento verba fecisset magnus domesticus, imperatrix, ut non dura ac aspera (quod tamen in proœmio promiserat), sed vera, et ex æquitate cum libertate, amico germano conveniente locutum commendavit. Potuisse igitur antea, et nunc perinde, maximeque posse, si liberet, Romanum possidere imperium, certissimo scire se non negabat. Ad ea autem quæ petebat, non illa modo, verum multo plura sustinere se posse respondebat; et quamvis omnes mortales consensu adversus illum garrirent, nunquam illi infensam reddituros, sed inviolatam, sinceramque amicitiam ei præstituram, si non propter aliud, saltem propter ea, quæ ex imperatore sæpenumero audierit : nec si districto ense in se occidendi causa ruentem videret, posse illum odisse : sed pristina benevolentia etiam sic complexurum, et amici loco nihilominus habiturum. Et aiebat, se

C Τοιαῦτα πρὸς βασιλίδα μετὰ παῤῥησίας τοῦ μεγάλου δομεστίκου καὶ χωρὶς τινὸς περικαλύμματος διειλεγμένου, ἐπῄνεσέ τε τοὺς λόγους καὶ αὐτὴ ὡς οὐ σκληρῶς οὐδὲ τραχέως (ὥσπερ προσιμιαζόμενος εἶπεν) εἰρημένους, ἀλλ' ἀληθείας τε ἐχομένους καὶ δικαιοσύνης καὶ παῤῥησίας πρεπούσης φίλῳ ἀληθεῖ. Περὶ μὲν οὖν τοῦ πρότερόν τε καὶ νῦν ὁμοίως μάλιστα εἶναι δυνατὸν αὐτῷ εἰ ἐβούλετο τὴν Ῥωμαίων βασιλείαν ἑαυτῷ περιποιεῖν σαφέστατα πάντων αὐτὴ εἰδέναι ὡμολόγει. Πρὸς ἃ δὲ ἠξίου ἰσχυρίζετο ὡς οὐ μόνον ταῦτα ἅπερ ἤτησεν αὐτὸς, ἀλλὰ καὶ πολλαπλασίω ἀνασχέσθαι δυνατή. Καὶ ὡς οὐδ' ἂν εἰ πάντες ἄνθρωποι συμφωνήσαντες; φαῖεν κατ' αὐτοῦ δυνήσονται ταύτην αὐτῷ ἐκπολεμῶσαι· ἀλλ' ἄθικτον αὐτῷ καὶ ἀκεραίαν τηρήσει τὴν φιλίαν· εἰ μή τι

D ἄλλο, ἀλλὰ τῶν γε βασιλέως λόγων μεμνημένη ὡς πολλάκις εἴρηται περὶ αὐτοῦ, ὡς οὐδ' ἂν εἰ ξίφος σπασάμενον κατ' αὐτοῦ χωροῦντα ὡς ἀποκτενοῦντα

Jacobi Pontani notæ.

(96) M. Tullius Offic. : *Vix invenitur, qui laboribus susceptis, periculisque aditis, non quasi mercedem rerum gestarum desideret gloriam.* Idem in Catone majore : *Optimi cujusque animus maxime ad immortalitatem gloria nititur.* Et sane frequenter hunc locum, in orationibus præsertim, attingit.

(97) Demosth. Olynthiacam primam ita claudit, ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. Χρηστὰ δὲ εἴη, παντὸς ἕνεκα. *Nam ut eæ res erunt quæ vobis evenient : ita et vos de actis ipsorum judicabitis. Quæ utinam bonæ sint, et officio fungantur omnes.* Ad quem locum respexisse historicum nostrum non dubito. Olet autem alibi quoque sententias Demosthenicas ex Olynthiacis, et Philippicis ex rerum similitudinem similibus etiam verbis utiturt

Digitized by Google Распознавание текста ABBYY FR

ἔδῃ, οὐδ' οὕτω δυνήσεσθαι αὐτὸν μισῆσαι, ἀλλὰ τὴν ἴσην εὔνοιαν αὐτῷ καὶ τούτου πεπραγμένου τηρήσει καὶ φιλίαν, ᾗ περ ἔφασκε χρωμένη διδασκάλῳ, καὶ αὐτὴ τοσοῦτον ὑπερέχοντι αὐτῆς καὶ συνέσει καὶ πραγμάτων ἐμπειρίᾳ τὰ ἴσα περὶ αὐτοῦ καὶ γινώσκειν καὶ πειράσεσθαι φυλάξειν, καὶ παρεθάρρυνεν αὐτὸν, μηδὲν περὶ αὐτῆς ὑποπτεύειν ἀγεννές· ἀλλ' εἶναι βεβαίως πεπεισμένον ὡς οὐδὲν ἔσται τηλικοῦτον ὃ δυνήσεται τοὺς αὐτῆς κατασεῖσαι λογισμοὺς καὶ περὶ αὐτοῦ κακὰ λογίζεσθαι παρασκευάσει. Ἐπὶ τούτοις δὲ ὁ μέγας δομέστικος, τὴν μὲν ὁμολογίαν βασιλίδος ἀρκοῦσαν οἰηθεὶς ἀπόδειξιν πρὸς τὸ μηδὲν εἶναι ἐμποδὼν εἰ ἐβούλετο κακὸς ὀφθῆναι, μάλιστα δὲ δυνάμενος ἑκόντι τἀγαθὰ καὶ δίκαια αἱρεῖσθαι. Εἶτα καὶ τῆς καλοκἀγαθίας καὶ τῆς εἰς αὐτὸν στοργῆς χάριτας ὁμολογήσας βασιλίδι αὖθις ἀνελάμβανε τὸν λόγον· μὴ δὴ διὰ ταῦτα φάσκων, μήτ' αὐτὴν, μήτε πατριάρχην ὑποπτεύειν αὐτῷ τοὺς λόγους ὡς πανούργως εἰρημένους, ἄδειαν αὐτῷ προπαρασκευάζοντι τὸ μηδ' ἂν τις ἀληθῆ λέγειν ἔχῃ περὶ αὐτοῦ καὶ ἀποδεικνύειν ἀδικοῦντα, τόπον ἔχειν πρὸς τὴν κατ' αὐτοῦ κατηγορίαν καὶ γραφήν. Οὐ γὰρ τοῦτο βούλεσθαι αὐτῷ τοὺς λόγους· ἀλλ' εἰ μέν τινες τοιαῦτα δήποτε κατηγορεῖεν οἷα αὐτὰ ὑφ' ἑαυτῶν ἐξελέγχεσθαι ὡς εἰσὶ συκοφαντίαι καὶ διαβολαὶ, τούτων μηδένα ποιεῖσθαι λόγον, ἀλλὰ καὶ τοὺς πλάττοντας μισεῖν. Εἰ δ' ἄρα οὕτως εἴη πιθανὰ, ὥστ' ἀμφιβολίαν ἐμποιεῖν εἰ μᾶλλον χρὴ πιστεύειν ἢ παντάπασιν ἀπιστεῖν, μὴ ἐρήμην εὐθὺς καταψηφίζεσθαι καὶ ἀπόντος· ἀλλ' εἰς δικαστήριον καλεῖν, κἂν ἀλίσκωμαι ἀδικῶν, οὐ παραιτοῦμαι τῆς κακουργίας διδόναι δίκας. Τῆς βασιλίδος δὲ τὸν περὶ τῆς δίκης λόγον ἀποσειομένης, καὶ μηδ' ἂν εἴ τι γένοιτο τοιαῦτα περὶ αὐτοῦ φρονήσειν διατεινομένης, ὥστε καὶ δικαστηρίων δεήσεσθαι πρὸς αὐτὸν, οὐκ ἔφασκεν ἐκεῖνος ἀγαπήσειν εἰ μὴ καὶ περὶ τούτου πείθοιτο αὐτῷ τῶν ἄλλων μᾶλλον ἕνεκα, ἢ αὐτῆς· ὥστε διὰ πάντων αὐτοῖς ἀποφράττεσθαι τὰς γλώσσας, καὶ μὴ πρόφασιν ἐκ τούτου κακουργίας καὶ διαβολῆς λαβεῖν. Ἀπαγορευούσης δὲ αὐτῆς καὶ οὐκ ἐθελούσης πείθεσθαι, ἔπεισε πολλὰ εἰπὼν ὡς περὶ ἀναγκαίου, ἄκουσαν μὲν, καὶ τόγε εἰς αὐτὴν ἧκον τῶν τοιούτων μὴ δεομένην ζητημάτων. Ἐπείθετο δ' οὖν ἕνεκα αὐτοῦ. Ἐπὶ τούτοις δὲ καὶ αὐτὸς ἡσθεὶς, καὶ πᾶσαν λογισμῶν ἀμφιβολίαν ἀποθέμενος, χαίρων ἔφασκεν ἤδη παραλήψεσθαι τὴν ἀρχὴν, εἰ καὶ δι' ὅρκων γένοιτο πιστὰ τὰ εἰρημένα. Καὶ αὐτίκα ἐτελοῦντο καὶ οἱ ὅρκοι παρ' ἑκατέρων ἐπὶ τοῦ πατριάρχου. Ἐπεὶ δὲ οὐδενὸς αὐτοῖς ἐνέδει ἔτι πρὸς τὰς διαλύσεις, βασιλὶς μὲν οἴκοι ὑπελείπετο. Ὁ μέγας δὲ δομέστικος ἤδη πᾶσαν τὴν ἀρχὴν βεβαίως ἔχων, ἐξῆεσαν ἅμα πατριάρχῃ· καὶ πρὸς τῷ ναῷ τοῦ μεγαλομάρτυρος γενόμενοι Δημητρίου, ὃς τῶν βασιλείων ᾠκοδόμητο ἐντὸς, πολλὰ καὶ πρὸς πατριάρχην ὁ μέγας δομέστικος διειλέχθη. Ἔφη γάρ· πεπεῖσθαι μὲν καὶ αὐτὸν σαφῶς ὡς οἷους ἡ βασιλὶς ἐφθέγξατο λόγους, τοιοῦτον καὶ τὸ φρόνημα ἔχειν. Θορυβεῖσθαι δὲ αὖθις οὐ μικρῶς τὴν ἀσθένειαν τῆς γυναικείας φύσεως, εἰδότα ὡς εὐμετάβλητος διὰ

A imperatore magistro tantum sibi prudentia, et usu præstante, eadem de illo sentire, et ejus admonitioni parituram; confirmabatque illum ne quid de se abjectum suspicaretur, sed constanter crederet, nihil tanti fore, unde ipsa de sententia deturbata, male de eo existimaret. Posthæc magnus domesticus imperatricis confessione satis demonstratum arbitratus, nihil sibi esse obstaculo, si improbe velit agere, et posse sponte sua bene, justeque facere: deinde ob integritatem, et amorem in se declaratum gratiis actis, denuo sic ait. Nec ipsam, nec patriarcham verba sua suspecta habere oportere, quasi ita securitatem sibi præparet, ut neque si quis ut improbum eum accusare queat, et dicam impingere, recipiatur ejus oratio; non enim sibi B hoc velle, sed si quidam aliquando de talibus eum accusarent, quæ meras esse calumnias, et sycophantias ipsi a semetipsis convincerentur, **368** horum nullam duci rationem debere, sed cum figmentis suis aversandos. Sin ita probabilia forent, ut dubitaretur, credendane, an prorsus repudianda essent, non statim indicta causa, et absentem condemnandum, sed in judicium vocandum, ibi sceleris convictum sese pœnas non invite suscepturum. Cum imperatrix mentionem pœnæ non ferret, affirmaretque, quidquid tandem eveniret nunquam ita de ipso cogitaturam, ut judicio illum arcesseret non se quieturum domesticus respondebat, nisi et in hoc sibi obsequeretur, aliorum causa magis quam sua, ut sic per omnia illis ora obstruerent, et ne hinc maligne calumniandi occasionem sumerent. Recusanti vero et invitæ, quod se hujusmodi quæstionibus non egere diceret, multis verbis ut rem necessariam persuasit. Domestici igitur causa assensit. Quocirca et ipse exhilaratus, omnique cogitationum perplexitate deposita, se jam cum gaudio ad imperium moderandum esse regressurum dixit, si etiam sacramento dicta firmarentur; quod mox ab utroque coram patriarcha factum est. Perfecta igitur pacificatione imperatrix domi mansit. Magnus autem domesticus totius imperii gubernatione sibi confirmata, cum patriarcha recessit, et apud ædem magni martyris Demetrii intra aulam longo eum sermone detinuit, nempe hoc: Ego quoque, non aliter quam sentiret, imperatricem locutam esse, plane credo. Perturbor tamen non mediocriter, quod naturæ muliebris imbecillitatem, quam scilicet varia, et ob timiditatem mutabilis sit cognosco: et male metuo, ne ego quidem semper propter bella cum finitimis Barbaris abesse longius cogar, sycophantæ autem domi desidentes, aliquando illam pervertant. Quod et viris in pugna imbecillissimis accidere videmus, qui a domesticis probrose increpiti, et contumeliosissime vexati ac nihil non grave perpessi, extra prælium verbis se jactitant magnifice, et jurati affirmant, de cætero non tergum hostibus præbituros, sed generose contra pugnaturos. Postquam autem eos accedentes conspexerunt, et

Digitized by Google Распознавание текста ABK/FR

tubam belli signum exaudierunt, in acie amplius consistere non possunt; sed juramenti, et jactantiæ prioris obliti, ignave ac turpiter fugiunt. Scitum est etiam quod apud Persas ferri proverbium audio: Femina terram adhuc tangit, quamvis capite nubes tetigerit (97*). **369** Quo significant, opinor, etsi ad summum prudentiæ, magnanimitatis, et fortitudinis venerit mulier, nihilominus, ut antea, esse mulierem; hoc est naturalibus, et muliebribus affectionibus subditam. Quæ omnia me reminiscentem sollicitant, et animum metu implent, ne, si quid, ut feminæ, imperatrici acciderit, non ego solum, sed et Romani omnes multis involuti malis, extremis periculis circumveniamur. Quare primum quidem ultro præstitorum tibi a me beneficiorum te admoneo; nec te oblitum puto, quemadmodum ad hoc gloriæ et honoris fastigium propter amicitiam nostram, studiumque perveneris. Non enim solum te infimi ordinis hominem imperatoris clericorum collegio allegi, et cura multa non tantum domi meæ, sed jam e domesticis imperatoris unum dignatus sum, quanquam id necessitas nulla exigeret, sed et primus tui mentionem feci, et auctor imperatori fui, ut te in thronum patriarchicum extolleret. Quin etiam cum ab episcopis concorditer repellerere, diligentissime elaboravi, ut tibi præclaram hanc et pro qua jure certetur, cathedram darent. Postremo cum in ejus amittendæ periculum devenisses, solus ego difficultatem omnem sustuli. Hæc in præsens percensui, non quod beneficia exprobrare velim (non enim soleo, ne si longe plura quidem, et majora essent), sed ut ostenderem, æquum videri, ut a quo plura jam pridem amicitiæ, et singularis cujusdam amoris argumenta habes, idque gratuito, ei nunc tali tempore memorem te, et reipsa meritis compensandis gratum exhibeas. Adde, cum sis Pater spiritualis omnium, quantam unicuique ovium tuarum, tantam et mihi, imo vero multo majorem quam ferme omnibus sollicitudinem debes: quod omnes commodorum meorum, incommodorumve participes futuri sunt. Quod autem te oro, hoc est, ut simul ac debuero foris bellum gerere (nec enim vel mihi honorificum, vel vobis utile, hic sedentem ab hostibus agros nostros vastari, civitates obsideri, obvios in servitutem abduci permittere), nihil loci de sycophantis, hominibus perditis, et reipublicæ inimicis, qui hic cum Augusta versaberis semper: ut contra me calumnias comminisci, et illam ad obtrectatores ut bene consulentes audiendos, ac me pro hoste, et insidiatore suo propter imperium habendum inducere possis, sed jus **370** meum tueare; illorum machinas dissipes; calliditatem, ac dolos infirmes; et hoc solum eidem persuadeas, ne absentem damnet,

δειλίαν, καὶ δεδοικέναι μὴ αὐτὸς μὲν ἀναγκάζοιτο πάντοτε μακραῖς ἀποδημίαις χρῆσθαι διὰ τοὺς πρὸς τοὺς περιοίκους βαρβάρους πολέμους, οἱ συκοφάνται δὲ οἰκουροῦντες, πείσωσί ποτε αὐτὴν μεταβαλεῖν, ὃ καὶ ἀνδράσι συμβαῖνον ὁρῶμεν τοῖς περὶ μάχας διὰ δειλίαν ἀτολμωτάτοις. Ἐκεῖνοι γὰρ ὑπὸ τῶν οἰκείων ὀνειδιζόμενοι καὶ περιυβριζόμενοι, καὶ ὀτιοῦν ὑπομένοντες δεινόν, μάχης μὲν οὐ παρούσης, κομπάζουσι πολλὰ καὶ ἰσχυρίζονται καὶ ὅρκους προστιθέντες, μηκέτ' αὖθις τοῖς πολεμίοις τὸ πρόσωπον ἀποστρέψειν, ἀνδρείως αὐτίκα στήσεσθαι πρὸς αὐτούς. Ἐπειδὰν δὲ αὐτοὺς τε ἴδωσι προσιόντας, καὶ τῆς σάλπιγγος ἀκούσωσι σημαινούσης συμπλοκήν, οὐκέτι μένειν οὐδ' ἐπὶ τῆς παρατάξεως οἷοί τέ εἰσιν, ἀλλὰ φεύγουσιν αἰσχρῶς καὶ ἀγεννῶς, ὀλίγα φροντίζοντες τῶν ὅρκων καὶ τῶν κομπασμάτων τῶν προτέρων. Ἀκούω δὲ καὶ παροιμίας Περσικῆς ὀρθῶς ἄγαν καὶ συνετῶς περὶ τῆς γυναικείας εἰρημένης φύσεως· λέγουσι γὰρ ὡς κἂν μέχρι νεφελῶν ἀφίκηται ἡ κεφαλὴ τῆς γυναικὸς, οὐδὲν ἔλαττον ἢ πρότερον ἐφάπτεται τῆς γῆς. Σημαίνοντες, οἶμαι, διὰ τοῦ λόγου, ὡς κἂν εἰς ἄκρον καὶ φρονήσεως ἀφίκηται καὶ μεγαλοψυχίας καὶ ἀνδρίας, οὐδὲν ἧττον ἢ πρότερόν ἐστι γυνὴ τοῖς φυσικοῖς δὴ γυναικείοις πάθεσιν ἐνεχομένη, ἃ δὴ πάντα με ἀποκναίει μεμνημένον, καὶ πολὺν ἐμποιεῖ θόρυβον τῇ ψυχῇ, μὴ τῆς βασιλίδος γυναικεῖόν τι παθούσης, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ Ῥωμαῖοι πάντες, πολλοῖς ὁμιλήσομεν κακοῖς, καὶ τοῖς ἐσχάτοις περιπεσούμεθα κινδύνοις. Οὗ δὴ ἕνεκα, πρῶτα μὲν τῶν ὑπηργμένων παρ' ἐμοῦ σοι ἀγαθῶν ἀναμιμνήσκω. Οὐδ' αὐτὸν ἴσως ἐπιλελησμένον, ὡς εἰς τοῦτο εὐδοξίας καὶ τιμῆς παρὰ τὴν ἡμετέραν ἦκες καὶ φιλίαν καὶ σπουδήν, οὐ μόνον ἐξ ἀφανείας πολλῆς τῷ βασιλικῷ κλήρῳ καταλέξαντος, καὶ πολλῆς προνοίας οὐκ οἰκοθεν μόνον, ἀλλὰ καὶ ἐκ τῶν βασιλικῶν ἠξιωκότος, καὶ καιροῦ καλοῦντος, ἐμοῦ τε πρώτου μνησθέντος, καὶ βασιλέα πείσαντος ἐπὶ τὸν πατριαρχικὸν ἀνάγειν θρόνον, ἀλλὰ καὶ τῶν ἀρχιερέων κοινῇ γνώμῃ πάντων ἀποσειομένων, πολλῇ χρησαμένου πρὸς αὐτοὺς καὶ προθυμίᾳ καὶ σπουδῇ ὥστε πεῖσαι ἐγχειρίσαι τὴν περιφανῆ ταύτην καὶ περιμάχητον καθέδραν, καὶ τὰ τελευταῖα δὴ ταῦτα κινδυνεύοντος περὶ αὐτὴν καὶ μέλλοντος ἀποστερεῖσθαι μόνου πρὸς ἀπαλλαγὴν ἐξαρκέσαντος τῶν δυσχερῶν. Ταῦτα δὲ διῆλθον νῦν, οὐκ ὀνειδίζειν προῃρημένος τὰς εὐεργεσίας. Οὐ γὰρ ἔμοιγε φίλον τὸ τοιοῦτον, οὐδ' εἰ πολλαπλασίους ἦσαν καὶ μείζους· ἀλλ' ἵν' ἐπιδείξαιμι, ὡς ἄνωθεν φιλίως πρός σε διατεθέντι, καὶ πολλὰς παρεσχημένῳ ἀποδείξεις τῆς πρὸς σὲ στοργῆς, δίκαιον καί σε τῶν πραγμάτων παρασχόντων νῦν, εὐγνώμονα φανῆναι τῷ προῖκα πρότερον ὀρθέντι φίλῳ, καὶ ἀμοιβὰς ἀξίας ἀποδοῦναι τῶν προτέρων εὐεργεσιῶν. Οὐ μόνον τούτων ἕνεκα αὐτῶν,

Jacobi Pontani notæ.

(97*) Hæc parœmia Persica de naturali, et agnata levitate et inconstantia mulierum propter quam nunquam illis fidendum sit, quamtumvis magna præ se ferentibus ac promittentibus, notatu digna, et in sermonibus merito usurpanda est. Qui adagia post Erasmum ab illo prætermissa collegerunt, et adhuc colligunt, hoc etiam suis addere poterunt.

Digitized by Google Распознавание текста ABK/FR

ἀλλ' ὅτι καὶ πατὴρ ὢν κοινὸς πνευματικὸς, ὅσην ἑκάστῳ τῶν ποιμαινομένων, τοσαύτην ὀφείλεις τὴν κηδεμονίαν καὶ ἐμοί. Μᾶλλον δὲ πολλαπλασίω ἢ σύμπασι σχεδὸν, ὅσῳ καὶ τῆς εἰς ἐμὲ ἠκούσης ὠφελείας ἢ βλάβης πάντες ἀπολαύσουσι τὸ μέρος. Τοῦτο δέ ἐστιν ὅσου δέομαι· ἵν' ἐπειδήπερ αὐτὸς ἀναγκαίως ἔχω πρὸς τὰς ἔξωθεν στρατείας ἀσχολεῖσθαι· οὔτε γὰρ ἔμοιγε εὐπρεπὲς, οὔθ' ὑμῖν συμφέρον ἐνταῦθα καθήμενον περιορᾷν, τοὺς πολεμίους τοὺς ἀγροὺς πορθεῖν τοὺς ἡμετέρους, καὶ τὰς πόλεις; πολιορκεῖν, καὶ ἐξανδραποδίζεσθαι τοὺς προστυγχάνοντας, μηδεμίαν δοῦναι χώραν τοῖς συκοφάνταις; καὶ λυμεῶσι καὶ κοινοῖς ἐχθροῖς τὸν ἀεὶ χρόνον ἐνταῦθα συνεσόμενον τῇ βασιλίδι· ὥστε δυνηθῆναι συσκευάσαι κατ' ἐμοῦ διαβολὰς, καὶ πεῖσαι προσέχειν αὐτοῖς, ὡς ὀρθῶς καὶ λυσιτελῶς βουλευομένοις, ἐμὲ δὲ πολέμιον νομίζειν καὶ ἐπιβουλεύοντα αὐτῇ πρὸς τὴν ἀρχὴν, ἀλλὰ τῶν ὑπὲρ ἐμοῦ δικαίων ἀντεχόμενον διαλύειν αὐτοῖς τὰς μηχανὰς, καὶ ἀπράκτους καθιστᾷν τὰς πανουργίας καὶ τοὺς δόλους, οὐδὲν ἕτερον πείθοντα τὴν βασιλίδα, ἢ μὴ καταψηφίζεσθαι ἀπόντος, ἀλλὰ κληθέντα πρὸς τὴν δίκην, καὶ καιροῦ τυχόντα πρὸς ἀπολογίαν, ἢ διαλύεσθαι τὰ ἐγκλήματα ἂν δύνωμαι, ἢ διδόναι δίκας τῆς ἀδικίας ἂν ἁλίσκωμαι ἐπιορκῶν. Τῆς τοιαύτης δὲ σπουδῆς ἕνεκα καὶ προθυμίας οὐ παρὰ Θεοῦ μόνου λήψεσθαι τὰς ἀμοιβὰς ὡς ὑπὲρ εἰρήνης καὶ σωτηρίας τῆς κοινῆς καὶ αὐτοῦ ἐσπουδακότα τοῦ δικαίου, ἀλλὰ καὶ αὐτὸν αὐτῷ πολλὴν εἰδήσειν χάριν, καὶ πάντας τοὺς ἐν λόγῳ ἐπαινέσεσθαι, ὅτι τὰ προστάτου ποιεῖ, καὶ κηδεμόνος τῶν ψυχῶν ἔργοις αὐτοῖς ἐπιδεικνύμενος ὡς ἔστι μαθητὴς τοῦ εἰρηνοποιοῦ, καὶ εἰς δύναμιν αὐτῷ ἐξομοιοῦται, τόγε εἰς αὐτὸν ἦκον πᾶσαν πρόφασιν πολέμου ἐμφυλίου διαλύων. Τοιαῦτα καὶ πρὸς πατριάρχην διειλεγμένου τοῦ μεγάλου δομεστίκου, τάς τε εἰρημένας εὐεργεσίας ἣν αὐτῷ ἐκεῖνος συνομολογῶν, καὶ πάντων τῶν ἄλλων μείζω καὶ εὐηργετῆσθαι καὶ ὀφείλειν, καὶ θαρρεῖν περὶ τοῦ μέλλοντος· ὑποτιθέμενος ὡς οὐδὲν αὐτῷ τῶν δυσχερῶν τόγε εἰς αὐτὸν ἦκον ἀπαντήσει, ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ εἴ τι συμβαίη τοιοῦτον χρήσεται περὶ αὐτοῦ, καὶ οὐδὲν ἧττον ἢ ὑπὲρ αὐτὸς αὐτοῦ παρὼν τῶν αὐτῷ γινομένων ἀνθέξεται δικαίων. Ἐπεὶ δὲ καὶ ὁ πατρ ἀρχης προθύμως τὰ τοιαῦτα ἐπηγγείλατο, οὐκοῦν ἔφασκεν ὁ μέγας δομέστικος, οὐδὲν λοιπὸν, ἢ τὰς ὑποσχέσεις ταύτας τρόπῳ, ᾧ ἂν ἐπίσταιτο αὐτὸς βεβαίας αὐτῷ ποιεῖν καὶ ἀναμφιβόλους, ὥστε μηδὲν ἔτι ἐνδοιάζειν ἔχειν, ἀλλὰ πεπεῖσθαι ἀκριβῶς ὡς οὐδὲν ἧττον ἢ εἰ παρῆν αὐτὸς, οὐδεμία τοῖς συκοφάνταις ἔσται δύναμις πρὸς τὰς διαβολάς· ὃδ' εὐθὺς τῆς καθέδρας ἐξαναστὰς, Εὐλογητὸς, εἶπεν, ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εἰς τοὺς αἰῶνας, ὅτι οὔτε νῦν οὔθ' ὕστερον ψεύσομαί σε, ἀλλ' ὑπὲρ τοῦ σοῦ πᾶσαν ποιήσομαι δικαίου καὶ φροντίδα καὶ σπουδήν. Καὶ οὐδὲν τόγε εἰς ἐμὲ ἦκον περιόψομαι, μὴ πάντα καὶ διανοεῖσθαι καὶ φθέγγεσθαι καὶ πράττειν, ὥστε μηδεμίαν βλάβην ἐκ συκοφαντίας καὶ διαβολῆς σοὶ προσενεχθῆναι. Ἐπὶ τούτοις δὲ καὶ τὸν τρισάγιον ὕμνον ἐπειπὼν, καὶ πρὸς τῇ κεφαλῇ τοῦ μεγάλου δομεστίκου εὐχὴν τινὰ τῶν ἱερῶν διεξελθὼν, καὶ πολλὴν αὐτῷ εἰρήνην καὶ εὐκλειαν, καὶ ἄλλων ἀγαθῶν ἐπευξάμενος ἐσμὸν, ἐπεὶ καὶ ἡ ἡμέρα ἤδη περὶ δείλην ἦν, ὁ πατριάρχης μὲν ἐπ' οἴκου ἀνεχώρει. Ὁ μέγας δὲ δομέστικος ἥπτετο προθύμως τῶν πραγμάτων, βεβαίας ἤδη περὶ τῶν μελλόντων ἔχων τὰς ἐλπίδας, καὶ οὐδὲν δεινὸν ὑπονοῶν.

A sed in judicium vocet: ut tempus ad defensionem nactus, aut objecta refellam, si potero, aut si pejerasse deprehendar, pœnam subeam. Pro hac impigra diligentia tua, non modo a Deo velut pacis et salutis communis, et juris mei cupidus, præmium accipies, sed me quoque quam gratissimum experiere; et omnes honorati te laudabunt, quia quæ præpositum, curatoremque animarum decent, feceris; factoque ipso te pacificatoris discipulum demonstraris, quem pro viribus imitere, dum, quantum in te est, omnem belli civilis materiam tollis. His dictis a magno domestico, patriarcha memorata se beneficia accepisse, et omnibus aliis majora se et accepisse, et debere confitebatur, monebatque ne futuri esset anxius, quod ad se attineret, B nihil ei molestiarum enasciturum, et si quid aliunde contingeret, perstudiose amoliturum, ejusque causam ita defensurum, ut si ipsemet præsens adesset, melius non posset. Ubi hæc patriarcha prompta voluntate promisit, magnus domesticus nihil reliquum esse dixit, quam eadem promissa, modo quo sciret ipse, firma et minime dubia efficere, ut nihil ambigeret: sed prorsus crederet, non secus, ac si ipse adesset, criminatoribus nullam criminandi potestatem fore. Ille confestim e cathedra exsurgens: Benedictus Deus, inquit, et Pater Domini nostri Jesu Christi, qui est in sæcula, ego neque nunc, neque in posterum te fallam, sed in tua causa omnem conatum adhibebo, nihilque quod officii mei sit, prætermittam, quo minus omnia cogitem, dicam, faciam, ut per sycophantias, et calumnias nullum detrimentum capias. Secundum hæc hymnum trisagion addidit, et super caput ejus sacra precatione recitata, multamque illi pacem, et gloriam, et aliorum bonorum cumulum apprecatus, quoniam advesperascebat, ipse domum concessit. Magnus domesticus jam spe futurorum nixus et nihil quidquam sinistrum opinione præcipiens, ad imperii gubernationem accessit.

371 CAPUT VII.

Sismanus a legatis Alexandri regis petitur. Magnus domesticus reprehendit, quod ideo bellum intentet et transfugam reddere recusat, proque eo Mœsis bellum grave minatur. Legati frac is spiritibus triginta dies ad reditum responsumque regis renuntiandum impetrant. Imperatrix et proceres de prudentia domestici gratis animis lætantur.

Εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευε τοὺς Ἀλεξάνδρου Postridie Alexandri regis legatos in palatium

Digitized by Google Распознавание текста ABK/FR

accitos, quid venirent interrogavit. Qui juramentum, quod imperator Alexandro pacis ergo dederat, exhibentes, petere aiunt, aut Sismanum sibi regis sui hostem tradi : aut juramentum, ut pace jam irrita recipi. Neque enim fore justum, aut tolerabile, ipsos quidem certos, et constantes amicos ac socios Romanorum esse : illos autem eorum hostes infensissimos recipiendo, fœdus violare. Hæc legati, fastu et arrogantia pleni ; nihil contradicturos Romanos, sed extemplo Sismanum belli metu reddituros opinati. Imperatrix magnum domesticum cum iis agere, et ad petitionem respondere jussit. Qui primum vitio dedit, quod non jure venissent. Non enim oportebat, inquit, regem vestrum defuncti imperatoris Romani amicum atque generum, ejus liberis bellum inferre, et cum causa injusta conari fœdus rumpere. Quin si antea quidpiam cum eo litis et controversiæ habuisset, eam nunc missam facere, et fœdus inviolabilius custodire, cumque liberis ejus, amicorum præsidiis modo potissimum indigentibus, contra eorum hostes, si qui fuerint, societatem instituere debuisse. Verum illi idem, quod multis usus venire, qui potentiores, vivos quidem officiis demerentur, non tam ipsorum amici, quam temporis, et opulentiæ : ubi autem mortem obierunt, veluti cum morte solutis amicitiæ legibus, eos jam ut impotentes contemnunt, facillimeque oderunt, quos prius diligere videbantur. Deinde ad petitionem hoc responsum attulit. Non est hic patrius mos Romanis, ad se confugientes eorum hostibus dedere. A Constantino enim Magno, Romanis imperatoribus singularum gentium reges, ac dominos magnitudine ac nobilitate imperii antecellentibus, complures eorum adversa fortuna usi (98), et principatu ejecti, supplices facti sunt ; alii rogantes, suum sibi principatum recuperari ; **372** sui curam, providentiamque flagitantes. Qui tanquam communes calamitosorum salvatores, ac patroni ab omnibus ærumnam depulerunt. Nam hos in imperia sua cum valida manu reduxerunt ; illos beneficiis, ac donis magnificentissimis cohonestarunt : quibus cum eis suarum provinciarum memoriam excussissent, ut secum de cætero vitam viverent, auctores fuerunt ; imperatori subesse, multo melius, et illustrius ducentibus, quam apud suam gentem rerum habenas moderari. Similiter nunc Sismanus Ramanorum majestatem supplex invocavit, non ille quidem ut in suum regnum restituatur, sed ut e regno profligatus, in hac misera fortuna sua nostra cura, procurationeque recreetur. Alexander porro rex vester, propter obitum imperatoris de Romanorum rebus actum existimans, et neminem adeptos, qui eas regere possit, legatos

πρεσβευτὰς εἰς τὰ βασίλεια ἐλθόντας, περὶ ὧν ἥκουσιν ἀπαγγέλλειν. Οἱ δὲ ἦκον, καὶ τοὺς ὅρκους ἔχοντες οὓς βασιλεὺς πρὸς Ἀλέξανδρον ἐπὶ τῇ εἰρήνῃ ἐποιεῖτο, ἠτοῦντό τε αὐτοῖς τὸν Σίσμανον ἐγχειρίζειν πολέμιον ὄντα τῷ σφετέρῳ βασιλεῖ, ἢ τοὺς ὅρκους ἀπολαμβάνειν, ὡς οὐκέτι τῆς εἰρήνης ἐσομένης. Μηδὲ γὰρ ἂν εἶναι δίκαιον, μηδὲ ἀνεκτὸν αὐτοῖς, αὐτοὺς μὲν ἀσφαλεῖς εἶναι καὶ βεβαίους φίλους καὶ συμμάχους Ῥωμαίοις, ἐκείνους δὲ παρασπονδεῖν τοὺς αὑτοῖς πολεμιωτάτους ὑποδεχομένους. Οἱ μὲν οὖν πρέσβεις τοιαῦτα εἶπον, ὄγκου καὶ φρονήματος πεπληρωμένοι, καὶ οὐδὲ ἀντειπεῖν οἰόμενοι Ῥωμαίους, ἀλλ' αὐτίκα ἐγχειρίσειν Σίσμανον δείσαντας τὸν πόλεμον τὸν πρὸς αὐτούς · ἡ βασιλὶς δὲ ἐκέλευεν αὐτοῖς τὸν μέγαν δομέστικον χρηματίζειν, καὶ περὶ ὧν αἰτοῦσιν ἀποκρίνεσθαι. Ὁ δὲ, πρῶτα μὲν, ἐμέμφετο αὐτοῖς ὡς οὐκ ἐφ' οἷς προσῆκε τὴν ἄφιξιν πεποιημένοις. Ἔδει γὰρ βασιλέα τὸν ὑμῶν φίλον ὄντα καὶ πατέρα κηδεστοῦ, τῷ τετελευτηκότι βασιλεῖ Ῥωμαίων μὴ τοῖς ἐκείνου παισὶ πόλεμον ἐπάγειν, καὶ διαλύειν πειρᾶσθαι τὰς σπονδὰς ἐπ' αἰτίαις οὐ δικαίαις. Ἀλλ' εἴ τινα καὶ πρότερον εἶχε πρὸς ἐκεῖνον πρόφασιν διαφορᾶς, ταύτην καταλύειν νῦν, καὶ βεβαιότερον ἢ πρότερον φυλάττειν τὰς συνθήκας, καὶ βασιλέως τοῖς παισὶ συμμαχεῖν ἐπὶ τοὺς πολεμίους ἄν τινες ὦσι, νυνὶ μάλιστα τῆς παρὰ τῶν φίλων ἐπικουρίας δεομένοις · ὃ δ' ἔοικε ταὐτὸν τοῖς πολλοῖς παθεῖν, οἱ ζῶντας μὲν θεραπεύουσι τοὺς δυνατοὺς, οὐ μᾶλλον ἐκείνων, ἢ τοῦ καιροῦ καὶ τῆς ἐκείνων δυνάμεως ὄντες φίλοι · ἐπειδὰν δὲ ἀποίχωνται, τῶν αἰτίων ὥσπερεὶ διαλυθέντων τῆς φιλίας, ῥᾷστα πρὸς ἔχθραν ἐξάγονται τῶν πρότερον δοκούντων εἶναι φίλων διὰ τὴν ἀδυναμίαν αὐτοὺς περιορῶντες. Ἔπειτα δὲ καὶ πρὸς τὴν ἀξίωσιν αὐτῶν, οὕτω τὴν ἀπολογίαν ἐποιεῖτο, ὡ ; οὐ πάτριον τοῖς Ῥωμαίων βασιλεῦσι τοὺς αὐτοῖς προσφυγόντας τοῖς πολεμίοις προδιδόναι. Ἀπὸ γὰρ τῶν Κωνσταντίνου τοῦ Μεγάλου χρόνων ἄχρι νῦν τοῖς Ῥωμαίων βασιλεῦσι, μείζοσι καὶ περιφανεστέροις τῶν παρ' ἑκάστοις ἔθνεσι βασιλεῦσιν ἢ δυνάσταις οὖσι, πολλοὶ τῶν παρ' αὐτοῖς ἀρχόντων ἀτυχήσαντες, καὶ τῆς ἀρχῆς ἐκβεβλημένοι γεγόνασιν ἱκέται · οἱ μὲν, τὴν οἰκείαν αὐτοῖς ἀρχόντων ἀτυχήσαντες, καὶ τῆς ἀρχῆς ἐκβεβλημένοι γεγόνασιν ἱκέται οἱ μὲν τὴν οἰκείαν αὐτοῖς δεόμενοι ἀρχὴν ἐπανασώζειν, οἱ δὲ καὶ ἄλλως προνοίας καὶ κηδεμονίας τυχεῖν τινος, καὶ πᾶσιν ἥρκεσαν πρὸς τὰς συμφορὰς, ὥσπερ κοινοὶ σωτῆρες, καὶ προστάται τῶν δυσκόλῳ τύχῃ χρησαμένων ὄντες. Καὶ τοῖς μὲν αὐτῶν ἀπέδοσαν τὰς ἀρχὰς χειρὶ πολλῇ καταγαγόντες, ἐνίους δὲ εὐεργετήσαντες μεγάλα, καὶ τῆς οἰκείας ποιήσαντες ἐκλαθέσθαι τῇ ὑπερβολῇ τῶν δωρεῶν, ἔπεισαν αὐτοῖς συνεῖναι διὰ βίου, τὴν παρὰ βασιλεῖ δουλείαν πολὺ βελτίω νομίσαντας καὶ θαυ-

Jacobi Pontani notæ.

(98) Romanos imperatores a Constantino Magno recepisse supplices, aut profugos reges variarum gentium, iisque consuluisse, patet ex historiis Romanis. Nam ut bene Cicero in Manliana : *Afflictæ regum fortunæ facile multorum opes, eorum imprimis, qui aut reges sunt, aut in regno vivunt, ad misericordiam alliciunt : quod regale iis nomen magnum, et sanctum esse videatur.*

Digitized by Google Распознавание текста ABK/FR

μασιωτέραν τῆς ἀρχῆς τῶν ὁμοφύλων, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, Σίσμανος ἱκέτης γέγονε τῆς Ῥωμαίων βασιλείας, οὐ πρὸς τὴν οἰκείαν δεόμενος καταγαγεῖν, ἀλλὰ προνοίας τινὸς τυχεῖν κακοπραγῶν καὶ τῆς ἀρχῆς ἐκβεβλημένος. Ἀλέξανδρος δὲ ὁ ὑμέτερος βασιλεὺς, ὡς ἔοικε, διὰ τὴν βασιλέως τελευτὴν τὰ Ῥωμαίων πράγματα παντάπασι νομίζων διεφθάρθαι, καὶ μηδένα τὸν προστησόμενον κεκτῆσθαι, ἐκεῖνον ἀπέστειλεν αἰτῶν μετὰ πολλῆς τῆς παῤῥησίας καὶ τὸ κελευόμενον ποιεῖν μηδὲν πολυπραγμονοῦντας ἀξιῶν. Τὸ δ' ἐναντίως ἔχει ἢ ᾠήθητε αὐτοί. Βασιλεύς τε γὰρ ἔτι περιὼν ἡμῖν χρώμενος τοὺς ἀδικεῖν ἐθέλοντας ἐτιμωρεῖτο· καὶ νῦν ἐξ ἀνθρώπων ἐκείνου γεγενημένου, ἡμεῖς ἀμυνούμεθα ὑπὲρ ἡμῶν αὐτῶν, ἄν τις ἐπίῃ, ὑπὸ βασιλέα τὸν ἐκείνου παῖδα τεταγμένοι, καὶ τὴν τε χώραν ἡμῶν φυλάξομεν ἀπαθῆ κακῶν, καὶ ὑπὲρ φιλοτιμίας τῆς ἀνέκαθεν Ῥωμαίοις προσηκούσης πολεμήσομεν ὑμῖν προθύμως. Οὐ γὰρ μικρὸν τοῦτό γε, οὐδὲ εὐκαταφρόνητον ἡμῖν εἰς ἀδοξίας λόγον τὸ τὸν φυγάδα παρ' ἡμῖν γεγενημένον, ἢ ὑμῶν, ἢ ἑτέρων κελευόντων ἐπὶ θανάτῳ προδιδόναι. Ἂν μὲν οὖν καὶ αὐτοὶ τῆς ἀτοπίας τῶν τοιούτων ζητημάτων ἀποστάντες, εἰρήνην ἄγειν, καὶ ταῖς σπονδαῖς ἐμμένειν καὶ τοῖς ὅρκοις οὓς πρὸς βασιλέα ἔθεσθε, ἐθέλητε, πειρασόμεθα καὶ ἡμεῖς τῶν καθεστώτων μηδὲν κινεῖν. Ἂν δ' ἄρχητε αὐτοὶ πρότεροι πολέμου, τὸν Θεὸν καὶ ἡμεῖς μάρτυρα τῆς ἀδικίας προστησάμενοι, ὃν αὐτοὶ ἐπιορκεῖτε διαλύοντες τὰς σπονδὰς, διδάξομεν ὑμᾶς μηδὲν πέρα τοῦ προσήκοντος φρονεῖν, καὶ ἢ Σίσμανον τριήρεσι διὰ τοῦ Ἴστρου καταστήσαντες ἐπὶ Βιδήνην, καὶ πόλεμον ἐμφύλιον ἀνάψαντες ὑμῖν· ἴστε γὰρ δή που καὶ αὐτοὶ ὡς πολλοὶ Μυσῶν προσχωρήσουσιν ἐκείνῳ διὰ τὴν ἀρχαίαν φιλίαν καὶ τὴν οἰκειότητα τοῦ γένους, ἢ παντάπασιν Ἀλέξανδρον ἐκβαλοῦμεν τῆς ἀρχῆς, ἢ τά γε δεύτερα, οὐ μέτριά τινα ζημιώσομεν αὐτὸν, ἢ εἰ μὴ τοῦτο δοκοίη, ὡς ἐλάττονος ἢ προσῆκε τῆς ἐπικουρίας γινομένης, ἀλλ' ἔγωγε αὐτὸς ἅμα στρατιᾷ Ῥωμαίων ἔχων καὶ Σίσμανον ὑμῖν ἐπιστρατεύσω καὶ μαχοῦμαι προθυμότατα ὑμῖν· οὐ μόνον παρασπονδούμενος αὐτὸς, ἀλλὰ καὶ ἀδικουμένῳ βοηθῶν, καὶ προσέτι γε στασιάζουσι πρὸς ἑαυτοὺς, καὶ τοῖς μὲν Ἀλεξάνδρῳ προσκειμένοις, τοῖς δὲ ἥδιον ἂν ἀπαλλαξομένοις καὶ πρὸς Σίσμανον ἀποχωρήσουσιν, ὅπερ οὐκ εἴωμαι ὑμῖν λυσιτελήσειν. Ἐγὼ δὲ καὶ τρόπον ἕτερον πολέμου ἐξ οὗ τήν τε ὑμετέραν κακοῦν, ἡμῖν καὶ τὴν οἰκείαν ἐξέσται διασώζειν οὐκ ἀποκρύψω, ἵνα μή τινων ἀνηκέστων πρὸς τὸν πόλεμον συμβάντων, οὐχ ἡμᾶς αἰτίους, ἀλλὰ σφᾶς αὐτοὺς εἰδείητε αὐτοί. Τῶν γὰρ κατὰ τὴν Ἀσίαν σατραπῶν ὁ δυνατώτατος, ὃν οὐδ' αὐτοὶ ἀγνοεῖτε παρειληφότες ἀκοῇ, Ἀμοὺρ ὁ τοῦ Αἰτίνη, τὴν βασιλέως πεπυσμένος τελευτὴν, καὶ νομίσας καὶ αὐτὸς ῥᾷστα λῃστεύσεσθαι Ῥωμαίους, διὰ τὸ μηδένα εἶναι τὸν ἀμυνούμενον ὑπὲρ αὐτῶν, πεντήκοντα καὶ διακοσίας πληρώσας ναῦς, πᾶσαν ἐποιεῖτο σπουδὴν κακοῦν τὴν ἡμετέραν. Ἐπεὶ δὲ

A multa cum libertate Sismanum postulatum misit, censens, nos quæ ille velit citra detrectationem exsequi oportere. At enim longe fallimini. Nam et imperator adhuc spiritum ducens, nostra opera injuriosos puniebat, et nunc eo e mortalibus sublato, nos filio ejus imperatori subjecti, nosmet, si quis invaserit, ulciscemur; et cum regionem nostram a vastitudine direptioneque tuebimur, tum gloriæ studio, quod Romani a majoribus quasi hæreditatem quamdam accepimus, cupide vobiscum signa conferemus. Haud enim leve hoc sane, nec parum nobis probrosum, supplicem nostrum vobis aut aliis petentibus interficiendum tradere. Quamobrem si istis stulte requirendis supersedentes, pacem colere et fœdus cum demortuo imB peratore sancitum conservare volueritis, nec nos quidquam constitutorum volentes movebimus. Sin vos prius ad bellum proruperitis, Deum sceleris vestri testem adhibentes, quem vos ista perfidia læditis, docebimus vos non ultra quam decet sapere: et vel Sismano triremibus trans Istrum Bidenen deportato bellum civile inter vos suscitabimus (non enim nescitis, Mœsos magnam partem ob amicitiæ vetustatem cognationemque generis ad eum defecturos) et Alexandrum regno penitus exturbabimus, aut certe non exiguis eum cladibus afficiemus; vel si hoc non probabitur, quia infirmius erit, quam pro rei conditione auxilium, equi dem ego ipse cum Romano exercitu mecum Sismanum habens, in vos profectus, acerrime vobisC cum depræliabor; **373** non solum ut a fœdifragis ipse offensus, sed et inique violato opem ferens, vobiscum, inquam, qui factionibus dissidentes, alii Alexandro adhærebitis, alii libentius ab eo discedentes, cum Sismano vos conjungetis, quod e re vestra futurum non existimo. Ego vero et aliam belli viam, qua regionem vestram infestam habere, nostram tutam præstare licebit, non vos celabo: ut atrocissime multati (99), vosmetipsos ea mala vobis intrivisse agnoscatis. Etenim Amurius Aitinæ filius satraparum Asiæ opulentissimus, quem et vos de fama cognovistis, cum de morte imperatoris accepisset, ratus se Romanorum terras facillime deprædaturum, quod jam propugnatore carerD rent, impletis ducentis quinquaginta navibus, omnes eo nervos intendit, ut agros nostros popularet. De cujus irruptione ego audiens, virum inter amicissimos meos probatum misi, qui hortaretur, uti cœptis desistens reverteretur, utpote non in alios quam in me iturum. Is simul ac legatum audivit, e medio itinere retro rediit. Nunc ad me misit, rogavitque ne exercitum a se frustra collectum esse sinam, sed si quod nobis bellum sit, eo contra hostem utamur: ut et milites spoliis ditentur, et ipse tantos sumptus sine ullo fructu ne effuderit, sed hunc saltem consequatur, quod pro amico eos posuerit. Ac nolim vos dictis meis

(99) Gr., *ut si quid exitiale circa bellum contigerit* Edit.

Digitized by Google Распознавание текста ABBYY FR

fidem detrahere, et ventosæ cujusdam ostentationis causa hæc conficta arbitrari. Nam præterquam quod ad figmenta et mendacia non propendemus, vos item si indagaveritis, vera esse comperietis. Quocirca pacem utrisque nostrum longe meliorem utilioremque statuens, et ipse eam amplector, et vos ad eamdem capessendam adhortor. Itaque propter vos in præsens non mihi concidit animus. Sed agite ad regem vestrum quam citissime potest reversi, ut Sismanum se recepturum ne speret, renuntiate. Si idcirco nos bello lacessendos putabit, ut diebus viginti quibus redire poteritis, bellum nobis indicat : tandiu enim et legatum Amurii hic hærere faciam, quo bello denuntiato per litteras ei huc veniendi copiam concedam : et omnino facilius atque cupidius huc venturum, quam antea auctoritati meæ obsecundans, expeditione interrupta rediit, existimandum est. Sin quadam neglectione diem præfixam transgredieмini, non mihi amplius tutum erit requiescere : verum et ipse **374** per me bellum apparabo, et Persicas copias jam paratas huc accersam : nec de cætero, etiam vobis cupientibus, ego facile bellum omittere potero, non solum propter impensam in eo instruendo factam, quam e vestris vectigalibus reficere necesse erit, sed quod etiam socios Barbaros non vacuis manibus, sed ex hostili solo auctos lucris domum remeare oportebit. Igitur et vos iter properare, et regem vestrum responsione nostra percepta, quæ in rem suam fore duxerit, celerrime nuntianda curare opus est. Hactenus ille. Oratores Alexandri, velut obliti priorum spirituum et grandiloquentiæ illius popularis, reducto calculo diem sibi laxiorem definiri rogitarunt, ac se quidem summa festinatione iter acturos prædicabant; quod si rex in ultimo regno degeret, spatium præstitutum esse brevius, quam ut viæ conficiendæ sufficeret. Probata petitione dies triginta concessi, quibus reversi, aut pacem antea compositam et fœdus confirmarent, aut arma denuntiarent. Istiusmodi responsum a magno domestico ferentes, in Mœsiam redierunt. Imperatrix totumque concilium et prudentiam ejus admirati sunt, et gratias multas habuerunt, quod quos heri metuebant, quibusque quid honeste responderent non videbant, cum quo se verterent nescirent, eos ille tam formidolosos redegisset, ut neglectis aliis, diem ampliandum, velut rem necessariam orarent. Sed de his dictum est satis.

Α ἐπυθόμην αὐτὸς τῶν Περσῶν τὴν ἐσομένην εἴσοδον, πρεσβείαν πέμψας πρὸς ἐκεῖνον, ἐν τοῖς μάλιστα ἐξητασμένον τῶν φίλων τῶν ἐμῶν, ἐκέλευον ἀναστρέφειν καὶ ἀπέχεσθαι τῆς πείρας, ὡς οὐδέσιν ἄλλοις ἐπιστρατεύσοντα, ἢ ἐμοί. Ὁ δ' ἅμα τε ἐδέξατο τὴν πρεσβείαν καὶ ἀνέστρεφεν ἐκ μέσης τῆς ὁδοῦ. Νυνὶ δὲ ἐνταῦθα πρὸς ἐμὲ πρεσβείαν πεπομφὼς, δεῖται μὴ περιΐδεῖν αὐτῷ τὴν στρατιὰν εἰκῇ συνειλεγμένην, ἀλλ' εἴ τις πρός τινα πόλεμος ἡμῖν, χρήσασθαι αὐτῇ, ὡς ἂν ἥ τε στρατιὰ ὠφεληθείη ἀπὸ τῶν πολεμίων τῶν λαφύρων, ἐκεῖνός τε μὴ μάτην εἴη τοσαῦτα χρήματα ἀναλωκὼς, ἀλλ' αὐτὸ τοῦτό γε καρπώσαιτο τὸ ἀναλωκέναι ὑπὲρ φίλου. Οὐ χρὴ δὲ ἀπιστεῖν τοῖς λεγομένοις, κόμπου ἕνεκα καὶ αὐχήματος διακένου πεπλάσθαι οἰομένους. Πρὸς γὰρ
Β τῷ μὴ εὐχερεῖς ἡμᾶς πρὸς πλάσματα καὶ ψεύδη εἶναι, ἔξεστι καὶ αὐτοῖς ἀνερευνῶσιν ἐξευρίσκειν ὡ, ἀληθῆ. Ἐγὼ μὲν οὖν τὴν εἰρήνην πολλῷ βελτίω καὶ λυσιτελεστέραν ἑκατέροις οἰόμενος ἡμῖν, αὐτός τε ἀσπάζομαι, καὶ ὑμῖν ἔχεσθαι ταύτης παραινῶ. Διὸ οὐδὲ πρὸς ὑμᾶς ἀπαγορεύω τὸ νῦν ἔχον, ἀλλ' ὡς τάχιστα πρὸς τὸν πέμψαντα ἐπανελθόντες, Σίσμανον μὲν ἀπαγγείλατε μηδέποτε λήψεσθαι προσδοκᾶν. Εἰ δ' ἐκείνῳ διὰ ταῦτα πρὸς ἡμᾶς δοκεῖ πολεμητέα εἶναι, ἐν εἴκοσιν ἡμέραις αἷς ξυνήσεσθε ἐπανελθεῖν, τὸν πόλεμον ἀπαγγέλλειν. Ἐν τοσαύταις γὰρ καὶ τὸν Ἀμοὺρ πρεσβευτὴν ἐνταυθοῖ παρασκευάσω διατρίβειν, ἵν' εἰ ὁ πόλεμος ἀπαγγέλλοιτο, γράμμασιν ἐκείνῳ τὴν ἐνθάδε ἄφιξιν ἐπιτρέψω.
C Πάντως δὲ ῥᾷον οἴεσθαι αὐτὸν ὑμᾶς καὶ προθυμότερον ἀφικέσθαι, ἢ πρότερον ἐκ τῆς στρατείας ἀναστρέφειν πειθόμενον τοῖς λόγοις τοῖς ἐμοῖς. Ἂν δ' ἀμελήσαντες τὴν προθεσμίαν ὑπερβῆτε, ἐμοὶ μὲν ἀσφαλὲς οὐκέτι ἡσυχάζειν, ἀλλ' αὐτός τε οἴκοθεν ἐξαρτύσομαι τὰ πρὸς τὸν πόλεμον, καὶ τὴν Περσικὴν συμμαχίαν οὖσαν παρεσκευασμένην ἐνθάδε ἄξω. Καὶ τοῦ λοιποῦ οὐδ' ἂν αὐτοὶ ἐθέλητε κατατίθεσθαι ῥᾴδιον ἔσται τὸν πόλεμον ἐμοὶ, οὐ μόνον διὰ τὰ ἀναλωθέντα χρήματα πρὸς τοῦ πολέμου τὴν παρασκευὴν, ἃ κομίζεσθαι ἐκ τῆς ὑμετέρας ἀναγκαῖον, ἀλλ' ὅτι καὶ τοὺς κατὰ συμμαχίαν ἥξοντας
D βαρβάρους, οὐ κεναῖς χερσὶν, ἀλλ' ὠφεληθέντας ἐκ τῆς πολεμίας, πρὸς τὴν οἰκείαν δεῖ ἐπαναστρέφειν. Διὰ ταῦτα ὑμᾶς τε σπουδῇ χρήσασθαι πρὸς τὴν ἐυοιπορίαν ἀναγκαῖον, καὶ τὸν ὑμέτερον βασιλέα πυθόμενον τὰ παρ' ἡμῶν ἃ συνοίσειν οἴεται αὐτῷ τὴν ταχίστην ἀπαγγέλλειν. Ὁ μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀλεξάνδρου πρεσβευταὶ ὥσπερ ἐκλαθόμενοι τοῦ προτέρου φυσήματος, καὶ τῆς μεγαλορρημοσύνης τῆς πρὸς τὰς δημηγορίας, μεταβαλόντες ἐγίνοντο ἱκέται πλείω αὐτοῖς παρασχεθῆναι προθεσμίαν. Αὐτοὶ μὲν γὰρ ἔφασαν πᾶσαν ἐπιδείξεσθαι σπουδὴν πρὸς τὴν ὁδοιπορίαν. Ἂν δ' ὁ βασιλεὺς αὐτῶν ἐν ἰσχατιαῖς διάγῃ τῆς ἀρχῆς, οὐκ ἐξαρκέσειν τὰς ἡμέρας ἐνδεεστέρας οὔσας, ἢ προσήκει ἀνυσθῆναι τὴν ὁδόν. Καὶ ἐπεὶ ἐδόκει ἡ ἀξίωσις αὐτῶν δικαία εἶναι, τριάκοντα παρείχοντο αὐτοῖς ἡμέραι, ἐν αἷς ἔδει ἐπαναστρέψαντας, ἢ τὴν οὖσαν εἰρήνην ἐπιβεβαιοῦν καὶ τὰς σπονδὰς, ἢ πόλεμον καταγγέλλειν. Οἱ μὲν οὖν Ἀλεξάνδρου πρέσβεις, τοιαύτας ἀποκρίσεις παρὰ τοῦ μεγάλου δεξάμενοι δομεστίκου, πρὸς τὴν οἰκείαν ἐπανῆκον. Βασιλὶς δὲ καὶ ἡ σύγκλητος πᾶσα ἐθαυμαζόν τε τῆς συνέσεως αὐτὸν, καὶ χάριτας ἤδεσαν πολλὰς, ὅτι οὓς αὐτοὶ ὠῤῥώδουν ἐν τῇ προτεραίᾳ καὶ πρὸς οὓς οὐδὲ ἀπολογίας εὐπόρουν εὐπροσώπου, ἀλλ' ἀπορίᾳ πάντοθεν συνείχοντο, τούτους οὕτω κατέστησεν αὐτὸς περιδεεῖς, ὥστε μὲ-

Digitized by Google Распознавание текста ABK/FR

λήσαντας τῶν ἄλλων δεῖσθαι περὶ τῆς προθεσμίας, ὡς περί τινος ἀναγκαίου. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

CAPUT VIII.

Cur milites ad arma tardiores. Patricii cujusdam professionum scribæ desiderium juvandæ reipublicæ. Ejusdem pecunia, quam liberaliter ad usum reipublicæ domestico defert. Ille de facto hominem commendat. Antiquum munus ei denuo mandat, idque ipsum extollit; oblatam accipere pecuniam in tempus necessarium differt; militum reditus cum insigni eorumdem lætitia exæquantur et augentur.

Ὁ μέγας δὲ δομέστικος τοῖς μὲν στρατιώταις A κατὰ πόλεις ἐκέλευε διὰ γραμμάτων παρασκευάζεσθαι ὡς ἦν δέη πολεμήσων τοῖς Μυσοῖς. Ὁρῶν δὲ οὐ τοῦ καταλόγου μόνου τοῦ στρατιωτικοῦ πολλοὺς, ἀλλὰ καὶ τῶν ἄλλων οὐκ ὀλίγους προφάσει τοῦ μὴ τὰς παρὰ βασιλέως ἑκάστῳ τεταγμένας χορηγίας ἀκεραίους εἶναι παντάπασιν ἀμελοῦντας πρὸς τὰς στρατείας καὶ τῆς ἐξ αὐτῶν ἀφελείας ἀποστεροῦντας τὸ κοινὸν ἐσκέπτετο, ὅθεν ἂν ἐκείνους τε τῆς πιεζούσης ἀπορίας ἀπαλλάξαι, τὸ ἐλλεῖπον ἑκάστῳ πρὸς τὴν ἐκ βασιλέως πρόνοιαν ἀναπληρώσας, καὶ αὐτὸς αὐτοῖς πρὸς δέον χρήσαιτο ἑκάστῳ, πάντας πρὸς τὸ κοινῇ λυσιτελοῦν ἀποδείξας συνεισφέροντάς τι. Οὕτω δὲ περὶ τούτων αὐτῷ φροντίζοντι πρὸς ἑαυτὸν, ὁ Πατρικιώτης προσελθὼν, πολὺν δή τινα χρόνον περὶ B ἀπογραφὰς ἠσχολημένος, καὶ πεῖραν ἐν τοῖς τοιούτοις ἐσχηκὼς πολλὴν, ἀκηκοέναι ἔφασκεν αὐτὸν πάντας βούλεσθαι πρὸς τὰς στρατείας ἀπροφασίστους παρασκευάζειν ταῖς ἐκ τῶν δημοσίων ἀποτεταγμέναις αὐτοῖς προσόδοις τὰ ἐλλείποντα ἀναπληροῦν, ἢ καὶ προστιθείς. Τὰ δὲ τοιαῦτα, οὔτε βέλτιον, ὥσπερ ἂν εἰδείη καὶ αὐτὸς, οὔτε μὴν μετ' ἐμπειρίας πλείονος ἑτέρῳ τινὶ τῶν πέντων ἢ αὐτῷ ὑπηρετηθείη. Ὅτι δὲ μὴ προσκληθεὶς, ἀλλ' αὐτὸς πρότερος προσελθὼν, ἐγχειρισθῆναι τὴν ἀπογραφὴν ἀξιοίη, οὐ δίκαιον ὑποπτεύειν. Οὐ γὰρ ἐπιθυμίᾳ κέρδους μᾶλλον, ἢ τοῦ βούλεσθαι αὐτῷ πρὸς τὰ κοινῇ συναίρεσθαι λυσιτελοῦντα τοιαῦτα προελέσθαι, μάλιστα ποιουμένῳ περὶ πλείστου, τὴν Ῥωμαίων ἡγεμονίαν μείζω καὶ περιφανεστέραν ἀποδεικνύναι· τούτου δὲ C ἀπόδειξιν, οὐ λόγοις, ἀλλ' ἔργοις πειράσεσθαι παρέχειν ἐναργῆ. Ἔτεσι γὰρ ἤδη καὶ πρότερόν τισιν οὐκ ὀλίγοις ἠσχολημένῳ περὶ τοιαῦτα, χρήματα ἠθροικέναι οὐκ ὀλίγα ἐξεγένετο, καί τοι πειρωμένῳ μάλιστα μὴ βιαίως, μηδ' ἐκτὸς παντὸς τρόπου κερδαίνειν εἶναι, ἃ δὴ ὕστερον οὐκ εἶα ἠρεμεῖν· ἀλλὰ πολλοὺς ἐκίνει λογισμοὺς ἐν τῇ ψυχῇ, μὴ κατορύττειν, ἀλλ' εἰς εὐποιΐας ἀναλίσκειν τινῶν ἀνθρώπων, ὡς διὰ τούτου δυναμένῳ τὴν ἐκ τῆς ἁμαρτίας ἀποτρίβεσθαι κηλίδα. Νῦν μὲν οὖν ἐδόκει φροντιστήριον ἐκ τούτων ἀνδρῶν οἰκοδομεῖν τῷ Θεῷ καθάπαξ ἀνατεθεικότων ἑαυτοὺς, καὶ διὰ τῆς εἰς ἐκείνους εὐποιΐας ἱλεοῦν τὸ Θεῖον ἑαυτῷ δι' ἀλλακτῆς ἐκείνοις τὰ τοιαῦτα μάλιστα καταπράττεσθαι χρωμένῳ οὕσι δυνατοί. Νυνὶ δὲ εἰς πένητας ἀγύρτας ἀναλοῦν, ὡς D

At magnus domesticus, missis oppidatim epistolis, veteranos ad bellum cum Mœsis gerendum, ubi necesse fuerit, paratos esse jussit. Sed cum animadverteret, non solum ex albo militari multos, verum etiam de aliis complures, obtentu quod decretum quisque ab imperatore stipendium non integre perciperet, ad expeditiones parum promptos, **375** et rempublicam privari, quas illi præstabant commoditatibus, quo pacto et paupertatis eos onere levaret, suppleto quod cuique ad præscriptum imperatoris deerat, et ipse singulorum opera opportune usus efficeret, ut omnes ad communem fructum aliquid conferrent, secum considerabat. Interea Patriciota, qui diu publicis professionum tabulis conficiendis vacaverat (1), multamque in eo munere experientiam consecutus erat, accedens se audisse narrat, illum velle omnes expeditioni citra excusationem accingi, et pensiones illis de publico constitutas supplere, vel augere etiam. Tale vero negotium nec melius (quod sciret etiam ipse) nec experientius a quoquam præter se administrari posse. Jam quod non advocatus, sed sponte sua veniret, descriptionemque sibi mandari cuperet, nihil justæ suspicionis habere. Haud enim cupiditate quæstus magis, quam quod ipsum maximopere optantem Romanorum principatum amplificare et illustrare, in eo boni communis ergo adjuvare constituisset, hanc potissimum mentem suscepisse, seque id non verbis, sed factis evidenter demonstrare conaturum. Nam antea pluribus annis in hoc munere versantem, magnam pecuniæ vim (tametsi non vi, ne quo jure, qua injuria compendia sua quærere niteretur) confecisse, quam otiosam in posterum jacere non sivisse, sed frequenter in pectore volvisse, quomodo non humi defossam ad beneficentiam liberalitatemque conferret, et ita peccatorum suorum maculas deterere posset. Aliquando igitur ædificare monasterium virorum, qui semel se Deo dedicassent, et per liberalitatem in illos collatam sibi divinum numen placare, per reconciliatores nimirum, qui id præstare in primis queunt, aliquando in mendicos circumforaneos consumere cogitasse. Sed cum reputarit, aut illos, aut hos commode pecunia non usuros, aut alios per rapinam et

Jacobi Pontani notæ.

(1) Hoc puto Græca velle. *Profiteri*, inquit Budæus in Pandect. *est publice, et apud acta aliquid ultro denuntiare, quod vulgo insinuare vocant.* Curtius, lib. x : *Alexander priusquam secerneret, quos erat retenturus, edixit ut omnes milites æs alienum profiterentur.* Fiebat etiam professio in censu peragendo. Ulpianus : *Vitia priorum censuum editis novis professionibus evanescunt.* A Græcis ἀπογράφεσθαι dicitur, et professio ἀπογραφή. Lucæ II. Αὕτη ἡ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας, Κυρηνίου, καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. *Hæc professio prima facta est, etc.*

Digitized by Google Распознавание текста ABK/FR

scelus usuros, eamque disperdituros, et illum solum rerum præsidem ejusque sensum perspexerit, quomodo ob communem utilitatem non pecuniam modo, verum et ipsam animam, si facultas sit, pro nihilo habere meditetur, et morum ejus honestatem jam noverit, statuisse ipsi offerendam pecuniam illam, non honeste solum, sed et cum ratione et diligentia ad publicam Romanorum utilitatem insumendam, quando et ab ipsis collecta sit. Hanc igitur omnem illi venisse tradere, ubicunque voluerit utendam. **376** Itaque patere omnibus, non ideo se adesse, ut se huic muneri quæstus faciendi causa præfici roget, cum parta retinendi ac de cætero in otio vivendi libertas fuerit, sed quia ipsi ad veterem felicitatem Romanis recuperandam tam intensa et assidua cura incumbenti utilis et ad juvandum idoneus videri cupiat. Hac oratione delectatus magnus domesticus, de pecunia se illi gratiam habere ait, non tantum quod eam ad communem usum contulerit, sed quod etiam sibi ejus dispensandæ rationem crediderit, quam recte fideliterque collocare velit. Nam quempiam, cui communium rerum mandata est procuratio, non inde augere facultates suas, sed quæ ante magistratum acquisivit, in his emori, et a pecunia invictum prorsus apparere, non difficile solum, sed nunquam contingere. Possidere autem jam, ac ob id nihil formidare mali, deinde æquo animo velle erogare, et male collectis bene uti, hoc non multorum, sed salvari volentium esse certoque credentium, se post finem hujus lucis omnium in vita gestorum rationem reddituros. Præstat quidem non peccare prorsus, neque maculis multis fœdare animam; si tamen id evenerit, non iterum peccandi principium erit, non modo a delictis abstinere, sed et admissa sequentibus recte factis compensare. Idcirco te ob istam mutationem, quod non aliter quam ad communem fructum pecuniam tuam donandam censueris, laudo. Quod vero non vocatus, sed ultro ad me adiens vitæ subsidia a militibus de publico pendi solita exæquare petivisti, tantum abest ut damnem, ut cum prius ipse meopte impulsu tibi propter experientiam hoc ministerii committere voluerim, nunc amplius credam, te id melius ac justius obiturum. Non enim æque et qui promissis largus est, et qui nihil promittit, promissa implere enituntur. Hanc igitur provinciam tibi injungo. Te quoque par est existimare, non parva quædam et despicabilia abs te tractari, et quæ nec, si probe curentur, communi admodum proficiant, nec non perinde noceant, si segniter ac nequiter fiant. Quod namque in re politica judex, hoc in publicis stipendiis præstare possit exæquator. Etenim et ille ex æquitate arbitriis faciendis et ad legum obedientiam cogendo, bonum civitatis statum conciliat; et hic si justus esse, communique commodare velit, alios spoliabit, si ultra justum fructus percipiant, **377** aliis minus habentibus plus addet, om-

A τῶν πρότερων, ἢ ἐκείνων μὴ εἰς δέον τοῖς χρήμασι δυναμένων χρήσασθαι, ἢ ἑτέρων ἁρπαγῇ καὶ ἀδικίᾳ χρησομένων καὶ διαφθαρούντων, ὡς δὲ σοῦ μόνου καταστάντος ἐπὶ τοῖς πράγμασι, καὶ τὴν διάνοιαν κατεῖδον, ὡς ὑπὲρ ὠφελείας τῶν κοινῶν, οὐ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὴν αὐτὴν εἰ οἷόν τε προΐεσθαι διανοῇ, καὶ τὸν τρόπον προειδὼς ὡς ἀγαθὸς, ἔγνων δεῖν σοι τὰ χρήματα ἐκεῖνα ἐγχειρίζειν, ὡς οὐ καλῶς μόνον, ἀλλὰ καὶ εὐλόγως ἀκριβῶς ὑπὲρ τῶν κοινῇ Ῥωμαίοις συμφερόντων ἀναλωθησομένων, ἐπειδὴ καὶ ἐκ τούτων συνελέγησαν αὐτῶν· ἃ δὴ πάντα ἧκω ἐγχειρίζων, ἐφ' ὅ τι ἂν ᾖ σοι χρησομένῳ βούλησις. Ἔξεστιν οὖν παντὶ τὴν ἀπόδειξιν λαμβάνειν ἐναργῆ, ὡς οὐ χρηματισόμενος ἐκ τῆς ἀπογραφῆς ἧκω δεόμενος καταστῆναι πρὸς αὐτήν· ἐξὴν γὰρ

B ἔχοντα ἃ κέκτημαι, μηδὲν περαιτέρω πολυπραγμονεῖν, ἀλλὰ σοὶ φανεῖσθαι χρήσιμος ἐπιθυμῶν, καὶ πολλὰ συνάρασθαι δυνάμενος πρὸς τὸ τὴν ἀρχαίαν εὐδαιμονίαν τοῖς Ῥωμαίοις ἀνασώζειν, πολλὴν τούτου ἕνεκα καὶ συνεχῆ ποιουμένῳ τὴν φροντίδα. Ὁ δὲ ἄσμενος ἀποδεξάμενος τοὺς λόγους, περὶ μὲν τῶν χρημάτων ἔφασκε χάριν αὐτῷ πολλὴν εἰδέναι, οὐ τῷ ὑπὲρ τῶν κοινῇ συμφερόντων μόνον παρεσχῆσθαι, ἀλλὰ καὶ τῷ αὐτῶν πεπιστευκέναι τὴν διοίκησιν αὐτῷ ὀρθῶς πεπεισμένῳ καὶ δικαίως ἀναλώσειν. Τὸ μὲν γάρ τινα τῶν κοινῶν ἐπιμέλειαν ἐγκεχειρισμένον, μὴ τὴν οὐσίαν ποιεῖν βελτίω, ἀλλ' ὅσα πρὶν ἅπτεσθαι, τοσαῦτα ἔχοντα ἀπαλλάττεσθαι, καὶ χρημάτων ὡς ἐπίπαν ὀφθῆναι κρείττω, οὐ χαλεπὸν μόνον, ἀλλὰ καὶ ἀδύνατον σχεδόν. Τὸ δ' ἔχοντα ἤδη

C καὶ μηδὲν ὑποπτεύοντα δεινὸν περὶ αὐτῶν, ἔπειτα ἐκόντα βουληθῆναι ἀποθέσθαι, καὶ ἃ συνέλεξε κακῶς χρήσασθαι εἰς δέον, οὐ τῶν πολλῶν, ἀλλὰ τῶν βουλομένων σώζεσθαι, καὶ πεπεισμένων ἀκριβῶς ὡς πάντων παρέξουσιν εὐθύνας τῶν βεβιωμένων μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. Βέλτιον μὲν γὰρ μὴ ἁμαρτάνειν τὴν ἀρχήν, μηδὲ κηλίσι πολλαῖς καταμιαίνειν τὴν ψυχήν. Ἂν δ' ἄρα τοῦτο συμβαίνῃ, δευτέρας ἀναμαρτησίας ἀρχὴ, τὸ μὴ μόνον τε παύσασθαι τῶν κακῶν, ἀλλὰ καὶ ἀντίῤῥοπον ἐπιδείκνυσθαι τῶν ἀγαθῶν τὴν ἐργασίαν. Διὰ ταῦτα δὴ καὶ ἐπαινῶ σε τῆς μεταβολῆς, καὶ τοῦ μὴ τρόπον ἕτερον, ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων τὰ χρήματα

D βουληθῆναι ἐπιδοῦναι. Ὅτι δὲ μὴ προσκληθεὶς, ἀλλὰ πρότερος προσελθὼν αὐτὸς τὸ ἐπανισοῦν τοῖς στρατιώταις τὰς ἐκ τῶν δημοσίων ᾔτησας τοῦ βίου ἀφορμὰς, τοσοῦτον ἀπέχω καταγινώσκειν, ὥστε καὶ πρότερον αὐτὸν οἴκοθεν ὡρμημένον διὰ τὴν περὶ ταῦτα ἐμπειρίαν σοι τὴν ὑπηρεσίαν ἐγχειρίζειν, νῦν μᾶλλον ἀνέπεισας βέλτιον οἴεσθαι καὶ δικαιότερον τὰ τοιαῦτα διοικήσειν. Οὐ γὰρ ὁμοίως ὅ τε πολλὰ ἐπαγγειλάμενος καὶ ὁ μηδὲν, περὶ τῶν ἐπηγγελμένων τὴν ἐκπλήρωσιν σπουδάσουσι. Τὴν μὲν οὖν ὑπηρεσίαν τῶν τοιούτων ἐπιτρέπω. Σὲ δὲ καὶ αὐτὸν οἴεσθαι προσῆκον, μὴ μικρά τινα καὶ εὐκαταφρόνητα μετιέναι, μηδ' οἷα, μήτε διοικούμενα καλῶς πολλὴν ὠφέλειαν παρέχειν τῷ κοινῷ, μήτ' ἐπίσης βλάπτειν ἂν ῥᾳθύμως καὶ πανούργως πράττωνται. Ὅπερ γάρ ἐστι τοῖς πολιτικοῖς πράγμασιν ὁ κριτὴς, τοῦτο τοῖς

Digitized by Google Распознавание текста ABK/FR

δημοσίοις δύναιτ' ἂν ὁ ἐξισωτής. Ἐκεῖνος τε γὰρ εὐνομίαν ταῖς πόλεσι παρασκευάζει, δικαίως διαιτῶν, καὶ τοῖς νόμοις πείθεσθαι καταναγκάζων. Καὶ οὗτος ἂν ἐθέλῃ τὰ δίκαια ποιεῖν καὶ τὰ λυσιτελοῦντα τῷ κοινῷ, τῶν μὲν ἀφαιρήσεται ἂν πλέον καρπῶνται τοῦ δικαίου· τοῖς δὲ ἔλαττον ἔχουσι προσθεὶς, προθύμους πρὸς τὰς στρατείας παρασκευάσει πάντας, καὶ φυλάττοντας τὴν τάξιν, καὶ πειθομένους ἄριστα τοῖς στρατηγοῖς, ὡς οὖν μεγάλα πεπιστευμένος, καὶ τὰ μέγιστα συμβαλλόμενα πρὸς τὴν διοίκησιν τῶν ὅλων, οὕτω χρὴ καὶ πεπεῖσθαι, καὶ προσήκουσαν σπουδὴν καὶ προθυμίαν ἐπιδείκνυσθαι ἐπὶ τοῖς ἔργοις. Τοιαῦτα μὲν διῆλθε πρὸς αὐτὸν, ἀπολογίαν ποιούμενος ἐφ' οἷς ἠξίου. Ἔπειτα τῶν χρημάτων ἐπυνθάνετο τὸν ἀριθμὸν ὁπόσος εἴη. Τοῦ δὲ ἀποκριναμένου, χρυσίου μὲν εἶναι μυριάδας δέκα, ἐπιπλά τε καὶ σκεύη ἐκ χρυσοῦ πεποιημένα καὶ ἀργύρου, χρυσίων τετρακισμυρίων ἄξια, καὶ ταῦτα φαμένου πάντα τὸ νῦν ἔχον, ἑτοίμως ἐπιδοῦναι ἔχειν, τῶν οἰκετῶν μετακαλεσάμενός τινα, Οὐκοῦν, ἔφη, ταῦτα τούτῳ παράδος ἀπελθών. Ὡς δὲ μηδὲν μελλήσας ἐπορεύετο τὰ προστεταγμένα ἐκπληρώσων, πρὶν οἴκαδε ἐλθεῖν, ὁ μέγας δομέστικος ἐκέλευεν ἀναστρέφειν, καὶ τῆς μὲν προθυμίας ἕνεκα ἐπῄνει, τὰ χρήματα δὲ ἐκέλευεν αὐτὸν φυλάττειν, ὡς νῦν μὲν αὐτῶν οὐ δεομένῳ. Ἐὰν δὲ τῶν ἰδίων ἀναλωθέντων καὶ τούτων δεηθῇ, τότ' ἤδη λαμβάνειν ὡς αὐτῷ καὶ ταῦτα διαφέροντα, καὶ ἀναλίσκειν, ὅποι ἂν δοκῇ τῷ κοινῷ ἀναλωθέντα μάλιστα λυσιτελήσειν. Ὁ δ' ἀπηγόρευε μὲν τῶν χρημάτων τὴν φυλακὴν, οὐ καθ' ἡδονὴν εἶναι φάσκων αὐτῷ παρακατέχειν ἔτι. Ὅμως ἀναγκαίως προστατταμένος ἐπείθετο. Μετὰ τοῦτο δὲ ὁ μέγας δομέστικος, τῶν τε συγκλητικῶν καθ' ἕνα, καὶ τῶν ἄλλως εὐγενείᾳ διαφερόντων, ἔπειτα καὶ στρατιώτας μετακαλούμενος, τῆς τε παρὰ βασιλέως ἀποτεταγμένης ἑκάστῳ προνοίας ἐπυνθάνετο τὸν ἀριθμὸν καὶ εἰ τοσοῦτον κέκτηται νῦν, ἢ τοῦ τεταγμένου ἧττον· τῶν δὲ ἀποκρινομένων ἑκάστου ὅπως εἶχε τὰ αὐτοῦ, τοῖς μὲν ἀπεστερημένοις τῶν δεόντων τὸν Πατρικιώτην ἐκέλευεν ἀναπληροῦν, καὶ προσέτι προστιθέναι, ὅσον αὐτῷ καλῶς ἔχειν ἐδόκει, ἀναλόγως ἑκάστῳ τὴν εὐεργεσίαν προστιθείς. Τοῖς δὲ ἀνενδεεῖς τὰς ἐκ βασιλέως ἔχουσι προσόδους, καὶ αὐτοῖς ἐκέλευεν ὁμοίως πρὸς οἷς ἔχουσι καὶ ἑτέρας προστιθέναι. Καὶ ἐν ἑξήκοντα ἡμέραις μάλιστα γεγενημένου τοῦ ἀναδασμοῦ, τοῖς τε ἔλαττον ἔχουσι προσετίθετο τὸ ἐλλεῖπον μετὰ προσθήκης, καὶ τοῖς λειπομένοις μηδενὸς ἡ προσθήκη προσεγίνετο. Καὶ πάντες ἐξαρχούσας τὰς προσόδους ἡγησάμενοι, χάριτάς τε ὡμολόγουν τῷ μεγάλῳ δομεστίκῳ πολλὰς, καὶ πρόθυμοι ἦσαν τοῖς ὁπουδήποτε γῆς τῶν Ῥωμαίων πολεμίοις μάχεσθαι. Καὶ ὅπλα ἐπεσκεύαζον διασμήκοντες, καὶ ἵππους προσεπορίζοντο καὶ πλείους καὶ βελτίους τῶν προτέρων· καὶ ὅλως ἐδόκουν καὶ ἀγανακτεῖν, ὅτι μὴ τάχιον πρὸς ἄμυναν ἐξάγονται τῶν πολεμίων.

A nesque ad militandum promptos, et ordinum observantes, et ducibus obsequentissimos reddet. Quia igitur magnarum et ad gubernationem summæ reipublicæ utilissimarum rerum tibi credita cura est, te id sentire, et in opere conveniens studium alacritatemque adhibere oportet. Atque hæc quidem ad ejus petitionem disseruit, ac respondit, post, quantum esset pecuniæ, quæsivit. Eo respondente, aureorum centum millia, supellectilem vero et vasa ex auro argentoque quadraginta millibus æstimata, quæ omnia in præsens donare paratus sit, quodam famulorum accito, Abi igitur, inquit, et huic da isthæc. Qui cum sine mora abiret jussa confecturus, priusquam domum attingeret, magnus domesticus eum revocat, et de libentia collaudatum, pecunias servare jubet, quod iis modo non egeat. Ubi suis consumptis et his indiguerit, tum ipsas quoque ut sibi necessarias accepturum, ibique eas positurum, ubi earum erogatio reipublicæ plurimum profutura videbitur. Hic ille primum tergiversari et dictitare parum sibi jucundam esse pecuniæ custodiam. Verumtamen imperata facere necesse habuit. Secundum hæc magnus domesticus primoribus singulis et alioquí nobilitate præstantibus, et præterea militibus accersitis, quantum cuique imperator decrevisset, percuntiabatur, et tantumne modo, an minus possiderent. Quibus sigillatim quod res erat respondentibus, Patriciotæ mandavit, ut qui fraudati essent, eorum damna resarciret, et insuper quantum decere judicaret, spectata cujusque dignitate et meritis adjiceret. Qui ab imperatore sufficientia haberent stipendia, illis similiter alia addi jussit. Sic diebus sexaginta maxime divisione facta, cum minus habentibus quod deerat accederet cum auctario, et reliquis nihil desiderantibus tamen adderetur, universi contenti stipendiis, magnum domesticum gratiarum actione prosequebantur, et ubicunque terrarum adversus Romanorum hostes ad decertandum se paratos ostendebant, arma extergentes et equos consuetis plures ac meliores comparantes, dolentesque plane, ut apparebat, quod non citius ad hostium injurias defendendas educerentur.

B

C

378 CAPUT IX.

χρόνον. Ὡς οὖν μεγάλων ἐκεῖθεν ἐλπίδων ὑποφαινομένων, οὕτω προσήκει πράττειν, ὥστε μὴ τὸν καιρὸν ἡμᾶς διαφυγεῖν. Οὗ δὴ ἕνεκα εἰς Βυζάντιον ἡμᾶς ἐπανελθεῖν ἡγοῦμαι νυνὶ προσήκειν. Δυνάμεως γὰρ ἡμῖν πρὸς τὴν Πελοπόννησον χρεία ναυτικῆς, ἣν δεῖ τοῦ χειμῶνος παρασκευασθῆναι. Ἂν οὖν τούτων ἀμελήσαντες νῦν, τραπώμεθα πρὸς τὴν ἑσπέραν,' νομίσαντες ὡς ἐπανήξομεν τάχει καταστήσαντες ταχέως, δέος μὴ πολέμοις ἐμπλακέντες, καὶ τισιν ἑτέροις ἀναγκαίοις, καὶ μὴ δυνηθέντες παρασκευάσασθαι, ἐπανελθόντες ἀπολέσωμεν τὴν πρᾶξιν. Ἐὰν δὲ γενώμεθα ἐν Βυζαντίῳ νῦν, πρῶτα μὲν ναυάρχους καταστήσομεν καὶ στρατηγόν, οἷς μελήσει τάς τε ναῦς ἐπισκευάζειν, καὶ ναύτας, οἳ ἐπιβήσονται καὶ ὁπλίτας καταλέγειν. Ἔπειτα δὲ καὶ περὶ χρημάτων σκεψόμεθα, ὅθεν λαμβάνειν αὐτοῖς ἐξέσται πρὸς τοῦ στόλου τὴν παρασκευήν· πρὸς δὲ ταύτοις καὶ τοὺς τῶν δημοσίων φόρων διοικητὰς ἀνάγκη καθιστᾷν, ἵνα μὴ ἀτάκτως φερομένων καὶ ὡς ἔτυχε λύμη τις γένηται περὶ χρήματα τὰ κοινά, ἐπιδεδωκότα οὐ μικρῶς ἐκ προσθήκης μὲν οὐδεμιᾶς τῶν εἰθισμένων φόρων, ἐξ ἑτέρων δέ τινων τρόπων καὶ ἐπινοιῶν. Ἐπειδὰν δὲ ταῦτα τῆς προσηκούσης ἐπιμελείας τύχῃ καὶ φροντίδος, πρεσβείαν διανοοῦμαι πέμπειν πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν, ἅμα μὲν κατασκεψομένους τὴν ἐκείνου δύναμιν ὁπόση εἴη, ἅμα δὲ εἰ καὶ πρὸς διαλλαγὰς ἑτοίμως ἔχει, χωρήσοντας πρὸς διαλύσεις· οὐ γὰρ ἡγοῦμαι νῦν ἡμῖν λυσιτελεῖν, ἐξὸν εἰρήνην μετὰ τῶν ὁμορούντων ἐθνῶν ἄγειν, ἑκοντὶ τὸν πόλεμον αἱρεῖσθαι· αὐτὸς δὲ ὀλίγας ἡμέρας Βυζαντίῳ ἐνδιατρίψας, ἔπειτα τὸ μισθοφορικὸν τῆς στρατιᾶς καὶ τῶν ἐκ χωρίων τὰς προσόδους ἐχόντων τοὺς δυνατωτέρους, παραλαβών, ὡς καὶ τῆς ἑσπερίου στρατιᾶς συνεσομένης, πρὸς ἑσπέραν τοῦ χειμῶνος βαδιοῦμαι, τοῖς ἄλλοις ἐπιτρέψας οἵκοι διατρίβειν, καὶ παρασκευάζεσθαι πρὸς τὴν στρατείαν ὡς ἅμα ἦρι ἐσομένης. Καὶ Ἀλβανοὺς τοὺς περὶ Πογωνιανὴν καὶ Λιβίσδαν νεμομένους ληϊσάμενος, καὶ δίκας τῆς ἀδικίας ἐπιθείς (ἴστε γὰρ δή που καὶ αὐτοί, ὡς καὶ περιόντος βασιλέως, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν πολλὰ τὰς τῆς Ἀκαρνανίας πόλεις καὶ Βαλάγριτα ἐκάκωσαν ὁσημέραι κατατρέχοντες καὶ ληϊζόμενοι) πειράσομαι εἰ δυναίμην· οἶομαι δὲ, τὴν τῶν Χριστοῦ γενεθλίων ἑορτὴν ἐν Βυζαντίῳ ἀγαγεῖν, οὐ μόνον διὰ τὴν στρατιάν, ἵνα μὴ ὑπερόριος ἐν χειμῶνι διατρίβῃ, ἀλλ' ἵνα καὶ βασιλέως ἡ νέου στεφηφορία τελεσθῇ. Οὕτω γὰρ ἐδέδοκτο ἡμῖν· ἅμα δὲ ἦρι ἀρχομένῳ τῶν τε τριηρῶν πρὸς τὸν πλοῦν οὐσῶν παρεσκευασμένων, καὶ τῆς στρατιᾶς ἁπάσης ἐξ ἠπείρου τε ἅμα καὶ θαλάσσης προσβαλοῦμεν τῇ Πελοποννήσῳ· οὐ γὰρ μικρὰ προσθήκη γενήσεται Ῥωμαίοις, ἂν ὑπαγαγώμεθα ἐκείνους· ὁδοῦ δὲ πάρεργον καὶ τοὺς τῆς Ἰωνίας διερευνησάμενοι ναυστάθμους καὶ ποταμοὺς ἐν οἷς οἱ Πέρσαι τὰς ὁφετέρας αὐτῶν προσορμίζουσι ναῦς, καὶ καταφλέξαντες πυρὶ (οὕτω γὰρ Ἀλησέρῃ τῷ Κοτυαείου σατράπῃ καὶ ἐμοὶ συντέθειται, ἐκ τῆς ἠπείρου παραβοηθοῦντι ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ,

Digitized by Google Распознавание текста ABBYY FR

καὶ τῆς ἐξ ἐκείνων ἀπαλλαγέντες λύμης καὶ φρον- A proceres, obviam se ferentes, et ab equis descen-
τίδος, πρὸς τὸν προκείμενον βαδιούμεθα ἀγῶνα, dentes consalutarunt, quos ille ut ineptos objurgavit; progressusque in palatium, Augustam, salute dicta, ex calamitate ægram animi, et ægrotam corpore consolatus, et expositis quæ Didymotichi egisset, quæque Peloponnesiorum legatis promisisset, quæque illis et aliis facere cogitaret, spes magnas ut conciperet, atque ut sibi fideret, quando pro ejus et filiorum, Romanorumque omnium utilitate, omni studio alacritateque pugnaturus, et neque pecuniis neque sanguini suo parsurus sit, hortatus est. Nunc quidem quantopere cum reditibus communibus auctus sit exercitus, non facile posse verbis demonstrari: vere novo, si vivat, nullis verbis opus futurum, cum ipse operum fructus id demonstraverit. **389** Deinde collatis cum ea ob quæ venerat, ubi et illa ut commoda probavit, et consilium ejus approbavit, ad delibera a opera explicanda se dedit.

πάντα τὰ οἶκοι καταστήσαντες καλῶς. Τοιαῦτα τοῦ μεγάλου βουλευσαμένου δομεστίκου, ἐπὶ καὶ τοῖς ἄλλοις συνεδόκει καὶ ἐπῄνουν τὴν βουλήν· πρὸς μὲν τὸν Τριβαλῶν ἄρχοντα, πρέσβεις ᾑροῦντο αὐτίκα· οἳ καὶ παραγενόμενοι καὶ διαλεχθέντες περὶ εἰρήνης, ἔπεισάν τε διαλύσασθαι, καὶ ἔθεντο σπονδὰς κατὰ τὰς οὔσας πρίν. Ὁ μέγας δὲ δομέστικος ἀθροίζεσθαι κελεύσας τὴν στρατιάν, αὐτὸς ἦει εἰς Βυζάντιον. Ἐπεὶ δὲ ἐγένετο ἐγγὺς, οἱ Βυζαντίῳ παρόντες τῶν συγκλητικῶν εἰς ὑπάντησιν ἐξελθόντες, ἠσπάζοντο τῶν ἵππων ἀποβάντες· ὁ δὲ ἐπέπληττεν αὐτοῖς ὡς οὐ προσήκοντα ποιοῦσιν· Ἔπειτα εἰς τὰ βασίλεια ἐλθὼν, ἠσπάζετό τε βασιλίδα, καὶ παρεμυθεῖτο λόγοις, οὐκ ἀλγοῦσαν μόνον ὑπὸ τῶν B συμφορῶν, ἀλλὰ καὶ τὸ σῶμα νοσηλευομένην· καὶ διηγησάμενος ὅσα τε πράξειε πρὸς Διδυμότειχαν ἐλθὼν, καὶ ὅσα τοῖς ἐκ Πελοποννήσου πρέσβεσιν ἐπαγγείλαιτο, οἷά τε διανοοῖτο περί τε ἐκείνων καὶ περὶ τῶν ἄλλων πράττειν, μεγάλα τε ἐλπίζειν παρῄνει καὶ αὐτῷ θαῤῥεῖν ὡς ὑπὲρ ὠφελείας αὐτῆς τε καὶ παίδων καὶ τοῦ κοινοῦ Ῥωμαίων, οὔτε σώματος, οὔτε χρημάτων φειδομένῳ, ἀλλὰ πᾶσαν ἐπιδειξομένῳ καὶ σπουδὴν καὶ προθυμίαν. Νῦν μὲν γὰρ οὐ ῥᾴδιον εἶναι λόγοις τήν τε στρατιᾶς ἐπίδοσιν καὶ τῶν προσόδων τῶν κοινῶν ἀποδεικνύειν. Ἔαρος δὲ γενομένου εἰ ἐν ζῶσιν εἴη, οὐ λόγων δεήσεσθαι πρὸς τὴν ἀπόδειξιν, ἐξ αὐτῶν τῶν ἔργων φανερᾶς τῆς ὠφελείας γινομένης. Ἔπειτα καὶ περὶ ὧν ἦκει κοινωσάμενος ὡς καὶ αὐτῇ συμφέρονταϊ ἐδόκει, καὶ ἐπεψήφιζε τὴν βουλὴν, ἔργου εἴχετο καὶ διῴκει πάντα ᾗ βεβούλευτο.

CAPUT XIII.

Clamor confusus ante palatium; causam ejus litem aliquam censet magnus domesticus; discit se causam esse, pro cujus honore milites et nobiles contra patriarcham linguis pugnabant. Rem imperatrici narrat, monens ut homines protervos castiget, quod facit castigatione in partes certas distributa.

Ὀλίγῳ δὲ ὕστερον ἐξ ἐκείνης τῆς ἡμέρας ἐν βα- C Paulo post diem illum, dum in regia cum imperatrice de republica sermocinatur, et ambo de rebus agendis consultant, foris tumultus et commistus clamor exauditur. Interrogante ea quidnam hoc esset, negavit se certum scire, credere tamen ob litem aliquam jurgantes sic eos vociferari, quin aliud nihil prorsus se putasse postea affirmavit, neque enim vel ipse quid ageretur sciebat. Crescente et diutius durante strepitu, ratus et ipse quidpiam novi tentari, surgens exit, uti causam noscitet. Atrium palatii plenum, non ex albo militari solum, sed etiam ex juvenibus nobilitate illustribus, et patriarcham stantem in medio, verbisque cum ipsis velitantem videt. Causa dissensionis erat, quod illi magnum domesticum majore dignandum honore censebant, et non ut unum de infima plebe aulam palatii pedibus debere ingredi, qui jam non summo imperio, sed defuncti quoque imperatoris collega, et crebro ad communionem imperii ab eodem invitatus fuisset; atque idcirco patriarcham carpebant, qui conniveret, nec imperatricem officii sui admoneret. Hæc illi loquebantur; nec erat una mens omnibus. Nam qui illum diligebant, eique ex animo studebant, quod sentiebant, id in ore habebant; alii metu illius potentiæ tempori inserviebant. Erant etiam qui sermones hos ægrius ferentes, libenter vetuissent, si potuissent; nihilominus quadam mali formidine pluribus asti-

σιλείοις αὐτοῦ τῇ βασιλίδι διαλεγομένου περὶ τῶν κοινῶν καὶ κοινῇ βουλευομένων περὶ ὧν ἂν δέοι πράττειν, θροῦς ἔξωθεν ἠκούετο καὶ βοὴ περὶ τὰ βασίλεια συμμιγής· ἐρομένης δὲ τῆς βασιλίδος πρὸς αὐτὸν τί ἂν εἴη ταῦτα, φάσκειν μὲν οὐδὲν εἰδέναι ἔφασκεν· οἴεσθαι δὲ πρὸς τὴν δίκην τινῶν ἀλλήλοις ἀντιλεγόντων τὸν θόρυβον γίνεσθαι τοιοῦτον· διισχυρίζετο δὲ καὶ ὕστερον, οὐδὲν ἄλλο οἰηθῆναι τὴν ἀρχήν. Οὐδὲ γὰρ οὐδ' αὐτὸς τί ᾔδει τῶν γιγνομένων. Ἔπειτα ὡς μείζων ἦν ὁ θόρυβος καὶ παρετείνετο ἐπιπολὺ, νομίσας καὶ αὐτὸς νεώτερόν τι εἶναι, ἀναστὰς ἐξῆει μαθεῖν ἐθέλων τῶν γινομένων τὴν αἰτίαν. Ὁρᾷ δὲ τῶν βασιλείων τὴν αὐλὴν πλήθουσαν ἀνδρῶν, οἳ ἦσαν οὐ τοῦ στρατιωτικοῦ καταλόγου μόνον, ἀλλὰ καὶ τῶν ἐπ' εὐγενείᾳ λαμπρυνομένων D νέων, καὶ τὸν πατριάρχην ἐν μέσοις αὐτοῖς ἑστῶτα καὶ λογομαχοῦντα πρὸς αὐτοὺς διαφερομένους. Αἰτία δὲ τῆς διαφορᾶς ἦν, ὅτι δὴ ἠξίουν μείζονος τιμῆς τὸν μέγαν δομέστικον δίκαιον τυγχάνειν εἶναι, καὶ μὴ τοῖς πολλοῖς ὁμοίως πεζῇ τῶν βασιλείων εἰσιέναι τὴν αὐλήν· ὃς οὐ μόνον νῦν τῶν ὅλων πραγμάτων ἔχει τὴν ἀρχὴν, ἀλλὰ καὶ βασιλέως περιόντος, παραδυναστεύων ἦν, καὶ πολλάκις ὑπ' ἐκείνου προσκεκλημένος πρὸς τὴν βασιλείας κοινωνίαν. Ἐν αἰτίαις τε τὸν πατριάρχην διὰ ταῦτα ἐποιοῦντο, ὅτι δὴ περιορᾷη, καὶ μὴ βασιλίδι παραινοίη τὰ προσήκοντα. Ταῦτα δὴ αὐτοῖς ἐλέγετο, οὐ πᾶσιν ὁμοίας

Digitized by Google Распознавание текста ABK/FR

pulari videbantur, cogitantes, ipso conscio et clam talia moliente dici. Patriarcha eorum assertioni adversari, et nihil turbandum, sed iis quæ imperatrici et magno domestico placuissent, obsequendum contendere. Cum in hoc esset controversia, ejusque conspectu omnes conticuissent, aliis quidem velut iratus nihil dixit, patriarcham autem increpuit, quod hominibus insipientibus aures commodasset, et verborum eum ipsis digladiatione turbas excitasset. **390** Proinde litigare cessaret, postridie secum de lite acturus, et ita usque ad equum deduxit, hoc officio objurgatum deliniens, quod ante non solebat, sed in penetralibus palatii valedicere ac reverti consueverat. Ad imperatricem porro rediens, tumultus causam narrat, et quo pacto patriarcham propter intempestivam concertationem reprehendisset, quodque stultorum sermones ineptos attendisset, et eum uti domum abiret admonuisset. Asseverabat item ac Deum testem faciebat, se nullius horum esse conscium, sed ab imperitis quibusdam superbe ac stolide ea moveri. Quem cum de turbis sedatis commendaret imperatrix, Sed illi quidem, inquit magnus domesticus, suasi, nihil verborum adderet, domumque discederet; intelligens sic me litem mea potissimum causa exortam facile dirempturum. Te autem moneo, ut superbiam istam inultam ne relinquas, verum accersitos propter linguæ protervitatem objurgites. Monerem etiam ut te admodum illis iratam ostenderes, nisi brevi hinc pluribus eorum ascitis discessurus essem. Idcirco ubi quantum satis est eos castigaveris, causata profectionis meæ necessitatem, venia illos impertito. Augusta monenti obsecuta, viros illos accersit, inscitiam exprobrat, quod inter leges regias educati, et in iis a teneris versati, nihilo tamen Barbaris rege carentibus præstarent, et quidquid sibi obstitisset, statim turbas ac tumultum cierent. Perpendite enim, inquit, quo nunc amentiæ prodieritis. Primum enim in ipso palatio imperatoribus aperte repugnastis. Deinde cum patriarcha communi omnium Patre spirituali, et omni reverentia dignissimo, magis quam qui per corporum conjunctionem nos genera runt, altercati estis. Postremo etiam pro magno domestico videlicet verba fecistis; quod ad vos attinet, docentes eum vestra ind gere ope, si qua illi re a nobis opus sit. Hoc autem absurdissimum esse, non aliis, sed vobis ipsis judicibus utamini licet. Non enim modo duntaxat, quando ad eum summa rerum procuratio devoluta est, sed et vivo imperatore vobis omnibus hic præerat, in quibus imperatorem requirebatis, vestrum contra illi nemo. Quare cum e præteritis, tum e præsentibus discere vos oportebat, illum vestro patrocinio non egere. Non enim est, non est, inquam, quod ille, si velit, non vel sibi, vel aliis curaverit. Quod **391** cum ita sit, et fateantur omnes nec vos temere tumultuari turbarique conveniebat, atque ideo non gratiam, sed pœnam

A ἔχουσι τὰς γνώμας, ἀλλ' οἷς μὲν εὔνοια πρὸς ἐκεῖνον ἦν, ἐσπουδάζετό τε ἀληθῶς ὁμοίως καὶ ἐλέγετο· οἱ δ' ἐθεράπευον τὸν καιρὸν καὶ τὴν μεγάλου δομεστίκου δύναμιν. Ἦσαν δὲ οἱ καὶ δυσχεραίνοντες πρὸς τοὺς λόγους, καὶ ἡδέως ἂν κωλύσοντες εἰ ἐξῆν, ὅμως ὑπὸ δέους συμφωνεῖν ἐδόκουν τοῖς πολλοῖς, οἰόμενοι ἐκείνου συνειδότος καὶ ἀφανῶς τὰ τοιαῦτα συσκευάζοντος εἰρῆσθαι. Ὁ πατριάρχης δὲ ἀντικαθίστατο πρὸς τοὺς λόγους, καὶ μὴ δεῖν ἔλεγεν αὐτοὺς ἀτάκτως θορυβεῖν, ἀλλὰ πείθεσθαι τοῖς βασιλίδι καὶ μεγάλῳ δομεστίκῳ ἐγνωσμένοις. Ἐν τούτοις δὲ τῆς ἔριδος ἐκείνοις οὔσης, ἐπεὶ ἐπέπαυτο φανέντος, τοῖς μὲν ἄλλοις ὥσπερ ὀργιζόμενος οὐδὲν εἰρήκει, πατρίαρχην δὲ ἐμέμφετο, ὅτι ἀνοήτων ἀνθρώπων προσέχων λόγοις ἔστηκε πρὸς αὐτοὺς λογο-
B μαχῶν καὶ θορύβου κινῶν. Συνεβούλευέ τε οἴκοι ἀπελθεῖν· καὶ μηδὲν πρὸς ἐκείνους διαφέρεσθαι νῦν, ὡς ἐς τὴν ὑστεραίαν ἅμα αὐτῷ περὶ τῶν εἰρημένων ποιησομένῳ λόγον· προέπεμπέ τε ἄχρι ἵππου θεραπεύων διὰ τὴν πρὸς αὐτὸν γεγενημένην μέμψιν, οὔπω πρότερον τοῦτο εἰργασμένος, ἀλλ' ἐν τοῖς βασιλείοις οἴκοις συνταττόμενος, ἀναστρέφειν εἰωθώς. Εἰς βασιλίδα δὲ αὖθις ὁ μέγας δομέστικος ἐπανελθών, τὴν αἰτίαν τοῦ θορύβου διηγεῖτο· ὅπως τε αὐτὸς τῆς ἀκαίρου φιλονεικίας μεμψάμενος πατριάρχῃ, ὅτι ἀνοήτων ἀνθρώπων προσοχὴ λόγοις ἔχουσι μηδὲν ὑγιὲς, παραινέσειεν οἴκαδε ἀναχωρεῖν. Διισχυρίζετό τε καὶ αὐτὸς ἐπιμαρτυρόμενος Θεὸν, ὡς οὐδὲν τῶν λεγομένων συνειδείη, ἀλλ' ὑπό τινων ἀπαι-
C δεύτων ὑπ' αὐθαδείας ἀνοήτως κινηθείη. Ἐπαινούσης δὲ τῆς βασιλίδος ἐπὶ τῷ τὸν θόρυβον καταστεῖλαι, Ἀλλ' ἐκείνῳ μέν, ὁ μέγας δομέστικος ἔφη, συνεβούλευσα μηδὲν προσθέντι τοῖς εἰρημένοις ἀπελθεῖν· οὕτω συνιδὼν ῥᾳδίως διαλύσειν τὴν φιλονεικίαν μάλιστα περὶ ἐμοῦ γεγενημένην. Σοὶ δὲ μὴ τὴν αὐθάδειαν ἀτιμώρητον παραινῶ περιιδεῖν, ἀλλὰ λόγοις κολάσαι προσκαλεσαμένην τῆς γλώσσης τῆς ἀκολασίας ἕνεκα. Παρῄνεσα δ' ἂν καὶ ἐπιπλεῖον ἐνδείξασθαι τὴν ὀργὴν τὴν πρὸς αὐτοὺς, εἰ μὴ ταχέως ἐμελλον ἐνθένδε ἀπελεύσεσθαι, τοὺς πλείους αὐτῶν παραλαβών. Διὸ μετὰ τὸ καθάψασθαι ἀρκούντως, παράσχου συγγνώμην, αἰτιωμένη τῆς ὁδοιπορίας τὴν ἀνάγκην. Ὧ πεισθεῖσα καὶ ἡ βασιλὶς τούς ἄνδρας τε προσεκαλεῖτο, καὶ ὠνείδιζεν αὐτοῖς τὴν
D ἀπαιδευσίαν, ὅτι βασιλέων ἐντεθραμμένοι νόμοις, καὶ συνόντες ἐκ παιδὸς, οὐδὲν ἄμεινον τῶν ἀβασιλεύτων διάκεισθε βαρβάρων, πᾶν τὸ προσιστάμενον ὑμῖν ἀτάκτως θορυβοῦντες. Σκοπεῖτε γὰρ εἰς ὅσον ἀνοίας ἠλάσατε νυνί. Πρῶτον μὲν γὰρ ἐν βασιλείοις φανερῶς ἀντείπετε βασιλεῦσι. Δεύτερον δ' ὅτι πατριάρχῃ διηνέχθητε κοινῷ πάντων ὄντι πατρὶ πνευματικῷ, καὶ μάλιστα πολλῆς αἰδοῦς ἀξίῳ, καὶ τιμῆς πολλῷ πλέον ἢ οἱ σαρκικῶς γεγεννηκότες. Τρίτον δ' ὅτι καὶ ὑπὲρ μεγάλου δομεστίκου δῆθεν ἐποιήσασθε τοὺς λόγους, τό γε εἰς ὑμᾶς ἦκον ἀποδεικνύντες διὰ τούτων, τῆς παρ' ὑμῶν αὐτὸν δεόμενον ἐπικουρίας εἰς τὸ τυχεῖν εἴ τινος δέοιτο παρ' ἡμῶν. Τοῦτο δ' ὅτι τῶν ἀτοπωτάτων, οὐχ ἑτέροις, ἀλλ' ὑμῖν αὐτοῖς χρήσασθε διαιτηταῖς· οὐ γὰρ νῦν μόνον ὅτε

Digitized by Google Распознавание текста ABK/FR

εἰς αὐτὸν περιήκει τῶν ὅλων ἡ φρουτὶς, ἀλλὰ καὶ βασιλέως ζῶντος, ὑμῶν ἁπάντων οὗτος προῖστατο, ἐν οἷς ἐδεῖσθε βασιλέως· αὐτοῦ δὲ ὑμῶν οὐδείς. Ὥστε καὶ ἐκ τῶν προτέρων καὶ τῶν νῦν, συνιδεῖν ὑμᾶς ἐχρῆν ὡς οὐκ ἂν δέοιτο τῆς παρ' ὑμῶν ἐπικουρίας. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ βουλομένῳ ἢ περὶ ἑαυτοῦ, ἢ ἑτέρων μὴ καὶ πράττειν δυνατόν. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, καὶ οὐδεὶς ἀντερεῖ, οὐδ' ὑμᾶς ἐχρῆν θορυβεῖν καὶ ταράττεσθαι εἰκῆ· καὶ διὰ τοῦτο, οὐκ εὐεργεσίας, ἀλλὰ δίκης ἄξιοι παρ' αὐτῷ. Κἀγὼ δὲ ὑμᾶς τὰς προσηκούσας τῆς αὐθαδείας ἀπήτησα ἂν εὐθύνας, εἰ μὴ αὐτὸς παρῃτήσατο δεηθεὶς ὑπὲρ ὑμῶν, ἄλλως θ' ὅτι καὶ πρὸς τὴν ἐκστρατείαν παρεσκεύασθε, πρὸς ἣν χαίροντας βαδίζειν οὐκ ἀνιωμένου, οἶομαι προσήκειν. Οὗ δὴ ἕνεκα, τὴν μὲν τῶν ἡμαρτημένων παρέχομαι συγγνώμην· τοῦ λοιποῦ δὲ εὐτάκτους εἶναι παραγγέλλω, καὶ τῶν μειζόνων μηδὲν περιεργάζεσθαι, ἀλλὰ παραχωρεῖν ἐκείνοις, οἷς τὰ τοιαῦτα καλῶς τε ἔξεστι διοικεῖν, καὶ ἐάν τι σφάλλωνται ἐπανορθοῦσθαι. Τοσαῦτα μὲν ἡ βασιλὶς πρὸς ἐκείνους διειλέχθη τοῦ θορύβου ἕνεκα καθαπτομένη· ἐκεῖνοι δὲ τῆς ἡμερότητος καὶ τῆς συγγνώμης χάριτας ὁμολογήσαντες, καὶ τῶν ἄλλων μᾶλλον ὁ μέγας δομέστικος, οἱ μὲν ἄλλοι ἀνεχώρουν, ὁ μέγας δὲ αὖθις δομέστικος καταλειφθεὶς, ἐβουλεύοντο ἅμα βασιλίδι περὶ ὧν ἀναγκαῖον ἦν.

A ille vobis debet : et ego condigno superbiam vestram multarem supplicio, nisi ille id a vobis deprecatus esset, quod ad expeditionem præparamini, quo gaudentes, non mœstos ire decet, ut opinor. Quamobrem delicti gratiam facio, et de cætero ut quiescatis, impero, ac rebus majoribus ne vos curiose immisceatis, sed illis eas relinquatis, quibus easdem bene administrare, et si quid erraverint, emendare licet. Imperatrix de tumultu sic eos accepit ; ipsi de benignitate dataque venia gratias agentes (et præ aliis magnus domesticus), cæteri quidem recesserunt ; domesticus restans, cum imperatrice de his quæ opus erant, de integro deliberavit.

CAPUT XIV.

Pœna in Apocauchum, et ejus opera rursus utendum absente domestico, Imperatrix plane abnuit. Improbitas et scelus Apocauchi in magnum domesticum (sed prius ejus natales et conditio) per Xenam imperatoris matrem, a qua apud filium affectatæ tyrannidis vehementer accusatur et ab eo defenditur, atque ad purpuram rursus invitatur et recusat. Abhorret etiam plane a serenda inter filium et matrem discordia, quod quidam suadebant.

Λόγου δὲ καὶ περὶ Ἀποκαύχου τοῦ παρακοιμωμένου ἐμπεσόντος, καὶ σκεπτομένων καθότι δέοι χρήσασθαι αὐτῷ, μηδεμίαν ἄλλην ἔφασκεν ἡ βασιλὶς τῶν τετολμημένων παρ' ἐκείνου δίκην ἀπαιτεῖν, ἢ ἣν αὐτὸς ἐτιμήσατο αὐτῷ, ὥστε οἴκοι καθῆσθαι μὴ ἐξιόντα, μήτε τῶν κοινῶν τι διοικοῦντα. Ὁ δ' ἔφασκε καὶ αὐτὸς τὴν δίκην πρέπουσαν ἡγεῖσθαι τῷ τολμήματι. Μὴ μέν τοί γε αὐτῷ κατὰ γνώμην εἶναι πρὸς ὑπερόριον ἀπιόντι στρατείαν τὴν πρὸς ἑσπέραν, τῶν δεομένων διορθώσεως ὄπισθό τι καταλιπεῖν· οὗ δὴ ἕνεκα πρός τε τοὺς περιοίκους Πέρσας θέσθαι σπονδὰς, καὶ πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα, ἵνα μὴ ἀπόντος ταράττοιτο αὐτὴ ὑπὸ πολέμων ὀχλουμένη. Καὶ διὰ τοῦτο καὶ παρακοιμώμενον ἡγεῖσθαι προσήκειν ἀξιώσαντα συγγνώμης, πάλιν χρῆσθαι ὅπῃ ἂν δοκῇ συμφέρειν. Ἡ δ' ἀνένευεν, οὐχ ἑαυτῇ καὶ τέκνοις μόνον, ἀλλὰ καὶ αὐτῷ δύσνουν ἐκ πολλῶν ἀποδεικνῦσα· μάλιστα δὲ ἐξ ὧν ἐπ' αὐτῇ ὀλίγῳ πρότερον αὐθαδῶς ἐκεῖνος καὶ τραχέως προσηνέχθη πρὸς αὐτόν. Εἰ δὴ ἀμφοτέροις ἐκεῖνος ἐπιβουλεύων σαφέστατα ἠλέγχθη, τίνι χρὴ θαρρήσαντα, ἄνθρωπον πανουργίας καὶ ἐπιβουλῆς μεστὸν ἀποδημοῦντα αὐτὸν, ὄπισθο ἔφασκε καταλιπεῖν; Ἔξιον δὲ καὶ τῶν πρὸς τὸν μέγαν δομέστικον Ἀποκαύχῳ εἰρημένων ἐπὶ τῇ βασιλίδος μνημονεῦσαι, καὶ ἔτι παλαιοτέρων κακουργημάτων, οἷς ἐχρήσατο κατὰ μεγάλου δομεστίκου μεγάλα εὐηργετηκότος, ἵν' ἐκ τῶν διηγημάτων κατάδηλος γένηται ἡμῖν ἥ τε τούτου πρὸς τὰς εὐεργεσίας φιλοτιμία καὶ ἑτοιμότης πρὸς τὸ παρέχειν τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι συγγνώμην· καὶ ἡ παρακοιμωμένου πρὸς τὰ καλὰ ἀχαριστία, καὶ τῶν τρόπων ἡ σκαιότης. Οὗτος γὰρ δὴ ὁ παρακοιμώμενος ἐκ Βιθυνίας ὡρμημένος,

B Cum autem mentio de Apocaucho sacri cubiculi præfecto fieret, quæsissentque, quomodo eum punirent, nullam se aliam, aiebat imperatrix, nefarii criminis pœnam poscere, præter eam, qua seipsum multasset, ut domi sedens nunquam exiret, nec publicum munus ullum attingeret. Domesticus quoque hanc pœnam ejus facinori parem affirmare. Cæterum non placere sibi, cum exercitum occidentalem extra fines eduxerit, aliquid corrigendum post se relinqui, cujus causa cum Persis vicinis et cum Alexandro Mœsorum rege fœdus ferierit, ne se absente ipsa bellis quatiatur. Existimare igitur se, Apocauchum ab ipsis venia donatum, rursus, ubi conducere videbitur adhibendum. Imperatrix recusare, nec in se et liberos C tantummodo, sed in ipsum quoque eum malevolum multis rationibus demonstrare, ex his præcipue, quibus paulo ante coram ipsa arroganter et aspere in eum invaserat. Quia ergo utrisque insidiari manifestissime convictus sit, qua re confisus hominem callidissimum et insidiosissimum ipse peregre abiens retro relinqueret? Non erit **392** autem alienum etiam eorum meminisse, quæ imperatrice præsente Apocauchus in magnum domesticum jactarit ; et præterea antiquiorum maleficiorum, quibus eum remunerarit, a quo tantis erat beneficiis obligatus, ut ex hac narratione pateat, tum illius ardens bene merendi studium, et ad veniam in se delinquentibus tribuendam D promptus animus : tum hujus erga bene meritum ingrata voluntas, et agrestis immanisque natura. Ille e Bithynia oriundus, homo obscurus, ex contemptis parentibus natus, primum quidem multis

Digitized by Google Распознавание текста ABK/FR

vectigalium coactoribus mercedula scriptum fecit. Postea Andronico Asani, qui fuit magni avunculi imperatoris filius, etiam mercede servivit : a quo recedens, occidentalium thematum, sive agminum militarium per Occidentem (6) distributorum domestico, qui tum erat salinarum præfectus, se addixit. Is dexterum et ad ministerium impigrum cernens, pecunias ei credidit, ut ad imperatorem, puta Andronicum seniorem accedens, ei persuaderet, duci etiam in annum sequentem salis negotiationem permitteret. At ille pecuniis tanquam suis imperatori traditis, pollicitasque, se duplo amplius quam dux in fiscum ejus illaturum, ad se potius eligendum salariumque creandum inducit. Sic cum ducem pecunia sua hoc magistratu ejecisset, jam illustris erat, et inter publicanos primas ferebat. Deinde cum multis nominibus publice grandem pecuniam deberet, exspectareturque, ut in carcerem daretur, et ad sanitatem reductus, hujuscemodi nequitias dedisceret, ab imperatore defectionem moliri cœpit ; non enim alioqui supplicium devitare potuisset. Cum autem videret eum esse statum rerum, ut Andronicus junior necessario cum avo deberet contendere, Syrgiannem cujus erat studiosissimus, rogavit, ut se illi commendaret. Is bello jam inter imperatores pullulante, magnum domesticum orare uti et Apocauchum ascisceret, non solum ad exactionem publicarum pensionum naturali quadam dexteritate præditum, verum etiam pecuniosum, ut bello commodaturus videretur ; quas res initio quoque hujus historiæ breviter attigimus. Hic itaque magno domestico parario, junioris imperatoris familiaritatem consecutus, postquam belli maturitas erupit, a seniore statim ad ejus partes transiit, non tam quod ei bene vellet, quam quod ob æs alienum imminens periculum fugeret ; et a domestico quæstor imperatoris **393** creatus, atque ubi victoria ad illum respexit, rursus ab eodem domestico, propemodum invito imperatore, neque id muneris in eum quadrare judicante, rerum administrator institutus est. Verumtamen non omni-

A καὶ ἄτιμος ἐκ φαύλων φὼς, τὰ πρῶτα μὲν ὑπεγραμμάτευσε πολλοῖς τῶν τὰ δημόσια χρήματα εἰσπραττόντων ὀλίγου ἕνεκα μισθοῦ· ἔπειτα τῷ τοῦ βασιλέως ἐμισθοφόρησε θείῳ Ἀσάνῃ τῷ Ἀνδρονίκῳ. Εἶτ' ἐκείνου ἀποστάς, προσεχώρησε στρατηγῷ τῷ τῶν ἑσπερίων θεμάτων δομεστίκῳ τοὺς δημοσίους ἅλας τότε ἐφορεύοντι. Εὐφυὴς δὲ φανεὶς καὶ πρόθυμος πρὸς τὴν ὑπηρεσίαν, χρήματα ἐπιστεύθη παρ' ἐκείνου, ἵν' ἐλθὼν πρὸς βασιλέα, Ἀνδρόνικος δὲ ὁ πρῶτος ἦν, πείσῃ στρατηγῷ καὶ εἰς τοὐπιὸν ἔτος τὴν διάθεσιν ἐγχειρίζειν τῶν ἁλῶν. Ὁ δὲ, τὰ μὲν χρήματα ὡς ἴδια βασιλεῖ παρεσχηκὼς, ἐπαγγειλάμενος δὲ καὶ διπλασίω τῶν ὑπὸ στρατηγοῦ παρεχομένων τῷ βασιλικῷ αὐτὸς εἰσφέρειν ταμιεῖο, πείθει βασιλέα ἐκείνου προελέσθαι καὶ τῶν ἁλῶν

B παρέχειν τὴν ἀρχήν. Καὶ οὕτω τοῖς ἰδίοις χρήμασι τῆς ἀρχῆς ἐκεῖνον ἐκβαλὼν, ἤδη λαμπρὸς ἦν, καὶ τὰ πρῶτα φέρων τελωνῶν. Εἶτ' ἐπειδὴ πολλὰ τῷ δημοσίῳ χρήματα ὀφείλων, προσδόκιμος ἦν δεσμωτήριον οἰκεῖν, καὶ σωφρονίζεσθαι μὴ τοιαῦτα κακουργεῖν, πρὸς ἀποστασίαν εἶδε βασιλέως· οὐ γὰρ ἦν ἑτέρως τὸ κακῶς παθεῖν διαφυγεῖν. Συνιδὼν δὲ ἐκ τῶν πραγμάτων ὡς βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν πάππον ἀναγκαίως ἔσται διαφορὰ, Συργιάννῃ ἐδεήθη, τῶν ἐπιτηδειοτάτων ὢν αὐτῷ, τῷ νέῳ βασιλεῖ προσαγαγεῖν. Ὁ δὲ, καὶ γὰρ ἤδη ὁ τῶν βασιλέων πρὸς ἀλλήλους ἐκινεῖτο πόλεμος, ἐδεῖτο τοῦ μεγάλου δομεστίκου, καὶ τὸν Ἀπόκαυχον προσλαμβάνειν, οὐ μόνον εὐφυῶς πρὸς τῶν δημοσίων

C τὴν εἰσπρᾶξιν ἐσχηκότα φέρων, ἀλλὰ καὶ χρημάτων εὐποροῦντα οἷς χρήσιμος πρὸς τὸν πόλεμον ὀφθήσεται αὐτοῖς· ὧν καὶ κατὰ τὰς ἀρχὰς τῆς ἱστορίας μάλιστα ἐπεμνήσθημεν συντόμως. Ὁ δὲ βασιλεῖ τῷ νέῳ δι' ἐκείνου προσοικειωθεὶς, ἐπεὶ ὁ τῶν βασιλέων πόλεμος ἀνερρήγνυτο, τοῦ μὲν πρεσβυτέρου βασιλέως εὐθὺς ἀπέστη πρὸς τὸν νέον· οὐ μᾶλλον δι' εὔνοιαν, ἢ τὸν ὑφορώμενον κίνδυνον διὰ τὰ ὀφειλόμενα χρήματα ἀποδιδράσκων· ταμίας δὲ τῶν βασιλικῶν ἀπεδείκνυτο χρημάτων περὶ τοῦ μεγάλου δομεστίκου. Ἐπεὶ δὲ ἡ νίκη πρὸς τὸν νέον ἀπεῖδε βασιλέα, καὶ ὑπ' αὐτῷ πᾶσα ἡ τῶν Ῥωμαίων ἡγεμονία ἦν, πάλιν ὑπ' ἐκείνου σχεδὸν οὐχ ἑκόντος

Jacobi Pontani notæ.

(6) Exstat libellus Constantini Porphyrogeniti *Περὶ Θεμάτων*. *Olim, et ab initio*, inquit, *legiones quædam per singulas provincias distributæ exstiterunt, quemadmodum legio* XL *martyrum, et alia Pisidica, alia Thessalica, aliæque aliter vocatæ, quæ ducibus et præfectis, sæpe etiam præpositis subditæ fuerunt. Atque hæc quidem olim, cum reges una cum populo expeditiones faciebant, et in eos qui Romanæ servitutis jugum detrectabant, copias ducebant, ac totum fere orbem terrarum renitentem reluctantemque subigebant, ut Julius Cæsar, ut admirabilis ille Augustus, ut celebratissimus Trajanus, ut magnus ille inter reges Constantinus, et Theodosius, et qui post illum Christianam religionem, ac divini Numinis cultum sunt amplexi. Neque enim par erat, ipso rege in exercitu versante, prætorem designari. Sub ducibus enim et tribunis degebant, omniaque bellica negotia a regis voluntate pendebant, et populi totius oculi in unum ac solum regem erant conjecti. Cum vero reges ipsi expeditionibus interesse desierunt, tum*

D *demum prætores et themata constituta. Atque hanc quidem rationem Romanum imperium in hodiernum usque diem tenuit. Nunc vero cum angustius tam orientem, quam occasum versus Romanum regnum sit factum, et extremis aliquot provinciis mutilatum, ab imperio Heraclii Libyci, qui post eum regnarunt, non habentes ubi aut quomodo potentiam dominatumque suum exercerent, in parvas aliquot partes imperium suum secuerunt, et militaria τάγματα Græcum sermonem affectantes, patrium vero ac Romanum repudiantes, constituerunt.* Hæc ille. Θέμα est nonnunquam idem quod τάξις, seu τάγμα, et legio : sed inter τάγματα, sive legiones, et θέματα hoc interest, quod illa florente imperio Romano ut justæ legiones ita dictæ fuerunt, quæ postea imminuto truncatoque Heraclii temporibus eodem imperio, θεμάτων appellationem, desciscentibus a veteri amplitudine legionibus sint consecutæ. Hæc interpres in Scholiis.

Digitized by Google Распознавание текста ABK/FR

βασιλέως οὐδὲ προσήκειν αὐτῷ τὴν ὑπηρεσίαν κρίνοντος, εἰς τὸ μεσάζειν τοῖς πράγμασι κατέστη. Πλὴν οὐ παντάπασιν ἐπετράπη τὴν διοίκησιν τῶν κοινῶν, ἀλλ' ὅσα τῶν ἀναγκαιοτέρων ἦν πρὸς τὸν μέγαν δομέστικον ἀνάγων, αὐτὸς τῶν ταπεινοτέρων εἴχετο, ἐξ ὧν οὐδεμία τοῖς κοινοῖς προσεδοκᾶτο βλάβη εὖ ἢ κακῶς διῳκημένοις. Ὅμως δὲ ὑπὸ πολλῶν ἐθεραπεύετο. Μεταξὺ δὲ καὶ πολλάκις βασιλεῖ προσκεκρουκὼς διὰ τὴν φίλην πανουργίαν, καὶ μέλλων διδόναι δίκας, ὑπὸ τοῦ μεγάλου δομεστίκου τὴν βασιλέως ὀργὴν ἐῤῥύσθη παραιτουμένου. Εἰς τοιαύτην δὲ περιφάνειαν ἐξ ἀφανείας πολλῆς ἐλθὼν, ἐσκέψατο εἰ δύναιτο τὸν εὐεργέτην ἀμείψασθαι τοῖς ἐναντιωτάτοις. Ὡς γὰρ βασιλεὺς ὁ νέος Ἀνδρόνικος τὴν νόσον ἐνόσησεν ἐκείνην τὴν σφοδρὰν, καὶ τελευτῆς ἐγένετο ἐγγὺς, βασιλίδι μὲν τῇ γαμετῇ κατελίμπανε τὴν ἀρχὴν, οὕπω μὲν παιδὸς μητρὶ γεγενημένῃ, ὠδινούσῃ δέ· τῷ μεγάλῳ δὲ δομεστίκῳ τὴν διοίκησιν τῶν κοινῶν καὶ τὸ πάντα; αὐτῷ ὑπείκειν, καὶ μηδένα ἀντιλέγειν πρὸς μηδέν. Ὁ δ' ὥσπερ ἔθος ἐπὶ τελευτῶσι τοῖς βασιλεῦσι τοῖς ὑπολειπομένοις τὴν εὔνοιαν καὶ τὴν πίστιν βεβαίαν παρὰ τῶν ὑπηκόων βουλόμενος ποιεῖν, ὅρκους ἐκθεὶς, πάντας δι' αὐτῶν ἐκέλευε τὴν πίστιν ἐμπεδοῦν· οἱ ὅρκοι δὲ Ἄννῃ τε τῇ βασιλίδι Ῥωμαίους διελάμβανον τὴν πίστιν ἀκραιφνῆ φυλάξειν, καὶ παιδὶ βασιλέως τῷ γεννησομένῳ ἐξ αὐτῆς, καὶ τῷ μεγάλῳ δομεστίκῳ τὴν εὐπείθειαν. Ξένης δὲ βασιλίδος τῆς βασιλέως μητρὸς ἐμέμνητο οὐδοτιοῦν· οὕτω καὶ βασιλεῖ κεκρικότι δεῖν, μὴ δύνασθαι δύο, καὶ ταύτας γυναῖκας μίαν διοικεῖν ἀρχήν. Τότε μὲν οὖν ἐκείνη τε ἤνεγκε βαρέως, καὶ οἷς πρὸς ἐκείνην εὔνοιά τις ἦν, καίπερ οὐδ' ἐκείνην ἀθεράπευτον καταλιπόντος τοῦ μεγάλου δομεστίκου. Ὡς γὰρ καὶ αὐτὸς τὸ πρᾶγμα ὑπενόει θόρυβον δυνάμενον τῇ βασιλίδι ἐμποιεῖν, Γλαβᾶν τὸν μέγαν διοικητὴν πέμψας κατὰ τάχος πρὸς αὐτὴν, ἅμα δὲ καὶ σταυρὸν ἐκ τῶν πολυτιμήτων λίθων ἀξιοπιστίας ἕνεκα τῶν λόγων, τὴν μὲν νόσον ἐδήλου βασιλέως ὡς εἴη χαλεπή· ἐδεῖτο τε Θεοῦ μὴ περιϊδεῖν αὐτοὺς τοιούτου βασιλέως ἀποστερηθέντας. Εἰ δ' ἄρα τι συμβαίη τῶν προσδοκωμένων, οὕτω τοῦ πάντα δικαίως καὶ συμφερόντως ταλαντεύοντος, οἰκονομοῦντος μηδὲν αὐτὴν ὑποπτεύειν ἀηδὲς ἐκ τῶν πραγμάτων τῆς μεταβολῆς, ὡς οὐδὲν ἧττον εὐνοϊκῶς αὐτοῦ διακεισομένου πρὸς αὐτὴν, ἢ εἰ καὶ αὐτὸς γεγέννητο ἐξ αὐτῆς. Οὕτω δὲ ἐκείνης πρὸς ὀργὴν κεκινημένης, οἱ πάλαι τε ὑπὸ φθόνου πρὸς τὴν εὐκλειαν δακνόμενοι τὴν μεγάλου δομεστίκου, καὶ τότε μᾶλλον πρὸς τὸ πάθος ἐξαφθέντες, σαφῶς ἰδόντες κύριον γεγενημένων τῶν πραγμάτων. Ἐν οἷς ἄλλοι τε πολλοὶ καὶ ὁ παρακοιμώμενος Ἀπόκαυχος ἐξητασμένος ἦν Συργιάννῃ πρὸς τὴν πρᾶξιν ἡγουμένου, τὴν βασιλίδος ὀργὴν νομίσαντες ἂν αὐτοῖς τὰ

modis commissa ei respublica, sed ita, ut magis necessaria seu præcipua ad magnum domesticum referret, ipse leviora transigeret : e quibus seu bene seu male transactis, communitas nullum sentiret nocumentum. Nihilo minus a multis observabatur. Et cum interim sæpe etiam propter usitatam et amicam sibi nequitiam imperatorem offendisset, ac pœnis subjiciendus esset, per magnum domesticum iratum scilicet exorantem, evasit. Jam vero e tantis tenebris in tantam claritatem deductus, quomodo bene merenti suo quam maxime contraria rependeret, secum consideravit. Nam cum Andronicus junior morbo illo difficillimo conflictatus, mortique proximus, uxori ad filium pariendum jam vicinæ imperium, magno autem domestico vicariam gubernationem reliquisset, cui citra tergiversationem omnes parerent, ille (quod consuetudo tenet, imperatoribus de vita exeuntibus) successoribus benevolentiam ac fidem subjectorum stabilire volens, juramentum, quo omnes fidem suam ratam facerent, in hæc verba conceptum proposuit, Romanos Annæ imperatrici, et filio imperatori ex ea nascituro sinceram et integram fidem, et magno domestico obedientiam præstituros. Xena imperatoris mater præteribatur omnino, quod ita filius constituisset; non enim posse duos, idque feminas unum imperium regere. Hoc illa ejusque fautores graviter tulerunt, tametsi magnus domesticus eam officiose coleret. Siquidem hinc eam perturbatum iri suspicatus, Glaba magno diœceta cum cruce ex pretiosissimis lapillis confecta, quo verbis esset fides, ad eam celeriter misso, de lethali morbo imperatoris certiorem fecit, Deum rogans, ne eos tali imperatore orbari sineret. Sin quid eorum quæ metuerentur, eveniret, sic moderante, qui omnia juste utiliterque, ceu per libram dispensat, nihil ipsa tristius ex rerum mutatione timeret, quandoquidem non minus eam quam parentem suam amaret (7). Cum illa in iram se effunderet, quibus pridem ex splendore magni domestici dolebant oculi **394** (qui complures erant, et in his certissimus Apocauchus, et antesignanus atque incentor sceleris Syrgiannes), tunc majore accensi invidia, quod perspicue viderent rerum esse dominum, imperatricis Xenæ iracundiam ad opprimendum magnum domesticum, et ejus vicariatum evertendum, plurimo sibi adjumento futuram confidentes, cum jam imperator morbo solutus convalesceret, frequentes eam conveniunt, ejus vicem se dolere simulant, magnum domesticum pro iniquissimo accusant, quod imperatore animam agente, quando ipsum ambabus imperatrici-

Jacobi Pontani notæ.

(7) Modus declarandi magni cujusdam amoris. Quid enim cuique vel patre, vel matre charius? Quæsivimus aliquando ad exercendum ingenium, uter parens, liberis deberet esse charior, momenta rationum in utramque partem attulimus, et ad extremum affirmavimus, patrem amandum esse plenius, et constantius, matrem dulcius; quandoquidem tam vehementer quos genuisset, tamque dulciter dilegeret.

Digitized by Google Распознавание текста ABBYY FR

bus si quid modestum et humanum cogitaret, imperium servare oportebat, et illi potius cui utrimque et ex filio et ex marito deberetur, ille parum pensi habens, quid æquitas utilitasque flagitarent, imperium universum ad se attraxisset: Annam Augustam pro velamento suæ fraudis jurisjurandi formulæ inseruisset, quæ ex tellure peregrina paulo ante advenerit: et paucos habeat Romanos, qui se periculis ejus causa objectare volent, ac proinde facile illi imperio cessura sit. Suadent itaque ne conniveat, sed manibus ac pedibus ejus potentiam labefactare conetur, docendo imperatorem filium, quas insidias, quæ scelera adversus imperium ipso mortuo apud animum fabricetur, et quomodo nihilo minus etiam nunc Romanos omnes ad sibi obtemperandum illexerit, ut ita imperatoris nomen nudum et vacuum maneat, ipse opere et facto imperet. Quare cavere illum, imperatorem inquam, oportere, ne hæc in mala immedicabilia desinant, et spiritus istos ante comprimere, tantumque fastum edomare ac despicabilem reddere. Ergo ita fervens imperatrix, et cum per se ad ulciscendum magnum domesticum si posset, incitata, tum ab illis amplius inflammata, quam primum potuit, filio imperatore convento, magnum domesticum ut æmulum regni accusat, et ab homine, qui amicitiam mentiatur, occasionemque nactus nefanda perpetraturus sit, cavendum monet. Imperator multis verbis eum apud matrem tuetur, calumniatores et mendaces pronuntiat, qui hujus criminis reum faciant, factisque ipsis quodammodo probare volens se ista pro fabulis ducere, magnum domesticum complecti, propensius ei favere, et familiarius adhibere visus est: quæ res matri mœrorem cumulavit. Sycophantas itaque ad hunc modum removit imperator, domesticoque omnibus, super quibus mater ad se venerat indicatis, purpuram saltem propter vulgi opinionem suadebat assumere, ne veram esse suspicionem ostenderet, **395** ipsumque multis molestiis levaret. Domesticus tam amicæ et candidæ erga se voluntati gratiis actis, habitum suum cum imperatorio propter obtrectatorum voculas præsertim commutare non vult, re ipsa esse calumniatores palam ostendens, et pœnas de eorum improbitate sumens. Se quoque priusquam veniret imperatrix, quam ob causam ventura esset cognovisse. Quidam enim eidem a secretis, magnum domesticum de aditu ejus, et de causa, deque inventoribus et architectis hujus doli præmonuerant, consiliumque dederant, ut accessu præoccupato, illam cum imperatore committeret, fictisque sermonibus eum exterreret, quod illa nihil eorum quæ statuerat perficere posset. Verum hosce consiliarios iratus dimisit, ut qui sub amicorum persona hostilem tegerent animum: non enim talia se decere, sed prorsus contraria, ut si quod esset imperatori cum matre dissidium, ad reconciliandam gratiam faceret, moliretur que omnia, quod sit veri

A μέγιστα συμβαλέσθαι πρὸς τὸ μεγάλου δομεστίκου περιγενέσθαι καὶ καταλῦσαι τὴν ἀρχήν· πολλοὶ πρὸς βασιλίδα ἀφιγμένοι, ἐπεὶ ῥᾴων ἦν ὁ βασιλεύς, καὶ ἀπήλλακτο τῆς νόσου ἀγαναχτεῖν ὑπὲρ αὐτῆς, προσεποιοῦντο, καὶ πολλὴν ἀγνωμοσύνην τοῦ μεγάλου δομεστίκου κατεγίνωσκον, ὅτι βασιλέως τελευτῶντος, ὅτ' αὐτὸν, εἰ μέτρια διενοεῖτο, ταῖς βασιλείοιν ἀμφοτέραις ἔδει τὴν ἀρχὴν συνδιασώζειν, καὶ μάλιστα ἐκείνῃ ὅτι ἀμφοτέρωθεν ἔκ τε παιδὸς καὶ τοῦ συνοίκου βασιλέως ἡ Ῥωμαίων προσῆκε βασιλεία· ὁ δ' ὀλίγον καὶ τοῦ δικαίου καὶ τοῦ προσήκοντος φροντίσας, πᾶσαν τὴν ἀρχὴν περιήγαγεν εἰς ἑαυτὸν, ὥσπερ τι παραπέτασμα τῆς κακουργίας· Ἄνναν τὴν βασιλίδα προσθεὶς τοῖς ὅρκοις, ἢ ἐξ ἀλλοδαπῆς ὀλίγῳ πρότερον ἀφιγμένη, καὶ ὀλίγους ἔχουσα Ῥωμαίων τοὺς B ὑπὲρ αὐτῆς βουλησομένους διακινδυνεύειν, ῥᾳδίως ἐμελλεν αὐτῷ παραχωρήσειν τῆς ἀρχῆς. Συνεβούλευόν τε μὴ τοιαῦτα γινόμενα περιορᾶν, ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ τὴν ἐκείνου καταλύειν δύναμιν, διδάσκουσαν βασιλέα τὸν υἱὸν, ὡς ἐπιβούλως καὶ κακούργως διανοηθείη περὶ τῆς ἀρχῆς ἐκείνου τελευτῶντος· καὶ νῦν οὐδὲν ἧττον πάντας πείσειε Ῥωμαίους αὐτῷ προσέχειν, ὡς συμβαίνειν, βασιλεῖ μὲν προσηγορίαν μόνην εἶναι πραγμάτων ἔρημον, ἔργῳ δὲ ἐκεῖνον βασιλεύειν. Ἃ αὐτὸν σκοπεῖν προσήκει μὴ εἰς ἀνήκεστα ἐκβῇ· ἀλλὰ τὴν ὁρμὴν προαναστέλλειν καθαιροῦντα τὸν ὄγκον τὸν πολὺν καὶ εὐκαταφρόνητον ποιοῦντα. Ἡ μὲν οὖν βασιλὶς οἰκοθέν τε ὑπ' ὀργῆς πρὸς τὸ ἀμύνασθαι τὸν μέγαν εἰ C δύναιτο δομέστικον ὡρμημένη, καὶ ὑπ' ἐκείνων ἐπιπλέον ἐξαφθεῖσα, ὡς εἶχε τάχους, πρὸς βασιλέα γενομένη τὸν υἱὸν, κατηγόρει τοῦ μεγάλου δομεστίκου ὡς βασιλευόντος, καὶ συνεβούλευε φυλάττεσθαι τὸν ἄνδρα ὡς τὴν εὔνοιαν ὑπυκρινόμενον, ἀγνωμονήσοντα δὲ ἣν λάβηται καιροῦ. Βασιλεὺς δὲ πρὸς μὲν βασιλίδα τὴν μητέρα πολὺν ὑπὲρ μεγάλου δομεστίκου ἐποιήσατο τὸν λόγον, συκοφάντας καὶ ψευδομένους ἀποφαίνων τοὺς τὰ τοιαῦτα κατηγορηκότας· ὥσπερ δὲ καὶ ἔργοις ἐθέλων κατάδηλον ποιεῖν ὅτι πλάσματα ἡγεῖτο τὰ τοιαῦτα, μᾶλλον ἢ πρότερον εὐμενῆς καὶ πλείονα παρέχων τὴν ῥοπὴν, καὶ ἀκριβέστερον προσέχων ὡρᾶτο τῷ μεγάλῳ δομεστίκῳ, ὃ καὶ μᾶλλον βασιλίδα τὴν μητέρα παρεσκεύαζεν ἀνιᾶσθαι. Τοὺς μὲν οὖν συκοφάντας οὕτως ἀπεσκεύαστο ὁ βασιλεύς· D ἐκείνῳ δ' ἅπαντα περὶ ὧν ἡ βασιλὶς ἦκεν ἐξεπῶν, αὐθις βασιλικὴν ἐσθῆτα εἰ μή του ἄλλου, τῆς γοῦν τῶν πολλῶν δόξης ἕνεκα συνεβούλευεν ἀναλαβεῖν, ἵν' ἐκείνους τε ἀποδείξῃ ὑποπτεύοντας ἀληθῆ, καὶ αὐτὸν πολλῶν πραγμάτων ἀπαλλάξῃ. Ἐκεῖνος δὲ βασιλεῖ μὲν πολλὰς τῆς εἰς αὐτὸν εὐμενείας χάριτας ὡμολόγει καὶ τῆς καλοκἀγαθίας· τὸ δ' εἰ βασιλέως σχῆμα μεταμείβειν, οὐ μᾶλλον ἑτέρων αἰτιῶν, ἢ τῶν συκοφαντῶν ἕνεκα οὐκ ἐθελήσειν, ἵν' αὐτῷ τούτῳ τῆς κακουργίας λαμβάνῃ δίκας παρ' αὐτῶν ἔργοις αὐτοὺς συκοφάντας ἀποφαίνων. Αὐτὸς δὲ καὶ πρὶν βασιλίδα ἥκειν περὶ ὧν ἀφίξεται ἔφασκεν εἰδέναι. Καὶ γὰρ τῶν τὰ ἀπόῤῥητα συνειδότων αὐτῇ τινες πρότερον ἐλθόντες τήν τε ἄφιξιν αὐτῆς περὶ ὧν γένοιτο νυνὶ ἔνδηλον ἐποίουν τῷ μεγάλῳ δομεστίκῳ, καὶ τοὺς

Digitized by Google Распознавание текста ABK/FR

συνεσκευακότας τὴν ἐπιβουλήν· συνεβούλευόν τε A amoris indicium. Quod autem illi suaderent, ho-
πρὸς βασιλέα συγκρούειν ἐκείνην τὸν υἱὸν φθάσαντα minis esse inimicissimi moribusque perditis-
τὴν ἔφοδον, καὶ λόγοις πεπλασμένοις τὴν βασιλέως simi, et nullius frugis. Se non potentiam im-
ἐκταράττειν ψυχήν, ἵν' ἐκείνη μηδὲν ἀνύειν ᾖ τῶν peratoris reverentem amicum fingere, sed a
βεβουλευμένων δυνατή. Ὁ δ' ἀπεπέμψατο πρὸς ὀργήν, prima ætate usque in hanc diem verum con-
ὡς οὐδὲν ἄμεινον πολεμίων πρὸς αὐτὸν διακειμένους, stantemque amicum esse deliberasse, divinoque
καὶ ταῦτα φίλων περικειμένους προσωπεῖον· οὐ γὰρ beneficio semper fore. Insidiæ igitur contra do-
αὐτῷ προσήκειν τὰ τοιαῦτα, ἀλλὰ τοὐναντίον πᾶν, mesticum sic profligatæ sunt.
εἴ τις πρὸς μητέρα βασιλεῖ συνέβαινε διαφορὰ πάντα πονεῖν καὶ πραγματεύεσθαι, ἐξ ὧν ἂν διαλλάττειν
ἦν· τοῦτο γὰρ γνώρισμα φιλίας ἀληθοῦς. Ἃ δὲ ἐκεῖνοι συμβουλεύουσιν, ἐχθροτάτου, καὶ τοὺς τρόπους
διεφθαρμένου, καὶ τοῦ μηδενὸς ἀξίου. Αὐτὸς δὲ οὐ τὴν βασιλέως θεραπεύων δύναμιν, τον φιλοῦντα
ὑποκρίνεσθαι· ἀλλ' ἐκ πρώτης ἡλικίας ἄχρι νῦν Θεῷ δὲ θαῤῥεῖν ὡς καὶ μέχρι παντὸς, ἀληθὴς καὶ
βέβαιος εἶναι φίλος βασιλεῖ προῃρημένος. Ἡ μὲν οὖν κατὰ τοῦ μεγάλου δομεστίκου ἐνέδρα τοῦτο τὸν
τρόπον διελύθη.

CAPUT XV.

Obtrectatores et inimici se in gratiam conantur reducere timore mali. Apocauchus præcipue in eo laborat. Litteras scribit, merita in se locata enumerat; se pro ingrato accusat; veniam orat; gratum et bonum virum fore promittit. Domesticus ingratum animum ei exprobrat, venia donat. Quomodo propter fisci præfecturam tumultuatus sit idem Apocauchus, quem imperatrix ut confidentem ac superbum severe objurgat.

Οἱ συνεσκευακότες δὲ ὁρῶντες ἤδη ἐκείνῳ μὲν B Repertores doli, videntes nihil ei artibus suis
οὐδὲν δεινὸν ἐκ τῆς ἐπιβουλῆς γεγενημένον, αὐτῶν evenisse mali, suamque improbitatem patefactam,
δὲ τὴν μοχθηρίαν ἐγνωσμένην, καὶ δείσαντες μή τι et formidantes, ne quid præterea dirius paterentur,
διὰ ταῦτα πείσωνται δεινὸν, οἵ τε ἄλλοι τρόποις δή cum alii modis aliis apud magnum domesticum se
τισιν ἑτέροις ἐπειρῶντο τὸν μέγαν δομέστικον καταλ- in gratiam restituere laborabant (quanquam de ta-
λάττειν ἑαυτοῖς, καίτοι πρὸς ἄμυναν ὡρμημένον lione et vindicta nec tantillum sollicitum), tum
οὐδαμῶς· καὶ ὁ παρακοιμώμενος τήν τε πρὶν ἀδοξίαν præfectus sacri cubiculi et pristinam utilitatem, et
ἐννοῶν, καὶ τὴν νῦν εἰς ἣν ἐληλάκει εὐδοξίαν δι' ἐκεί- præsentem claritatem suam, ad quam per illum
νου, καὶ ὡς αὐτὸς οὐδὲν εὔγνωμον οὐδ' ἐπιεικὲς διε- esset evectus, secum reputans, et se nihil æquum
νοήθη, ἀλλ' ἤδη καθαρῶς τῶν δυσμενεστάτων ἐξελή- ac probum in eum cogitasse, sed jam malevolentis-
λεγκται ὤν, καὶ δείσας μὴ εἰς τὴν πρότερον τύχην simum deprehensum; timensque ne ab eo infenso
ὑπ' ἐκείνου ὠργισμένου καταστῇ, ἐσκέψατο μὴ μεσί- ad priorem **396** conditionem redigeretur, non uti
ταις χρήσασθαι πρὸς ἐκεῖνον καὶ διαλλακταῖς, ὡς interpretibus aut reconciliatoribus, qui parum aut
ὀλίγα ἢ οὐδὲν δυνησομένοις, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ nihil effecturi essent, sed per seipsum veniam im-
παραιτεῖσθαι, ἀντίῤῥοπον τῆς πανουργίας ἐπιδειξά- petrare constituit, ex improbo se jam bonæ frugi
μενος τὴν μεταβολήν. Καὶ γράμμασι τὰς πρὸς ἐκεῖ- C factum demonstrando videlicet. Itaque litteris ab
νον ἐξαρχῆς εὐθὺς εὐεργεσίας τοῦ μεγάλου δομεστί- initio statim ejus in se officia, suas vicissim in eum
κου, εἶτα καὶ τὰ νῦν ἐκθέμενος συνεσκευασμένα machinas recenset, et semet accusans ultimisque
κατ' αὐτοῦ, καὶ κατήγορος γινόμενος ἑαυτοῦ, καὶ τὰς dignum suppliciis non inficians, ut ignoscatur, orat,
ἐσχάτας ὁμολογῶν ὀφείλειν δίκας, ἔπειτα ἐδεῖτο τυ- promittens vel nunc curaturum sese, ne hoc be-
χεῖν συγγνώμης, εἰ μὴ πρότερον ἀλλὰ νῦν γοῦν ἐπ- neficio veniæ indignus fuisse videatur: et in per-
αγγελλόμενος ἄξιος φανεῖσθαι τῆς εὐεργεσίας· καὶ petuum non modo virum bonum, acceptorumque
τὸν πάντα χρόνον διατηρήσειν ἑαυτὸν οὐκ εὐγνώ- beneficiorum memorem futurum, sed etiam ejus
μονα μόνον καὶ τῶν εὐεργεσιῶν τῶν εἰς ἐκεῖνον με- auctoritati studiosissime obsecuturum, et indubita-
μνημένον, ἀλλὰ καὶ πάσῃ προθυμίᾳ καὶ σπουδῇ τὰ tam integramque in omnibus obedientiam præsti-
προστεταγμένα ποιοῦντα ὑπ' ἐκείνου, καὶ σαφῆ καὶ turum. Ad corroboranda autem quæ dicebat, non
καθαρὰν ἐπιδεικνύμενον τὴν εὐπείθειαν ἐν πᾶσι. Πί- alia modo terribilia et auditu tremenda juramenta
στεις δὲ παρείχετο ἐπὶ τοῖς λεγομένοις ἀσφαλεῖς, οὐχ afferebat, sed ipsum quoque quod hodie pro com-
ἑτέρους μόνον φρικώδεις ὅρκους καὶ ἀκοῦσαι φοβε- muni hominum salute sacrificatur, sanctissimum
ροὺς, ἀλλὰ καὶ αὐτὸ τὸ νῦν ὑπὲρ τῆς κοινῆς τῶν D Servatoris Jesu corpus, et quæ pro nobis passus
ἀνθρώπων σωτηρίας ἱερουργούμενον ἁγιώτατον τοῦ est is, in quem non cadit perpessio, et triduanam
Σωτῆρος Ἰησοῦ σῶμα, καὶ τὰ ὑπὲρ ἡμῶν πάθη τοῦ sepulturam, et in vitam reditum, quæ ut a Salva-
ἀπαθοῦς, καὶ τὴν τριήμερον ταφὴν, καὶ τὴν ἐκ νε- tore pro hominibus in eum contumeliosissimis facta
κρῶν ἀνάστασιν, ἃ ἱκέτευεν αἰδεσθέντα ὡς ὑπὲρ τῶν et tolerata revereretur, sibique condonato sceleris
εἰς αὐτὸν πολλὰ ἐξυβρικότων ἀνθρώπων τῷ Σωτῆρι sui supplicio veniam impertiret, supplicabat.
εἰργασμένων, συγγνώμην καὶ αὐτὸν ἐκείνῳ παρα- Deinde hora captata, qua mysticum sacrificium in
σχέσθαι, καὶ μὴ τῆς ἀγνωμοσύνης δίκας ἀπαιτεῖν. ædibus magni domestici perageretur, venit ipse
Ἔπειτα καιρὸν φυλάξας ἐν ᾧ τῆς μυστικῆς ἱερουρ- quoque, et in ipso potissimum articulo, cum di
γίας τελουμένης ἐν τοῦ μεγάλου δομεστίκου τῇ οἰκίᾳ vini ac vivifici et salutiferi Verbi corpus ades-

Digitized by Google Распознавание текста ABBYY FR

accedens libellum porrigit, addens lingua, se ibidem scriptorum testes appellare ipsum, quod cum tremore sacrificaretur corpus Christi, et qui inaspectabiles præcederent sequerenturque angelos, et qui a nobis videntur, in ministerio eos adjuvantes, sacerdotes istos. Magno vero domestico libellum in manibus tenente, sacrorumque finem exspectante, ut legeret, iterum præfectus cubiculi propius adiens, ut tunc legeret, rogabat, quo nimirum non ex juramentis tantum, verum etiam ex ipsa conditione temporis venerabiliora et credibiliora fierent, quæ scripta inerant. Victus precibus legit, ac tunc quidem tacuit. Post sacrificium solum deducens, Quam dura et aspera sors tua a principio fuerit, inquit, cum qua colluctans, meis auspiciis et opera in tam excelsum fortunæ gradum conscendisti, nemo est Romanorum, qui non juxta mecum noverit, et tu utpote verum ac justum mihi ferens testimonium, testis esse potes omnium fide dignissimus. **397** Quæ igitur in te ultro contuli, ea et ab aliis et abs te maxime confirmata sunt, quibus vero te afficere cogitabam bonis majoribus, et insignioribus, eorum et ipse mihi sum testis, et cui animi uniuscujusque motiones atque sensa manifesta sunt, Deus. Tu tamen tam multis obstrictus, nec unius es recordatus, et tot benefactis a me cumulatus, nec semel offensus, cum ego velut catenam quamdam merita meritis huc usque semper addiderim, tu aliis præ invidentia me immerentem oppugnantibus socium te adjungere voluisti, qui quantum in vobis fuit, mala extrema designastis. Quid ergo ad hæc et cogitare et facere me vicissim par fuit? non conari, si possem contra tibi nocere? Huc si me dedissem, quid sequebatur, nisi ut tu perditam lugeres felicitatem tuam, infamis repente et ex opulento inops? Istuc mihi perfacile erat, et te ipsomet judice hæc et plura præmia pro vafritie tua meruisti. Ast ego cum mihimet conscius sim, quam multa a Deo venia opus habeam, cum quotidie et numero plura, et gravitate majora peccem, et insuper sacramento tuo credens, tibi ignoscam insidiarumque tuarum oblitiscar. Tu enitere, ut posterioribus recte factis priora malefacta oblitteres. Tum igitur cubiculi præfectus denuo pluribus verbis et juramentis quæ scripserat confirmatis, in magni domestici gratiam se restituit, et multos genere illustres celebritate nominis anteivit. Tempore procedente, ut supra memoravimus, cum eum imperator adhuc superans, classis contra Persas ductorem legisset, idque magni domestici magnis precibus dedisset, quod alioqui huic muneri minime idoneum sentiret, curandæ reipublicæ præpositi erant Spanopulus a memoria et Joannes Melitenensis, quæstores Georgius Pepagomenus et Nicolaus Melitenensis. Verum ubi et in litteris imperatoriis, et in pecuniis, ut docuimus, fraude usus est, improbitatem detestatus imperator, honorem ei, quo parum diu gavisus erat, abrogavit, vixitque ad tempus nulla

A καὶ αὐτὸς παρῆν, μάλιστα κατὰ τὴν τοῦ θείου καὶ ζωοποιοῦ τοῦ Σωτῆρος Λόγου τοῦ σώματος προέλευσιν ἐγγὺς γενόμενος παρείχετο τὸ βιβλίον, εἰπὼν καὶ διὰ γλώττης, ὡς τῶν ἐγγεγραμμένων μάρτυρας παρέχοιτο αὐτό τε τὸ φρικτῶς ἱερουργούμενον σῶμα τοῦ Χριστοῦ, καὶ τούς τε ἀφανῶς προηγουμένους καὶ παρεπομένους ἀγγέλους, καὶ τοὺς αἰσθητῶς καὶ φανερῶς ἡμῖν πρὸς τὴν διακονίαν αὐτοῖς συναιρομένους ἱερέας τουτουσί. Τοῦ μεγάλου δὲ δομεστίκου τὰ γράμματα ἔχοντος ἐν ταῖν χεροῖν, καὶ τὴν τῆς ἱερουργίας περιμένοντος τελευτήν, ἵνα ἀναγνῷ, πάλιν ὁ παρακοιμώμενος γενόμενος ἐγγὺς, ἐδεῖτο τὸ νῦν ἔχον ἀναγνῶναι, ἵνα μὴ ἐκ τῶν ὅρκων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ χρόνου φοβερώτερα καὶ πιστότερα τὰ γεγραμμένα ᾖ· ἐπεὶ δὲ πειθόμενος ἀνέγνω, τότε

B μὲν ἐφθέγξατο οὐδέν. Ὕστερον δὲ μετὰ τὴν τελετὴν, μόνον τὸν παρακοιμώμενον παραλαβών, Τὴν μὲν ἐξαρχῆς, ἔφη, κακοπραγίαν, ἣ προσπλαίων εἰς τοῦτο τύχης καὶ περιφανείας ἦχθης ὑπ' ἐμοῦ, πάντες μὲν συνειδεῖεν ἂν ἐμοὶ Ῥωμαῖοι· σὺ δ' ἂν εἷς πάντων μᾶλλον ἀξιόχρεως πιστεύεσθαι τἀληθῆ καὶ δίκαια περὶ σεαυτοῦ συμμαρτυρῶν ἐμοί. Τῶν μὲν οὖν ὑπηγμένων παρά τε τῶν ἄλλων ἀρκοῦσαν ἔχω τὴν ἀπόδειξιν, καὶ μάλιστα σοῦ· ὧν δὲ διενοούμην περὶ σοῦ μειζόνων καὶ θαυμασιωτέρων ἀγαθῶν αὐτός τε σύνοιδα ἐμαυτῷ, καὶ ᾧ τὰ ψυχῆς ἑκάστου κινήματα καὶ διανοήματα φανερὰ Θεός. Αὐτὸς δὲ μήθ' ὑπὲρ ὧν πολλάκις ὑπ' ἐμοῦ πέπονθας καλῶς μηδενὸς μνησθείς, μήθ' ὡς τοσαῦτα εὐεργετηθείς,

C οὐδὲ ἅπαξ πέπονθας κακῶς, ἀλλὰ δίκην σειρᾶς τινος ἀδιάλυτος ἡ τῶν εὐεργετημάτων ἀκολουθία μέχρι νῦν παρ' ἐμοῦ διετηρήθη, ἑτέροις ὑπὸ βασκανίας μηδὲν ἀδικοῦντι πολεμοῦσιν ἐμοὶ προσνείμας ἑαυτὸν, τό γε εἰς ἡμᾶς ἦκον τὰ ἔσχατα διέθεσθε κακά. Τί οὖν πρὸς ταῦτα κἀμὲ καὶ διανοεῖσθαι καὶ ποιεῖν ἐχρῆν, ἢ πειρᾶσθαι βλάπτειν ἂν ἄρα τι δύναμαι καὶ αὐτός; Εἰ δ' ἐπὶ ταῦτα ἐτραπόμην, τίλοιπὸν ἦν, ἢ σὲ τὴν προτέραν θρηνεῖν εὐδαιμονίαν ἄτιμον ἐξαίφνης καὶ ἄπορον περιττόντα ἐκ μεγάλα δυναμένου; Τοῦτο μὲν οὖν ἐμοί τε τῶν πάνυ ῥᾳδίων ἦν, καὶ αὐτὸς ἂν δικάσαις σεαυτῷ ὡς τοιούτων ἦσθα καὶ πλειόνων ἄξιος τῆς πανουργίας ἀπολαύειν. Ἐγὼ δ' ἐμαυτῷ πολλῆς παρὰ Θεοῦ τῆς συγγνώμης δεομένῳ συνειδὼς, οὔτε ἀριθμῷ τοσαῦτα, οὔτε τηλικαῦτα

D καθ' ἡμέραν ἁμαρτάνοντι τὸ μέγεθος, ἀλλὰ πολλῷ δεινότερα καὶ πλείω. Ἄλλως τε καὶ τοῖς ὅρκοις τοῖς σοῖς πιστεύσας, συγγνώμην παρέχομαι καὶ ἀμνηστίαν τῆς ἐπιβουλῆς· σοὶ δὲ μελήσει τοί, ὕστερον ἀγαθοῖς τὰ πρότερα εἰργασμένα ἀπαλείφειν. Τότε μὲν ὁ παρακοιμώμενος αὖθις λόγοις τε πλείοσι καὶ ὅρκοις τὰ γεγραμμένα ἐπιβεβαιώσας, τῆς παρὰ μεγάλου δομεστίκου πάλιν ἀπέλαυε ῥοπῆς, καὶ πολλοὺς παρεισεδέχετο καὶ τῶν γένει περιβόλων. Χρόνῳ δὲ ὕστερον, ὥσπερ δὴ καὶ πρότερον ἱστόρηται ἡμῖν, τοῦ κατὰ Περσῶν στόλου ὑπὸ βασιλέως ἔτι περιόντος ἀποδειχθέντος στρατηγοῦ, πολλὰ τοῦ μεγάλου περὶ τούτου δομεστίκου δεηθέντος βασιλέως, ὥστε τὴν στρατηγίαν ταύτην ἐγχειρίσαι μὴ προσήκουσαν ἐκείνῳ τὴν περὶ τὰ τοιαῦτα οἰομένου διατριβήν,

Digitized by Google Распознавание текста ABK/FR

πρὸς μὲν τὴν ὑπηρεσίαν τοῦ μεσάζειν τοῖς δημοσίοις, ὁ ἐπὶ τῶν ἀναμνήσεων Σπανόπουλος καὶ ὁ Μελιτηνιώτης Ἰωάννης ἦσαν τεταγμένοι, χρημάτων δὲ ταμίαι τῶν κοινῶν, ὅ τε Πεπαγωμένος Γεώργιος καὶ Νικόλαος ὁ Μελιτηνιώτης. Ἐπεὶ δὲ περί τε τὰ βασιλικὰ γράμματα καὶ περὶ τὰ χρήματα, ὥσπερ ἔφημεν, ἐπιβούλως διανοηθείη, βασιλεὺς μὲν μισήσας τὴν πονηρίαν, μικρὰ τῆς στρατηγίας ἀπολαύσαντα, παρέλυσεν εὐθέως τῆς ἀρχῆς, καὶ διήγαγεν ἐπὶ καιρὸν μηδὲν ἐγκεχειρισμένος τῶν κοινῶν. Ἐπεὶ δὲ ἐτελεύτησεν ὁ βασιλεύς, πολλὰ τοῦ μεγάλου δεηθεὶς δομεστίκου, καίτοι καὶ οἴκοθεν ὠρμημένου ποιεῖν αὐτὸν εὖ, τὴν μὲν τοῦ μεσάζειν ὑπηρεσίαν ἐνεχειρίσθη, τὴν δὲ τῶν βασιλικῶν χρημάτων φυλακὴν, οὐκέτι· καί τοί γε ἔμελλε μικρὸν ὕστερον καὶ ταύτην, ὡς ὁ μέγας ὕστερον δομέστικος διεβεβαιοῦτο. Ὁ δὲ τὴν μὲν τῶν ἀρχῶν ἰδὼν εὐθέως καὶ μετὰ ῥᾳστώνης αὐτῷ προσγενομένην ἅμα τῷ αἰτῆσαι, τὴν ἑτέραν δὲ οὐκέτι, οὐ τῶν παρεσχημένων ἕνεκα ἐπῄει μᾶλλον χάριτας ὁμολογεῖν, ἢ ἀμύνεσθαι, ὧν ἀδίκως ὤετο ἀποστερεῖσθαι· νομίσας δὲ καὶ βασιλίδα μὲν ἐπιτετραφέναι τῷ μεγάλῳ δομεστίκῳ ἀμφοτέρας· ἐκείνῳ ἐγχειρίζειν τὰς ἀρχὰς, τὸν δὲ χαριζόμενον τοῖς τὴν ἑτέραν ἔχουσιν ἀποστερεῖν ἐκεῖνον, ἔγνω δεῖν προσκρούειν φανερῶς. Καὶ βασιλίδι προσελθὼν, παρόντος ἐκείνου καὶ διαλεγομένου, Ἐγὼ νομίζω, εἶπεν, οὐ μόνον τὴν ἐμοὶ παρεσχημένην νῦν ἀρχὴν, ἀλλὰ καὶ πάσας ὅσας ἄρχουσι Ῥωμαῖοι, οὐ παρὰ μεγάλου δομεστίκου, παρὰ σοῦ δὲ χορηγεῖσθαι πᾶσι. Διὸ καὶ οἶομαι προσήκειν σοὶ τὰς τῆς εὐεργεσίας χάριτας εἰδέναι. Εἰ δὴ ταῦτα οὕτως, ὥσπερ οἶομαι, ἔστιν ἀληθῆ, ἀνθ' ὅτου παρὰ σοῦ προστεταγμένον ἀμφοτέρας ἔχειν τὰς ἀρχὰς, ὧν καὶ περιόντος ἦρχον βασιλέως, τὴν ἑτέραν παρέσχετο αὐτὸς, τῆς μιᾶς ἀποστερήσας, δέομαί σου καὶ τὴν ἑτέραν αὐτῷ προστάξαι ἀποδοῦναι, μᾶλλον δὲ καὶ αὐτοῦ παρόντος παρά σου ἐγχειρισθῆναι, ἵνα σοι καὶ μᾶλλον προσηκούσας τὰς εὐχαριστίας τῆς εὐεργεσίας ἀποδῷ. Ὁ μέγας μὲν οὖν δομέστικος ἐφθέγξατο οὐδέν. Ἡ βασιλὶς δ' αὐτοῦ πολλὴν καταγνοῦσα τὴν ἀχαριστίαν, Πάνυ θαυμάζειν, εἶπεν, ἐπέρχεταί μοι, τὴν αἰτίαν ἐξ ἧς εἰς τούτους προήχθης τοὺς λόγους οὐ συνορώσῃ. Εἰ μὲν γὰρ οἰόμενος μὴ τὴν ὁμοίαν δύναμιν τὸν μέγαν δομέστικον ἦν περ καὶ πρότερον κεκτῆσθαι, ἢ ἐμέ τι διαφέρεσθαι πρὸς αὐτὸν, δεῖν ἔγνως αὐθαδῶς αὐτῷ προσφέρεσθαι καὶ θρασέως, ἴσθι πάνυ τοῦ προσήκοντος ἁμαρτών. Εἰ δ' οὐδὲν ἀποδεδληκότα καὶ τῆς δυνάμεως καὶ τῆς εὐνοίας τῆς εἰς ἐμὲ εἰδὼς, ἔπειτα εἰς τοῦτο προήχθης ἀτοπίας, οὐκ ἀσυνεσίας, ἀλλὰ παραπληξίας φαίην ἂν ἔγωγε τοὺς λόγους τουτουσί. Ἐγὼ δέ σε περιόντος μὲν ᾔδειν βασιλέως τήν τε τοῦ μεσάζειν ἐγχεχειρισμένον καὶ τοῦ βασιλικοῦ ταμιείου τὴν ἀρχήν. Πλὴν καὶ τότε εἶποι τις ἄν, οὐχ ἑκόντος βασιλέως, ἀλλὰ διὰ τὸ βούλεσθαι τοῦτον παραχωροῦντο· διὸ καὶ πολλὰ πολλάκις ὠνειδίζετο παρ' ἐκείνου, κατὰ σοῦ ἐκφερομένου πρὸς ὀργὴν, ὡς οὐ λυσιτελοῦντα πράττων σὲ μειζόνων ἢ προσῆκεν ἀξιῶν. Ἐπεὶ δὲ ναύαρχος αἱρεθεὶς αὖθις ἐξεβλήθης τῆς ἀρχῆς, οὔτε βασιλέως ζῶντος, οὔτε μετὰ τὴν ἐκείνου τελευτὴν ὑπ' ἐμοῦ πρὸς ἀρχήν τινα προήχθης. Νῦν δ' οὗτος οἴκοθεν πρότερον ὁρμηθεὶς, ἣν ἔφης ἐνεχείρισεν ἀρχήν. Ἔπειθ' ὕστερον ἀπαγγείλας,

A functione publica. Exstincto imperatore magnum domesticum, quanquam per se cupientem illi benefacere, precatus, officium administratoris, at non fisci præfecturam, obtinuit, tametsi, ut magnus domesticus aiebat, paulo post et hanc obtinuisset.

398 At ille cum cerneret e præfecturis hanc statim ac facile, simul ut petiisset, contigisse, alteram non amplius, cum propter accepta gratias agere debuisset, ipsi ob ea, quibus se injuste privatum ducebat, ultionem parabat. Ratus vero imperatricem magno domestico utriusque præfecturæ in ipsum conferendæ potestatem dedisse, eumque quo alteram habentibus gratificaretur, illam sibi detrahere, in ejus odium offensionemque aperte incurrere statuit, et ad imperatricem ingrediens, eo præ-

B sente, et cum illa colloquente, Opinor, inquit, non solum nunc mihi commissam præfecturam, sed omnes, quas Romani habent præfecturas, non a magno domestico, sed abs te committi ac dari omnibus. Quare etiam decere arbitror, tibi de beneficio gratias agere. Quod si ita est, ut mihi videtur, quid ita, cum abs te jussum sit ambas obtinere me præfecturas, quas vivo imperatore obtinuerim, unam hic mihi dedit, alteram eripuit? Quare te oro, ut alteram quoque reddi jubeas, vel potius ipso præsente tu in me conferas, ut tibi potius, quas debeo, gratias agam. Silebat ad hæc magnus domesticus; imperatrix autem Apocauchum vehementer ingratum judicans, Magna me capit

C admiratio, inquit, non intelligentem undenam ad hujusmodi voces impellare. Si enim magnum domesticum non eadem, qua prius potestate valere, et me ab ipso discrepare existimans, arroganter et confidenter in eum irruendum decrevisti, scito te tota via aberrasse. Sin neque de potentia, neque de benevolentia illius erga me quidquam imminutum sciens, nihilo minus huc insolentiæ processisti, non ego jam hunc sermonem tuum impudentiæ, sed amentiæ aseripserim. Non me fallebat superstite imperatore administratoris munus, simulque fisci præfecturam tibi commissam: verumtamen etiam tum dicere licebat, non imperatorem voluisse, sed volente hoc permisisse, quo ei postea multum ac sæpe in te stomachans exprobra-

D bat, quasi rem egisset inutilem, cum te majoribus, quam pro humeris tuis, dignum censuisset. Postquam autem classi es præfectus, et ea dignitate rursum exutus, nec vivo nec mortuo imperatore a me ad ullum magistratum provectus es. Nunc hic suopte nutu, quam dicebas, præfecturam tibi mandavit. Deinde cum id mihi renuntiasset, ut ratum haberem quod egerat, adduxit. Decebat igitur gratum esse adversus bene meritum, nec cum tanta confidentia tam arroganter te gerere. Hæc Augusta ad præfectum cubiculi.

Digitized by Google Распознавание текста ABK/FR

ἔπεισε καὶ στέργειν τὰ ἐψηφισμένα. Διὸ προσῆκε τῆς εὐεργεσίας χάριτας ὁμολογεῖν, καὶ μὴ θρασέως ἀπαυθαδίζεσθαι. Οὕτω μὲν οὖν ἡ βασιλὶς πρὸς τὸν παρακοιμώμενον ἐφθέγξατο.

399 CAPUT XVI.

Apocauchus a domestico collata dignitate privatur, et contemnitur; eum per ejus amicos et patriarcham placat. Imperatricem ei reconciliat. Mittuntur qui Epibatis illum adducant, sed venire abnegat. Domesticus cohortatus omnes ad concordiam et pacem, Byzantio discedit. Filiam suam imperatori juveni despondere differt. Apocauchus in itinere se illi ultro tradit et de juramentis ante rejectis sese purgat. Ejus cum matre magni domestici colloquium; a qua admonetur, ut factis magis, quam juramentis se amicum præstet.

Magnus domesticus nec ipse tam improbum hominem diutius sustinens, vocem in hæc verba solvit: Oportebat quidem longinquitatem temporis, quo beneficiis meis usus es, magistram tibi gratitudinis fieri. Sed quia sponte ac libens malus es, et cum gratias ingentes agere oporteret, tu convicia dicere maluisti, jam ego te hoc ipso, quo ornaveram, honore multo; et ab hoc die nullius tibi publicæ rei cura esto. Sic domesticus. Apocauchus imperatricem percunctari, num his assentiatur: qua respondente, Etiam assentior, magnus domesticus omni rursum ei magistratu interdicto surrexit, et rempublicam perrexit gerere. Tum quotquot in palatio versabantur, cognita Apocauchi in magnum domesticum impudentia, et quomodo ab illo succensente omni magistratu exclusus esset, pro improbo ac deliro habebant. Cumque antehac palatio exeuntem frequenter comitari et propter magistratum observare solerent, tunc egredientem nemo deducere ac prosequi ausus est, sed uno duntaxat famulo, Spalocota nomine, prosequente exivit. Ergo Apocauchus, cum his de causis magnum domesticum palam offendisset et ad iram compulisset, multis diebus domi sedebat, et sive ex mœrore ac desperatione vere, sive ex simulatione falso, male habebat. Postmodum rursum compluribus magni domestici amicis supplex factus, et in primis patriarchæ, per eos illum placavit, promissisque ingentibus ac sacramentis, de cætero nihil simile attentaturum fidem fecit. Non diu post etiam quæ contra Persas parabatur, classi ducem eum constituit. Sed horum brevi oblitus, Joanni adolescenti imperatori, ut diximus, insidias tetendit; quorum ipsa Augusta tunc magnum domesticum admonuit, ut nempe Apocauchus ingratus in illum toties apparuerit, ob quæ neque veniam dandam, sed in Epibatis inclusum relinquendum; non enim quieturum, sed si copia fuerit, novi aliquid denuo moliturum. At enim ille longa oratione eam permovit, ut ei culpam condonaret, nullo tamen modo sineret Byzantii vivere, 400 sed Epibatis egressum, et ipsam adoratione veneratum, postridie eodem reverti juberet. Ut hæc sententia stetit, seorsum quisque, imperatrix, magnus domesticus et patriarcha ἀμνηστίαν illi juraverunt: et nomine quidem imperatricis ac patriarchæ Phocas, Dexius, Ampar, magni autem domestici, Demetrius Casandrinus Epibatas venerunt, ut eum adducerent. Quibus visis et eorum verbis auditis, Apocauchus neque juramentis, neque ullis verbis fidem

Ὁ μέγας δὲ δομέστικος τὴν ἀγνωμοσύνην καὶ αὐτὸς οὐκ ἐνεγκών, Ἔδει μέν, εἶπε, τὸν τοσοῦτον χρόνον διδάσκαλόν σοι τῶν ὑπηργμένων ἀγαθῶν γενέσθαι παρ' ἐμοῦ. Ἐπεὶ δ' ἑκόντι κακὸς ἐθέλων εἶναι, δέον πολλὰς χάριτας ὁμολογεῖν, οὐδὲ τἀναντία προεῖλου λέγειν, ἤδη σου κἀγὼ τὴν ἀρχὴν ἣν παρεσχόμην ἀφαιρῶ· καὶ ἀπὸ τῆς ἡμέρας ταύτης, μηδενός σοι μελέτω τῶν κοινῶν. Ὁ μὲν οὖν τοιαῦτα εἶπεν. Ἀπόκαυχος δὲ τῆς βασιλίδος ἐπυνθάνετο εἰ καὶ αὐτῇ τοιαῦτα συνδοκοίη· τῆς δὲ τὰ εἰρημένα στέργειν εἰπούσης, ὁ μέγας δομέστικος αὖθις πᾶσαν ἀπαγορεύσας ἀρχὴν ἐκείνῳ, ἀνέστη, καὶ διοικήσεως ἑτέρων εἶχετο πραγμάτων. Ὅσοι δὲ παρῆσαν ἐν βασιλείοις, τὴν παρακοιμωμένου γνόντες πρὸς τὸν μέγαν δομέστικον ἀντιλογίαν, καὶ ὡς ὑπ' ἐκείνου πρὸς ὀργὴν πάσης ἀρχῆς ἀπελαθείη, πολλὴν μὲν ἐκείνου καὶ ἀγνωμοσύνην καὶ παράνοιαν κατέγνωσαν. Ἐξιόντι δὲ τῶν βασιλείων, καίτοι πρότερον εἰωθότες ἕπεσθαι πολλοὶ καὶ θεραπεύειν διὰ τὴν ἀρχήν, τότε προσελθεῖν οὐδεὶς ἐτόλμησεν, ἀλλ' ἑνὸς ἐξῆει τῶν οἰκετῶν αὐτῷ παρεπομένου, Σπαλοκότου προσαγορευομένου. Ἀπόκαυχος μὲν οὖν ἐκ τοιούτων αἰτιῶν τῷ μεγάλῳ δομεστίκῳ φανερῶς προσκεκρουκὼς, καὶ πρὸς ὀργὴν ἀπελαθείς, ἐπὶ πολλαῖς ἡμέραις οἴκοι καθῆστο, εἴτε ἀληθῶς ὑπ' ἀθυμίας, εἴτε ὑποκρινάμενος νοσεῖν. Εἶτ' αὖθις πολλοῖς τῶν μεγάλου δομεστίκου φίλων ἱκέτης γεγονὼς καὶ μάλιστα πατριάρχῃ, ἔπεισε δι' αὐτῶν ἀφεῖναι τὴν ὀργήν, πολλὰ καὶ δι' ἑαυτοῦ ἐπαγγειλάμενος καὶ ὅρκοις μεγάλοις πείσας, ὡς οὐκέτι τοῖς ὁμοίοις ἐπιχειρήσει. Καὶ μετ' οὐ πολὺ, καὶ τῶν κατὰ Περσῶν παρασκευαζομένων τριηρῶν παρέσχε τὴν ἀρχήν. Ὧν ὀλίγῳ ὕστερον ἀμνημονήσας, Ἰωάννῃ τῷ νέῳ ὥσπερ ἔφημεν ἐπεβούλευσε βασιλεῖ. Ὧν ἡ βασιλὶς ἐνεμίμνησκε τὸν μέγαν δομέστικον τότε, ὡς ἐν πολλοῖς ἀχαρίστου τοῦ παρακοιμωμένου πρὸς αὐτὸν ἀνεφανέντος, δι' ἃ οὐδὲ παρέχειν ἐπείθετο συγγνώμην, ἀλλ' ἐᾶν ἐν Ἐπιβάταις ἐγκεκλεισμένον, ὡς οὐδ' αὖθις ἠρεμήσοντα ἂν ἐξῇ περιϊέναι, ἀλλά τισιν ἐπιχειρήσοντα καινοτέροις. Ὁ δὲ πολλοῖς ὑπὲρ ἐκείνου χρησάμενος πρὸς βασιλίδα λόγοις, ἔπεισε τελευταῖον, τὴν μὲν συγγνώμην παρασχεῖν, μηδαμῶς δὲ ἐᾶν ἐν Βυζαντίῳ διατρίβειν, ἀλλ' ἐξ Ἐπιβατῶν ἐλθόντα καὶ προσκυνήσαντα αὐτὴν, ἔπειτα εἰς τὴν ὑστεραίαν ἐπανήκειν πρὸς αὐτόν. Ἐπεὶ δὲ ἐδέδοκτο τοιαῦτα, καὶ ἀμνηστίας τῶν κακῶν ἐγίνοντο ὅρκοι πρὸς ἐκείνον ἰδίᾳ παρά τε βασιλίδος καὶ μεγάλου δομεστίκου καὶ πατριάρχου, τοὺς μὲν Φωκᾶς τε καὶ Δεξιὸς καὶ τρίτος Ἄμπαρ παρά τε βασιλίδος καὶ πατριάρχου ἦκον ἄγοντες ἐν Ἐπιβάταις· τοὺς μεγάλου δομε-

Digitized by Google Распознавание текста ABK/FR

στίκου δὲ Δημήτριος ὁ Κατανδρηνός. Οὗ; ὁ παρα- A
κοιμώμενος ἰδὼν, τῶν τε λόγων οὓς ἐποιήσαντο
ἀκούσας, πρὸς ἐκεῖνον ἔφασκεν, οὔθ' ὅρκοις, οὔτε
λόγοις πείσασθαί τισιν, ἀλλ' αὐτῷ μελήσειν, ὅπως
ἂν ἄριστα διάθηται τὰ κατ' αὐτόν. Οἱ μὲν οὖν οὕτως
ἐπανῆκον ἄπρακτοι. Ὁ μέγας δὲ δομέστικος, ἐπεὶ
ὑπὸ τῶν πραγμάτων ἠπείγετο Βυζαντίου ἐξελθεῖν,
τὸν πατριάρχην αὖθις μόνον παραλαβὼν, τῶν τε
προτέρων αὖθις ἀνεμίμνησκε λόγων, καὶ τῶν ὅρκων
τῶν γεγενημένων πρὸς αὐτόν. Ἐδεῖτό τε τοιοῦτον
φανῆναι καὶ ἐπὶ τῶν ἔργων, ὥσπερ λόγοις ἐπηγγεί-
λατο προθύμως, καὶ μὴ περιΐδεῖν αὐτὸν ὑπὸ συκο-
φαντῶν διαβληθέντα. Πατριάρχου δὲ τοῖς ὁμοίοις
καὶ αὖθις καὶ λόγοις καὶ ἐπαγγελίαις χρησαμένου,
καὶ θαρρεῖν εἰπόντος ὡς οὐδὲν ἧττον ἢ εἰ παρῆν
αὐτὸς τῶν ὑπὲρ αὐτοῦ δικαίων ἀνθεξομένου, ἀλλή- B
λους προσαγορεύσαντες, διελύθησαν. Ὁ μέγας δὲ
δομέστικος, καὶ πᾶσι τοῖς ἄλλοις, μάλιστα δὲ τοῖς
πρὸς πατριάρχην ὀλίγῳ πρότερον ὑπὲρ τοῦ ἔφιππον
αὐτὸν εἰς τὰ βασίλεια εἰσιέναι διενεχθεῖσι, πολλὰ
περὶ εὐταξίας καὶ τῆς εἰς βασιλίδα εὐπειθείας δια-
λεχθεὶς, καὶ τελευταῖον ἀπειλήσας ὡς οὐκ ἀτιμώ-
ρητον ἀφήσει, εἴ τις ἐπιχειροίη νεωτέροις, ἐξῆλθε
Βυζαντίου, ὀγδόῃ φθίνοντος Σεπτεμβρίου. Πρὶν δὲ
Βυζαντίου ἐξελθεῖν, γενόμενος ἐν βασιλείοις αὖθις
ὡς συνταξόμενος τῇ βασιλίδι, τὴν θυγατέρα κελευ-
ούσης βασιλεῖ τῷ νέῳ Ἰωάννῃ τὸν μέγαν δομέστι-
κον κατεγγυᾶν, ἀνεβάλλετο εἰς τὴν ἐπάνοδον ἐκεῖνος
τὴν ἐκ τῆς ἑσπέρας· τὸ δοκεῖν μὲν ὡς τῶν πραγ-
μάτων ἐπειγόντων, καὶ οὐκ ἐώντων περὶ τοιαῦτα C
διατρίβειν, τῇ δ' ἀληθείᾳ, τῶν παρὰ τῶν φίλων
μεμνημένος λόγων, οἳ μηδὲν ὑπὲρ ἑαυτοῦ μήτ' ἀγα-
θῶν, μήτε φαύλων πράττειν τὸ δοκεῖν πρὶν ἂν αὐ-
τοῖς συγγένηται μόνον πέμψαντες ἐκώλυον· οἷς
φυλάττων τὴν φιλίαν καὶ μηδὲν πρὶν ἐπιψηφίσασθαι
τοὺς φίλους πράττειν βεβουλευμένος, ἀνεβάλλετο
τῆς θυγατρὸς περὶ τῶν γάμων τότε τὰς συμβάσεις.
Ὁδοῦ δὲ πάρεργον ἐν Ἐπιβάταις γενομένῳ, καὶ ἡ
παρακοιμωμένου πρὸς βασιλίδα διάλυσις ἐπράττετο
αὐτῷ. Ἐπεὶ γὰρ τοῦ φρουρίου ἐγένετο ἐγγὺς, ὁ
παρακοιμώμενος ἐξελθὼν, ἱσπάζετό τε αὐτὸς, καὶ
περὶ τῶν ὅρκων ἀπελογεῖτο τῆς ἀποστροφῆς, ὡς οὐ
διὰ κακίαν αὐτῷ πραχθείη, ἀλλ' ἵν' ἔργοις αὐτοῖς
γένοιτο καταφανὲς, ὡς οὐ δέοιτο ὅρκων παρ' αὐτοῦ,
ἀλλὰ λόγοις αὐτοῦ ψιλοῖς μᾶλλον θαρροίη ἢ ἑτέρων D
ἐγγράφοις ὅρκοις. Διὸ καὶ νῦν ἰδὼν προθυμότατα
ἐγκεχειρικέναι ἑαυτὸν, οὔθ' ὅρκων, οὔτε τινὸς ἑτέ-
ρου δεηθείς. Εὐχαριστήσας δὲ ὁ μέγας δομέστικος
ἐπὶ τούτοις αὐτῷ καὶ ἱκανῶς προσομιλήσας, αὐτὸν
μὲν οἴκοι κατελίμπανεν, ὡς ἐς τὴν ὑστεραίαν ἥ-
ξοντα πρὸς αὐτόν. Ἐκεῖνος δὲ εἰς Σηλυβρίαν ἦλθεν.
Ἐς τὴν ὑστεραίαν δὲ, ἐπεὶ καὶ ὁ παρακοιμώμενος
ἦκε πέμψας πρὸς Βυζάντιον ὡς τῇ βασιλίδι προσ-
κυνήσαντα αὖθις ἐπανήκειν πρὸς αὐτὸν, αὐτὸς εἰς
Διδυμότειχον ἐλθὼν, πρὸς τὴν εἰς τὴν ἑσπέραν παρ-
εσκευάζετο στρατείαν. Ὁ παρακοιμώμενος δὲ γε-
νόμενος ἐν Βυζαντίῳ, πρῶτα μὲν προσεκύνει βασι-
λίδα, καὶ συγγνώμης ἠξιοῦτο ἐφ' οἷς ἐδόκει προσ-
κεκρουκέναι. Ἔπειτα τῇ μεγάλου δομεστίκου προσ-

se adjuncturum, sed ut res suæ quam optime se habeant, sibi curæ futurum affirmavit. Ita illi frustra reverterunt. Magnus autem domesticus quoniam Byzantio exire necessitas urgebat, patriarcham rursus solum aggrediens, priorumque sermonum et jurisjurandi commonefaciens, orabat, ut qualem verbis prompte promisisset, talem se reipsa præstaret, et ne sycophantarum calumniis objici ipsum pateretur. Cum patriarcha iterum iisdem verbis et promissis uteretur, juberetque sibi fidere, se enim æque ac si ipse præsens ageret, causam ejus absentis acturum defensurumque, dicto vale digressi sunt. Postea magnus domesticus et apud alios omnes, et apud eos præcipue qui antea eum patriarcha altercati erant, utrum equo insidens domesticus palatium introiret, multa de ordine et tranquillitate, deque obedientia erga imperatricem servanda locutus, et postremo comminatus, haud impune laturum, si quis res novas auderet, Byzantio ante diem quartum Kalendas Octobres discessit. Sed antequam itineri se daret, palatium ad imperatrici valedicendum petivit, quæ cum eum exhortaretur ut filiam suam Joanni adolescenti imperatori desponderet, ille in reditum sponsalia distulit, specie quidem, ut bello magnopere compellente, nec talibus moram concedente, re autem vera, amicorum memor, qui misso certo homine, ne quid seu bonum, seu non bonum videretur, ipsis absentibus faceret, interdixerant. Custodito igitur jure amicitiæ, et nihil ipsis invitis agere fixum habens, conventa et stipulationes super filiæ connubio differebat. In transitu porro Epibatis inter ipsum Apocauchum et Augustum rem omnem composuit. Nam cum prope castellum esset, Apocauchus salutatum foras exiit, et de juramentis rejectis se purgavit : non id vitio suo factum, sed ut re declararet, se ejus juramentum non requirere, cujus nudis verbis plus **401** quam reliquorum scriptis juramentis tribueret : idcirco et nunc eo viso sese illi nec juramentum, nec aliud ab illo desiderantem tradere promptissime. Ob hæc gratiis actis, et diutius cum ipso collocutus, eum domi, ut postridie ad se venturum reliquit, ipse vero Selybriam venit. Postridie, postquam et præfectus cubiculi eodem venit, misso illo Byzantium, ut imperatrice adorata, Epibatas rediret, ipse Ditymotichum profectus, ad expeditionem in Occidentem se instruebat. Apocauchus jam Byzantii imperatricem submisso corpore veneratus, veniam peccatis suis flagitat. Deinde matrem magni domestici (quæ tunc consolandæ imperatricis Byzantii manebat) conveniens, primum quidem ejus filio magnas agebat gratias, non modo de beneficiis ab initio usque ad illum diem ab eo perceptis, verum etiam de tolerantia et commiseratione, quam sæpius et ad extremum tam stolide se offendenti ostendisset, addebatque nunquam omnino se ingratum atque improbum erga illum repertum iri, sed ita induxisse

Digitized by Google Распознавание текста ABK/FR

animum, ut non ipse tantum, verum tota posteritas sua eum benevolentia et fide prosequatur in omnibus, et tanquam domino perfecte obediat. Id ut credatur, ad jusjurandum firmissimum religiosissimunque paratum esse. Respondit illa : Memorare officia quæ a primis huc usque magnus domesticus apud te posuit, addam ei illud, quoties immemor beneficiorum, male illi gratiam retuleris, et illius in se delinquentibus ignoscendi studium; hæc, inquam, memorare, cum ea tu antea testeris, nihil attinet; juramenta autem nunc quidem nulla postulantur, sed facta, quibus juramentis fides concilietur, quæ non verba, sed opera potius sequitur. Quare et te, quam illi cupias rebus demonstrare, consentaneum est, non autem cum id verbo docueris, re defici. Tum ille, non verbis duntaxat, sed opere quoque suam in eum benevolentiam palam omnibus facturum pollicitus, inde abscedens ad patriarcham venit.

A ελθὼν μητρὶ ἐν Βυζαντίῳ τότε παραμυθίας ἕνεκα τῆς βασιλίδος οὔσῃ, πρῶτα μὲν πολλὰς ὡμολόγει χάριτας μεγάλῳ δομεστίκῳ, οὐ μόνων τῶν εὐεργεσιῶν ὧν ἐξαρχῆς ἄχρι νῦν παρέσχετο πρὸς αὐτὸν, ἀλλὰ καὶ τῆς μεγαλοψυχίας καὶ συμπαθείας, ἣν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ τὰ τελευταῖα νῦν ἐξ ἀνοίας προσκεκρουκότος ἐνδείξαιτο πρὸς αὐτόν. Ἔπειτα ἐπηγγέλλετο ὡς οὐδὲν ἔσται τὸ πεῖσον ἢ βιασόμενον ἀχάριστον καὶ κακὸν ὀφθῆναι περὶ ἐκεῖνον, ἀλλ' οὕτω πεπεικέναι ἑαυτὸν, ὡς οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ γένος ὅλον εὔνουν ἐκείνῳ καὶ πιστὸν εἶναι διὰ πάντων καὶ τὴν δουλείαν ἀκριβῆ τηρῆσον οἷα δὴ δεσπότῃ. Πίστεως δὲ καὶ τῶν λεγομένων ἕνεκα νυνὶ, ἕτοιμος εἶναι ὅρκους παρασχέσθαι τοὺς μάλιστα δοκοῦντας βεβαιοτάτους καὶ φρικώδεις
B εἶναι. Ἡ δὲ ἔφασκεν αὐτῷ· Τὰ μὲν τὰς εὐεργεσίας καταλέγειν αἳ παρὰ μεγάλου δομεστίκου ἐξαρχῆς ἄχρι νῦν γεγένηνται σοὶ, προσθήσω δ' ὅτι καὶ τὰς ἐξ ἀχαρίστου γνώμης παρὰ σοῦ γεγενημένας πρὸς ἐκεῖνον ἀμοιβὰς, καὶ τὴν ἐκείνου περὶ τὸ συγγνώμην τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι παρέχειν φιλοτιμίαν, οὐκ ἀναγκαῖον νῦν, σοῦ προτέρου μαρτυροῦντος. Ὅρκων δὲ οὐ χρεία νῦν, ἀλλ' ἔργων μᾶλλον τοὺς ὅρκους βεβαιούντων. Οὐ γὰρ τοῖς λόγοις ἡ πίστις, τοῖς ἔργοις δὲ μᾶλλον ἑπακολουθεῖ. Διὸ καὶ σὲ πρ σῆκον ἔργοις ἐπιδείκνυσθαι τὴν εὔνοιαν τὴν πρὸς ἐκεῖνον, καὶ μὴ λόγοις ἐπιδεικνύμενον, τῶν ἔργων ὑστερεῖν. Ὁ δὲ οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις ἐπαγγειλάμενος τὴν πρὸς ἐκεῖνον εὔνοιαν ποιήσειν πᾶσι φανερὰν, ἐκεῖθεν ἐξελθὼν ἦκεν ὡς πατριάρχην.

402 CAPUT XVII.

Ab officio suo incipit Apocauchus disserere, ut animum patriarchæ præparet. Deinde domesticum falso crimine in odium ejus rapit. Hortatur ut periculo obviam eat. Filiam suam ejus filio uxorem offert. Fiunt sponsalia. Occulte oppugnandum domesticum et imperatricem in eum per dolum ac mendacium irritandum suadet, ejusque rei modum præscribit. Quid domesticus socero suo pro filiorum liberatione e vinculis supplicanti responderit.

Eo salutato, alia quædam præfatus. Magni quidem domestici benevolum in me animum, inquit, tu quoque haud ignoras, omnia a principio animadversione sic assecutus (8) ut nihil te fugiat. Pronuper autem, cum per dementiam illum offendissem, parum abfui ab exitio, nisi tu orando non solum ad iram deponendam, sed etiam ad præfecturam classis contra Persas materiam gloriæ mihi committendam inflexisses: unde non modo ut conservatus conservatori suo præmium, sed et pro honore isto gratiarum actiones jure me debere, omnique industria et alacritate, quæ tua intersint cogitare et agere oportere confiteor, quandoquidem eadem mihi quæ tibi et detrimentosa et utilia sunt. Quamobrem cum ego præ multis amorem, charitatemque sinceram ac minime fucatam tibi debeam, nec justum, nec alioqui commodum mihi duxi, quæ de te tristissima audivi, occulta habere: perinde ut alius quispiam qui melius, an pejus tecum ageretur, parum aut nihil laboraret. Interrogante patriarcha quid esset, ex magno domestico quidem nihil se audivisse ait, certissimo tamen scire, illum velle brevi dejecto patriarcha, Palamam amicum suum

C Προσαγορεύσας τε αὐτὸν, καὶ περί τινων ἑτέρων προδιαλεχθεὶς, ἔπειτα, Τὴν μὲν εἰς ἐμὲ τοῦ μεγάλου δομεστίκου, ἔφασκεν, εὐμένειαν καὶ αὐτὸς ἀκριβείᾳ ἄνωθεν τοῖς πράγμασι παρηκολουθηκώς. Ὀλίγῳ δὲ πρότερον ἐξ ἀβουλίας αὐτῷ προσκεκρουκὼς ὀλίγου ἐδέησα διαφθαρῆναι, εἰ μὴ σὺ δεηθεὶς, οὐ μόνον ἔπεισας ἀφεῖναί μοι τὴν ὀργὴν, ἀλλὰ καὶ πρόφασιν εὐδοξίας τὴν τοῦ κατὰ Περσῶν στόλου παρασχεῖν ἀρχὴν, ὅθεν οὐ σῶστρα μόνον, ἀλλὰ καὶ τῆς τιμῆς πολλὰς ὀφείλειν τὰς εὐχαριστίας εἶναι δίκαιος ὁμολογῶ, καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὰ σοὶ λυσιτελοῦντα καὶ βουλεύεσθαι καὶ πράττειν, ὡς τῶν αὐτῶν καὶ τὴν βλάβην καὶ τὴν ὠφέλειαν ὁμοίαν ἐμοί τε καὶ σοὶ οἰσόντων. Εἰ τοίνυν ἐκ πολλῶν σοὶ τὴν εὔνοιαν καὶ τὴν φιλίαν ἄδολον καὶ καθαρὰν ὀφείλω,
D οὔτε δίκαιον ᾠήθην, οὔτ' ἄλλως ἐμοὶ λυσιτελὲς δεινότατα πεπυσμένῳ περὶ σοῦ συγκρύπτειν, ὥσπερ ἄν τις ἄλλος, ᾧ βέλτιον ἢ χεῖρον ὀλίγα ἢ οὐδὲν μελήσει διακεῖσθαι σέ. Ἐρομένου δὲ τοῦ πατριάρχου ὅτι ἂν πύθοιτο περὶ αὐτοῦ, τὸν μέγαν ἔφασκε δομέστικον οὐκ ἀκηκοέναι, ἀλλὰ σαφέστατα εἰδέναι ὅτι βούλοιτο οὐκ εἰς μακρὰν σὲ καταγαγὼν τοῦ θρόνου, Παλαμᾶν ἐγκαθιδρύειν φίλον ὄντα τῶν γνησίων, καὶ μάλιστα περισπούδαστον αὐτῷ. Αὖθις δὲ τοῦ πατριάρ-

Jacobi Pontani notæ.

(8) Ad locum divi Lucæ allusum : Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς. Quod quidam sic reddunt : *Cum omnia, revetito alte principio, perscrutatus sim.* Ad verbum, *assectatus.* Vulgatus interpres, *Visum est et mihi assecuto omnia a principio.*

Digitized by Google Распознавание текста ABK/FR

χου ἐπανερομένου, ὅθεν ἂν σχ[illegible] τὴν τοῦ πράγματος, ὥσπερ ἰσχυρίζεται, κατάληψιν ἀκριβῆ, τὰς μὲν αἰτίας ὅθεν ἐξεγένετο μαθεῖν, ἐδεῖτο μὴ πολυπραγμονεῖν· οὐ γὰρ ἀποῤῥήτων δύνασθαι κατατολμᾷν· ἓν δὲ τοῦτο σαφέστατα πεπεῖσθαι, ὡς εἰ μὴ πάνυ τὴν ψυχὴν ἦλγει, τῶν κατ' ἐκείνου μελετωμένων ὀκριβῆ τὴν γνῶσιν ἐσχηκώς, οὐκ ἂν ἀπήγγελλεν ἐλθών. Ἔτι δὲ τοῦ πατριάρχου ἀπιστοῦντος, καὶ τὴν ἀῤῥᾳθυμίαν τοῦ μεγάλου οἰκετικοῦ μεταβολὴν μὴ παραδεχομένου, ὅρκοις ἐκεῖνος διεβεβαιοῦτο, μηδὲν εἶναι ψευδὲς τῶν εἰρημένων, ἀλλὰ πάντα ἀληθῆ. Παρῄνει τε μὴ μέλλειν, ἀλλὰ τάχιστα βουλεύεσθαι ἐξ ὧν τὸν κίνδυνον ἐξέσται διαφυγεῖν. Οὐδὲ γὰρ ἐκεῖνος ὡς καὶ σὺ βέλτιον ἂν εἰδείης εὔκολος μεταβάλλεσθαι πρὸς τὰ βεβουλευμένα. Ἐπὶ τούτοις δὲ ὁ πατριάρχης σφόδρα θορυβηθείς, καὶ μάλιστα ὑπὸ τῶν ὅρκων πεπεισμένος ὡς οὐδὲν ἂν εἴη πλάσμα τῶν εἰρημένων, ἐδεῖτο βουλεύσασθαί οἱ, ὅ τι δέοι πράττειν πρὸς τοσοῦτον ἐσμὸν κακῶν. Ὁ παρακοιμώμενος δ' ἔτι μᾶλλον τὸν πατριάρχην εἷσω δικτύων ἄγειν βουληθείς, Καὶ τῶν προτέρων μὲν, ἔφασκεν, εὐεργεσιῶν, πολλάς τε χάριτας ὀφείλειν ὁμολογῶ, καὶ δίκαιον εἶναι οὐ μόνον ἃ μοι δοκῶ βελτίω καὶ λυσιτελῆ βουλεύεσθαι προθύμως, ἀλλὰ καὶ χρήματα καὶ οἰκέτας καὶ συγγένειαν, καὶ τὴν ψυχὴν αὐτὴν εἰ οἷόν τε εἰπεῖν προΐεσθαι ἑτοίμως ὑπὲρ σοῦ. Ὡς ἂν δὲ μὴ δοκῶ τῶν κινδύνων ἔξω καθεστὼς αὐτὸς σὲ παραινεῖν πολὺν τὸν κίνδυνον ἔχουσι πράγματιν ἐπιχειρεῖν, καὶ συγγενείας καὶ τῶν φιλτάτων ἐμοὶ ποιῆσαι βούλομαι κοινωνὸν τῶν θυγατέρων μίαν τῷ σῷ υἱῷ κατεγγυήσας, ἵν' εἰδείης ἀκριβῶς, ὡς οὐ τῶν ἁπλῶς φιλίως πρὸς σὲ διακειμένων εἶναι βούλομαι, ἀλλὰ τῶν σοί τε καλῶς πράττοντι τῆς εὐετηρίας κοινωνούντων, καὶ ἀπολλυμένῳ συνδιαφθαρησομένων ὁμοίως. Ὡς δὲ καὶ ταῦτα ἀσμένῳ τῷ πατριάρχῃ εἰρημένα ἦν, καὶ μᾶλλον ἐπείθετο σπουδάζειν τὸν παρακοιμώμενον ὑπὲρ αὐτοῦ, ὀλίγα περὶ τοῦ κήδους διαλεχθέντες· οὐ γὰρ ἦν τι τὸ διαφωνίαν παρασκευάσον, πάντα ἑτοίμως Ἀποκαύχου ἐπαγγελλομένου· συμβάσεις τε θέμενοι περὶ τοῦ γάμου, καὶ κατὰ τὸ Ῥωμαίων ἔθος δι' ἐγκολπίων ἐμπεδώσαντες τὴν πρᾶξιν, τοῦ παρακοιμωμένου δὲ καὶ ὅρκους προσθέντος φρικώδεις ἐπὶ τούτῳ, ἐτράποντο πρὸς τὸ βουλεύεσθαι. Συνεβούλευέ τε ὁ παρακοιμώμενος μὴ ἐκ τῆς οἰκείας δυνάμεως ὁρμωμένους πρὸς τὸν μέγαν δομέστικον πόλεμον ἄραισθαι προφανῶς· μὴ γὰρ ὅτι γε εἰς ἀντιπάλων μοῖραν οὐκ ἐξαρκέσειν μόνους πρὸς αὐτὸν, ἀλλ' οὐδ' εἰ πολλοὺς ἑτέρους προσεταιρισαίμεθα τοιούτους. Ἡ γὰρ ἐν Ῥωμαίοις ἰσχὺς ἐκείνου οὐχ ἡμῖν γε μόνον φανερὰ, ἀλλὰ καὶ τοῖς πόῤῥω κατῳκισμένοις βαρβάροις οὐκ ἀγνοεῖται· πο-

A germanissimum atque optatissimum in ejus throno collocare. Rursum sciscitante patriarcha, undenam rem tam exacte, ut affirmabat, didicisset, rogabat, ne id curiosius exquireret; non enim tam audacem esse, ut arcana et tacenda vulgaret; unum indubitato crederet, nisi explorato compertis, quæ contra illum coquerentur, singularem animi dolorem sentiret, non ei talem puntium fuisse allaturum. Adhuc incredulo patriarcha, magnumque domesticum tantum mutatum ab illo in aures haud admittente, Apocauchus juratus instare, nihil se falsum, omnia vera proloqui. Quocirca non cunctandum, sed primo quoque tempore periculi declinandi capiendum consilium. Nam is homo, quod tu melius noveris, inquit, quæ semel statuit, non facile retractat. Turbatus majorem in modum ista narratione patriarcha, **403** et abesse fictionem juramento maxime persuasus, quid tantis malis obrutus inciperet, orabat uti consuleret. Præfectus cubiculi patriarcham magis in nassam studens inducere, Multum me tibi pro antegressis beneficiis obstrictum fateor, inquit, et æquum esse, me tibi non solum quæ meliora et magis salutaria judicem, cupide suadere, sed et pecuniam, et famulos, et cognatos, et ipsam, si res postulet, animam tua causa libenter contemnere. At enim ne videar ipse periculo procul, ad res admodum periculosas cohortari, et cognationis et mihi charissimorum te participem ac socium facere volo, una filiarum mearum tua desponsa filio, ut prorsus intelligas, nolle me de eorum censeri numero qui te quoquo modo diligunt, sed de iis qui tua felicitate exsultantes, tecum quoque perire non dubitent. Hæc ubi patriarcha libens audivit, et Apocauchum sui esse studiosum constantius credidit, pauca de affinitate collocuti (nihil quippe erat, quod dissensionem dare posset, omnia Apocaucho prompte pollicente) paciscentes nuptias, et more Romano pronubis monilibus de collo gestandis acta confirmantes (9), Apocaucho insuper caput suum horrendis exsecrationibus devovente, ni sincerus sit, consultare ordiuntur. Consulebat autem Apocauchus, non propriis viribus et palam bellum cum eo gerendum: non solum enim ipsos, sed si tales quoque multi accesserint, impari conditione futuros. Nam ejus inter Romanos vires non modo nobis exploratæ sunt, inquit, sed etiam a remotissimis Barbaris non ignorantur. Perdiu jam nobis potentia antecellit omnibus, omnesque ejus auctoritati sedulo obsequuntur: alii, quod crebro ejus beneficia sen-

Jacobi Pontani notæ.

(9) Arrhæ vocantur proprie hujuscemodi sponsaliorum argumenta et munuscula, quæ dantur sponsis. Dabantur autem plerumque annuli; et dicitur pronubus annulus, quo vir sponsam seu uxorem sibi futuram oppignerare quodammodo consuevit. Qui olim Romanis erat ferreus, et sine gemma, prisca nimirum sæcula, et antiqui victus parcimoniam frugalesque mores designans. Testis Plinius, cap. 6, his verbis: *Aurum de matronis nulla norat, præter unico digito, quem sponsus oppignerasset, pronubo annulo.* Verum ista ἐγκόλπια fuisse aurea, aut argentea, et inaurata non est dubium; sive cruciculæ, sive gemmæ auro argentove inclusæ, sive quid aliud fuerint; sane munus magis conspicuum, quam annulus.

Digitized by Google Распознавание текста ABK/FR

serunt, et plura exspectant: alii, quod ejus opes metuunt. Quare aperto Marte illi pugnare haud conducturum opinor. Præterquam enim quod ad nihilum cadent nostra consilia, etiam nos ipsos perditum ibimus. Sed potentiam aliquam illius potentiæ respondentem comparemus necesse est, quam non aliunde inveniemus, quam si artificio quodam imperatricem ad arma contra ipsum expedienda incitaverimus. Quo pacto multis nobis, ut pro novo imperatore pugnantibus opem laturis, facile illi resistemus. Ad hoc porro callide moliendum, etsi in primis valebit egregia prudentia tua, nihilo minus judicii mei quid sit exponam. Ne tamen mirere, **404** si contra hostem potentem mendacio utemur. Nam qui hostem suum evertere instituit, eum haud in magno discrimine ponere oportet, a mendacio, an a veritate auxilium petat, sed reliquis omnibus dimissis, ad unum hoc respicere, ut vincat. Proinde eam fac convenias, illum ut non jam per cuniculos, sed propalam imperium vindicantem, et non multo post ipsam ejusque liberos jugulaturum accuses. Fidem dictis tuis pariet et antea navata ipsi benevolentia, ac studium, post imperatoris excessum, et quod in præsens ei diligenter operam dare videberis. Si probationem exegerit, ea curiositate ut supersedeat mone, ab illo se disjungat, vitam suam liberorumque servet, alioqui morituram citius quam probationes expediantur. His de causis timore perculsam, belli administrationem nobis permissuram existimo. Hoc felici successu peracto, nihil restabit, nisi ut malus male pereat, et tu impendenti ereptus periculo, rem Romanam meritissimo præ omnibus pro imperio regas. Quapropter te oro, mihi obtemperes, neu rem, via quam ego monstravi, effectu non difficilem, detrectes. Quod si pigritaris in discrimine tuo, ego quidem gravius nihil dicam, te autem quales fortunæ exceptura sint, conjectura providere par est. His ille patriarcham ad sibi assentiendum, bellumque adversus magnum domesticum incipiendum impulit. Deinde alios singulatim, opinione aut genere præstantes circumiens, et mendacia calumniasque consuens, in eamdem mentem illicere contendebat. Ac primum quidem Andronicum Asanem magni domestici socerum, argumentis, quibus eum potissimum expugnaturum confidebat, aggreditur. Hic namque Asanes ad generum paulo ante venerat, et ut sui misereretur, obsecraverat, vitam minime vitalem viventis ob Joannem et Manuelem filios, annum jam sextum ab imperatore teterrimo obscurrissimoque carcere, non secus atque apud inferos detentos. Et cum in Occidentem proficisceretur, quoniam Beras necessario transiturus esset, ubi in custodia habebantur, liberatos secum in militiam perduceret, eorumque opera uteretur, qui de agmine ipsius, quod ad manum conserendam laboremque militarem attinet, nemini concederent. Magnus domesticus non sibi probari hoc consilium respondit: non enim esse terræ filios,

A λὺν γὰρ ἤδη χρόνον πάντων ὁ δυνατώτατός ἐστι τῶν παρ' ἡμῖν, καὶ πάντες αὐτῷ προσέχουσιν ἀκριβῶς, οἱ μὲν, παρ' αὐτοῦ πολλῶν τυχόντες εὐεργεσιῶν, καὶ ἔτι πλείω προσδοκῶντες, οἱ δὲ κατεπτηχότες τὴν ἐκείνου δύναμιν. Δι' ἃ οὐκ οἶομαι πρὸς ἐκεῖνον ἐκ τοῦ προφανοῦς ἀντικαθίστασθαι λυσιτελεῖν ἡμῖν. Πρὸς γὰρ τῷ μηδὲν ἀνῦσαι δυνηθῆναι τῶν βεβουλευμένων· καὶ προσαπολοῦμεν ἑαυτούς, ἀλλά τινα καὶ ἡμᾶς δύναμιν δέον ἐκπορίζειν ἑαυτοῖς ἀντίρροπον πρὸς τὴν ἐκείνου. Αὕτη δὲ οὐχ ἑτέρωθέν ποθεν ἂν ἐξευρεθείη, εἰ μὴ τρόπῳ δή τινι βασιλίδα ἐκπολεμώσαιμεν ἐκείνῳ. Τούτου δὲ γεγενημένου, ῥᾳδίως ἀντικαταστησόμεθα, πολλῶν ἡμῖν συναιρομένων ὡς ὑπὲρ τοῦ νέου βασιλέως πολεμοῦσι. Τοῦτο δ' ὅπως ἂν συσκευασθείη, μάλιστα μὲν καὶ ἡ σὴ σύνεσις
B θαυμασία οὖσα ἐξευρήσει. Συμβουλεύσω δὲ καὶ αὐτός· μὴ θαυμάσῃς δὲ εἰ πρὸς ἰσχυρὸν ἐχθρὸν ἀντικαθιστάμενοι χρησόμεθα καὶ ψεύδει. Τῷ γὰρ ἐπιχειροῦντι τὸν πολέμιον καθαιρεῖν, οὐ τοῦτο χρὴ σκοπεῖν εἰ ψεύδει χρήσαιτο ἢ ἀληθείᾳ, ἀλλὰ πρὸς ἓν ἀποβλέπειν μόνον, τὸ τοῦ πολεμοῦντος γενέσθαι κρείττω, τὰ δ' ἄλλα πάντα χαίρειν ἐᾷν. Τοιγαροῦν καὶ σὺ βασιλίδι προσελθών, ἀξιόχρεως δ' ἔσῃ πρὸς πειθὼ ἔκ τε τῆς προτέρας ἧς ἐνδείξω πρὸς αὐτὴν εὐνοίας καὶ σπουδῆς μετὰ τὴν βασιλέως τελευτήν· καὶ τοῦ νῦν ὑπὲρ αὐτῆς δοκεῖν σπουδάζειν, ἐκείνου κατηγόρησον, ὡς οὐχ ὑποπτευομένου, ἀλλ' ἤδη φανερῶς τὴν βασιλείαν ἰδίαν ποιουμένου, καὶ ὅσον οὐδέπω μέλλοντος αὐτὴν καὶ τέκνα ἀποκτείνειν. Ἂν
C δ' ἀπόδειξιν τῶν λεγομένων ἀπαιτῇ, μὴ τοιαῦτα πεῖσον πολυπραγμονεῖν· φθάσειν γὰρ τελευτήσασαν πρὶν εἰς τοὺς ἐλέγχους ἥκειν, εἰ μὴ ἐκείνου διαστᾶσα, ἑαυτὴν διασώζοι καὶ τέκνα, ἐκ τούτων δὲ ἐκείνην ὥσπερ οἶομαι ὑπὸ δέους καταπλαγεῖσαν, τὸν πρὸς ἐκεῖνον ἡμῖν πόλεμον ἐπιτρέψειν. Τούτου δὲ κατορθωθέντος, οὐδὲν ἄλλο λείπεται ἢ ἐκεῖνον μὲν ἀπολέσθαι κακὸν κακῶς, σὲ δὲ πρὸς τῷ τὸν ἐπηρτημένον κίνδυνον διαφυγεῖν, καὶ τὰ Ῥωμαίων πράγματα διοικεῖν πάντων μάλιστα ἀξιώτατον ὄντα. Διὸ σοῦ δέομαι πεισθῆναι συμβουλεύοντι ἐμοί, καὶ μὴ πρὸς τὴν πρᾶξιν ἀναδύεσθαι, ῥᾳδίαν οὖσαν ὡς ἐγὼ συμβουλεύω κατασκευασθῆναι. Εἰ δ' ἀποχνήσεις πρὸς τὸν κίνδυνον, ἐγὼ μὲν δυσχερὲς οὐδὲν ἐρῶ, σὲ δὲ τὰς ἐκδεξομένας τύχας ἤδη στοχάζεσθαι
D προσῆκον. Τούτοις μὲν οὖν τὸν πατριάρχην ἔπεισεν αὐτῷ τε προσέχειν, καὶ πόλεμον πρὸς τὸν μέγαν δομέστικον κινεῖν. Ἔπειθ' ἕκαστον τῶν ἄλλων δόξῃ διαφερόντων ἢ γένει τῶν πολλῶν περιῶν ἐμηχανᾶτο πείθειν ψεύδη συνείρων καὶ σύκοφαντίας. Καὶ πρῶτα μὲν πρὸς τὸν Ἀσάνην Ἀνδρόνικον ἐλθὼν ὃς ἦν μεγάλῳ δομεστίκῳ κηδεστής, ἐξ ὧν μάλιστα πείσειν ᾤετο ἐπεχείρει. Οὗτος γὰρ δὴ ὁ Ἀσάνης πρὸς τὸν γαμβρὸν ὀλίγῳ πρότερον ἐλθών, ἐδεῖτο μὴ περιορᾷν αὐτὸν, ἀβίωτον οἰόμενον τὸν βίον, διὰ τὸ τοὺς παῖδας Ἰωάννην καὶ Μανουὴλ ἐπ' ἔτεσιν ἤδη ὑπὸ βασιλέως ἐν δεσμωτηρίῳ εἱργομένους, δεινότατα πάσχειν, καὶ οὐδὲν ἀμείνω τῶν ἐν ᾅδου διαγόντων. Ἀλλ' ἀπιόντα πρὸς τὴν ἑσπέραν, ἐπεὶ διὰ Βήρας ἀνέγκη διϊέναι ἔνθα κατεκλείοντο, τοῦ δεσμωτηρίου ἐξαγαγεῖν, καὶ πρὸς τὴν στρατείαν χρῆσθαι ἄγοντα

Digitized by Google Распознавание текста ABK/FR

μεθ' ἑαυτοῦ, οὐδενὸς ὢν ἄγει πρὸς μάχας καὶ στρατείας ὄντας ἀτιμοτέρους χρῆσθαι. Ὁ μέγας δὲ δομέστικος, οὐκ ἀρέσκειν ἔφασκεν αὐτῷ ταύτην τὴν βουλήν. Οὐ γὰρ τῶν τυχόντων εἶναι τοὺς υἱοὺς, οὐδ' ἐπὶ μικροῖς τισι κατακριθέντας, ὥστ' εἰ ἀφεθεῖεν παρ' αὐτοῦ μηδεμίαν ταραχῆς πρόφασιν παρέχειν βασιλίδι· ἀλλ' ἔδει πρότερον ἐκείνην παρασκευάσαντας συγγνώμην ἐκείνοις παρασχέσθαι, οὕτως ἐξάγειν τοῦ δεσμωτηρίου. Νῦν δ' εἰ τοῦτο πράξομεν αὐτοὶ μὴ πρότερον ἐκείνης ἐπιτρεπούσης, εἰκὸς αὐτὴν τε λογίσασθαι καὶ τοὺς συκοφάντας προφάσεως οὐ τῆς τυχούσης εὐπορῆσαι, ὡς ἤδη πᾶσαν αὐτῆς παρειλόμεθα διαβάλλειν τὴν ἀρχὴν, καὶ κατ' ἐξουσίαν καὶ τὰ μέγιστα διοικοῦμεν, μηδὲ λόγου γοῦν αὐτήν τινος ἀξιοῦντες. Ἃ δὴ, οὔτ' ἐμοὶ πρῶτον, οὔτ' ἐκείνοις οἶομαι λυσιτελεῖν, ἀλλὰ δέον πρὸς τοῖς ἔτεσιν οἷς εἴργονται, καὶ ὀλίγον τινὰ χρόνον διακαρτερῆσαι καὶ περ ἀνιωμένους, ἄχρις ἂν Θεοῦ διδόντος ἐπανήξω τῆς στρατείας. Τότε δὲ τῆς βασιλίδος δεηθεὶς αὐτὸς ὑπὲρ ἐκείνων, καὶ εἰ δέοι καὶ ἐγγύας παρασχὼν, τοῦ τε δεσμωτηρίου παρασκευάσω ἐξελθεῖν, καὶ πρὸς τὴν ἀρχαίαν εὐδαιμονίαν πειράσομαι ἐπανάγειν. Νυνὶ δὲ τῆς στρατιᾶς ἤδη παρεσκευασμένης οὔσης πρὸς τὴν ἔξοδον, οὐ σχολὴ περὶ τοιαῦτα διατρίβειν χρόνου δεόμενα πρὸς τὴν κατασκευήν. Ἀλλ' ἐπειγόντων τῶν πραγμάτων, νῦν μὲν κατὰ πάροδον ὥσπερ καὶ πρότερον πολλάκις πρὸς αὐτοὺς παραγενόμενος, οὐ παραμυθήσομαι μόνον διὰ τὴν ἐπιδημίαν, καὶ προνοίας ἀξιώσω τῆς δεούσης, ἀλλὰ καὶ χρηστοτέρων ἐμπλήσω τῶν ἐλπίδων, τὴν ἐλευθερίαν τῶν δεσμῶν ἐπαγγειλάμενος βεβαίως. Ὃ καὶ τὸν μεταξὺ χρόνον αὐτοῖς ἀνεκτότερον, ἢ πρότερον ἡμέρας ποιήσει διάστημα μιᾶς. Ὁ μὲν οὖν ἠγάπα τε ταῖς ἐπαγγελίαις, καὶ χάριτας ἤδει πολλὰς ὑπὲρ αὐτῶν.

A nec levium quorumdam criminum condemnatos. ut si ab ipso dimittantur, non aliquid turbarum imperatrix expertura sit. Oportuisse prius ea placata veniam ipsis dari, et sic demum e carcere educi. **405** Nunc si hoc nos citra ejus mandatum faciamus, inquit, probabile est et illam ita ratiocinaturam, et sycophantas idoneam occasionem nactos, calumniam contexturos, quasi jam omne imperium ei ademerimus, dum maxima per licentiam decernimus, et nec verbo uno ipsam dignamur. Quod nec mihi nec illis profuturum existimo. Ad annos igitur quibus in carcere sunt, adhuc breve tempus quanquam dolentes perdurent, donec divino munere ab expeditione rediero. Tum ipse imperatricem eorum nomine precatus, etiam, si opus B erit, concepto vadimonio de custodia exire faciam, et in veterem eos dignitatem fortunamque conabor asserere. Nunc quoniam ad iter paratus est exercitus, his immorandi non est otium: quæ ut fiant tempore indigent. Sed quia negotium urget, nunc in transitu, ut alias sæpe, ipsos adibo, hec præsentia solum mea consolabor, et necessitati rerum consulam, verum etiam læta spe in plebo, vinculorum solutionem affirmate promittens. Quod quidem illis hoc intervallum tolerabilius quam prius vel unius diei spatium reddet. His promissis contentus Asanes, gratias ingentes egit.

CAPUT XVIII.

Eodem blandimento Andronicum Asanem, domestici socerum, tentat Apocauchus, cumque adversus generum irritat suis menduciis, dum filios ejus revera nolle e custodia liberare fingit, cum tamen possit; et ipsum Asanem ad imperii cupidinem exstimulat, quod etiam patriarchæ faciebat. Suadet item ut imperatricem in domesticum exulceret et imperii spe hominem demulcet. Operam suam spondet. Veritatis et mendacii nullum faciendum discrimen, quod et antea monuerat.

Παρακοιμώμενος δὲ αἰσθόμενος, οἷος ἦν ἐκεῖνος τὰ τοιαῦτα ἐρευνᾶν, καὶ προσελθὼν Ἀσάνῃ, πρῶτα μὲν δουλείαν ἀρχαίαν ὁμολόγει, καὶ μηδὲ τὴν τύχην ἐν ᾗ καθέστηκε νυνὶ τῆς πρὶν εὐτελείας ἐπιλελῆσθαι πείσαι διεβεβαιοῦτο, ἀλλ' οὕτως οἴεσθαι αὐτὸν οἷα δὴ ἕνα τῶν ἐκείνου οἰκετῶν· καὶ τὴν προσήκουσαν εὔνοιαν ἀγαθῷ δεσπότῃ παρὰ δούλων ἕτοιμον εἶναι καιροῦ καλοῦντος παρασχέσθαι καὶ αὐτὸν, καὶ πάντα πράττειν ὑπὲρ αὐτοῦ τε καὶ τῶν παίδων, εἰ δέοι καὶ ταῖς ἐσχάταις τύχαις περιπίπτειν. Ὃ καὶ νυνὶ παρεσκευακέναι μάλιστα ἥκειν παρ' αὐτὸν, ἅμα μὲν ἃ λυσιτελεῖν αὐτῷ τε καὶ παισὶ νομίζει παραινέσοντα, ἅμα δ' εἴ τι δέοιτο πρὸς τὸ ἔργον καὶ αὐτοῦ, ὅτι προθυμότατα συναγωνιεῖται καὶ χρήμασι, καὶ οἰκέταις καὶ πᾶσιν οἷς ἔχει ἐκδιδάξοντα. Τῶν γὰρ αὐτοῦ παίδων ὑπὸ βασιλέως ἀδίκῳ γνώμῃ καὶ φθονερᾷ πολὺν ἤδη χρόνον ἐν φρουρᾷ κατεχομένων, πάνυ μὲν καὶ αὐτὸν ὑπεραλγεῖν αὐτῶν, οὐ μόνον ἄδικα καὶ βίαια πασχόντων, ἀλλὰ καὶ διὰ τὴν ἀρχαίαν εὔνοιαν, ἣν ἐκείνοις ὀφείλειν, καὶ σοὶ τῷ πατρὶ, μηδὲν δὲ βοηθεῖν ἔχοντα, στέργειν τὴν ἀνάγκην· νυνὶ δὲ

C Cubiculi præfectus cum hæc intellexisset (erat enim in his indagandis impiger) cum Asane congreditur. Primum quidem se olim ejus fuisse servum confitetur, nec fortunam præsentem abjectionis suæ prioris memoriam sibi abstulisse asseverat, sed semet numerare in famulis ejus: quæque par est bono domino a servo parata esse studia, eadem se illi, si res exegerit, præstiturum, facturumque pro ipso et filiis ejus omnia, quamvis se idcirco ad extremam miseriam devolvendum sciat. Qua maxime de causa et nunc ad eum venerit, simul ut quæ ipsi liberisque ejus conducere putet, admoneat, simul ut si quid opera sua ad opus indigeat, promptissime et pecuniis, et famulis, et quibus poterit rebus, ei se adfuturum doceat. Nam quod D filii ejus per injustitiam **406** et invidiam imperatoris tot jam annis carcere clausi teneantur, incredibiliter se cruciari, non modo quia inique et dire afflictentur, sed et propter veterem, quam ipsis, eorumque parenti amorem debeat. Cum autem opem ferre nullam queat, necessitatem boni consulere. Cæterum quia nunc ad eos e vinculis eximendos

Digitized by Google Распознавание текста ABBYY FR

tempus adsit opportunissimum, se hortatum accessisse, ne id de manibus elabi sinat. Tametsi e Selybria rediens, inquit, audivi te magni domestici generum multis etiam precibus non flexisse. Qui ubi te inani spe jactavit ac delusit, abiit, quasi cum ex Occidente revenerit, eos dimissurus. Hanc vero si non animadverteris esse fallaciam, satis mirari non possum. Neque enim imperatore adhuc spirante uxoris suæ fratres absolvere vinculis non poterat, si modo justitiæ ac personæ suæ rationem ducere voluisset, cum potestate imperatoria polleret; hodie vero (id quod nec te latet) non talia solum, sed multo quoque majora potest, quando gesti imperii rationem non reposcitur, et habet quæ vult statuendi auctoritatem plenam atque liberam. Quin ille tum quoque imperatorem impulit, ut in vincula traderentur, cum eorum virtuti prudentiæque invideret, ac ne claritate nominis ab his superaretur, metueret. Nunc nihilo minus quoad vixerint, in custodia eos relinquere decrevit. Hæc non ex conjectura, sed ex certa scientia a me dicuntur. Nosti namque quo loco apud illum fuerim, quomodo item arcana sua mihi credere solitus sit; quem honorem jam vestri studio contempsi. Omnium ejus secretorum in primis conscius sum. Quare non mihi deneganda fides, sed mox dum tempus sinit, conferenda consilia, non tantum quomodo filii ærumnæ leventur, sed etiam, quomodo imperium tibi præ omnibus maxime aptum et conveniens acquiras. Quod aliter fieri neutiquam potest, quam si ipse prius imperio deturbetur. Atque hoc rursum non erit, nisi tu Augustam hostili illius odio imbuas accusando, inquam, quasi qui imperium rapere ipsamque cum liberis trucidare machinetur. Tribuetur autem tibi fides maxima, tum quia socer generi cogitata et sensus probe scias, tum quia naturam ipsam præ studio in illam, et illium imperatorem parvi pendere visus eris. Tametsi dixerit aliquis, ruinam ejus atque perniciem haud puram et liquidam tibi voluptatem præbituram, filia tua calamitatis ejus socia. Atqui permultum differre hæc duo, ex comparatione perspicere licet. **407** Non enim simile est, filiorum tuorum alios quasi vivos sepultos esse, alios indigne miseros esse, vitamque illiberalem, et inopem vivere, item genus ab illo totum velut servum pro libidine versari tractarique, ac te ob commiserationem erga omnes nihilo illis melius habere, et una filia infortunata, carere malis istis omnibus: teque non genus tantum et propinquos, sed alios præterea amicos, toto Romanorum imperio inde ad te translato illustrare et inclytos reddere posse. Quis enim illo aut in prælio oppetente, aut imperio dejecto, justius te illud capessat, qui non fortitudine duntaxat et artibus bellicis, sed et splendore familiæ, et ingenio, et aliis ornamentis Romanos omnes longe, multumque antecellis? Ergo vero ad omnia socium me libens merito offero, et instar ministri, jussis tuis ubique

A ὁρῶν τὸν ἐπιτηδειότατον ἥκοντα καιρὸν τῆς ἐκείνων ἐκ τῶν δεσμῶν ἐλευθερίας, μὴ προῖεσθαι ἥκειν παραινέσοντα. Καίτοι γε ἀκηκοέναι ἔφασκεν ἐκ Σηλυβρίας ἥκων, ὡς πολλὰ μεγάλου δομεστίκου τοῦ κεδεστοῦ δεηθεὶς ὑπὲρ ἐκείνων, οὐδὲν πλέον ἠδυνήθης, ἀλλὰ κεναῖς ἐλπίσι μετεωρίσας καὶ φενακίσας, ἀπιὼν ὤχετο, ὡς ἀπολύσων τῆς εἱρκτῆς ἦν ἐπανῇξῃ τῆς ἑσπέρας. Τοῦτο δὲ εἴ σε λέληθεν ὡς ἀπάτη, πάνυ μάλιστα θαυμάζειν ἔχω. Οὔτε γὰρ βασιλέως ζῶντος τοὺς γυναικὸς ἀδελφοὺς ἀπαλλάττειν τῶν κακῶν ἀδυνάτως εἶχεν, εἴ γε δίκαια καὶ αὐτῷ προσήκοντα ἠρεῖτο πράττειν, οὐκ ἐλάσσω δυνάμενος ἢ ὅσα βασιλεύς· νυνί τε ὥσπερ οὐδ' αὐτὸς ἀγνοεῖς, οὐ τοιαῦτα μόνον, ἀλλὰ καὶ μείζω πολλῷ καταπράττεσθαι δύναιτ' ἄν, ἀνυπεύθυνον ἔχων τὴν ἀρχήν, καὶ

B τῶν πραγμάτων αὐτοκράτωρ ὤν. Ἀλλὰ καὶ τότε πείθοντος αὐτοῦ βασιλέα κατείχοντο δεσμῶται, τῆς τε ἀνδρίας βασκαίνοντος καὶ τῆς συνέσεως, καὶ μὴ παρευδοκιμηθείη παρ' ἐκείνων δεδοικότος. Καὶ νῦν οὐδὲν ἧττον διανενόηται παρ' ὅλον τὸν βίον κατέχειν ἐν δεσμοῖς. Τοῦτο δὲ οὐ στοχαζόμενος εἶπον, ἀλλ' ἀκριβῶς εἰδώς. Οἶσθα γὰρ ὡς πολλῆς εὐμενείας ἀπολαύων παρ' αὐτοῦ καὶ τῶν ἀπορρήτων κοινωνῶν αὐτῷ, ὧν διὰ τὴν εἰς ὑμᾶς εὔνοιαν καταπεφρόνηκα νυνί, πάντα ἀκριβῶς σύνοιδα αὐτῷ. Ὅθεν οὐδ' ἀπιστεῖν ἐμοὶ χρεών, ἀλλὰ βουλεύεσθαι τὴν ταχίστην ἕως ἐστὶ καιρὸς, οὐ μόνον τοὺς παῖδας ἀπαλλάττειν τῶν κακῶν, ἀλλὰ καὶ σεαυτῷ τὴν Ῥωμαίων ἀρχὴν σοὶ μάλιστα προσήκουσαν τῶν πάντων περιποιεῖν.

C Τοῦτο δ' ἕτερον τρόπον ἀδύνατον γενέσθαι, εἰ μὴ πρότερος ἐκεῖνος ἐκβληθείη τῶν πραγμάτων τῆς ἀρχῆς. Ἐκεῖνο δὲ πάλιν ἑτέρως οὐκ ἐγχωρεῖ, εἰ μὴ αὐτὸς ἐκπολεμώσεις ἐκείνῳ βασιλίδα, ὡς ἁρπάζειν τὴν βασιλίδα διανοουμένου κατειπὼν, καὶ αὐτὴν καὶ παῖδας διαφθείρειν. Ἀξιώτατος δ' ἂν εἴης πιστεύεσθαι παρ' αὐτῇ, οὐ μόνον ὡς τὰ βεβουλευμένα τῷ γαμβρῷ σαφῶς εἰδὼς, ἀλλ' ὡς καὶ φύσεως αὐτῆς ὑπὲρ τῆς εἰς ἐκείνην εὐνοίας καὶ τὸν παῖδα βασιλέα δοκῶν καταφρονεῖν. Καίτοι γε φαίη τις ἂν οὐδὲ τὴν ἐκείνου κατάλυσιν καὶ φθορὰν ἀδολόν σοι καὶ καθαρὰν τὴν ἡδονὴν παρέξειν, οἷα δὴ τῆς θυγατρὸς ἐκείνῳ συνατυχούσης. Τοῦτο

D δ' ὅσην ἔχει διαφοράν, ἔξεστι παράλληλα τιθέμενον τὰ πράγματα σκοπεῖν. Οὐ γὰρ ὅμοιον, τοὺς μὲν τῶν παίδων ὥσπερ κατορωρύχθαι ζῶντας, τοὺς δὲ παρ' ἀξίαν πράττειν κακῶς καὶ ἐνδεῶς καὶ ἀνελευθέρως ζῇν, καὶ γένος ὑπ' ἐκείνου πᾶν ὥσπερ δοῦλον ἄγεσθαι καὶ φέρεσθαι, καὶ αὐτὸν οὐδὲν ἀμείνω πάσχειν ὑπὸ τῆς πρὸς πάντας συμπαθείας, καὶ μιᾶς ἀτυχησάσης θυγατρὸς πάντ' ἐκεῖνα λελύσθαι τὰ δυσχερῆ· καὶ σὲ δύνασθαι οὐ γένος μόνον καὶ οἰκείους, ἀλλὰ καὶ τοὺς ἄλλους φίλους λαμπροὺς ποιεῖν καὶ περιδόξους, πάσης ἐξ ἐκείνου μετεννηνεγμένης τῆς Ῥωμαίων ἀρχῆς εἰς σέ. Τίς γὰρ ἐκείνου πεσόντος ἢ καὶ τῆς ἀρχῆς ἐκβεβλημένου, σοῦ μᾶλλον δικαιότερος ἐπὶ τῶν πραγμάτων εἶναι, οὐκ ἀνδρίᾳ μόνον καὶ πολέμων ἐμπειρίᾳ, ἀλλὰ καὶ λαμπρότητι γένους, καὶ συνέσει καὶ τοῖς ἄλλοις ἅπασιν οὐκ ὀλίγῳ τινὶ τῷ μέσῳ

Digitized by Google Распознавание текста ABK/FR

πάντας Ῥωμαίους παριόντος; Ἐγὼ δὲ πρὸς ἅπαντα προθύμως συναγωνιοῦμαι, τάξιν ἐπέχων ὑπηρέτου, καὶ πρὸς πᾶν τὸ κελευόμενον ἑτοιμότατα ἔχων ὑπακούειν. Οὐ δὴ πρὸς τοιοῦτον ἰσχυρότατον ἀνταγωνιστὴν ἀποδυόμενον, περὶ ψεύδους καὶ ἀληθείας ἀκριβολογεῖν χρεών, ἀλλὰ πρὸς ἓν μόνον τὴν ἐκείνου κατάλυσιν προσῆκον ἀφορᾷν· τἄλλα δὲ μηδὲν ἡγεῖσθαι, εἰ μέλλοις τι τῆς σῆς συνέσεως καὶ στρατηγίας ἀξιόχρεων ποιεῖν. Ὁρῶμεν δὲ καὶ τῶν στρατηγῶν τοὺς μάλιστα συνετωτάτους, οὐκ ἀεὶ τῇ παῤῥησίᾳ χρωμένους, καὶ κατὰ στόμα τοῖς πολεμίοις ὑπαντῶντας· ἀλλ' ἔστιν οὗ καὶ ἀπάταις χρωμένους, καὶ δόλοις καὶ μηχαναῖς τισι, καὶ μάλιστα ἡνίκα δέῃ φοβεροῖς τισι καὶ δυνατωτάτοις συμπλέκεσθαι πολεμίοις· καὶ οὐδεὶς αὐτῶν κακίζει τὴν ἀπάτην ἀλλὰ καὶ θαυμάζομεν ἅπαντες, οἷα δὴ πλεῖω τῆς συνέσεως, ἢ τῆς ῥώμης δυναμένης κατορθοῦν.

A summa voluntate obediam. Sane ad talem pugnam fortissimum certatorem repudiare, ac mendacium veritatemque in his accuratius discutere et examinare, nihil necesse est: sed neglectis cæteris, hoc unum studere, ut ille imperium amittat: si modo quidpiam prudentia tua, et quæ in te est scientia imperatoria dignum præstare velis. Videmus autem duces prudentissimos non semper libere loqui, et lingua hostibus occurrere, sed aliquando etiam ad fraudem, et dolum, et quasdam machinas confugere, præcipue quando cum hoste formidabili ac potentissimo res futura est; nec illis quisquam eas fraudes vitio dat, verum admiramur omnes, quasi in calliditate quam in robore (10) ac viribus majus momentum sit.

CAPUT XIX.

Expugnato Andronico Asane, duos fratres ejus aggreditur; fingit se eorum vicem dolere; segnitiem in quærenda libertate accusat. Demum similibus sententiis, quibus priores adversus domesticum eos incendit; nec est quidquam hoc homine audacius, impudentius et sceleratius. Tandem etiam Gabalam magnum drungarium, magnum stratopedarcham, et Zampeæ filium dolis suis capit et in perniciem domestici concitat.

Τοιαῦτα καὶ πρὸς ἐκεῖνον εἰπὼν καὶ πείσας, B ὅρκοις τε ἀσφαλισάμενος, ὡς νῦν τε προθυμότατα συναγωνιεῖται, καὶ καταστάντος πρὸς τὴν ἀρχὴν ἐν ὑπηρέτου τελέσει μοίρᾳ μόνον βουλεύεσθαι καταλιπὼν ὅπως ἂν τὸ σπουδαζόμενον κατορθωθείη, ἐπὶ τοὺς ἀδελφοὺς ἐχώρει Κωνσταντῖνόν τε καὶ Ἰσαάκιον τὸν μέγαν δοῦκα. Καὶ πρῶτα μὲν ᾤκτειρε τῆς παρ' ἀξίαν κακοπραγίας, καὶ ἐᾤκει συναλγεῖν. Ἔπειτα καὶ ὠνείδιζε τὴν ἐθελοδουλίαν, καὶ τὸ πρὸς τὴν ἐλευθερίαν ῥᾳθύμως βιοῦν καὶ ἀνειμένως, καὶ μηδὲ νῦν γοῦν ὅτε καλῶς ποιῶν παρέσχετο ὁ χρόνος, τῆς μεγάλου δομεστίκου χρονίου δουλείας ἀπαλλαγῆναι προσῆκον εὐγενέσι καὶ ἐλευθέροις ἀνδράσι διανοουμένους τι. Καίτοι βασιλέως μὲν ζῶντος στέργειν ἐξ ἀνάγκης ἦν, πολλὴν ἐκείνου τὴν ροπὴν αὐτῷ χαριζομένου καὶ οὐδαμῶς ἐλάττω, C ἢ ἐκεῖνος δύνασθαι παρασκευάζοντος. Νυνὶ δέ, τί τὸ κωλῦον ζῆλον ὑπὲρ βασιλέως τοῦ παιδὸς ὑποχριθέντας, συμβουλεύειν βασιλίδι πρὸς γένους τε ὄντας καὶ προσήκοντας διὰ τὴν εὐγένειαν πιστεύεσθαι καταλύειν ἐκεῖνον, καὶ τῆς ἀρχῆς ἀποχειροτονεῖν ὡς ἁρπάζειν διανοούμενον τὴν βασιλείαν, καὶ αὐτὴν καὶ φίλτατα ἀποκτιννύναι, καὶ Ῥωμαίων τυραννεῖν; Οὐ γὰρ δήπου γε ἃ προτείνεται ὑμῖν ὥσπερ δέλεαρ ὑπ' ἐκείνου, ἀρχαὶ πόλεών τινων καὶ δημοσίων διοικήσεις ἵν' ἐκεῖνος τὸ μεῖζον ἔχῃ ὥσπερ δεσπότης ἐπιτάττων, καὶ πάντων καταδυναστεύων καὶ μειζόνων καὶ ἐλαττόνων, τοῦθ' ἡμῖν ἀρκέσει πρὸς τὸ ἀποστερεῖσθαι τῆς ἐλευθερίας; Οὐδὲ γὰρ οὐδ' ὑμᾶς τοῦτο κατάδηλον λέληθεν ὄν, ὡς D ἐκείνου πεσόντος ἢ ἐκβεβλημένου τῆς ἀρχῆς, ὑμῖν ἐξέσται πράττειν ἃ αἱρεῖσθε ἀδεῶς, ἢ πρώτους γεγενημένους, ἢ μετὰ τοὺς πρώτους αὖθις Ῥωμαίων

Ita locutus, juramentoque addito, se et nunc adjutorem fore paratissimum, et ubi ipse imperium adeptus fuerit, in loco ministri operas ei daturum, persuasit; solumque deliberare sinens, quomodo, quod studebatur, prospere succederet, ad fratres ejus Constantinum et Isaacium magnum ducem abiit. Ac primum quidem indignam eorum fortunam miseratus, mutuum doloris sensum præ se ferebat. Deinde voluntariam eis servitutem exprobrabat, quod tam ignaviter ac remisse libertatem quærerent, et neque nunc saltem, **408** quando adesset fortiter faciendi opportunitas, aliquid pro nobilitate et ingenuitate sua, ad diuturnum magni domestici jugum excutiendum animis agitarent. Quanquam enim superstite imperatore necessitati repugnari non potuerit, propterea quod in eum ille totus propendens, et potestatem cum eodem communicaverat, nunc tamen nihil obstare, quin cognatione juncti, et propter generis amplitudinem fide digni, zelum pro filio imperatoris simulent, et imperatricem eo pertrahant, uti abrogato imperio domesticum evertat, quippe qui ipsam et dulcissimos ejus liberos occidere, tyrannidemque arripere meditetur. An non enim quarumdam urbium præfecturæ, et publicorum munerum functiones, quæ tanquam esca vobis ab illo abjiciuntur, ut ipse majorem partem habeat, et veluti herus jubeat, atque in omnes, minores majoresque dominetur, ad amissionem vestræ libertatis sufficient? Pat t enim, nec vos nescitis, illo vel interfecto, vel imperio depulso, nullo metu et impune integrum vobis futurum agere pro arbitratu, cum vel primi, vel a primis Romanorum proximi statim

Jacobi Pontani notæ.

Postquam urbes omnes, præter Pamphilum, et Primum in Thracia, et castellum quoddam Empythium nomine, quod prope Didymotichum, multo antea a fundamentis Cantacuzenus ædificarat, ad imperatricem quasi per conjurationem desciverunt, ejus opes in singulis propemodum collocatæ diripiuntur, quæ etiam cuilibet eorum ad arma in eum capessenda incitamento erant, belli lucrum non exiguum cernenti; eorum item fortunæ, qui aut vere illi favebant, aut ob aliquam causam favoris et gratiæ suspecti erant. Quantum igitur pecuniæ imperatori, et matri ejus Byzantii, et in aliis civitatibus ab imperatricis factione ablatum sit,

C Ἐπεὶ δὲ αἱ πόλεις πᾶσαι, πλὴν Παμφίλου καὶ Κοπρίνου πόλεων κατὰ τὴν Θρᾴκην καὶ φρουρίου τινὸς Ἐμπυθίου προσαγορευομένου, ὅπερ ἐγγὺς Διδυμοτείχου πολλοῖς πρότερον χρόνοις ἐξ αὐτῶν χρηπίδων ἐδείματο ὁ βασιλεὺς, πρὸς βασιλίδα συναπέστησαν, ὥσπερ ἐκ συνθήματος, τά τε βασιλέως διηρπάζετο ἐν πᾶσαις σχεδὸν διεσπαρμένα. Ἃ καὶ μᾶλλον ἔπεισε τοὺς ἐκασταχοῦ ἐκπολεμωθῆναι πρὸ, αὐτὸν, ὁρῶντας οὐκ ὀλίγον τὸ κέρδος τοῦ πολέμου καὶ τὰ τῶν ἐκείνῳ προσεχόντων, ἢ ἀληθῶς, ἢ καὶ ὑποπτευομένων ἔκ τινος αἰτίας. Τὸν μὲν οὖν τῶν χρημάτων ἀριθμὸν ὅσος ἐν Βυζαντίῳ καὶ ταῖς ἄλλαις πόλεσιν ὑπὸ τῶν τὰ βασιλίδος πραττόντων

Jacobi Pontani notæ.

(82) Genus summæ ignominiæ, seu pœnæ ignominiosissimæ. Quid enim vilius et contemptius asino? et isto equitandi modo, ut caudam pro freno teneas, quid turpius, magisve ridiculum? sed et Anastasium patriarcham a Diippio duci jussit, asino insidentem, facie versus caudam conversa, et ignominiosum de eo triumphum egit. Zonaras in Copronymo, et Cedrenus. De Beatrice Augusta, Friderici Barbarossæ uxore scribit idem Gulielmus Paradinus *De antiquo statu Burgundiæ* et Sigonius, *De regno Italiæ*, lib. XII. Affecta est autem hac ignominia a Mediolanensibus.

Digitized by Google Распознавание текста ABK/FR

διηρπάγη βασιλέως τε καὶ τοῦ μητρὸς σαφέστατα εἰπεῖν οὐκ ἔστιν, οὐδὲ τῶν ἐχόντων αὐτῶν εἰδότων ὑπὸ πλήθους ἀκριβῶς. Βοσκημάτων δὲ βοῶν μὲν ἀγέλαι πολλαί, ἐς πεντακισχιλίας ἔχουσαι νομάδας· ζεύγη δὲ οἷς ἐχρῆτο πρὸς τὰς γεωργίας, χίλια. Ἵπποι θήλειαι νεμόμεναι πεντακόσιαι πρὸς δισχιλίαις, κάμηλοι διακόσιαι, ἡμίονοι τριακόσιαι, ὄνοι δὲ πεντακόσιοι· συβώσιά τε ἐς πέντε μυριάδας ἔχοντα συῶν, καὶ προβάτων μυριάδες ἑπτά. Καρπῶν δὲ ἀπιστόν τι χρῆμα καὶ δυσαρίθμητον κομιδῇ, ὧν ἁπάντων ἐν χρόνῳ ἀποστερηθεὶς βραχεῖ, οὐδὲν ἀγεννὲς ἢ μικρόψυχον ἐφθέγξατο. Ἐκεῖνο δὲ ἦνία μόνον ὅτι εἰς οὐδὲν χρήσιμον ἀνάλωτο τῷ κοινῷ. Αὐτὸς γὰρ ἰσχυρίζετο οὕτω διανενοῆσθαι, ὡς πάντα ἀναλώσων τῆς Ῥωμαίων ὠφελείας ἕνεκα. Ἐν Βυζαντίῳ δὲ τοῦ στρατεύματος ὁ τοῦ βασιλέως κηδεστὴς Ἀνδρόνικος ὁ Ἀσάνης στρατηγὸς ἀποδειχθεὶς, καὶ τὸν πρὸς τὸν γαμβρὸν πόλεμον ἀναδεξάμενος, ἅρας ἐκεῖθεν, τὰς κατὰ Θρᾴκην περιῄει πόλεις, πάντων προθύμως ὑποδεχομένων, καὶ συναιρομένων πρὸς τὸν πόλεμον τὰ δυνατά. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, πολλῆς μὲν καὶ ἀγαθῆς εὐπόρει στρατιᾶς. Στρατεύεσθαι δὲ ἀμήχανον ἦν διὰ τὴν ὥραν, καταφυγὴν τῆς στρατιᾶς πρὸς τοὺς ὑετοὺς καὶ τὴν χιόνα οὐκ ἐχούσης, ἐκπεπολεμωμένων ἤδη πάντων. Ὅθεν εὐδίας μὲν οὔσης, τὰς παρακειμένας κατέτρεχον πόλεις, καὶ κακῶς ἐποίουν, τῆς ἐκ Βυζαντίου στρατιᾶς πρὸς τὰς πόλεις καταδυομένης, καὶ οὐδ' ἀντιβλέπειν οὔσης δυνατῆς. Ἐπεὶ δ' ἀναχωροῖεν ὑπὸ τοῦ χειμῶνος ἐκβιαζόμενοι ἐκεῖνοι, αὖθις οἱ Βυζάντιοι ἀναθαρσοῦντες ταῖς πόλεσιν ἐπέκειντο, αἱ πολέμιοι ἐδόκουν. Καὶ ἡ χώρα πᾶσα ὥσπερ ὑπὸ πολεμίων δῃουμένη, μετανίστατό τε εἰς τὰς πόλεις, καὶ οὐδὲν ἦν ὅ τι οὐκ ἔπασχε δεινὸν, καὶ Σκυθικὴ ἐρημία ἡ καταχράτος οἰκουμένη Θρᾴκη ἀπεδείκνυτο οὐκ ἐν μακρῷ, καὶ ἡ Ῥωμαίων ἰσχὺς ὑφ' ἑαυτῆς ἐδαπανᾶτο καὶ διεφθείρετο. Οὐ μὴν οὐδὲ οἱ βάρβαροι ἠμέλουν, ἀλλ' εἰδότες ὡς ἡ Ῥωμαίων στρατιὰ διῄρηται, καὶ στασιάζει πρὸς ἑαυτὴν, ἐκ τῆς Ἀσίας περαιούμενοι καὶ ἵπποις καὶ πεζῇ τὰ μέγιστα ἐκάκουν, οὐδενὸς ἀνθισταμένου. Καὶ τὰ παράλια πάντα ἐν βραχεῖ κενὰ ἀνθρώπων ἀπεδείκνυσαν πάντας ἐξανδραποδιζόμενοι, πλὴν ὅσοι πόλεις ἢ φρούρια κατῴκουν. Ὕστερον δὲ ἐκείνων ἁλωθέντων, καὶ πρὸς τὴν μεσόγειαν ἐχώρησαν. Οἱ μέντοι Ῥωμαῖοι οὕτω τοῦ χειμῶνος διετέλεσαν ἀλλήλοις ἀντεπεξιόντες καὶ βλάπτοντες ὅσα δυνατά. Διδυμοτείχῳ δὲ ἡ ἐκ Βυζαντίου στρατιὰ οὐδέποτε ἐτόλμησεν ἐπιστρατεῦσαι παρόντος βασιλέως. Οἱ μέντοι ἐκ Τζερνομιάνου φρουρίου τινὸς ᾧ πόρρω Διδυμοτείχου ὑφισμένου, οὐ φαῦλά τινα λῃστεύοντες ἐκάκουν. Σχεδὸν γὰρ οὐ διέλιπον ἀεὶ νυκτὸς τὰ τείχη περιῖόντες καὶ λῃστεύοντες οἷς ἂν ἐντύχοιεν. Ἐλάνθανον δὲ οὐ δι' ὀλιγότητα μόνον, ἀλλὰ καὶ δι' ἐμπειρίαν· ἦσαν γὰρ περὶ λῃστεία; κάλλιστα ἐξησκημένοι. Προλοχήσαντες δὲ οἱ ἐν Διδυμοτείχῳ στρατιῶται, ἐπεὶ κατὰ τὸ εἰωθὸς εἰς λῃστείαν αὖθις ἦκον, πλείονες ὄντες τῶν ἐπιόντων εἰωθότων, οὐκ ὀλίγους ἀπέκτειναν αὐτῶν, τοῦ λόχου ἀναστάντες.

A non potest ad unguem dici, cum nec ipsis, qui eam asservabant, propter granditatem numerus ejus plane constiterit. Pecorum autem, boum quidem pascualium in multa armenta dispertitorum fuerunt ad quina millia, ruricolarum juga mille: equæ pascuales mille quingentæ, cameli ducenti, muli trecenti, asini quingenti. Greges suilli ad quinquaginta millia porcorum continentes; ovium septuaginta millia; frugum acervi incredibiles, et omnino innumerabiles. Quibus omnibus brevi tempore spoliatus, nihil imbelle aut pusillanimum locutus est. Illud duntaxat ei tristitiam movebat, quod tantæ opes ad nullum reipublicæ commodum (in cujus emolumentum ipse omnia impendere se cogitasse affirmabat) converterentur. Byzantii B copiarum dux Andronicus Asanes, Cantacuzeni socer declaratus, bello contra generum recepto inde profectus, Thraciæ urbes obibat, omnibus eum cupide excipientibus, et quantum poterant adjuventibus. Cantacuzenus cum numerosum haberet fortemque exercitum, educere illum propter anni tempestatem nequibat: quod militibus adversus pluvias et nives nusquam pateret perfugium, jam omnibus ut hostem aversantibus. **448** Unde tranquillo cœlo urbes finitimas incursionibus lacessebant, cum interea Byzantinæ copiæ in civitates se abderent, neque aspectum eorum ferrent. Quibus cœli injuria cogente recedentibus, rursum Byzantii receptis animis, urbes inimicas quæ videbantur premebant, totaque regio velut ab hostibus vastata, C et nihil cladis non sustinens, in oppida commigrabat. Atque ita Thracius orbis parvo spatio vi et grassationibus ad Scythicam solitudinem redigebatur, Romanorumque vires semetipsas absumebant ac deperdebant. Nec tamen Barbari opportunitatem negligebant, sed cum Romanorum exercitum divisum et discordiis intestinis laborantem comperissent, cum equitatu et peditatu ex Asia trajicientes, immania detrimenta nullo obsistente dabant, locaque omnia mari vicina brevi tempore hominibus vacuefaciebant: omnibus, nisi qui urbes aut castella habitarent, in servitutem raptis. Tum deinde etiam in mediterranea pergebant. Romani vero tota hieme vélitabantur, et damna vicissim quan- D tum poterant creabant. Ad Didymotichum, ubi erat imperator, Byzantini nunquam se admovere ausi sunt, quanquam, ex proximo castello, cui nomen Zernomianum, direptionibus non parum infestabatur. Ferme enim in noctes singulas mœnia obeuntes, quæ inveniebant, auferebant, nec propter paucitatem modo, sed usum etiam fallebant; erant siquidem in prædando multo exercitatissimi. Ubi ad prædandum more suo, et quidem plures solito redierunt, milites apud Didymotichum ex insidiis prorumpentes, bonam partem occiderunt. Imperator Cantacuzenus, etsi principio veris Constantinopolin cogitabat invadere, tentareque an eam posset subigere, nihilominus ipsa hieme ad magistratus Adrianopolim occulte mittit, et ad urbem

Digitized by Google Распознавание текста ABK/FR

tradendam eos allectat. Dies quo veniat præfinitur. Ille assumpto exercitu ad alias Thraciæ urbes iturum illasque obsessurum fingens, ne qui ab Augusta stabant, infestum ejus accessum Adrianopolim nuntiarent, supra Hebrum, ut postridie mi-ltem transducturus, castra facit. Mittit quoque ad Pincernam consobrinum, qui cum millenario Pamphilum servabat, et arcem cum aliis gravis armaturæ ac sagittariis centum: mandat, ut relicta arcis custodia, et ex equitatu trecentis, qui inferiorem urbem tuerentur, cum cætero agmine ad se veniat; **449** causam insuper addit, cur eum vocet. Pincerna opinatus solum arcis præsidium urbi servandæ sufficere, cum toto equitatu adest. Cum autem per noctem illam Boreas spirasset vehementius, diluculo flumen conglaciare incipiens, intra breve tempus totum frigore constitit. Neque tamen adeo firma ac densa erat glacies, ut portare equitem posset, nec consuetis actuariolis transitum præbebat, sed ad istuc durior, ad equos vero sustinendos fragilior apparebat: quæ res multam transeundi dubitationem habebat. Per dies itaque duodenos imperator ibi in stativis mansit, exspectans si quo modo daretur Hebrum transmittere. In his Adrianopolim Byzantio supervenientes sexcenti milites, rem disturbarunt. At Pamphili, quoniam Pincerna cum copiis non aderat, præ quibus oppidani quippiam novi tentare metuebant, prius quibusdam e præsidio pecunia numerata corruptis, et eo perpulsis, ut vasa clam evacuarent, in quibus aquam et vinum, et si quid aliud potabile, servabant (non enim ex puteo haurire licebat, postquam sibi factas insidias audierant), custodes arcis simul tota urbs oppugnat, expugnatosque et intoleranda sibi oppressos ad deditionem adigit, ac tres eorum duces vinctos, cum toto præsidio ad Augustam Byzantium mittit; quos Byzantii contumeliose tractatos et omnibus dicteriis laceratos in carcerem dederunt. In imperatorem quoque Cantacuzenum se improbe gesserunt, a nulla verborum petulantia temperantes, eoque stoliditatis progressi sunt, ut si quando Joannes imperator adolescens e palatio ad animi oblectamentum quoppiam prodiret (ob ætatem siquidem immaturam, publicæ rei nihil attingebat, quando patre moriente non plus novem annos natus erat), præmissi quidam ab iis qui ad clavum sedebant, feminas juxta ac viros incitabant, ut eo transeunte complura longeque turpissima in Cantacuzenum maledicta evomerent. Et hoc tanquam jucundum munus imperatori puero offerebant. In hisce porro contumeliis etiam hoc sibi volebant (ut populo majorem timorem fingenerarent), Cantacuzenum, si vinceret, atrociter injurias persecuturum, id quod illis ex sententia evenit. Omnis namque populus, quo magis insaniebat, hoc amplius metuebat, et cum sibi condignam mercedem repensum iri formidaret, audacius furebat, et a reconciliatione magis abhorrebat. **450** Nisi ille viribus omnino destitutus ac perditus esset, non se

Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς διενοεῖτο μὲν ὡς ἅμα ἦρι Βυζαντίῳ ἐπιστρατεύσων, καὶ πειρασόμενος εἰ δύναιτο ἑαυτῷ ὑποποιεῖν· ὅμως τοῦ χειμῶνος τοὺς ἐν Ἀδριανουπόλει ἄρχουσι προσπέμπων κρύφα καὶ διαλεγόμενος, ἔπεισε τὴν πόλιν ἐγχειρίζειν. Καὶ ἐπεὶ συντέθειτο ἡμέρα καθ' ἣν ἔδει ἐπελθεῖν, τὴν οὖσαν στρατιὰν παραλαβών, καὶ προσποιησάμενος ἐφ' ἑτέρας τῆς Θρᾴκης βαδιεῖσθαι πόλεις ὡς πολιορκήσων ἵνα μὴ ὑπό του τῶν τὰ βασιλίδος ἠρημένων πρὸς τὴν Ἀδριανοῦ ἡ ἔφοδος μηνυθῇ, παρὰ τὸν Ἕβρον ἐστρατοπέδευσεν ὡς περαιωσόμενος εἰς τὴν ὑστεραίαν. Πέμψας δὲ καὶ πρὸς Πιγκέρνην τὸν ἀνεψιὸν, τὸ Πάμφυλον ἅμα χιλίοις φρουροῦντα στρατιώταις, τήν τε ἀκρόπολιν ἑτέροις ὁπλίταις καὶ ψιλοῖς τοξόταις ἑκατὸν, ἐκέλευε τὴν ἐν τῇ ἀκροπόλει φρουρὰν καταλιπόντα, καὶ τῆς στρατιᾶς τῆς ἱππικῆς τριακοσίους, ὥστε φρουρεῖν τὴν κάτω πόλιν, τοὺς λοιποὺς ἀναλαβόντα, ἥκειν πρὸς αὐτὸν, ἐδήλου δὲ καὶ τὴν αἰτίαν ἧς ἕνεκα καλοῖτο. Ὁ δ' ἡγησάμενος τὴν ἐν τῇ ἀκροπόλει μόνην φρουρὰν ἀρκέσειν πρὸς κατάσχεσιν τῆς πόλεως, τοὺς ἱππέας ἅπαντας παραλαβὼν, ἦκεν ὡς βασιλέα. Τῆς αὐτῆς δὲ νυκτὸς τοῦ Βορέα πνεύσαντος δριμύτερον, ἅμ' ἡμέρᾳ κρυσταλοῦσθαι ἤρχετο ὁ ποταμὸς, καὶ ὀλίγῳ ὕστερον ἅπας διεφαίνετο κρυσταλωθείς. Οὔτε δὲ τοσοῦτον εἶχε στερρότητος ὁ πάγος, ὥστε στέγειν τοὺς ἱππέας ἐπ' αὐτὸν περαιουμένους, οὔτε τοῖς συνήθεσιν ἀκατίοις πρὸς τὸν πόρον δίοδον παρεῖχεν, ἀλλὰ τοῦ μὲν, στερρότερος ἐφαίνετο, τοῦ στέγειν δὲ τοὺς ἵππους, ἀδρανέστερος. Διὸ καὶ ἀπορίαν πολλὴν παρεῖχε πρὸς τὸν πόρον. Δυοκαίδεκα μὲν οὖν ἐστρατοπεδεύετο ἐκεῖ ὁ βασιλεὺς ἡμέρας, περιμένων εἴ τρόπῳ δή τινι ἐγγένοιτο τὸν Ἕβρον διαβῆναι. Ἐν ταύταις δὲ ἐκ Βυζαντίου τῇ Ἀδριανοῦ ἐπιγενόμενοι στρατιῶται ἑξακόσιοι τὴν ἐπιχείρησιν ἀφεῖλοντο. Ἐν Παμφίλῳ δὲ ἐπεὶ ὁ Πιγκέρνης οὐ παρῆν, ἔχων τὴν στρατιὰν ἣν ἐκεῖνοι ἐδεδοίκεσαν νεωτερίζειν, πρότερον τῶν φρουρῶν τινας χρήμασι διαφθείραντες, καὶ πείσαντες τὰ ἀγγεῖα λίθοις ἐκκενοῦν, ἐν οἷς ὕδωρ αὐτοῖς καὶ οἶνος, καὶ εἴ τι ἕτερον ὑγρὸν πρὸς πόσιν ἐφυλάττετο, οὐ γὰρ ἐκ πηγῆς ἀρύεσθαι ἐνῆν, ὡς ἐπύθοντο ἡνυσμένην τὴν ἐπιβουλὴν, πόλεμον πρὸς τοὺς ἐν ἀκροπόλει φρουροὺς κοινῇ πᾶσα ἡ πόλις ἀναιροῦνται. Καὶ ἐκποριορκήσαντες ἐν ταύταις ταῖς ἡμέραις, παρεστήσαντο μάλιστα δίψῃ πιεσθέντες. Δήσαντες δὲ τούς τε ἡγουμένους αὐτῶν, οἳ ἦσαν τρεῖς, καὶ τὴν φρουρὰν, ἔπεμψαν εἰς βασιλίδα. Οὓς καὶ ἀτιμάσαντες οἱ ἐν Βυζαντίῳ καὶ πᾶν εἶδος ἐπιδειξάμενοι ἐρεσχελίας, εἶχον ἐν δεσμωτηρίῳ. Ὁμοίως δὲ καὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν πολλὴν ἐνεδείκνυντο ἀγνωμοσύνην, οὐδεμιᾶς ὕβρεως φειδόμενοι. Εἰς τοσοῦτον δὲ προῆλθον ἀτοπίας, ὡς εἴ ποτε καὶ βασιλεὺς ὁ νέος Ἰωάννης προΐοι τῶν βασιλείων ῥᾳστώνης εἵνεκα· οὐ γὰρ δή αὐτῷ τι τῶν κοινῶν ἐπράττετο διὰ τὸ τῆς ἡλικίας πάνυ ἀτελὲς, ἐννέα γὰρ ἦν ἔτη γεγονὼς τελευτῶντος τοῦ πατρός· ὑπὸ τῶν τὰ πράγματα ἐχόντων προπεμπόμενοί τινες, τὸν δῆμον διηρέθιζον καὶ ἄνδρας καὶ γυναῖκας, ὥστε διϊόντος

Digitized by Google Распознавание текста ABK/FR

πολλὰς Καντακουζηνοῦ τοῦ βασιλέως καταχέειν λοιδορίας καὶ ὡς μάλιστα ἀσέμνους. Καὶ τοῦτο ἦσαν ὥς τι δῶρον τῶν ἡδέων προσάγοντες τῷ νέῳ βασιλεῖ. Σκοπὸς δὲ ἦν αὐτοῖς τῶν ὕβρεων οὐδὲν μὲν ἧττον ὥστε καὶ τὸν δῆμον εἰς πλείονα ἐμβάλλειν φόβον, ὡς εἰ περιγένοιτο ὁ βασιλεὺς πικρῶς ἀμυνούμενος διὰ τὰς ὕβρεις. Ὅ καὶ κατὰ σκοπὸν ἐξέβαινεν αὐτοῖς. Πάντες γὰρ οἱ δῆμοι ὅσῳ μᾶλλον ἐξεμαίνοντο, τοσοῦτον ἐδεδίεσαν. Ἐκ τούτου δὲ ἀσύμβατοι ἦσαν πρὸς ἐκεῖνον, καὶ μᾶλλον ἐξεμαίνοντο διὰ τὴν ἐκ τῆς ἀντιδόσεως πονηρὰν ἐλπίδα. Ἄλλως δ' ὅπως καὶ πᾶσιν ὑπόνοιαν παρέχωσιν, ὡς εἰ μὴ διέφθαρτο ἐκεῖνος καὶ ἐξησθένηκε παντάπασιν, οὐκ ἂν οὕτω κατεφρόνουν. Οὐδὲν οὖν ἧττον καὶ διὰ τοιαῦτα τὸ ὑβρίζειν αὐτοῖς ἐπετηδεύετο, μάλιστα δὲ ἵν' ἐκεῖνος πυνθανόμενος, ἀπαγορεύῃ τὴν εἰρήνην, νομίζων κατὰ γνώμην τὰ τοιαῦτα πράττεσθαι τῇ βασιλίδι. Οὐδὲν γὰρ αὐτοῖς οὕτω δεινὸν ἐφαίνετο τῶν πρὸς τὸν πόλεμον, ὅσον ἄγειν κίνδυνον ἡ εἰρήνη ἐνομίζετο. Διὸ καὶ πάντα ἐπενόουν καὶ ἐμηχανῶντο, ὥστε μὴ γενέσθαι. Ἐπὶ τῇς βασιλίδος μέντοι οὐκ ἀσέμνως οὕτως ἐλοιδοροῦντο· ὀργῇ γὰρ πρὸς τοὺς οὕτως ἀσελγαίνοντας ἐφέρετο· ἀλλ' ἠρῶντο μόνον τὰ δεινότατα, καὶ πολλὴν κατεψηφίζοντο σκαιότητα καὶ πονηρίαν τρόπων, ὅτι τοσούτων παρὰ βασιλέως ἀπολελαυκὼς καὶ οὕτω φιληθεὶς, ἀχάριστος ἐκ διαμέτρου καὶ κακὸς περὶ τοὺς ἐκείνου παῖδας ὤπται. Ἐκεῖνοι μὲν οὖν οὕτως ἠκολάσταινον περὶ τὴν γλῶτταν. Καὶ ὁ πατριάρχης ὀλίγα ἢ οὐδὲν φροντίζων τῶν ἐκκλησιαστικῶν θεσμῶν, αὐτόν τε βασιλέα μηδεμίαν πρόφασιν πρὸς τὸν πόλεμον παρεσχημένον, ἀλλὰ καὶ πολλὰ πολλάκις δεηθέντα διαλύσασθαι, ἀφορισμῷ ὑπέβαλεν ὡς κακὸν ὀφθέντα περὶ βασιλίδα, καὶ εἴ τις αὐτῷ συνείη. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐ μόνον αὐτὸς τἀναντιώτατα ἐφαίνετο ποιῶν, ἀλλὰ καὶ τοὺς συνόντας ἀναπείθων. Οὐ γὰρ μόνον βασιλίδι εἴ ποτε ἔδει μνημονεύειν, διὰ πάσης εὐφημίας ἦγεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἀπὸ τῶν ἀξιωμάτων μᾶλλον, ἢ τῶν ὀνομάτων προσηγόρευε, τῶν ἐξ Ἀνδρονίκου μέντοι τοῦ βασιλέως ἑκάστῳ δεδωρημένων, ἐπεὶ τῶν ὕστερον ὡς παρὰ δίκην γεγενημένων τὰ πολλὰ ἀπέστεργε. Τῶν συνόντων δὲ ἐπ' αὐτοῦ τινος τὸν παρακοιμώμενον καὶ ἕτερόν τινα τῶν ἐν Βυζαντίῳ ὑβρίσαντος αἰσχρῶς, ἐκέλευσε τυπτηθῆναι, γυναιξὶ φάμενος πορνευομέναις προσήκειν τὰ τοιαῦτα, ἀνδράσι δὲ τὸ μάχεσθαι.

A ita eum contempturos. Et cum nihilo minus his de causis studerent eum cumulare injuriis, maxime tamen id faciebant ut his intellectis pacem desperaret, ea imperatrice conscia et libente fieri opinatus. Etenim nihil ad bellum requisitum tam durum, quam pacem istam periculosam constituebant. Quare ad eam impediendam excogitabant machinabanturque omnia. Verumtamen coram imperatrice verecundius conviciabantur, quod illa sermonis proterviam ferret ægerrime, sed tantum severissime accusabant, singularisque illum stuporis et perversitatis condemnabant, quod summis ab imperatore demortuo beneficiis ornatus, et tantopere dilectus, ex diametro ingratus, et erga ejus liberos malevolus exstitisset. Atque illi quidem linguas ita liberas habebant, et patriarcha legum ecclesiasticarum securus, ipsum Cantacuzenum qui bellum minime excitarat, sed multum ac sæpe pacem expetiverat, anathemati cum sequacibus subjecit, quasi in imperatricem se nequam præstitisset: cum tamen non ipse solum prorsus contrarium faceret, sed et suos ad idem cohortaretur. Nec vero illam duntaxat, si quando ejus erat habenda mentio, perhonorifice, verum alios quoque magis a dignitatibus quas gerebant, quam propriis eorum nominibus appellitabat. Multa tamen ex iis quæ Andronicus imperator cuique eorum donaverat, ut cum injuria posterorum donata non probabat. Et cum quidam de suis coram ipso, Apocauchum cubiculi sacri præfectum, et alium quemdam Byzantium turpi convitio incessisset, eum præcepit vapulare, dixitque mulieribus meretricibus levitatem hujus cemodi convenire, viros pugnam decere.

B

C

CAPUT XXXI.

Tribus præfectis se purgat Cantacuzenus de accepto imperio et consilio non communicato. Omnes offensi, societatem recusant. Syrges iniquior, apud Pheras ejusdem facultates invadit. Ejus amicos fortunis spoliat et immaniter tractat. Protostrator mutat mentem; Thessalonicam se traditurum promittit. Chreles Triballus et amicus, Cantacuzenum ad Occidentem invitat. Consultatio quo eundum, et duplex sententia; posteriori assentitur imperator.

Πρὸς μέντοι τὸν ἔπαρχον τὸν Μονομάχον ἐπιτροπεύοντα Θεσσαλίας, καὶ Συναδηνὸν τὸν πρωτοστράτορα Θεσσαλονίκης τότε ἄρχοντα, καὶ Συργὴν Ντελενουζίας τὸν βασιλέως Ἀνδρονίκου ἀνεψιὸν, τὸν Κύπρου ῥηγὸς υἱὸν, Φερῶν καὶ αὐτὸν ἄρχοντα, οὗ καὶ τὴν θυγατέρα τοῦ βασιλέως Ἀνδρονίκου περιόντος ἔτι, τῷ υἱῷ Μανουὴλ ὁ τότε μέγας δομέστικος κατηγγύησε, πρεσβείαν πέπομφεν ὁ βασιλεὺς, αἰτίας ἑαυτὸν ἐπὶ τοῖς γεγενημένοις ἀπολύων, ὡς οὐκ ἀπὸ γνώμης ἐπιβούλου καὶ πονηρᾶς, οὐδ' ἐπιθυμίᾳ τιμῆς βασιλικῆς τὰ τοιαῦτα νεωτερισθείη, ἀλλ' ὑπὸ τῶν ἐν Βυζαντίῳ πόλεμον ἀκήρυκτον ἐξενεγκόντων κατ' αὐτοῦ, καὶ ἄκων εἰς ταῦτα

D Cæterum ad Thessaliæ prætorem Monomachum, et protostratorem Synadenum, Thessalonicæ tum præfectum, et Syrgem Ntelenuziam, imperatoris Andronici consobrinum, Cypriorum regis filium, Pherarum et ipsum præfectum, cujus etiam filiam **451** superstite adhuc imperatore Manueli filio magnus tum domesticus desponderat, legatos imperator misit, culpam factorum a se removens, ista scilicet non insidiose et maligna mente, nec cupiditate majestatis imperatoriæ molitum, sed propter Byzantinos, bellum non ante denuntiatum sibi inferentes, huc se compulsum: et rebus ita postulantibus, antequam cum ipsis posset commu-

Digitized by Google Распознавание текста ABK/FR

nicare consilium, quæ visa essent sibi et sociis omnibus conducere, confecta esse : orabatque, ne idcireo quasi despecti indignarentur, sed si quid factum, quod factum non oportuisset, rerum necessitati ascriberent. Præter igitur nec legationem admisit, nec ad bellum prorupit, sed communionem tantummodo recusavit. Perinde protostrator imperatorem ut amicorum valde immemorem insimulabat, quod nimirum se, qui tam multis annis tantam ei benevolentiam navasset, ut quempiam pene vulgarem ac plebeium contempsisset, idque cum rem tam arduam meditaretur : nihil tamen legato fecit mali, nisi quod mox ad dominum suum reverti jussit. At Syrges sive ex antiquiore quadam causa succensens, sive tum primum quod se contemptum suspicaretur, excandescens, et verba legatorum ut nihil sincerum continentia, sed dolose conficta rejecit, addens, etsi a Cantacuzeno inter homines trioboli esset numeratus, tamen reipsa declaraturum, se cum amicis prodesse, tum inimicis obesse posse quamplurimum, et legatos in carcerem inclusit : Demetrium nempe Casandrenum, et Lascarim magnum chartularium. Cumque Cantacuzenus Pheris haberet non solum pecoris, sed et tritici aliarumque frugum ingentem numerum, propterea quod ampliores ac plures ei hic quam apud urbes alias possessiones erant, omnia statim ad se avertit. Quo firmior suspicio fuit, armis imperatorem appeliturum, quod sciret (ut est credibile) majores ex dissidio cum illo, quam ex concordia fructus sese percepturum, quantumvis primis ab eo amplissimisque honoribus augeretur. Nec solum tam opulentus subito evadebat, sed insuper amicos ejus, qui permulti Pheras incolebant, scrutabatur, bonisque omnibus nudatos immaniter puniebat. Et cum antea ad hoc esset propensissimus, tum præsertim nihil ad crudelitatem reliqui facere contendebat, et Byzantinos longo intervallo superabat in omnibus, si verborum contumelias excipias; in 452 hoc quippe uno modestius se gerebat. Connubium autem filiæ, quod prius filio imperatoris promiserat, rescidit. Tunc igitur ob inclementiam hiemis, quæ Byzantio exierant et quæ Didymotichi erant copiæ, concurrere nequiverunt. Interim protostrator facti pœnitens, quod legationem repulisset, per intimum quemdam occulte urbem Thessalonicam imperatori se traditurum pollicetur; esse enim illic, qui ei faverent, quam plurimos; et monebat, ne cunctaretur, sed veris initio accederet, multum se ejus rationibus commodaturum. Similiter et Chreles, qui aliquando ex Triballis ad Andronicum transfugerat, sese cum mille militibus, et tribus oppidis dediderat : quæ Romanis subjecta, Andronicis inter se belligerantibus, Triballi incolis deditionem facientibus occuparant. Hic itaque Chreles pecunia instructus, et exercitum sub se non aspernandum habens, et antea imperatori Cantacuzeno amicissimus (per quem et Andronici ami-

ἐξενηνεγμένος· ὅθεν καὶ τῶν πραγμάτων ἐπειγόντων, καὶ πρὶν αὐτοῖς κοινώσασθαι τὴν γνώμην, ἃ αὐτῷ τε καὶ πᾶσι τοῖς συνοῦσι λυσιτελεῖν ἐδόκει καταπεπράχθαι. Ἠξίου τε μὴ διὰ τὰ τοιαῦτα δυσχεραίνειν ὡς περιοφθέντας· ἀλλ' εἴ τι καὶ τῶν μὴ δεόντων γένοιτο, ἀνάγκῃ τῶν πραγμάτων προσλογίζεσθαι. Ἔπαρχος μὲν οὖν οὔτε τὴν πρεσβείαν προσιδέξατο, οὔτ' εὐθὺς πρὸς πόλεμον ἐκινήθη, ἀλλὰ τὴν κοινωνίαν μόνον ἀπηγόρευεν. Ὁμοίως δὲ καὶ πρωτοστράτωρ πολλὴν τοῦ βασιλέως ἀμνημοσύνην τῶν φίλων κατηγόρει, ὅτι δὴ αὐτὸν πολλὴν τῆς εἰς ἐκεῖνον, εὐνοίας ἐκ πολλῶν ἐτῶν ἀπόδειξιν ἐπιδεδειγμένον, ὧν τινα τῶν πολλῶν ὀλίγον διαφέροντα περιεῖδε καὶ ταῦτα τοιούτοις μέλλων ἐγχειρεῖν. Οὐδὲν μέντοι δεινὸν εἴργαστο τὸν πρεσβευτήν, ἀλλ' ἐκέλευεν αὖθις ἀναστρέφειν πρὸς τὸν πέμψαντα. Συργῆς δὲ, εἴτε καὶ ἐκ προφάσεώς τινος ἀρχαιοτέρας μηνίων, εἴτε καὶ τότε πρῶτον ἐκ τοῦ παρεωρᾶσθαι ὑπωπτευκέναι πρὸς ὀργὴν ἐξήγετο, τούς τε λόγους τῆς πρεσβείας ὡς ἔχοντας οὐδὲν ὑγιὲς, ἀλλ' ἀπάτῃ συνεσκευασμένους, ἀπεπέμπετο, φάσκων ὡς εἰ καὶ παρ' ἐκείνῳ τῶν μηδενὸς ἀξίων ἐνομίσθη, ἀλλ' αὐτὸς αὐτοῖς ἔργοις ποιήσειν καταφανὲς, ὡς τούς τε φίλους ὠφελεῖν, καὶ τοὺς πολεμίους βλάπτειν δύναιτο τὰ μέγιστα, καὶ τοὺς πρέσβεις εἰς τὸ δεσμωτήριον εἰσῆγεν· οἳ Δημήτριός τε ἦσαν ὁ Κασανδρηνὸς καὶ Λάσκαρ, ὃς ἦν μέγας χαρτουλάριος τὴν ἀξίαν. Ὄντος δὲ ἐν Φεραῖς οὐ βοσκημάτων μόνον πλήθους Καντακουζηνῷ τῷ βασιλεῖ, ἀλλὰ καὶ πυρῶν καὶ καρπῶν τῶν ἄλλων διὰ τὸ μεγάλας καὶ πλείστας κτήσεις μᾶλλον, ἢ κατὰ τὰς ἄλλας πόλεις ἐντυθοῖ κεκτῆσθαι, πάντα ἐποιεῖτο ἴδια εὐθύς. Διὸ καὶ μᾶλλον ὑπωπτεύθη τὸν πρὸς ἐκεῖνον πόλεμον ἠρῆσθαι, συνιδὼν, ὡς ἔοικεν, ὡς ἐκ τῆς διαφορᾶς τῆς πρὸς ἐκεῖνον μείζω δύναιτο καρποῦσθαι, ἢ τῆς ὁμονοίας, εἴ γε καὶ τῶν πρώτων καὶ μεγίστων ἀπολαύοι παρ' αὐτῷ τιμῶν. Οὐ μόνον γὰρ ἐκείνων τοσούτων ὄντων κύριος ἦν εὐθὺς, ἀλλὰ καὶ τοὺς φίλους διηρεύνα, οἳ ἦσαν ἐν Φεραῖς πολλοί. Καὶ πάντων τὰς οὐσίας ἁφαιρούμενος, ἐκάλαζεν ἀπανθρώπως· ἦν γὰρ δὴ πρὸς τοῦτο πρότερόν τε ἔχων μάλιστα ἐπιῤῥεπῶς, καὶ τότε μάλιστα ἐφιλονείκησε μηδεμίαν ὠμότητος ὑπερβολὴν ἀπολιπεῖν. Πολλῷ γὰρ τῷ μέτρῳ τοὺς ἐν Βυζαντίῳ παρῆλασεν ἐν πᾶσι, πλὴν τῆς ὕβρεως· ἐν τούτῳ γὰρ μόνῳ σωφρονοῦντα ἑαυτὸν παρέσχετο. Τὴν τε μνηστείαν τῆς θυγατρὸς ἣν πρότερον πρὸς τὸν βασιλέως υἱὸν πεποίητο, διέλυσε. Τότε μὲν οὖν χειμῶνος ἐξαισίου ἐπιγενομένου, ἥ τε ἐκ Βυζαντίου καὶ ἡ ἐκ Διδυμοτείχου στρατιὰ ἡσύχαζον, μὴ δυνάμενοι ἀλλήλοις ἀντεπεξιέναι διὰ τὸν χειμῶνα. Ἐν τούτῳ δὲ καὶ ὁ πρωτοστράτωρ ἐκ Θεσσαλονίκης, ὅτι τὴν βασιλέως ἀπείπατο πρεσβείαν μεταμεληθεὶς, τῶν οἰκειοτάτων πέμψας τινὰ, κρύφα διελέγετο ὡς Θεσσαλονίκην παραδώσων· εἶναι γὰρ αὐτῷ τοὺς συμπράττοντας ἐκεῖ πολλούς. Συνεβούλευέ τε μὴ μέλλειν, ἀλλ' ἅμα ἦρι ἥκειν πρὸς αὐτὸν, ὡς πολλῆς αὐτῷ ὠφελείας ἐσομένης ἐξ ἐκείνου. Ὁμοίως δὲ καὶ Χρέλης, ὃς ἦν πρότερον πρὸς Ἀνδρόνικον τὸν

Digitized by Google Распознавание текста ABK/FR

βασιλέα ηὐτομοληκὼς ἐκ Τριβαλῶν, στρατιώτας τε ἔχων χιλίους, καὶ πόλεις τρεῖς παραδεδωκώς, κατὰ τὸν πρὸς ἀλλήλους τῶν Ἀνδρονίκων βασιλέων πόλεμον κατέσχον οἱ Τριβαλοὶ τῶν κατεχόντων Ῥωμαίων παραδόντων. Οὗτος δὴ οὖν ὁ Χρέλης χρήμασί τε ἐρρωμένος, καὶ στρατιὰν ἔχων ἀξιόλογον ὑφ' ἑαυτῷ, καὶ πρότερον βασιλεῖ τῷ Καντακουζηνῷ ἐς τὰ μάλιστα φίλος ὤν, δι' αὐτοῦ γὰρ καὶ Ἀνδρονίκῳ προσῆλθε τῷ βασιλεῖ, πέμψας καὶ αὐτὸς, ὅτι τε αἱροῖτο ἐδήλου τὰ ἐκείνου, καὶ παρῄνει καὶ αὐτὸς πρὸς τὴν ἑσπέραν μᾶλλον τρέπεσθαι, ὡς οὐ φαύλης τινὸς αὐτόθεν ἐσομένης ὠφελείας. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, ἐπεὶ ἔαρος ὥρα ἤδη ἦν, ἐκκλησίαν συναγαγὼν ἐκ τῶν συνόντων, πρὸς ὅ τι χρὴ τρέπεσθαι ἐσκέπτοντο. Ὅσοι μὲν οὖν ἐκ Βυζαντίου ἦσαν, τὴν εἰς Βυζάντιον μᾶλλον συνεβούλευον αἱρεῖσθαι εἰσβολήν· ὡς ἢν κρατήσωσιν ἐκείνου, εἶναι δὲ οὐκ ἀγεννεῖς ἐλπίδας, πολλῶν ἐκεῖ τὰ βασιλέως ἠρημένων, μεγάλων ἀπαλλαξόμενοι καὶ πόνων καὶ κινδύνων. Οἱ δ' ἐσπέριοι τοῖς ἐκ τῆς ἑσπέρας προσέχειν ὥρμηντο μᾶλλον πράγμασι δεῖν, ὡς οὐκ ἐκπεπολεμωμένοις βασιλεῖ, ἀλλὰ προσχωρήσουσι διὰ τὴν εὔνοιαν ῥᾳδίως. Τὰ δ' ἐν Βυζαντίῳ μεγάλης δεῖσθαι τῆς παρασκευῆς, πολλῶν ὄντων ἐκεῖ τῶν πολεμιωτάτων βασιλεῖ, καὶ τοὺς ἄλλους ἐναγόντων πρὸς τὸν πόλεμον. Οἷς δεῖ ἐπιστρατεύειν ἐπανήκοντας ἐκ τῆς ἑσπέρας, καὶ μεγάλην ἐκεῖθεν περιβεβλημένους δύναμιν. Τὸ μέντοι μισθοφορικὸν τῆς στρατιᾶς, καὶ ὅσοι τῶν βασιλέως ἦσαν οἰκετῶν, διεφέροντο πρὸς οὐδέν· ἀλλ' ἕτοιμοι ἦσαν πρὸς ὅ τι ἂν βασιλεῖ δοκῇ λυσιτελεῖν τρεφόμενοι καὶ αὐτοί. Βασιλεὺς δὲ οὐκ ἔφασκε δεῖν τοὺς ἐκ τῆς ἑσπέρας καλοῦντας ὄντας τηλικούτους περιορᾶν· καὶ μὴ καλούντων γάρ, εἰ μόνον ἐλπίς τις ὑπεφαίνετο βεβαία, τοῦ προσάξεσθαι αὐτοὺς ἐκεῖ παραγενομένους, ἦμεν ἂν οὐδεμιᾶς ἀπηλλαγμένοι μέμψεως, εἰ τοσαύτην δύναμιν προείμεθα ἑκόντες· Νυνὶ δὲ, καλούντων τε αὐτῶν, καὶ βεβαίαν τῶν ἐκεῖ πραγμάτων παρεχόντων τὴν πεῖραν ἐκείνην, οὔτε λυσιτελὲς, οὔτε σῶφρον παριδεῖν· ἀλλὰ δέον καὶ τὴν ἐκείνων προσλαβόντας δύναμιν, οὕτω χωρεῖν ἐπὶ τοὺς ἄλλους. Δέος γὰρ μὴ καὶ ταύτης ἀμελήσαντες, ἀντὶ συμμάχου καὶ φίλης, πολεμίαν πρὸς τοῖς ἄλλοις ἕξομεν. Οὕτως εἰκότος βασιλέως, καὶ οἱ ἄλλοι ἐπεψηφίζοντο, οἱ μὲν ἑκόντες, οἱ δ' ἀνάγκῃ.

A citiam adeptus fuerat) misit ipse quoque significatum, se ejus partes sequi, cum cohortatione, uti ad Occidentem se converteret, utpote non minimos ibi utilitatis fructus inventurus. Cantacuzenus cum jam vernum tempus adesset, coacto suorum concilio, quo eundum esset, deliberabat. Byzantini omnes expeditionem Byzantinam antecapiendam decernebant; nam si ea urbe potirentur (esse autem potiundi præclaram spem), multis ibi imperatoris partes amplectentibus, magnis deinceps et laboribus et periculis fore liberos. Occidentales autem magis ad res Occidentis incumbendum censebant; quippe haud efferatis illic in imperatorem mortalibus, ac proinde ob benevolentiam non difficile ad ejus imperium accessuris. B Adversus Byzantinos opus fore magno apparatu, quando illic multi sint ejus hostes acerbissimi, qui et alios ad arma exsuscitent: in quos ab occidente auctos potentia reversos, movere oporteret. Mercenarii et domestici imperatoris nullum discrimen faciebant, parati ire quo ille consultum putaret. Cujus hæc fuit sententia: Occidentales ultro vocantes, et tam multi haud negligendi sunt; qui si vel non vocarent, et solum aliquid exploratæ spei subostenderetur, ad nos se adjungerent, si ibi essemus. Tanta igitur accessione virium sponte dimissa, quam vituperationem non mereremur? **453** Nunc quoniam ipsi accersunt, et certum est, nos rerum illic potituros, non habet C quidquam nec utilitatis, nec prudentiæ, tantæ opportunitati deesse, sed illorum quoque assumendæ vires, et sic demum alii subjugandi sunt. Timeudum quippe, si eos non curaverimus, ne pro amicis et sociis, hostes una cum cæteris experiamur. His, et aliis pars volens, pars invita calculum adjecerunt.

CAPUT XXXII.

Quos Didymotichi Cantacuzenus imperator duces equitum et suburbanorum reliquerit. Cum quibus exierit. Defectio Constantini Palæologi. Bera castellum tentatur, et propter monachos ei parcitur. Joannes Batatzes id in fidem imperatricis redigit. Ejus timor. Obsidio Peritheorii. Batatzes promissa turpiter fallit.

Πρὸς μὲν οὖν Διδυμοτείχῳ βασιλίδα τὴν γυναῖκα D κατέλιπεν ὁ βασιλεὺς ἅμα θυγατράσι τρισὶ, καὶ δουκὶ Νικηφόρῳ τῷ δεσπότου παιδὶ, ᾧ Μαρίαν συνῴκισε τὴν θυγατέρα, ἀδυνάτως ἔχοντι στρατεύεσθαι διὰ τὴν ἡλικίαν, ἔτι γὰρ παρῆμειβε τὴν παιδικήν· στρατιάν τε ἱππικὴν ὅσην ᾤετο ἀρκέσειν πρὸς τὰς ἐκ τῶν ἄλλων πόλεων, καὶ Βυζαντίου τὰς ἐπιφοράς, ἀπολιπὼν, ἦγε τοὺς ἐκείνων ἐπὶ τὰ ἄλλα τῶν ἐχθρῶν. Ἦσαν δὲ οὗτοι ἄρχοντες ἱππέων, Ἰωάννης ὁ Ἀσάνης, Ἰωάννης ὁ Ἀπόκαυκος, Μανουὴλ ὁ Ἀσάνης, Ἰωάννης ὁ Ἀγγελόκομος, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἀλέξιος, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἀνδρόνικος, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἰσαάκιος, Ἰωάννης ὁ Ἀσάνης ὁ Μιχαήλ, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἰωάννης, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἀνδρόνικος, Ἰωάννης ὁ Ἀσάνης ὁ Ἰωάννης

præter eos qui paulo post supervenerant, equites mille, quorum duces Manuel Tarchaniota, Georgius Phracases, Joannes Palæologus aulæ primicerius, et Georgius Glabas. Suburbanis valde amplis præfectos octo, quorum quisque mille sagittarios regebat, et primarium omnium ducem Manuelem Asanem, uxoris fratrem constituit. In Thracia urbes universæ simul, eo neglecto, ad Augustam se aggregarunt: castellum Empythium, quod ipse adhuc vivo imperatore a fundamentis exædificarat, in fide manebat. Ipse Matthæum et Manuelem filios, et uxoris germanum Joannem Asanem, nec non Angelum pincernam consobrinum, nobiliumque et consanguineorum multos secum habens, cum numeroso et forti exercitu Didymoticho egressus est tertio Nonas Maias, indictione decima, præmisso Constantino Palæologo, Michaelis ducis despotæ filio, cujus opera, quæ in rem essent, præpararet. Qui mox Pheris ad Syrgem defecit, sive quod domui suæ timeret (illic enim habitabat), sive quod ex urbium defectione Cantacuzeni fortunam afflictum iri augurabatur. Imperator tametsi ex anteacto tempore non bonæ spes affulgerent, ad Beram constitit. **454** Qui locus cum equis lætum pabulum affatim suppeditaret, non enim id ubique (ut vere adhuc recenti) suppetebat, dies ibidem non multos consumpsit, in quibus castellum tentavit, si per deditionem occupare posset; vi enim subigere propter monachos incolas nolebat. Videbat enim si vi caperetur, lege militari monasterium quoque diruendum (84). Quam ob causam nec assidue obsidendo oppugnabat, sed opinionem tantum præbebat, quasi se ad muros adoriundos compararet. Monachi vero qui intus erant, et alia turba ex agrestibus collecta, an propter defectionem trepidi (prius namque imperatoris præsidium, et præfectum ipsis datum fraude circumventos, vinculisque implicitos ad imperatricem miserant), an etiam alia quadam de causa, e muris structura validissimis animosissime se defendebant, nec de compositione verbum audire sustinebant. Interea Joannes Batatzes Byzantio noctu clam (propter causam enim jam expressam castellum certo constanterque non oppugnabatur), cum parva manu ingressus, id sub Augustæ imperium redegit, et Cantacuzeno ejus obtinendi spem abstulit. Moto igitur inde exercitu, Anastasiopolim (Andronicus Peritheorium appellavit) processit, quam per dies quatuor et viginti circumsidens oppugnavit. Etiam ad Chrelem et protostratorem Thessalonicam de adventu suo miserat, et nosse avebat, num idem esset eorum erga se animus, qui hactenus. Batatzes (porro cui ab imperatrice rerumque rectoribus belli contra Cantacuzenum administratio commissa erat) cum militibus quos Byzantio adducebat, et ex Thraciæ ac Rhodopes

A ἐφόδους ἐσομένας. Πρὸς γὰρ τοῖς ὕστερον ὀλίγῳ ἐπιγενομένοις, χίλιοι ἦσαν, ὧν ἦρχον Μανουὴλ ὁ Ταρχανειώτης, καὶ Φακρασὴς Γεώργιος, καὶ τρίτος ὁ τῆς αὐλῆς πριμμικήριος Παλαιολόγος ὁ Ἰωάννης, καὶ ὁ Γλαβᾶς Γεώργιος σὺν τούτοις. Ἐπὶ δὲ τῆς ἔξω Διδυμοτείχου συνοικίας οὔσης πολλῆς, ἑτέρους ἐπέστησεν ἄρχοντας ὀκτὼ, ὧν ἦρχεν ἕκαστος χιλίων τοξοτῶν. Στρατηγὸν δὲ ἐπὶ πᾶσι τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην κατέλιπε τὸν Μανουήλ. Πόλεων δὲ τῶν κατὰ τὴν Θρᾴκην ἁπασῶν οὐδεμία αὐτῷ προσεῖχεν, ἀλλὰ πᾶσαι πρὸς βασίλιδα συναπέστησαν, πλὴν τοῦ Ἐμπυθίου φρουρίου, ὃ αὐτῷ περιόντος ἔτι βασιλέως ᾠκοδόμητο αὐταῖς κρηπίσιν. Αὐτὸς δὲ τούς τε υἱοὺς ἔχων Ματθαῖον καὶ Μανουὴλ, καὶ τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην, ἔτι τε

B Ἄγγελον πιγκέρνην τὸν ἀνεψιὸν, καὶ τῶν εὐγενῶν καὶ καθ' αἷμα προσηκόντων οὐκ ὀλίγους, τὴν στρατιὰν πολλὴν καὶ ἀγαθὴν οὖσαν παραλαβὼν, ἐξῆλθε Διδυμοτείχου πέμπτῃ Μαρτίου ἱσταμένου τῆς δεκάτης ἰνδικτιῶνος. Προὔπεμπέ τε ἑαυτοῦ Κωνσταντῖνον τὸν Παλαιολόγον, τὸν δεσπότου Μιχαὴλ τοῦ δουκὸς υἱὸν, ὡς δι' αὐτοῦ τῶν δοκούντων λυσιτελεῖν τινα προπαρασκευασόμενος. Ὁ δ' αὐτίκα πρὸς Συργὴν ὁρμήσας ἐν Φεραῖς, εἴτε περὶ τῆς οἰκίας δείσας, Φεραίοις γὰρ συνῴκει, εἴτε καὶ οἰωνισάμενος ἐκ τῆς τῶν πόλεων ἀποστασίας, ὡς οὐ κατὰ ῥοῦν βασιλέως Καντακουζηνοῦ τὰ πράγματα χωρήσει. Βασιλεὺς δὲ, καίτοι τῶν πραττομένων οὐ πάνυ χρηστὰς ἐλπίδας παρεχόντων, τὴν στρατιὰν ἔχων,

C ἐστρατοπέδευσεν ἐν Βήρᾳ. Ἀφθονίαν δὲ ἐκεῖ τοῖς ἵπποις τοῦ τόπου παρέχοντος τροφῆς, οὔπω γὰρ ἦν ἀπολαύειν ἀφθόνου πανταχοῦ διὰ τὴν ὥραν ἄρτι ἀρχομένου ἔαρος, παρέμεινεν ἡμέρας οὐ πολλάς. Ἐν ταύταις δὲ τοῦ φρουρίου ἀπεπείρα, εἰ δύναιτο κατασχεῖν ὁμολογίᾳ. Βίᾳ γὰρ παραστήσεσθαι οὐκ ἤθελε διὰ τὸ μοναχοὺς τὸ φρούριον κατοικεῖν· συνορῶν ὡς εἰ βίᾳ ἁλωτὸν γένοιτο, οὐδὲν ἔσται λοιπὸν, ἢ ἀνάστατον γίνεσθαι τὴν μονὴν πολέμου νόμῳ παρθουμένην. Οὗ δὴ ἕνεκα οὐδὲ συντόνως ἐπολιόρκει, ἀλλὰ δόκησιν παρεῖχε μόνον, ὡς πρὸς τειχομαχίαν παρασκευαζόμενος. Μοναχοὶ δὲ οἱ ἔνδον ὄντες, καὶ ὁ ἄλλος ὅμιλος ἐξ ἀγροτῶν συνειλεγμένοι, εἴτε διὰ τὴν ἀποστασίαν δεδοικότες· τὴν γὰρ βασιλέως πρότερον φρουρὰν, καὶ τὸν ἄρχοντα ὃν ἐπέστησεν

D αὐτοῖς, ἀπάτῃ κατασχόντες δεσμότας ἔπεμψαν εἰς βασιλίδα· εἴτε καὶ τρόπῳ δή τινι ἑτέρῳ, ἠμύνοντό καρτερώτατα ἀπὸ τῶν τειχῶν ὀχυρωτάτων ὄντων ἐκ κατασκευῆς, καὶ οὐδ' ἄκροις ὠσὶ προσίεντο τοὺς περὶ συμβάσεως λόγους. Ἐν τούτῳ δὲ καὶ ὁ Βατάτζης Ἰωάννης ἐκ Βυζαντίου νυκτὸς διαλαθὼν, οὐ γὰρ ἀσφαλῶς τὸ φρούριον ἐπολιορκεῖτο διὰ τὴν εἰρημένην αἰτίαν, ἅμα ὀλίγοις στρατιώταις εἰσελθὼν, περιεποίησέ τε τὸ φρούριον βασιλίδι, καὶ βασιλεῖ τῷ Καντακουζηνῷ τὴν ἐπιχείρησιν ἀνέλπιστον ἐποίει. Ἀναστήσας τοίνυν ἐκεῖθεν τὴν στρατιὰν, εἰς τὴν Ἀναστασίου πόλιν, ἢ Περιθεώριον ὑπὸ βασιλέως

Jacobi Pontani notæ.

(84) Græcis μονὴ est monasterium, quasi dicas mansionem. Quare etiam scriptoribus ecclesiasticis Latinis mansionarius, mansionis incola, habitator, id est, monasterii.

Digitized by Google Распознавание текста ABK/FR

Ἀνδρονίκου προσηγόρευτο, ἐγένετο, καὶ περιεκάθητο πολιορκῶν ἐν τέσσαρσι καὶ εἴκοσιν ἡμέραις. Ἦν γὰρ δὴ καὶ πρὸς Χρέλην καὶ πρωτοσρτάτορα τὸν Συναδηνὸν ἐν Θεσσαλονίκῃ τοὺς μηνύσοντας τὴν ἐκείνου ἄφιξιν πεπομφὼς, καὶ περιέμενε μαθεῖν, εἰ τὰ ἴσα ὥσπερ καὶ πρότερον περὶ αὐτοῦ διανοῦνται. Βατάτζης δὲ τούς τε στρατιώτας οὓς ἐκ Βυζαντίου ἦκεν ἔχων ἐπαγόμενος, καὶ ἐκ τῶν κατὰ τὴν Θράκην καὶ Ῥοδόπην πόλεων οὐκ ὀλίγην στρατιὰν συνειλοχὼς, οὐκ ἀξιόμαχον δὲ ὅμως πρὸς τὴν βασιλέως, ἦν γὰρ δὴ ἐκ βασιλίδος καὶ τῶν ἄλλων τῶν τὰ πράγματα ἀγόντων τὸν πρὸς ἐκεῖνον ἐπιτετραμμένος πόλεμον, ἐφείπετο οὐκ ἐγγύθεν, ἀλλὰ μιᾷ ἡμέρας ὁδὸν διέχων, διὰ πολλῆς ποιούμενος σπουδῆς τὸ μὴ τῇ βασιλέως στρατιᾷ περιτυχεῖν· ᾔδει γὰρ οὐ χωρὶς ζημίας ἀπαλλάξων. Περιθεωρίου δ' ὑπὸ βασιλίως πολιορκουμένου ἀκριβῶς, πᾶσαν μὲν ἐκίνει μηχανὴν, ὡς ἅμα τισὶν ὀλίγοις εἰ δύναιτο, πλείοσι γὰρ οὐκ ἐνῆν διαλαθεῖν, παρελευσόμενος εἰς τὴν πόλιν καὶ φυλάξων. Ἤνυε δὲ οὐδὲν, βασιλέως τῆς πολιορκίας συντόνως ἐχομένου, καὶ διὰ πάσης ποιουμένου φυλακῆς· μηχανήματά τε γὰρ παντοδαπὰ καὶ κλίμακας πρὸς τὴν τειχομαχίαν παρεσκεύαζε. Βατάτζης δὲ οὐδενὶ τρόπῳ τοῖς πολιορκουμένοις βοηθεῖν δυνάμενος, πρὸς βασιλέα πέμψας, τήν τε εὔνοιαν ὡμολόγει τὴν προτέραν, καὶ ὡς οὐδὲν ἧττον ἢ πρότερον, καὶ νῦν εὔνους τέ ἐστιν αὐτῷ καὶ τῶν μάλιστα φιλούντων. Ἀνάγκη δὲ τὸν πόλεμον ὑπελθεῖν τοῦ μὴ παρὰ τοῖς ἄρχουσι Ῥωμαίων ὑποπτεύεσθαι. Οὗ δὴ ἕνεκα καὶ νῦν τὰ δοκοῦντα λυσιτελήσειν συμβουλεύειν. Κήδεσθαι γὰρ οὐ Ῥωμαίων μόνον τὰ ἔσχατα ἐκ τοῦ πολέμου πεισομένων, ἀλλὰ καὶ σοῦ διὰ τὴν φιλίαν. Ταῦτα δέ ἐστι, τὸν πόλεμον καταθέμενον, σπονδὰς ποιήσασθαι πρὸς βασιλίδα περὶ τῆς εἰρήνης. Καὶ εἴγε κατὰ γνώμην αὐτῷ εἴη, αὐτὸν πρὸς βασιλίδα ἥ τάχιστα δύναιτο ἀπελθόντα διαλέξεσθαι περὶ εἰρήνης· οἴεσθαι δὲ καὶ πείσειν ῥᾷστα, τὴν δύναμιν, ἣν ἔχεις φανερὰν ποιήσαντα. Ἐκείνους γὰρ τῶν λίαν οἰομένους ἀσθενεστάτων προθύμως ὁρμᾶσθαι πρὸς τὸν πόλεμον. Ὁ μὲν οὖν Βατάτζης τοιαῦτα ἐπρεσβεύετο. Βασιλεὺς δὲ ἀσμένως τε ἐδέξατο τοὺς λόγους, καὶ πρός τινα ἐκέλευε τόπον συνελθεῖν αὐτῷ, ἐν ᾧ περὶ τοῦ ἢ χρὴ γενέσθαι τὴν εἰρήνην διαλέξονται· μηδέν τε μελλήσας, πρὸς τὸν συντεθειμένον ἦλθε τόπον, τὸν Βατάτζην περιμένων. Ὁ δ' εἴτ' αὐτὸς ὑφ' ἑαυτοῦ, εἴθ' ἑτέρου συμβουλεύοντος πεισθεὶς, εἰς τὴν ὑστεραίαν ἀνεβάλλετο, τῆς μὲν εἰρήνης ὑμῶν τῶν βασιλέων μάλιστα βούλεσθαι εἰπὼν αἰτιώτατος γενέσθαι, δεδοικέναι δὲ μὴ οὐδεμίαν ὄνησιν ἑκατέροις παρασχόμενος ἑαυτῷ τῶν μεγίστων συμφορῶν αἰτιώτατος κατασταίη. Διὸ οὐδὲ πρὸς αὐτὸν τετολμηκέναι νῦν ἐλθεῖν. Τοὺς γὰρ ἐν Βυζαντίῳ τῶν πραγμάτων ἄρχοντας, καίτοι μηδεμίαν ὑποψίας πρόφασιν παρασχομένῳ, ἀλλὰ καὶ τὰ ἐκείνοις δοκοῦντα πάσῃ πράττοντι σπουδῇ, καὶ αὐτοῦ ἀφεστηκότι διὰ τὸ μὴ τὴν τῶν ὄντων στέρησιν καὶ φιλτάτων καὶ γυναικὸς φέρειν δύνασθαι, ὅμως οὐδὲν πεπεικέναι ὡς πιστῷ περὶ αὐτοὺς προσέχειν, ἀλλὰ πρόφασίν τινα ζητεῖν ἐξ ἧς διαφθεροῦσιν. Ὧν ἕνεκα οὐδ' ὑπὲρ τῆς εἰρήνης ὥσπερ εἶπεν εἰς Βυζάντιον δύνασθαι ἐλθεῖν. Βασιλεὺς δὲ εἰρήνης μὲν ἔφασκε καὶ μάλιστα ἐπιθυμεῖν οὐχ ἑαυτοῦ μᾶλλον, ἢ τῶν ἄλλων ὠφελείας ἕνεκα. Εἰς πρόοπτον δὲ κίνδυνον ἐμβάλλειν ἑαυτὸν οὐδένα ἀναγ-

A urbibus non modica adjuncta manu, quia se imperatori imparem cernebat, non prope, sed intervallo unius diei insequebatur, perquam sollicite cavens, ne in ejus copias incideret; sciebat enim sine clade se non evasurum. Peritheorio autem ab imperatore arcte obsesso, omnem rudentem movebat, ut cum paucis quibusdam (quia cum pluribus non licebat) clandestine in urbem ejus tutandæ causa irrumperet. Sed frustra. Nam imperator assidua obsidione instabat, et omnes aditus custodia sepiebat, machinasque omnigenas et scalas ad mœnia conscendenda comparabat. **455** Batatzes cum obsessis nulla via posset succurrere, ad imperatorem mittens, et pristinam benevolentiam profitetur, et æque ut prius studiosissimum illius fore B promittit; ad vitandam vero suspicionem apud Romanorum archontas se huic bello submittere debuisse. Quamobrem et nunc, quæ conductura judicet, suasurum. Nam ut amicum, esse sollicitum, quod bellum hoc non Romanos modo, sed ipsum quoque Cantacuzenum gravissime afflicturum sit. Esse autem hæc quæ suadeat, ut positis armis fœdus pacis cum imperatrice feriat et, si placeat, ipse quam primum ad eam proficiscatur, de pace cum eadem acturus: quam utique flexurus sit, si suam illi potentiam declararit; nam quod infirmissimum putarent, ideo adversarios ejus ad arma provolasse. Talia Batatzes per internuntium. Cujus consilium imperator libenter audivit, seque certo loco conveniri jussit, ubi de C pacis conditionibus inter se colloquerentur. Et ipse sine mora ad pactum locum venit, Batatzen exspectans. Qui sive suopte nutu, sive alterius impulsu, adventum suum in diem posterum distulit, affirmans velle se quidem pacis inter imperatores conciliandæ promum condum esse; timere tamen, ne cum neutri parti commodarit, sibimet maximarum calamitatum maximus auctor fiat. Idcirco ad ipsum in præsens veritum accedere. Nam qui Byzantii summæ rerum præsideant, quamvis nullam suspicionis occasionem danti, imo vero quæ ipsis placerent, perstudiose præstanti, et ab eo deficienti (quod fortunarum, charissimorumque liberorum, et uxoris amissionem ferre non posset) D tamen nondum fidem habere, sed ipsius interimendi prætextum quærere. Quocirca nec pro sequestre pacis, ut dixerit, Byzantium ire posse. Imperator pacis non tam suæ, quam alienæ utilitatis gratia se cupidissimum esse respondit; nihilo minus haud quemquam in discrimen prævisum adacturum, seseque nemnem, quod ad ipsum attineat, lædentem, Deo omnia inspectanti fortunas suas commissurum.

Digitized by Google Распознавание текста ABK/FR

κάσειν, βλάπτοντα δὲ μηδένα, τό γε εἰς αὐτὸν ἦκον Θεῷ τῷ πάντα ἐφορῶντι ἐπιτρέψειν τὰ κατ' αὐτόν.

456 CAPUT XXXIII.

Cantacuzenum pacis cupidissimum fuisse etiam antea, ex ejus ad patriarcham epistola, plena Christianis sententiis ostenditur. Patriarcha tabellarium in carcerem tradit. Imperatricem facti pœnitet, et ab ea inter feminas honorarias innocentiæ Cantacuzeni testimonium. Apocauchi desperatio et sollicitudo in conjuratis calefaciendis. Eorum de imperatrice juramento obliganda consilium.

Neque vero tunc tantummodo Cantacuzenus imperator ad pacificationem propensus ac facilis cernebatur, sed etiam Didymoticho ea per oratores ab imperatrice semel iterumque petita, postquam illis nihil pro æquo et bono factum audivit, ad patriarcham secreto litteras scripsit, eumque juramenti inter se et imperatricem coram eo concepti admonuit, quod ipse religiose servans, ab illa fœdifraga, sycophantis et pestilentibus quibusdam hominibus fidem habente, armis lacesseretur. Insuper in memoriam redigebat, quæ ipse patriarcha sibi cum sacramento promisisset, non passurum calumniis opprimi, sed pro ipso, aut, ut verius dicam, pro justitia nullam contentionem defugiturum. Quæ in contrarium conversa esse, cum bellum ab eo exordium ceperit, a quo id reprimi æquius fuisset. Obsecrabat item ne hæc permitteret, sed misericordia præter jus fasque peruntium captus, calamitati occurreret, et quæ multo adhuc atrociora impenderent, bello dissipando averteret : quodque illi, ut communi parenti ac magistro justitiæ a Deo electo pulcherrimum esset, inter se et imperatricem concordiam instauraret. Omnino autem nihil fore negotii, neque multa illi verba ad eam facienda, sed solo aspectu arma statim revocatum iri. Sin horum nihil ei curæ fuerit, nec studio, quo decet, pacem curaverit, ipsum quidem vereri dicere, quod tamen vel tacente se notum sit omnibus, effusum sanguinem de manu ejus a justo judice Deo requirendum. Rogabat etiam, ne timore aliquo hæc peti existimaret, quando eorum copias ipse multis partibus superaret : sed ideo, quia cum bellum hoc Romanis clades ingentes invecturum prospiciat et metuat, quam in futuro sæculo hominibus actionum suarum rationem reddendam sciat, malorum ingruentium ansam nullam, quantum maxime fieri possit, porrigere conetur. Quod autem se et suos anathemate inferis devoverit, sibi quidem horribile videri, et merito ; verumtamen nihil ad se pertinere. **457** Si enim imperatoris defuncti liberis jurejurando violato insidias molitus sit, ut ipsi dictitant, accusationem aliquid valere potuisse. Si autem ejusmodi nihil neque fecerit, neque cogitarit, et ab initio constituta servaverit, constanterque ex juramento se gesserit, cum ipsi, invidia et obtrectatorum voculis commoti, universum Romanum imperium et nunc depascentem flammam et (nisi Deus de cœlo propitius respiciens eam restinxerit) magis depasturam excitaverint, videndum ecquid non magis ipsos, utpote malorum causas et originem, quam se a Deo secludi æquum sit. Nam divinum numen

Οὐ τότε δὲ μόνον περὶ τὴν διάλυσιν εὐχερὴς Καντακουζηνὸς ὁ βασιλεὺς ὡρᾶτο, ἀλλὰ καὶ Διδυμοτείχῳ ἐνδιατρίβων ἔτι, μετὰ τὸ ἅπαξ καὶ δὶς πρὸς βασιλίδα πρεσβεύσασθαι περὶ εἰρήνης, ἐπεὶ οὐδὲν ἐπιεικὲς περὶ τοὺς πρέσβεις ἠγγέλλετο εἰργασμένον, πρὸς τὸν πατριάρχην κρύφα γράμματα διεπέμπετο περὶ εἰρήνης, ἐν οἷς τῶν τε ἐπ' αὐτοῦ γεγενημένων ὅρκων ἀνεμίμνησκε μεταξὺ βασιλίδος καὶ αὐτοῦ. Οὓς ἔφασκεν ἀκριβῶς αὐτὸς τηρῶν, ὑπὸ βασιλίδος παρασπονδούσης πολεμεῖσθαι, συκοφάνταις ἀνθρώποις καὶ διαφθορᾶσι πεπεισμένης. Ἔτι δὲ καὶ τῶν αὐτῷ γεγενημένων ὅρκων πρὸς αὐτὸν, ὡς οὐ περιόψεται ὑπὸ συκοφαντῶν αὐτὸν διαβαλλόμενον, ἀλλὰ πᾶσαν ἐνδείξεται σπουδὴν ὑπὲρ αὐτοῦ, ἢ τἀληθέστερον εἰπεῖν, ὑπὲρ αὐτοῦ δικαίου. Ἃ δὴ εἰς τοὐναντίον περιέστη, καὶ ὁ πόλεμος· ἐξ ἐκείνου ἔσχε τὴν ἀρχὴν ὑφ' οὗ κωλύεσθαι δικαιότερος μᾶλλον ἦν. Ἐδεῖτό τε μὴ τοιαῦτα γινόμενα περιορᾷν, ἀλλ' ἔλεον λαβόντα τῶν ἀπολλυμένων ἀνθρώπων παρὰ πάντα τοῦ δικαίου λόγον στῆναι πρὸς τὴν συμφοράν, καὶ τὰ πολλῷ δεινότερα ἐσόμενα κωλῦσαι καταλύσαντα τὸν πόλεμον, καὶ διαλλακτὴν γεγενημένον βασιλίδος καὶ αὐτοῦ, ὅπερ μάλιστα αὐτῷ προσήκειν, πατρὶ καινῷ καὶ διδασκάλῳ δικαιοσύνης ὑπὸ τοῦ Θεοῦ κεχειροτονημένῳ. Πάντως δὲ οὐδὲν ἔργον ἔσται, οὐδὲ πολλῶν δεήσεται λόγων πρὸς αὐτὸν, ἀλλ' ἀρκεῖ μόνον ὀφθῆναι, καὶ πᾶσα πρόφασις πολέμου περιαιρεθήσεται. Εἰ δ' ἄρα τούτων μηδενὸς μελήσει, μηδὲ τὴν προσήκουσαν περὶ τὴν εἰρήνην ἐνδείξεται σπουδὴν, αὐτὸν μὲν ὀκνεῖν εἰπεῖν, πᾶσι δὲ εἶναι καὶ σιγήσαντος καταφανὲς, ὡς ἐκ τῶν αὐτοῦ χειρῶν τὰ ἐκχυθησόμενα τῶν ἀνθρώπων αἵματα Θεὸς ὁ δίκαιος ἐκζητήσει κριτής. Ἠξίου τε μὴ διὰ δειλίαν τὰ τοιαῦτα νομίζειν δεῖσθαι· τὴν γὰρ ἐκείνου στρατιὰν πολλῷ τῷ μέτρῳ τῆς ἐκείνων ὑπερέχειν· ἀλλ' ὁρῶντα τὸν πόλεμον ὡς μεγάλων ἔσται συμφορῶν αἴτιος Ῥωμαίοις, καὶ δεδοικότα τὴν ἐκεῖθεν βεβιωμένων βάσανον ἀνθρώποις μηδεμίαν, ὡς οἷόν τε μάλιστα ἐν τοῖς προσδοκωμένοις κακοῖς αἰτίαν παρέχεσθαι πειρᾶσθαι. Ὃν δὲ κατ' αὐτοῦ ἐξεῖπε καὶ τῶν συνόντων ἀφορισμὸν, ἡγεῖσθαι μὲν δεινὸν, πῶς γὰρ οὔ ; οὐδὲν δὲ εἶναι πρὸς αὐτόν· εἰ γὰρ βασιλέως, ὥσπερ αὐτοί φασιν, ἐπεβούλευσε τοῖς παισὶν ἐπιορκήσας, εἶχεν ἄν τινα πρὸς ἐκεῖνον δύναμιν τὰ εἰρημένα· εἰ δὲ τούτων μὲν οὐδὲν οὔτε εἴργαστο, οὔτε ἐνεθυμήθη, ἐμμένοντος δὲ αὐτοῦ τοῖς ἐξ ἀρχῆς, καὶ τοὺς ὅρκους τηροῦντος βεβαίως, ὑπὸ φθόνου καὶ συκοφαντίας αὐτοὶ κεκινημένοι, τὴν πᾶσαν Ῥωμαίων ἡγεμονίαν νῦν τε ἤδη νεμομένην, καὶ ἔτι μᾶλλον δαπανήσουσαν ἡγειραν φλόγα, ἣν μὴ Θεὸς ἄ ωθεν ἐπιβλέψας ἔλεων κατα-

Digitized by Google Распознавание текста ABK/FR

σβέσῃ, σκοπητέον εἰ μὴ μᾶλλον τοῖς, ἢ ἐκείνῳ τὸ ἀπὸ Θεοῦ χωρίζεσθαι προσήκει, τοῖς αἰτίοις τῶν κακῶν γεγενημένοις. Οὐ γὰρ ἔπεσθαι τὸ θεῖον ταῖς παραλόγοις τῶν ἀρχιερέων ὁρμαῖς, Διονύσιος ὁ μέγας ἀπεφθέγξατο. Αὖθίς τε ἐδεῖτο τά τε μέχρι νῦν τετολμημένα συνιδόντα ὡς δεινά, καὶ τὰ μέλλοντα ὡς πολλῷ τῷ μέτρῳ χείρω προσδοκᾶται, ἥκειν πρὸς αὐτὴν καὶ διαλύειν τὰς συμφορὰς Ῥωμαίοις, μόνον ὄντα δυνατὸν τὰ τοιαῦτα καταπράττεσθαι. Εἰ δ' οὖν, ἀλλ' αὐτῷ μὲν ἅπαν εἴργασται τὸ δέον πρός τε Θεὸν ὁμοῦ, καὶ πρὸς τοὺς τὰ Ῥωμαίων πράγματα ἄγοντας αὐτοὺς νυνί. Αὐτοὶ δ' ἂν εἰδεῖεν εἰ χρὴ πρὸς τὴν εἰρήνην μᾶλλον, ἢ τὸν πόλεμον προθύμους παρέχειν ἑαυτούς, ἓν τοῦτο σαφέστατα πεπεισμένους, ὡς τῶν τε πραττομένων ὑπ' αὐτῶν εὐθύνας αὐτοὶ τίσουσι παρὰ Θεῷ, καὶ εἴ τι παρὰ τὸ προσῆκον, ὑπ' αὐτῶν συνελαυνόμενος εἰς ἀνάγκην, ὄρφη καὶ αὐτός. Τοιαῦτα μὲν τὰ βασιλέως γράμματα ἐδήλου. Ἐπέμπετο δὲ διὰ μοναχοῦ τινος ἀρετῆς ἀντιποιουμένου, καὶ ζήλῳ τῷ πρὸς τὰ καλὰ ἐκόντι τὸν κίνδυνον ὑπελθόντος. Πατριάρχης δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, οὐδὲν μὲν πρὸς τὰ γεγραμμένα ἀπεκρίνατο, τὸν μοναχὸν δὲ ἐκέλευε δεσμωτηρίῳ κατακλείειν, ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἑαλωκότων· ὥσπερ ἔργοις τὴν ἀπολογίαν πεποιημένος ὅτι μᾶλλον τὸν πόλεμον αἱροῖτο τῆς εἰρήνης. Ἡ βασιλὶς δὲ ἐκ τῶν πραττομένων συνορῶσα τόν τε πόλεμον, ὡς πολλῶν ἔσται κακῶν αἰτίως Ῥωμαίοις, τόν τε βασιλέα Καντακουζηνὸν οὐδὲν παρὰ τὸν τοῦ πολέμου χρόνον εἰργασμένον ἐξ ὧν ἄν τις οἰήσαιτο ἀληθῆ τὰ εἰρημένα εἶναι κατ' αὐτοῦ, ἐπλήττετό τε τὴν ψυχὴν δεινῶς, καὶ μετέμελεν αὐτῇ τῆς πρὸς τὸν πόλεμον ὁρμῆς. Ὅθεν καί ποτε, τῆς γυναικωνίτιδος συνούσης μόνης, Δοκεῖ μοι, ἔφασκεν, ἀπάτην ἠπατῆσθαι οὐ μετρίαν, τὰ οὐκ ὄντα πεισθεῖσαν περὶ Καντακουζηνοῦ. Ἐξετάζουσαν γὰρ ὅσα ἐκεῖνος παρὰ πάντα εἴργαστο τὸν τοῦ πολέμου χρόνον μηδὲν εὑρίσκειν ᾧ πεισθεῖη, ὡς ἐπεβούλευε παισὶ τοῖς αὐτῆς ἐκεῖνος. Αὐτὴν δὲ τὴν ἐκ τῶν πραγμάτων ἀπόδειξιν ἐναργεστάτην οὖσαν παριδοῦσαν, λόγοις μηδὲν ἔχουσιν ὑγιὲς προσέχειν, ἐξ ὧν οὐχ ἑαυτὴν μόνον, ἀλλὰ καὶ τὰ Ῥωμαίων βλάψειε πράγματα οὐ μετρίᾳ τινί. Ἐρομένων δὲ τῶν γυναικῶν, καὶ ποία ἂν τις ἐπινοηθείη θεραπεία τῶν κακῶν βασιλέως; ἐκείνου ἤδη γεγονότος, Ῥᾳδία, ἔφασκεν ἡ βασιλίς. Καντακουζηνὸν γὰρ καὶ βασιλέως ἔτι περιόντος, ἐσθῆτα μὲν οὐ περιβεβλῆσθαι βασιλικήν, δύναμιν δὲ ἔχειν βασιλέως. Τί οὖν θαυμαστὸν εἰ ἃ ὑπὸ τὴν ἰδιωτικὴν ἐσθῆτα ἔπραττε, τὰ ἴσα νῦν καὶ τὴν βασιλικὴν ἔχων πράττοι; Εὐνοίας

μενος. Τὸ δοκεῖν μὲν, ὅτι ψήφῳ τῆς συγκλήτου βουλῆς καὶ βασιλίδος, καὶ μάλιστα πατριάρχου τὰς τιμωρίας οἷς ἂν ἐθελήσειεν ἐπάγων. Τῇ δ' ἀληθείᾳ, τὰ δοκοῦντα ἑαυτῷ ποιῶν. Τὴν δὲ βασιλέως μητέρα Καντακουζηνοῦ, καὶ πρότερον ἐν δεσμωτηρίῳ κατακεκλεισμένην, μᾶλλον ἐκάκουν ἐξεπίτηδες, καὶ οὐδὲν εἶδος λύπης ἀπέλιπον ἐπιδεδειγμένοι πρὸς ἐκείνην. Φύλακάς τε γὰρ ἐπέστησαν ἀνθρώπους ἀναιδεῖς καὶ τὸν τρόπον βαρβάρους, καὶ πᾶσαν ἐπιδείκνυσθαι προσέταττον πικρίαν πρὸς αὐτήν. Καὶ πάντα ποιεῖν ἐφ' ὕβρει καὶ καταφρονήσει. Τά τε ἀναγκαῖα πρὸς τροφὴν, καί τοι καὶ πρότερον ἐνδεῶς παρέχοντες, ἔτι μᾶλλον γλίσχρως ἐχορήγουν. Εἰ δέ ποτε ἔδει καὶ ζωμόν τινα παρέχειν, φιλανθρωπευσαμένους δῆθεν, εἰδότες ὡς πολυτελείᾳ ἐντραφεὶη καὶ τρυφῇ, καὶ οὐδενὸς ἂν ἄψαιτο μεμολυσμένου τὰς χεῖρας ἀνίπτους καθιέντες, διηρεύνων δῆθεν τὸν ζωμὸν, εἰ μή τοι ἔνδον κρύπτοιτο γράμματα παρὰ τοῦ υἱοῦ ἀπεσταλμένα, καί τοί γε αὐτοὶ τῶν προσαγομένων ὄντες μάγειροι. Ἃ ὁρῶσα, μᾶλλον ἥρείτο λιμῷ βιαίως ἀποθνήσκειν, ἢ τοιούτων γενέσθαι. Ἐν χειμῶνί τε σφοδροτάτῳ καὶ κρυμώδει οὐδεμίαν, οὔτ' ἐκ τῶν ἄλλων ἐπιτηδείων, οὔτε ἐκ πυρὸς παρείχοντο παραμυθίαν. Καί τοι βασιλίδος μηδεμιᾶς κατὰ τὸ σῶμα θεραπείας κελευούσης ἀποστερεῖν. Παρὰ πᾶσάν τε ἡμέραν οὐκ ἐνέλιπον οἱ φύλακες τὸν υἱὸν ἀσέμνως ὑβρίζειν ἐπ' αὐτῆς· καὶ ὡς ἀγγελίας δῆθεν πεπυσμένοι ἀπήγγελλον, ποτὲ μὲν ὡς συλληφθείη ὁ υἱὸς, καὶ ἀτίμως ἄγοιτο περικείμενος κλοιά· ἄλλοτε δὲ ὡς μάχης γενομένης, ἐπ' αὐτῆς ἀποκτανθείη, καὶ ἄγοιτο ἡ κεφαλὴ, ἣν παραμυθίας ἕνεκα καὶ πρὸς αὐτὴν ἄγειν ὑπεσχνοῦντο. Καὶ ἕτερα ὠμότερα καὶ ἀπανθρωπότερα πολλῷ, ἐξ ὧν ἐκείνη τὴν καρδίαν ὑπερζέσασα καὶ κατατακεῖσα, πυρετοῖς ἐλήφθη σφοδροτάτοις. Αἱ δὲ περὶ αὐτὴν γυναῖκες, πολλὰ τῶν ὠμοτάτων ἐκείνων ἀρχόντων δεηθεῖσαι, ὥστ' ἐπιτρέψαι ἰατρὸν πρὸς αὐτὴν εἰσάγειν καὶ προνοίας ἀξιῶσαι μικρᾶς τινὸς, οὐκ ἠδυνήθησαν πρὸς ἔλεον ἐκκαλέσασθαι τὰ σπλάγχνα τῶν ἀγνωμόνων ἐκείνων, καὶ σπλάγχνα ἐσθίειν ἀνθρώπων εἰθισμένων ὁσημέραι. Ἀλλ' ἀπεῖπον αὐτῇ πᾶσαν θεραπείαν, ὥσπερ αὐτοχειρίᾳ κατασφάττοντες. Ἡ βασιλὶς καὶ ὑπό του πυθομένη ὅτι νοσοίη ἡ τοῦ βασιλέως μήτηρ, καὶ ὡς οὐκ ἐπιτραπείη παρὰ τῶν ἀρχόντων καὶ τοῦ διδασκάλου τῆς οἰκουμένης καὶ μαθητοῦ τοῦ πρώου καὶ φιλανθρώπου ἰατρὸς πρὸς αὐτὴν εἰσελθεῖν, ὠνείδισε μὲν αὐτοὺς πικρῶς τὴν ὠμότητα καὶ τὴν ἀναλγησίαν· τὸν δὲ ἰατρὸν ἐκέλευεν ὃς αὐτῇ πρὸς τὰς νόσους συνήθης ἦν, πρὸς ἐκείνην τε ἐλθεῖν, καὶ προνοίας ἀξιῶσαι τῆς δεούσης. Πατριάρχης δὲ καὶ ἡ λοιπὴ τῶν ἀγαθῶν ἐκείνων ἀνδρῶν φατρία τὸν ἰατρὸν παραλαβόντες, ὅρκους ἀπῄτουν, ὥστε ἐλθόντα πρὸς ἐκείνην, μηδὲν περὶ τῆς νόσου διατάξασθαι. Τοῦ δὲ καὶ τὴν ἐπιδημίαν ἀπαγορεύοντος, εἰ μέλλοι μηδὲν ἐκ τῆς

Jacobi Pontani notæ.

(89) Pulchra amplificatio filii in causa matris. Et miratur satis argute, quomodo, qui quotidie humana viscera comederent, tam duris potuerint esse visceribus: siquidem omni sensu humanitatis carerent, et in figura humana belluarum sævitiem imitarentur.

Digitized by Google Распознавание текста ABK/FR

τέχνης ὠφελεῖν, ἠνάγκαζον αὐτοὶ τὰ κελευόμενα ποιεῖν, ἵν' αὐτοῖς τε ἐξ ἀρχῆς ὠμότης διασώζοιτο, καὶ μηδὲ βασιλίδος καταφρονεῖν δοκοῖεν τὰ κεκελευσμένα μὴ ποιοῦντες· εἰ δ' ἰσχυρογνωμονοίη καὶ πρὸς ὠφέλειάν τε τῆς νοσούσης λέγοι, μὴ μέμφεσθαι αὐτοῖς ὡς αὐτοῦ τῶν ἐσομένων κακῶν αἰτίου ἑαυτῷ παρεσομένου. Δῆλος γὰρ ἦδη εἶναι ἠρημένος τὰ Καντακουζηνοῦ. Ὁ δὲ δείσας τὴν ἀπειλήν· οὐδὲν γὰρ ἦν τὸ μέσον τοῦ τε ὑποπτευθῆναι καὶ τοῦ πάσχειν τὰ δεινότατα· πρότερον ἐπαγγειλάμενος μηδὲν τῶν γινομένων μηνύσειν βασιλίδι, ἔπειτα πρὸς βασιλέως εἰσῆει τὴν μητέρα· μηδὲν δὲ δυνάμενος διὰ τὸ ἐκ τῶν ἀρχόντων δέος φθέγγεσθαι, τοὺς ἑπομένους φύλακας ὡς ἐνῆν διαλαθών, νεύματι ἐσήμαινε τὴν ἐν ἀγκῶνι φλέβα τέμνειν. Ἔπειτα ἐξῆει μηδὲν τὸ σύνολον φθεγξάμενος· αἱ γυναῖκες δὲ αὖθις τῶν ἀρχόντων δεηθεῖσαι τὸν τέμνειν φλέβας ἐπιστάμενον εἰσάγειν οὐ συνεχωροῦντο. Ὅθεν ὑπὸ τοῦ πυρετοῦ κατεργασθεῖσα καὶ μηδεμιᾶς ὅλως προνοίας ἀξιωθεῖσα, ἐτελεύτησεν ἕκτῃ μηνὸς Ἰανουαρίου δεκάτης οὔσης ἰνδικτιῶνος τοῦ ,ϛων' ἔτους· τελευτώσης δὲ ἦδη, ἡ τοῦ βασιλέως Ἀνδρονίκου ἀδελφὴ ἡ πρότερον μὲν Μιχαὴλ τῷ Μυσῶν συνῴκει βασιλεῖ· ἔπειτα ἐκείνου τελευτήσαντος πρὸς τὸν ἀδελφὸν ἐπανελθοῦσα, καὶ τὴν ἐν βασιλείοις διατριβὴν καταλιποῦσα μονάζειν εἵλετο, καὶ Θεοδοσία ἐκ Θεοδώρας μετωνομάσθη, πυθομένη περὶ τῆς βασιλέως μητρὸς ὅτι τελευτᾷ καὶ ὥσπερ ἀμειβομένη τῶν ἐκείνης πρότερον ὑπηργμένων ἀγαθῶν, πολλὴν γὰρ εἰς ἐκείνην ἐπεδείκνυτο τὴν εὔνοιαν, ἀφίκετό τε εἰς τὸ δεσμωτήριον πρὸς αὐτήν, καὶ παρέμεινεν ἄχρι τελευτῆς. Ἔπειτα τὸν νεκρὸν ἐξαγαγοῦσα παρὰ τὴν μονὴν τῆς πρὸς μητρὸς ἐκείνης μάμμης ἀδελφῆς τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέως Μιχαὴλ τῆς Μάρθας προσαγορευομένην ἐν τοῖς πατρῴοις κατέθηκε τάφοις. Ἔπειτα ἐκεῖθεν πρὸς βασιλίδα ἀναστρέψασα, ἀπήγγειλε τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν τῶν ἀρχόντων, ἣν περὶ ἐκείνην ἐνεδείξαντο ἄχρι τελευτῆς. Ἦδ' ὅρκοις διεβεβαιοῦτο, μηδὲν εἰδέναι τῶν γεγενημένων, πλὴν ὅτι εἴργεσθαι προσετέτακτο παρ' αὐτῆς· κατεγίνωσκέ τε καὶ αὐτὴ πολλὴν ἐκείνων τὴν ἀπήνειαν. Μετὰ δὲ τὴν ἐκείνης τελευτὴν, τὰ χρήματα ἐκείνης τε καὶ τοῦ υἱοῦ διηρεύνατο, καὶ πολλὰ ἐκείνων ἐξευρίσκετο, μάλιστα δ' ὅτι καὶ πατριάρχης κατὰ τῶν ἐχόντων ἐξεῖπεν ἀφορισμὸν, ὃν εἶχεν ὥσπερ τινὰ δορυφόρον ταῖς παρανόμοις ἐπιθυμίαις· πάσαις ὀξύτατα ὑπηρετοῦντα· ὃν οἱ πολλοὶ τῶν ἐχόντων δείσαντες, φέροντες τὰ φυλαττόμενα παρεῖχον· οἱ δὲ καὶ ὡς παρὰ δίκην γινομένου καταφρονοῦντες, τέως μὲν κατεῖχον· χρόνῳ δὲ ὕστερον ὑπὸ τῶν συνειδότων μηνυόμενα πάντα ἀναλώθη. Οὕτω δὲ ἦσαν πλεῖστα τὰ ἐξευρισκόμενα,

A jam manifestum fore. Medicus comminatione territus (nihil quippe inter suspectum esse et acerbissima perpeti intererat) cum spopondisset, nihil horum imperatrici indicaturum, ad Cantacuzeni matrem introivit. Cumque propter formidinem archontum loqui non auderet, sequentes custodes, ut licebat, fallens e brachio mittendum sanguinem gestu significabat. Deinde mutus plane abibat. Mulieres iterum archontibus supplices, phlebotomum introducere non permittebantur. Sic omni prorsus curatione negata, et febri consumpta, octavo Idus Januarias, indictione decima, anno ab orbe condito sexies millesimo octingentesimo quinquagesimo hanc lucem deserit. Imperatoris Andronici soror, quondam Michaeli Mœsorum regi nupta, et B marito mortuo ad fratrem reversa, vitaque aulica relicta et monasticam complexa, ac Theodosia ex Theodora dicta (90), ubi eam animam agere intellexit, velut remunerans ejus in se merita (sui enim cupidissimam senserat) in carcerem venit, et usque ad ultimum spiritum ab ea non recessit, quam elatam in monasterio aviæ ipsius defunctæ matronæ, sororis inquam Michaelis primi Palæologi, Marthæ appellato, in paterno monumento composuit. Deinde Augustam adiens, erudelitatem inhumanam archontum nuntiavit, qua in eam usque ad mortem sæviissent. Illa Deum hominesque testari, nihil horum se scire; 470 tantummodo jussisse in carcerem dari, et eorum barbaram feritatem ipsa quoque exsecrari. Secundum C obitum ejus, filii pecunia indagata et ingens inventa est. Quia enim patriarcha adversus eam servantes anathematismum vibraverat (quem velut ministrum ac satellitem quemdam sceleratis cupiditatibus suis omnibus promptissime inservientem habebat), eum multi metuentes, custoditam a se pecuniam afferebant. Alii hoc fulmen velut injustum despicientes, interim retinebant, donec a consciis prodita penitusque distracta et distributa est. Tam autem innumerabilis fuit, ut quanquam multi eam inter se partirentur, et pars Apocaucho magno duci obtingeret, pars Gabalæ protosebasto (nam et is Apocaucho erat in republica regenda socius, et imperatricis aulæ præfectus, sive D curator), pars Cinnamo, comiti sacrarum largitionum, multisque insuper eunuchis, qui simul dominabantur, nihilominus ex reliquis impensam in bellum contra Cantacuzenum tolerarent. Cæterum imperatrix multum ac sæpe cum patriarcha reliquisque imperii gubernatoribus de pace agens, ipsis jam rerum potentibus, et a mentione pacis refugientibus, nihil æquum impetrabat. Tamen ut a justitia non recederet, et imperatrici ac sibimet

Jacobi Pontani notæ.

(90) Quod cum viri, tum feminæ ad religiosum vitæ genus, seu statum monasticum transeuntes, nomen mutarent, inde factum credo, quod per monachismi professionem se velut iterum baptizari putarent, et esse secundum quemdam baptismum: in baptismo autem nomen solet imponi, et quidem novum, si quis adultus, ac nondum Christianus aliud habuisset, ut omnes habent. Cujusdam igitur regenerationis signum nominis novitas fuit.

Digitized by Google Распознавание текста ABBYY FR

consultum velle existimarentur, exploratores ad Cantacuzenum mittunt, eosque reversos excipiunt, ad Augustam introducunt, cum alia multa in eum mentientes, tum quod palam inter suos ac magnifice jurasset, si vicisset, illam cum filio imperatore extra omne dedecus aliud occisurum tantummodo : patriarcham cum consortibus, qui hoc bellum contra se conflassent, fustibus prius ignominiose coopertos, contumeliosa et atrocissima morte interempturum. Qui narrationi huic ex composito statim præsentes, inde velamen maximum arripiebant, cur non possent in tanto discrimine sponte in ipsos adeo insanienti se subdere, et per pacem tradere. Statim omni conatu ac libentia illi armis occurrendum, et si quis de pace verbum ederet, similiter in hostis loco habendum edixerunt. Sed Cantacuzeno cum exercitu in Occidentem profecto, Apocauchus magnus dux totius imperii rector, ex continenti se posse resistere desperabat : quod ut tali adversario se minime parem, ita nullum quoque operæ pretium facturum sciret. Copiis autem Byzantinis et Threiciis non mediocribus **471** cum Andronicum Palæologum generum, et Thomam Palæologum duces dedisset, mandavit ut illum insequentes incommodarent, si quid possent, cavente magis, ne quid ipsi detrimenti acciperent. Ipse vero ne sedere videretur summus rerum princeps, sexaginta navium classem, velut e mari pugnaturus adornavit, in quas de pecunia Cantacuzeni Byzantii occultata sumptum fecit : tametsi illum omnes, ut valde vesanum reprehenderent, qui terrestri exercitui navalem opponere institueret, tantamque pecuniam nullo fructu insumeret. Aliter porro, quam quis ducta ex rebus conjectura putavisset, evenit; plurimum enim rei Cantacuzenicæ obfuit, Thessalonicam non dedita ab se opera, sed sorte quadam delatus, de quo postea disseretur.

ὥστε καί τοι πολλῶν αὐτὰ πρότερον συμμεριζομένων, καὶ τὰ μὲν Ἀποκαύχου τοῦ μεγάλου δουκὸς παρακατέχοντος, ἕτερα δὲ Γαβαλᾶ τοῦ πρωτοσεβαστοῦ, κἀκεῖνος γὰρ συνάρχων τῷ μεγάλῳ δουκὶ τὰ κοινὰ διῴκει, καὶ μεσάζων βασιλίδι ἦν, καὶ Κιννάμου τοῦ μυστικοῦ τῶν βασιλικῶν χρημάτων τότε ταμίου ὄντος, καὶ πολλῶν ἑτέρων εὐνούχων, οἳ παρεδυνάστευον, ὅμως ἐκ τῶν ὑπολειπομένων ἀναλίσκοντες, τὸν πρὸς βασιλέα πόλεμον συνεκρότουν· οὕτως ἦσαν ἄπειρα τῷ πλήθει. Ἡ βασιλὶς δὲ πολλὰ πολλάκις περὶ εἰρήνης πρὸς πατριάρχην καὶ τοὺς ἄλλους τῶν πραγμάτων ἄρχοντας διαλεχθεῖσα, οὐδὲν ἀνῦσαι τῶν δεόντων ἠδυνήθη, ἐκείνων ἤδη κατὰ κράτος πάντων ἐσχηκότων τὴν ἀρχὴν, καὶ οὐδ' ἄκροις ὠσὶ τὴν εἰρήνην παραδεχομένων. Τοῦ δοκεῖν δὲ δίκαιά τε ὁμοῦ καὶ βασιλίδι καὶ σφίσιν αὐτοῖς συμφέροντα αἱρεῖσθαι, κατασκόπους δῆθεν προπέμποντες πρὸς Καντακουζηνὸν τὸν βασιλέα, ἔπειτα ὑποδεχόμενοι ἐπανιόντας, εἰσῆγον πρὸς βασιλίδα· ἄλλα τε πολλὰ ἐκείνου καταψευδομένους, καὶ ὡς ἀναφανδὸν πρὸς τοὺς συνόντας μεγαληγοροίη, ὡς εἰ περιγένοιτο ἐν τῷ πολέμῳ, βασιλίδα μὲν καὶ βασιλέα τὸν υἱὸν ἀποκτενεῖ μόνον ἀτιμάσας μηδέν· πατριάρχῃ δὲ καὶ τοῖς ἄλλοις οἳ τὸν παρόντα πόλεμον ἦγειραν αὐτῷ, μετὰ πολλὰς αἰκίας, ἐφύβριστον καὶ βιαιότατον θάνατον ἐπάξει. Οἳ καὶ τοῖς λεγομένοις ἐκ συνθήματος εὐθὺς παρόντες, μεγίστην πρόφασιν ἐποιοῦντο τὸ μὴ δύνασθαι πρὸς κίνδυνον τοσοῦτον σφᾶς αὐτοὺς ὑπάγειν ἐκόντι τῷ κατ' ἐκείνων οὕτω μαινομένῳ διὰ τῆς δοκούσης εἰρήνης ἐγχειρίζοντες, αὐτίκα τε ἐψηφίζοντο τὸ δεῖν ἐκείνῳ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πολεμεῖν. Καὶ εἴ τις τι περὶ τῆς πρὸς ἐκεῖνον εἰρήνης φθέγξαιτο, πολέμιον ἡγεῖσθαι καὶ αὐτόν. Ἐπεὶ δὲ βασιλεύς τε ὁ Καντακουζηνὸς ἐξεστράτευσε πρὸς τὴν ἑσπέραν, καὶ Ἀπόκαυχος ὁ μέγας δοὺξ τὴν πᾶσαν ἦγε Ῥωμαίων ἡγεμονίαν, τὸ μὲν ἐκ τῆς ἠπείρου καὶ αὐτὸς ἀντιστρατεύεσθαι ἐκείνῳ ἀπεγίνωσκεν· ἤδει γὰρ λόγου ἄξιον διαπραξόμενος οὐδέν, οὐδὲ πρὸς τοιοῦτον ἀνταγωνιστὴν ἀξιόχρεως ἐσόμενος αὐτός. Τῇ δὲ ἐκ Βυζαντίου καὶ Θρᾴκης στρατιᾷ οὐκ ὀλίγῃ οὔσῃ Ἀνδρόνικόν τε Παλαιολόγον τὸν γαμβρὸν, καὶ Θωμᾶν τὸν Παλαιολόγον ἐπιστήσας στρατηγοὺς, ἐκέλευεν ἐκείνῳ ἑπομένους βλάπτειν, εἴ τι δύναιντο, φυλαττομένους μᾶλλον μὴ κακῶς αὐτοὶ παθεῖν. Αὐτὸς δὲ τοῦ μὴ δοκεῖν ἀργὸς καθῆσθαι τῶν ὅλων ἔχων τὴν ἀρχὴν, ἑβδομήκοντα νεῶν στόλον ἐξηρτύετο ὡς ἐκ θαλάσσης πολεμήσων. Δαπάνῃ δὲ ἦν αὐτῷ πρὸς τὰς τριήρεις τὰ βασιλέως χρήματα, ἃ ἐκρύπτετο ἐν Βυζαντίῳ· καί τοί γε αὐτοῦ πάντες πολλὴν κατεγίνωσκον ἀβελτηρίαν εἰ πρὸς ἠπειρῶτιν στρατιὰν ἐκ θαλάττης αὐτὸς ἀντιτάττεσθαι παρασκευάζοιτο, καὶ χρήματα τοσαῦτα οὐκ εἰς δέον ἀναλίσκοι. Τὸ δ' ἀπέβαινεν ἐναντίως, ἢ ἄν τις ἐκ τῶν πραγμάτων στοχαζόμενος ᾐθη. Πλεῖστα γὰρ ἔβλαψε τὰ Καντακουζηνοῦ τοῦ βασιλέως πράγματα, εἰς Θεσσαλονίκην οὐκ ἐκ προνοίας ἰδίας, ἀλλὰ κατὰ τύχην ἀφιγμένος. Ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται.

CAPUT XXXVII.

Contra Syrgen vias obsidentem excogitata fraus. Polystylos munitur. Missi ad protostratorem, litteras referunt, prohibentes nunc venire, nisi Chrele adjuncto. Quid Chreles invitatus responderit; unde in angustias conjicitur imperator. Pheris exploratores mittuntur, captique humaniter dimittuntur. Litteris se purgat Cantacuzenus. Rescribitur a Syrge, et sociis; fides ei denegatur. Respondetur, et de vi juramenti per exempla disseritur, iterumque innocentia juramento confirmatur.

Cantacuzenus imperator, ubi Peritheorium adducere in potestatem nequivit, et Thessalonicam sibi necessario festinandum censuit, de adventu suo pro-

Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ Περιθεώριον ἑλεῖν οὐκ ἠδυνήθη, ἀναγκαῖον δὴ ἡγεῖτο πρὸς Θεσσαλονίκην τὴν ταχίστην ἀφικέσθαι, δεῖν ἔγνω πρό-

Digitized by Google Распознавание текста ABBYY FR

τερον πρωτοστάτορι μηνύειν τὴν ἐπιδημίαν. Εἰδὼς δὲ ὡς Συργὴς στρατιώτος πέμψας φυλάττει τὰς ὁδοὺς τοῦ μὴ λαθόντα τινὰ, ἀγγελίας ἔκ τινων αὐτῷ κομίζει, τοιοῦτόν τι πρὸς τὴν ἐκείνου πονηρίαν ἀντιτεχνᾶται τῶν στρατιωτῶν δυσὶ, τὸν μὲν, ἐκέλευεν ἀποδυθέντα καὶ περιαγκωνίσαντα ἑαυτὸν, ἄγεσθαι δεσμώτην· τὸν ἕτερον δὲ ἄγειν. Εἰ δὲ οἱ τὰς ὁδοὺς τηροῦντες περιτύχοιεν, τὸν ἄγοντα φάσκειν ὡς τὸν ἵππον ἀπολωλεκὼς, τὸν μὲν, οὐχ εὑροι· τὸν χαλινὸν δὲ, παρὰ τάνδρὶ τουτωὶ· ἀπαιτοῦντα δὲ καὶ τὸν ἵππον μὴ ἀποδιδόναι· ἀλλὰ τὸν χαλινὸν μόνον εὑρηκέναι παρὰ τὴν ὁδὸν διϊσχυρίζεσθαι. Οὗ δὴ χάριν δήσαντε, ἄγειν πρὸς τὸν βασιλέως θεῖον, ὅπως παρ' ἐκείνου βασανιζόμενος ἀποδοίη καὶ τὸν ἵππον. Ἐκέλευε δὲ καὶ τὸν δεσμώτην τῷ ἄγοντι τὰ ἴσα συνομολογεῖν· τοῦτον δὲ τὸν τρόπον παρελθόντας τοὺς φυλάσσοντας, ἔπειτα ἕκαστον οἷ προσετέτακτο ἀποχωρεῖν. Οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα, καὶ διαλαθόντες τοὺς ἐπὶ τὴν φυλακὴν τεταγμένους τῶν ὁδῶν, ἦκον πρὸς πρωτοστράτορα ἐν Θεσσαλονίκῃ, βασιλεὺς δὲ ὡς μάλιστα ἐνῆν, τὸ νῦν μὲν Πολύστυλον, ἐν τοῖς Ἑλληνικοῖς δὲ χρόνοις Ἄβδηραν ὠνομασμένον πολίχνιον παράλιον ὄν, ὑπ' αὐτοῦ τε ᾠκοδομημένον πρότερον, καὶ τότε διὰ τὴν ἀρχαίαν εὔνοιαν οὐκ ἀποστὰν, πολλῆς προνοίας ἀξιώσας, σίτον τε αὐτοῖς ἐπιχορηγήσας, καὶ στρατιώτας πρὸς ἐπικουρίαν, αὐτὸς τὴν ἄλλην ἔχων στρατιὰν, τὸ παρὰ τὴν Χριστούπολιν τείχισμα διελθὼν, ἐστρατοπέδευσεν ἐν Φιλίπποις. Ἔπειτα ὡς ἐκεῖθεν ἀναστὰς εἵχετο ὁδοῦ, συντυγχάνει τῷ τε παρ' αὐτοῦ πρὸς πρωτοστράτορα ἀπεσταλμένῳ πρότερον, καὶ ἑτέρῳ τῶν ἐκείνου οἰκετῶν, οἳ γράμματα ἐκ πρωτοστράτορος παρεῖχον, ἃ ἐμήνυε μὴ νῦν ἥκειν παρ' αὐτὸν ὡς Θεσσαλονίκην οὐ δυνάμενον παραδιδόναι· ἀλλὰ Κρέλην πρότερον καὶ τὴν ἐκείνου δύναμιν προσεταιρίζεσθαι· ἔπειτα ἥκειν πρὸς αὐτόν. Βασιλεῖ δὲ εὐθὺς μὲν ὡς οὐ κατὰ γνώμην τὰ πράγματα ἀπήντα, δεινὰ εἰσῄει ὑποπτεύειν, ὅμως δὲ ἀναγκαίως προσῳ χωρεῖν ἔκρινε μᾶλλον δεῖν. Καὶ περὶ τὴν Δράμαν ἐλθὼν, ἐστρατοπέδευσε πρός τινα κώμην Κωδωνιανὴν προσαγορευομένην. Πρωτοστράτωρ δὲ καὶ ἄλλως μὲν πρὸς τοὺς ἐν Θεσσαλονίκῃ Ζηλωτὰς ὑπέφριττε, καὶ μαλακώτερον ἥπτετο τῶν πραγμάτων ἀμφίβολος ὤν· καὶ οὐκ ἐτόλμα καθαρῶς πρὸς τοὺς ἀγῶνας ἀποδύεσθαι· τότε δὲ μάλιστα ἐκ Βυζαντίου πέμπουσα ἐθορυβήθη ἡ γυνὴ, φάσκουσα, ὡς τοῖς ἐνταῦθα ἄρχουσιν ὅτι Καντακουζηνῷ διαλέγοιτο πεπυσμένοις, δεινότατα αὐτῇ τε καὶ παισὶ καὶ οἰκείοις ἀπειληθείη, εἰ μὴ

A tostratorem prius monenoum duxit. Cum autem comperisset, Syrgen missis militibus vias obsidere, ne quis ad eum fallens nuntios perferret, contra nequitiam illius artificium hujuscemodi excogitavit. Duobus militibus imperavit, uni quidem, ut vestibus exutus et manibus post terga revinctus duceretur, alteri vero ut duceret. Si qui vias insidebant occurrerent, affirmare ducentem, se equo perdito illum quidem non invenire, frenum autem apud hunc virum reperisse, qui equum sibi reposcenti non reddat, sed frenum duntaxat in via sibi repertum affirmet. Quam ob causam se illum vinctum ad imperatoris affinem (91) ducere, ut ab ipso quæstioni subjectus, etiam equum restituat : quod et vinctum cum ductore affirmare ju-

B bebat. Hoc autem modo præteritis custodiis, utrumque quo mandatum erat abire. Illi mandatis morigeri, deceptis itineris custodibus ad protostratorem Thessalonicam veniunt. **472** Imperator autem, quam maxime poterat, hodie quidem Polystylon, temporibus Græcorum Abderam nominatam, oppidulum maritimum a se prius instauratum (quod tunc pro veteri in suum instauratorem benevolentia in fide manserat) multa cura dignatus, eique annona ad victum, et militibus ad præsidium suppeditatis, ipse cum reliquo exercitu, munitionem apud Christopolim transiens, apud Philippos castra posuit. Inde movens, in eos incidit, quos prius ad protostratorem miserat, et alium quemdam ejus famulum, litteras ab eodem

C afferentes, in quibus erat, ne nunc veniret, quod Thessalonicam transdere non posset : sed prius Chrelem cum ejus copiis sibi adjungeret, atque ita demum adveniret. Imperator quoniam res adversus voluntatem ibat, statim graviter suspicatus, nihilominus omnino procedendum judicavit. Cumque prope Dramam esset, apud vicum Codonianam appellatum castra metatus est. Protostrator et alioqui propter Zelotas, qui erant Thessalonicæ (92), nonnihil horrebat, incertusque animi agebat languidius : nec simpliciter, ut generosus athleta in theatro vestem ad luctamen exuere (93) audebat : et tunc acceptis ab uxore Byzantio litteris, turbabatur maxime, in quibus erat scriptum,

D principes ibidem, quod audissent eum cum Cantacuzeno agere, sibi liberis ac domesticis immania denuntiasse, nisi ipse a malo facinore temperarit. Quare orabat mulier, caveret ne ejus causa malis implicarentur gravissimis. Ideo se quoque ei obviam non venisse, et Chrelis societatem præ-

Jacobi Pontani notæ.

(91) Θεῖος imperatoris protostrator proprie non fuit. Quare istuc vocabulum hoc loco potius *affinem* reddendum fuit. Protostratoris enim ejus filiam Manuel Asanes frater uxoris Cantacuzeni habebat uxorem.

(92) Hi quod Palæologo contra Cantacuzenum studerent, ita nominantur. Eorum facinora mala deinceps exponentur. Genus hominum sine re, et audacissimum, seditiosissimum, perditissimum.

(93) In certaminibus Olympicis athletæ prius ferebant subligacula, quod testantur Thucydides lib. III; August., *Civit.* lib. XIV, cap. 17; postea a Lacedæmonils institutum est, ut nudatis oleoque perfusis corporibus decertarent, nominaturque primus hujus rei auctor, Hacantus Lacedæmonius ab aliis Neanthus. Hinc ipsa loca ludorum gymnasia, et ipsi ludi appellati sunt gymnici. Et verbum ἀποδύεσθαι, quod est *vestes exuere*, ad hujusmodi certaminum præparationem, exercitationemque accommodatur. Ante id tempus verecundiæ causa se nudare non audebant. Homerus quoque in ludis semper succinctos heroas induci.

Digitized by Google Распознавание текста ABK/FR

texuisse, ut interea loci quod in rem suam potissimum fiet, considerare possit. Dum Codonianæ moraretur imperator, Chrelem ad se, qui ex pacto jam adesset, accersivit. Is et ante se illi fuisse et modo esse amicissimum confitebatur, timere autem ne Romani, quibuscum bellum haberet, facultates suas in locis nullo prorsus munimine tutis dispersas diripiant. Urbes enim, quibus adhuc principi Triballorum parens imperasset, demortuo imperatori, quod optime noverat, transdidisse, et fortunas suas in suburbano Melenici habere. Quare, nisi Melenicum ipse subegerit, accedere ad eum non posse : sic enim et se confisum de suis nihil amissurum, alacriter arma juncturum. Imperatori illico visa omnia impeditissima. Nam et ex Macedonia reverti haud sibi decorum, et pergere porro in occidentem, Chrelæ ac protostratoris societate destitutum, parum frugiferum sentiebat. **473** Libuit igitur experiri, num Melenicum ad deditionem voluntariam posset adducere ; quam armis tum ob loci situm, tum ob munitionem validissimam cogere nequibat. Itaque clandestinis internuntiis cum amicis, quos ibi habebat, de proditione agit. At Pheris Syrges et metropolitanus urbis, qui æquali in imperatorem fervebat odio, et Monomachus Thessaliæ prætor, qui ad Syrgen venerat, ad exercitum exploratores mittunt, per quos et quantus esset, et quid actitaret, discerent. Quos ille captos, circum exercitum duci, et moras ad contemplandum dari jussit; litteras insuper tradidit, quas iis redderent, quorum missu venerant. His litteris, quam Byzantii impie et malevole secum esset actum, enarrans sese tuebatur : non imperator is liberis insidiantem, nec imperium concupiscentem, sed necessitate sic urgente et spe potius belli componendi communiaque commoda amplificandi ad hæc aggressum. Addebat etiam juramentum, nihil se decipiendi causa dixisse. Lecta epistola illi rescribunt, non aliunde magis, quam unde is merito sibi credendum putet, ob juramentum videlicet se conjectare, falsa esse quæ dixerit. Quemadmodum enim antea, quando in veste privata Romanam rem administrarit, juramentis ad asseverandum non indiguerit, sed tantum dicere sufficerit, et ejus dicta omni probatione firmiora fuerint, quod non modo ipsi, sed et qui longe extra urbem Romanam incolunt, haud nesciant : ita nunc, si se fide dignum conscirent, non ad juramenta, quæ verbis ejus fidem adderent, confugiturum fuisse. Hinc quoque intelligi, ex quanta gloria in quantam ignominiam ob suum scelus erga imperatores deciderit. Hasce litteras iisdem exploratoribus ad eum portandas committunt. Ad eas respondens Cantacuzenus, mirari se dixit, cum docere prius debuerint, vera non esse quæ scripserit, deinde de juramentis disputare : illi eorum nihil confutantes, quasi præclare operam posituri, juramentum carpserint. Quoniam autem de aliis loqui, illaque seu tanquam vera credere, seu tanquam falsa refellere noluc-

A παύοιτο τοιαῦτα κακουργῶν· ἃ φυλάττεσθαι ἐδεῖτο μὴ κακῶν αὐτοῖς ἀνηκέστων αἴτιος καταστῇ. Ὧν ἕνεκα καὶ αὐτὸς τὴν ἄφιξιν ἀπηγόρευε τῷ βασιλεῖ τὴν Χρέλη προφασιζόμενος ἑταιρείαν, ὡς ἐν τῷ μεταξὺ χρόνῳ τὰ μάλιστα λυσιτελοῦντα ἑαυτῷ σκεψόμενος. Ἐν ᾧ δὲ ὁ βασιλεὺς ἐστρατοπέδευεν ἐν Κωδωνιανῇ, πέμψας πρὸς Χρέλην, ἐκέλευεν ἥκειν πρὸς αὐτὸν κατὰ τὸ σύνθημα ἐλθόντα. Ὁ δ' ὡμολόγει πρότερόν τε καὶ νῦν οὐχ ἥκιστα εὔνους εἶναι πρὸς αὐτόν· δεδοικέναι δὲ Ῥωμαίους τοὺς αὐτῷ πολεμοῦντας, μὴ διαρπάσωσι τὰ ὄντα ἐν χωρίοις ἀτειχίστοις διεσκεδασμένα. Τὰς γὰρ πόλεις ὧν ἦρχε πρότερον ὑπὸ τῷ Τριβαλλῶν ἄρχοντι τελῶν παρεδεδωκέναι βασιλεῖ, ὡς καὶ αὐτὸς τῶν ἄλλων μᾶλλον σύνοιδεν· αὐτὸς δὲ τὴν οὐσίαν ἐν τῷ Μελε-
B νίκου προαστείῳ πᾶσαν ἔχειν. Δι' ἃ οὐ δύνασθαι ἥκειν πρὸς αὐτόν, εἰ μὴ Μελένικον πρότερον ὑποποιήσαιτο. Οὕτω γὰρ καὶ αὐτὸν θαρσήσαντα ὡς οὐδὲν τῶν ὄντων ἀπολεῖ, συνέψεσθαι προθύμως. Βασιλεῖ μὲν οὖν εὐθὺς ἐδόκει πάντα ἄπορα· τό τε γὰρ ἀναστρέφειν ἐκ Μακεδονίας, οὐ πρὸς αὐτοῦ ἔσεσθαι ἐνόμιζε, καὶ τὸ προϊέναι πρὸς ἑσπέραν τὴν Χρέλη, καὶ πρωτοστράτορος καταλιπόντα συμμαχίαν οὐκ ἀγαθόν. Ἐδόκει δὲ μᾶλλον Μελενίκου ἀποτειρᾶν εἰ δύναιτο προσάγεσθαι ὁμολογίᾳ. Ὅπλοις γὰρ βιάζεσθαι, ἀδύνατα ἦν, ἔκ τε θέσεως τοῦ τόπου, καὶ κατασκευῆς τῆς πόλεως ὀχυρωτάτης οὔσης. Καὶ πέμψας, διελέγετο κρύφα τοῖς οὖσιν ἐνταῦθα φίλοις περὶ παραδόσεως. Συργῆς μέν τοι ἐκ Φερῶν ἅμα μητροπολίτῃ
C τῆς αὐτῆς πόλεως τὴν ἴσην ἀπέχθειαν πρὸς βασιλέα ἐπιδεικνυμένῳ, καὶ Μονομάχῳ, τῷ ἐπάρχῳ· ἦκε γὰρ ἐκ Θετταλίας κἀκεῖνος πρὸς αὐτὸν, πέμπουσιν εἰς τὸ στρατόπεδον κατασκόπους, τήν τε βασιλέως στρατιὰν κατασκεψόμενοι ὁπόση εἴη, καὶ ὅ τι δρῴη θέλοντες μαθεῖν. Ἐπεὶ δὲ ἑάλωσαν, τήν τε στρατιὰν ἐκέλευε περιάγοντας κατὰ σχολὴν παρέχειν κατασκέπτεσθαι, καὶ γράμματα πρὸς τοὺς πέμψαντας παρέχων, ἐκέλευεν ἀναστρέφειν, ἐν οἷς περὶ τῶν ἐν Βυζαντίῳ γεγενημένων ὡς ἀδίκῳ καὶ συκοφαντικῇ γνώμῃ πραχθείῃ κατ' αὐτοῦ διεξιὼν ἀπολογίαν ἐποιεῖτο καὶ περὶ ἑαυτοῦ, ὡς οὐ βασιλέως τοῖς παισὶν ἐπιβουλεύων, οὐδὲ βασιλείας ἐρῶν τοιούτοις ἐπιχειροίη, ἀλλ' ἀνάγκῃ συνελαθείς· ἐλπίδι τοῦ καταλύειν μᾶλλον τὸν πόλεμον, καὶ τὰ λυσιτελοῦντα πᾶσι
D κοινῇ ποιεῖν. Προσετίθει τε καὶ ὅρκους τοῖς λεγομένοις, ὡς οὐδὲν εἴη πρὸς ἀπάτην εἰρημένον. Οἱ δὲ, ἐπεὶ τὰ γράμματα ἀνέγνων, ἀντέγραφον καὶ αὐτοὶ, ὡς οὐκ ἄλλοθέν ποθεν μᾶλλον, ἢ ἐξ ὧν αὐτὸς ἴσται εἶναι δίκαιος πιστεύεσθαι τῶν ὅρκων δῆθεν αὐτοὺς καταστοχάζεσθαι, ὡς οὐκ ἂν εἴη τὰ εἰρημένα ἀληθῆ. Εἰ γὰρ ὥσπερ καὶ πρότερον ἡνίκα ἰδιωτικὴν ἐσθῆτα ἔχων, τὰ πράγματα Ῥωμαίοις διῴκει, ὅρκων οὐκ ἐδεῖτο, ἐν οἷς ἰσχυρίζεσθαι ἐχρῆν, ἀλλ' ἦρκει μόνον εἰπεῖν, καὶ πάσης ἀποδείξεως ἰσχυρότερα τὰ εἰρημένα εἶναι, ὥσπερ οὐ μόνον αὐτοὶ συνίσασιν, ἀλλὰ καὶ οἱ πόρρω τῆς Ῥωμαίων γῆς κατῳκισμένοι· οὕτω καὶ νῦν, εἰ ἀξιοπιστίαν αὐτῷ συνῄδει, οὐκ ἂν ὅρκων ἐδεήθη πρὸς τὸ πιστεύεσθαι συναιρομένων. Ὅθεν καὶ χρὴ συνορᾶν ἐξ οἵας δόξης εἰς οἵαν ἐκ τοῦ βασι-

Digitized by Google Распознавание текста ABK/FR

λεῦσιν ἀγνώμων φαίνεσθαι ἀδοξίαν κατηνέχθη, καὶ τοῖς αὐτοῖς κατασκόποις παρασχόμενοι, ἄγειν αὖθις πρὸς αὐτὸν ἐκέλευον. Πρὸς ἃ, θαυμάζειν αὐτῶν ἀντέγραφεν ὁ βασιλεὺς, εἰ δέον πρότερον τὰ εἰρημένα, εἰ οὐκ ἀληθῆ ἀποδεικνύναι, ἔπειτα καὶ περὶ τῶν ὅρκων διαλέγεσθαι· οἱ δ' ἐκείνων ἀποσχόμενοι καὶ ἀντειπόντες πρὸς μηδὲν, ἐπὶ τοὺς ὅρκους καταφεύγουσιν, ὥσπερ τι πρυτάνεως νομίζοντες ποιεῖν· ὅτι δ' αὐτοῖς περὶ τῶν ἄλλων διαλέγεσθαι καταλιποῦσι, καὶ ἢ πείθεσθαι ὡς ἀληθέσιν, ἢ ὡς ἐναντία ἔχουσιν, ἐλέγχειν, περὶ τῶν ὅρκων μόνων εἰπεῖν τι βέλτιον ἐνόμισθη, περὶ αὐτῶν ἀποκρινεῖσθαι, καὶ αὐτὸν τἄλλα ὑπερβάντα. Ἐγὼ τοίνυν, ἔγραφε, νομίζω τοὺς ὅρκους, ἢ διὰ τὸ μὴ τοὺς ὀμνύοντας ἀξιόχρεως πρὸς πίστιν εἶναι γίνεσθαι, ἢ διὰ τὸ τοὺς δεχομένους ἢ φαύλους τοὺς τρόπους εἶναι, ἢ διὰ μέγεθος τῶν ἐπαγγελλομένων ἀδυνάτως ἔχειν πείθεσθαι ὅρκων χωρίς. Ὅτε τοίνυν ἐμοὶ τὴν ἀξιοπιστίαν οὐ μόνον ὁ παρελθὼν χρόνος τοσοῦτος ἂν ἐν ᾧ τὰ Ῥωμαίων πράγματα διῴκουν· οὐδὲ γὰρ οὐδὲ διὰ ταύτην ὅρκων ἐδεήθη ποτὲ συμμαρτυρεῖν· ἀλλὰ καὶ αὐτοὶ οἱ μάλιστα πειρώμενοι διαβάλλειν, οὐ δύνασθε συγκρύπτειν οὕτως οὖσαν καταφανῆ, οὐδὲν ἄλλο λείπεται, ἢ δι' ὑμᾶς τοὺς χαίροντας ἐν ταῖς συκοφαντίαις γίνεσθαι, καὶ διὰ τοῦτο μηδ' αὐτοῖς πιστεύειν δυναμένους, οἷς αὐτοὶ συμμαρτυρεῖτε τὸ μηδέ ποτε ἐψεῦσθαι. Ὅτι δ' ὁ περὶ τῶν ὅρκων λόγος τοῦτον ἔχει τὸν τρόπον, ὥσπερ εἴρηται, καὶ αὐτόθεν μὲν καταφανές· πειράσομαι δὲ καὶ ἐκ παραδείγματος μάλιστα ἀληθεστάτου καταφανέστερον ποιεῖν. Εἰ γὰρ ὁ Θεὸς ἡμῶν, Θεός ἐστιν ἀληθινὸς, καὶ αὐτοαλήθεια καὶ καλεῖται, καὶ ἐστὶ, καὶ δίκαιός ἐστι πιστεύεσθαι καὶ ὅρκων χωρίς· ὁ δὲ, οὐ τῷ Ἀβραὰμ μόνον ὤμοσε καθ' ἑαυτοῦ ἢ μὴν πληθυνεῖν αὐτοῦ τὸ σπέρμα· ἀλλὰ καὶ τῷ Δαυὶδ ὕστερον, « Ὤμοσε γὰρ, φησὶ, Κύριος τῷ Δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτὴν, » δῆλον ὡς οὐχ ἑαυτοῦ, τῆς μικροψυχίας δὲ τῶν ἀκουόντων ἕνεκα, καὶ τῆς περὶ τὰ ἐπαγγελλόμενα ἀμφιβολίας τοὺς ὅρκους ἐποιεῖτο. Καὶ Παῦλος δὲ ὕστερον ὁ τῆς ἀληθείας μαθητὴς καὶ κήρυξ περὶ ὧν εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς εἶδε, μέλλων διηγεῖσθαι, καί τοί γε ἑαυτῷ πολλὴν συνειδὼς ἀλήθειαν, ὅμως τῆς ὠφελείας ἕνεκα τῶν ἀκουόντων· « Εὐλογητὸς, εἶπεν, ὁ Θεὸς ὅτι οὐ ψεύδομαι, » ὡς ἂν ὑπὸ μάρτυρι Θεῷ ἰσχυριζόμενος λέγειν ἃ ἐρεῖ, καὶ διὰ τοῦτο ἀξιῶν πιστεύεσθαι. Ἔθος γὰρ ἀεὶ τῇ ἀπιστίᾳ μεγάλα τοῖς πράγμασι λυμαίνεσθαι. Ἔξεστιν οὖν ὑμῖν σκοπεῖν ὡς σφίσιν αὐτοῖς μᾶλλον, ἢ ἐμοὶ τῶν ὅρκων ἕνεκα μέμφεσθαι προσῆκεν. Ὑμεῖς ὥσπερ ἐν τοῖς ἄλλοις ἀειφυγίᾳ τὸ δίκαιον καταδικάσαντες, καὶ τῆς Ῥωμαίων ἀπελάσαντες ἀρχῆς τῷ φίλῳ ψεύδει κέχρησθε ἀεὶ, καὶ ταῖς συκοφαντίαις· οὐδὲ τοῦτο μεμνημένοι γοῦν ὅτι τῶν τῇδε βεβιωμένων ἅπαντες ὑφέξομεν εὐθύνας μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. Ἐγὼ δ' ὥσπερ καὶ πρότερον, οὕτω καὶ νῦν, ὑπὸ μάρτυρι τῷ Θεῷ λέγω, ὡς οὐδὲν ἕτερον εὐθὺς ἐξαρχῆς μετὰ τὴν βασιλέως τελευτὴν, ἢ ὅσα βασιλίδι, καὶ παισὶ συμφέρει, καὶ πᾶσι κοινῇ Ῥωμαίοις διενοούμην τε καὶ πράττειν εἶχον διὰ σπουδῆς. Ἐκείνων δὲ ἐξ οὐδεμιᾶς αἰτίας ἀληθοῦς, ἀλλ' ὑπὸ συκοφαντίας πρὸς τὸν κατ' ἐμοῦ κεκινημένων πόλεμον, ἀναγκαίως καὶ αὐτὸς ἐξ ὧν νομίζω ἐμαυτῷ τε καὶ τοῖς συνοῦσι τὴν σωτηρίαν ἐκπορίζειν πράττω.

rint, sed de juramentis duntaxat aliquid verborum facere melius existimarint, se quoque cæteris prætermissis, de ipsis responsurum. Ego igitur, inquit, juramenta concipi arbitror, aut quia qui jurant, alioqui fidem non merentur, aut quia quibus juratur vel improbi sunt, **474** vel propter magnitudinem promissorum, nisi juramentum accesserit, credere non possunt. Cum itaque me citra jusjurandum fide dignum esse, non solum præteritum, tempus tam longum, quo rebus Romanis præfui, testetur, sed etiam vos ipsi, qui in primis calumniari me conamini, celare id, quia manifestissimum non possitis, relinquitur aliud nihil, quam me jurasse propter vos qui sycophantiis gaudetis : ideoque nec iis fidem commodare potestis, quos ipsemet nunquam esse mentitos testificamini. Sic autem se habere quæ de juramentis diximus, cum et hinc liqueat, nitar tamen exemplo verissimo reddere liquidius. Si enim Deus noster est Deus verax, et ipsa veritas vocatur et est, mereturque fidem etiam injuratus, et tamen non solum Abrahamo per semetipsum juravit, multiplicaturum ejus semen : sed Davidi quoque postea, « Juravit enim, inquit, Dominus David veritatem, et non frustrabitur eam : » patet, non propter se, sed propter imbecillitatem audientium, eorumque nutantem circa promissa fidem, juravisse. Et Paulus postmodum apostolus et præco veritatis, de iis quæ in tertium cœlum raptus vidit, narraturus, tametsi veracissimum se esse nosset, nihilominus propter audientium utilitatem, « Deus, inquit, qui est benedictus in sæcula, scit, quia non mentior, » velut Deo teste confirmans se dicere, quæ dicebat, et ideo æquum censens, sibi credi. Semper enim incredulitati magnæ res elevare et extenuare mos est. Ergo magis vos ipsos, quam me propter juramentum reprehendendos fuisse perspiciatis licet. Vos vero, quomodo in aliis, justitia damnata et ex imperio Romano ejecta, consueto et amico mendacio ac sycophantiis adhæretis, nec hoc saltem recordamini, quæ in hac vita gesserimus, eorum nos omnium post finem hujus lucis rationem redditurus. Ast ego, ut antea, sic hodie Deum testatus, aio me nihil aliud statim ab initio post obitum imperatoris, quam quæ imperatrici et liberis ejus, et communi Romanorum conducerent, cogitasse, facereque contendisse. Verum ubi illi nulla causa legitima, sed calumniis tantum eo impulsi sunt, ut me armis persequerentur, necessario et ipse ago, unde mihi et commilitonibus meis salus pariatur.

Digitized by Google Распознавание текста ABBYY FR

475 CAPUT XXXVIII.

Melenicus occupatur a Cantacuzeno. Chreles cunctatur, periculum fugiens. Ejus adventu in castra, miles Romanus lætatur. Fluctuatio protostratoris Thessalonicæ. Seditio zelotarum; expulsio civium et alia tetra facinora. Protostrator cum optimatibus pulsus. Thessalonicensem agrum deprædatur. Cantacuzenus afflictus, in Deo spem locat. Byzantini cum sociis Thessalonicam ingrediuntur. Deliberatio Cantacuzeni cum exsulibus.

Cum sic demonstrasset, illos parum probe de se judicasse, amicorum qui Melenici erant accersitu, manum misit, urbemque occupavit, et Joannem Asanem uxoris fratrem præfectum declaravit. Quæ res vix sperari poterat antequam fieret, facta autem non mediocre dabat solatium; mox enim Chrelem utpote perfecto, quod desiderabatur, advocat. Qui Melenicum ab imperatore obtineri lætus videbatur, sibique omnem excusationem amputatam affirmabat. Verumtamen adhuc, quasi res suas, antequam bello se crederet, compositurus differebat: sed revera laborem detrectans, nullo cum periculo suo imperator amicitia perfrui cupiebat. Is ut hominem tempus ducere vidit, mentem ejus ex dictis auguratus, Melenici præfectum Joannem Asanem cum parte copiarum, quanta urbs defensanda indigeret, relinquit, et altera parte in castris manere jussa, Matthæo et Manuele filiis, trecentisque tantummodo comitatus, magnis itineribus postridie ad locum venit, ubi Chreles morabatur. A quo humaniter acceptus, diem et noctem cum eo transegit, postridieque in castra secum perduxit, ejusque conspectu exercitum mirabiliter recreavit. Quippe non armis solum, equis et pecunia valebat, sed erat præterea artibus imperatoriis exercitatissimus, noveratque cum amicis commodare, tum inimicis incommodare plurimum. Quocirca etiam societas ejus maximopere expetenda censebatur. Thessalonicæ autem protostrator, ut docuimus, animum huc illuc versans, et ab utro imperatorum palam staret deliberans, remissius ac socordius agebat, zelotasque qui pro imperatore Palæologi filio in Cantacuzenum se armabant, sensim augescere patiebatur: partim metuens, ne ejus studiosus publice haberetur, cum filia et conjux Byzantii habitantes, et amplæ ibidem facultates id non permitterent, sollicitumque et anxium facerent, ne sua **476** causa multis ærumnis objicerentur, partim fretus Thessalonicensi non parvo præsidio, ac civibus copiosioribus, quibus quando vellet zelotas se oppressurum confidebat. At postquam illi ejus dilatione corroborati, plebem in primores concitarunt, protostratore jam in Cantacuzenicis numerato, agmine facto invadentes, civitate circiter millenos expellunt, levique sagittarum certamine congressi, de famulis protostratoris aliquot convulnerant, primorum nonnullos capiunt, qui cum aliis primo impetu ejicere sese non potuerant. Zelotæ urbe suo se redacta, ad ædes exsulum conversi, eas direpta supellectili evertunt; alia item cum injuria et contumelia perpetrant, quæ homines egestate coactos, et abundantia facultatum alic-

Ἐκείνους μὲν οὖν οὕτως ἀπεδείκνυε μηδὲν ὑγιὲς αὐτοῦ κατεγνωκότας. Αὐτὸς δὲ ἐπεὶ οἱ ἐν Μελενίκῳ φίλοι ἐκάλουν ὡς παραληψόμενον τὴν πόλιν, πέμψας στρατιὰν κατέσχεν. Ἔπειτα καὶ τὸν γυναικὸς ἀδελφὸν Ἰωάννην τὸν Ἀσάνην ἄρχοντα τῆς πόλεως καθίστη, πρᾶγμα δυσέλπιστον πρὶν γενέσθαι· γενόμενον δὲ ὅμως οὐ μετρίαν παρέσχε παραψυχήν. Αὐτίκα γὰρ πρὸς Χρέλην πέμψας, ἐκέλευεν ἥκειν πρὸς αὐτὸν, ὡς ἤδη τοῦ ζητουμένου ἠνυσμένου. Ὁ δ' ἐδόκει μὲν ἥδεσθαι τοῦ βασιλέα Μελενίκον ἔχειν, καὶ πᾶσαν ἔλεγε πρόφασιν αὐτῷ περιῃρῆσθαι. Ἔτι δ' ὅμως ἀνεβάλλετο τὸ δοκεῖν μὲν ὡς τὰ ὄντα διαθησόμενος μέλλον ἤδη ἅπτεσθαι πολέμου καὶ στρατείας· τῇ δ' ἀληθείᾳ, οὐκ ἐθέλων εἰς τοὺς κινδύνους ἐμβάλλειν ἑαυτὸν, ἀλλ' ἄνευ πόνων τὴν βασιλέως εὔνοιαν καρποῦσθαι. Βασιλεὺς δὲ ὡς εἶδε χωροῦντα πρὸς ἀναβολὰς, τῆς διανοίας ἐκ τῶν εἰρημένων στοχασάμενος, Μελενίκου μὲν ἄρχοντα τὸν γυναικὸς κατέλιπεν ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην μετὰ στρατιᾶς ὅσης ᾤετο ἀρκέσειν εἰς φρουρὰν τῇ πόλει· αὐτὸς δὲ τὴν ἄλλην στρατιὰν ἐν τῷ στρατοπέδῳ κελεύσας μένειν, ἅμα τοῖς υἱέσι Ματθαίῳ καὶ Μανουὴλ τριακοσίους μόνον παραλαβὼν, συντόνως τε ὁδεύσας, εἰς τὴν ὑστεραίαν, ἔνθα ὁ Χρέλης διατρίβων ἦν ἀφίκετο. Ἐκείνου δὲ ἀσμένως ὑποδεξαμένου συνδιημερεύσας αὐτῷ καὶ συνδιανυκτερεύσας, τῇ μετ' αὐτὴν ἔχων καὶ αὐτὸς μετὰ τῆς στρατιᾶς, αὖθις εἰς τὸ στρατόπεδον ἐπανῆκε, καὶ πολλῆς ἐνέπλησε τὴν στρατιὰν ἡδονῆς μετὰ Χρέλη ἀφιγμένος. Ἦν γὰρ οὐ δυνατὸς μόνον καὶ ὅπλοις καὶ ἵπποις καὶ χρήμασιν, ἀλλὰ καὶ περὶ στρατηγίας κάλλιστα ἐξησκημένος, καὶ οἷος τούς τε φίλους ὠφελεῖν καὶ τοὺς πολεμίους βλάπτειν μάλιστα εἰδέναι. Δι' ἃ καὶ περιμάχητος αὐτοῖς ἐδόκει ἡ ἐκείνου συμμαχία. Ἐν Θεσσαλονίκῃ δὲ ὁ πρωτοστράτωρ ὥσπερ ἔφημεν, ἀμφίβολος ὢν, καὶ περὶ τῶν βασιλέων ὅτῳ πρόσθηται φανερῶς διασκεπτόμενος, μαλακώτερόν τε τῶν πραγμάτων ἥπτετο, καὶ τοὺς λεγομένους Ζηλωτὰς, οἳ ὑπὲρ βασιλέως τοῦ Παλαιολόγου βασιλεῖ τῷ Καντακουζηνῷ ἠροῦντο πολεμεῖν, αὐξανομένους κατὰ μικρὸν περιεώρα· τοῦτο μὲν, μὴ φανερὸς γένοιτο Καντακουζηνοῦ τὰ τοῦ βασιλέως ἠρημένος δεδοκώς· ἡ γὰρ θυγάτηρ αὐτῷ καὶ ἡ γυνὴ αἱ ἦσαν ἐν Βυζαντίῳ, καὶ ἡ ἄλλη περιουσία οὐκ εἴων πράττειν ἃ ἤρείτο, ἐμβάλλουσαι εἰς ἀγωνίαν, μὴ δι' αὐτὸν πολλοῖς προσομιλήσωσι κακοῖς· τοῦτο δ' ὅτι καὶ Θεσσαλονικέων, οὐ μόνον ἡ στρατιὰ, οἳ ἦσαν οὐκ ὀλίγοι, ἀλλὰ καὶ τῶν πολιτῶν οἱ δυνατοὶ τὰ βασιλέως τοῦ Καντακουζηνοῦ ἠρημένοι πρὸς ἀμέλειαν ἐνῆγον οἷς ἐθάρρει ὅτε βούλοιτο περιέσεσθαι τῶν Ζηλωτῶν. Ἐπεὶ δὲ ἐκεῖνοι διὰ τὴν μέλλησιν ἐκείνου ἦσαν οὐκ εὐκαταφρόνητοι, καὶ τὸν δῆμον ἀνηρέθισαν κατὰ τῶν δυνατῶν, τοῦ πρωτοστράτορος ἤδη ἐγνωσμένου τὰ

Digitized by Google Распознавание текста ABK/FR

Καντακουζηνοῦ τοῦ βασιλέως ὁρᾷν, ἐπιθέμενοι ἀθρόον, ἐξελαύνουσι τῆς πόλεως περὶ χιλίους ὄντας· συμβολῆς ὀλίγης γενομένης δι' ἀκροβολισμῶν, ἐν ᾗ καὶ τῶν πρωτοστράτορος οἰκετῶν ἐγένοντο ὀλίγοι τραυματίαι· ἐάλωσαν δὲ καὶ τῶν δυνατῶν τινὲς, οἱ οὐκ ἠδυνήθησαν τοῖς ἄλλοις τῇ πρώτῃ συνεκπεσεῖν ὁρμῇ· ὑφ' ἑαυτοῖς δὲ οἱ Ζηλωταὶ τὴν πόλιν ποιησάμενοι, ἐτράπησαν εἰς τὰς οἰκίας τῶν φυγάδων, καὶ αὐτάς τε καθῆρουν, καὶ τὰς οὐσίας διήρπαζον, καὶ τἆλλα ἔπραττον, ὅσα ἦν εἰκὸς αὐτοὺς ἀνθρώπους ὑπὸ πενίας συνελαυνομένους, καὶ εἰς ὕβριν ἐξενηνεγμένους διὰ τὴν ἀθρόαν εὐπορίαν. Εἰς τοσοῦτον δὲ ἀπονοίας καὶ τόλμης ἦλθον, ὥστε καί τοι τὰ δεινότατα τολμῶντες, σταυρὸν ἐκ τῶν ἱερῶν ἀδύτων ἁρπάζοντες, ἐχρῶντο ὥσπερ σημαίᾳ, καὶ ὑπὸ τούτῳ ἔλεγον στρατηγεῖσθαι, οἱ τῷ πολεμίῳ μᾶλλον τοῦ σταυροῦ ἀγόμενοι· καὶ εἴ τις πρός τινα ἐκ τινων ἰδίων ἐγκλημάτων διεφέρετο, τὸν σταυρὸν ἁρπάζων, ἐχώρει κατὰ τῆς οἰκίας, ὡς δὴ τοῦ σταυροῦ κελεύοντος· καὶ ἦν εὐθὺς ἀνάγκη ἐκ θεμελίων ἀνασπᾶσθαι, ὁρμῇ τε ἀλογίστῳ καὶ κέρδους ἐπιθυμίᾳ τοῦ δήμου ἑπομένου· ἐπὶ δύο μὲν οὖν καὶ τρισὶν ἡμέραις ἡ Θεσσαλονίκη ὥσπερ ὑπὸ πολεμίων ἐδῃοῦτο· καὶ οὐδὲν ἦν ὅ τι μὴ τελούμενον ὡρᾶτο τῶν ἐπὶ ἁλώσει γινομένων πόλεων· οἵ τε γὰρ κρατήσαντες νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ συστάσεις διιόντες, βοαῖς ἐχρῶντο καὶ ἀλαλαγμοῖς, καὶ τὰ τῶν ἁλωκότων ἦγόν τε καὶ ἔφερον· καὶ οἱ νενικημένοι, στένοντες ἐν ἀδύτοις κατεκρύπτοντο, ἀγαπητὸν ἡγούμενοι ὅτι μὴ αὐτίκα ἀποθνήσκοιεν. Ἐπεὶ δὲ ὧν ἔδει διεφθαρμένων παύσαιτο ἡ ταραχή, οἱ Ζηλωταὶ αὐτίκα ἐκ πενεστάτων καὶ ἀτίμων πλούσιοι καὶ περιφανεῖς γεγενημένοι πάντα ἦγον δι' ἑαυτῶν, καὶ τοὺς μέσους μετῄεσαν τῶν πολιτῶν, ἢ συνασχημονεῖν ἀναγκάζοντες αὐτοῖς, ἢ τὴν σωφροσύνην, καὶ τὴν ἐπιείκειαν ὡς Καντακουζηνισμὸν ἐπικαλοῦντες. Ἐν Θεσσαλονίκῃ μὲν οὖν τοιαῦτα ἐτελεῖτο. Πρωτοστράτωρ δὲ ἐπεὶ μετὰ τῆς στρατιᾶς καὶ τῶν ἀρίστων ἐξηλαύνετο, εἰς Γυναικόκαστρον ἀφικόμενος· κατεῖχε γὰρ αὐτὸ καὶ πρότερον φρουρᾷ, οἷα δὴ ὑπὸ τῷ Θεσσαλονίκης ἄρχοντι εἰωθὸς τελεῖν, ηὐλίζετο ἐκεῖ, καὶ κακῶς ἐποίει Θεσσαλονίκην ληΐζόμενος, καὶ πάσης ἐκράτει τῆς ἔξω τειχῶν γῆς· ἀντικαταστῆναι γὰρ πρὸς τοὺς ἔξω οὐδαμῇ οἱ ἔνδον ἦσαν δυνατοί. Ἔπεμπε δὲ καὶ πρὸς Καντακουζηνὸν τὸν βασιλέα περὶ Χαλκηδίκην ἔτι διατρίβοντα, ἅμα μὲν μηνύων ὡς ἐκβληθείη Θεσσαλονίκης τοῦ δήμου καὶ τῶν Ζηλωτῶν αὐτῷ ἐπιθεμένων, ἅμα δὲ καὶ ἐλπίδας οὐ φαύλας ὑποφαίνων, ὡς εἰ παραγένοιτο ταχέως, τῶν τε ἔνδον οὐκέτι παντάπασιν ἐκπεπολεμωμένων· ἦσαν γὰρ ἔτι οἱ τὰ βασιλέως ἠρημένοι δέει συνείποντο τοῖς Ζηλωταῖς καὶ τῶν ἔξω μέγα δυναμένων ῥᾳδίως παραστήσαιτο τὴν πόλιν. Βασιλεῖ μὲν οὖν ἐδόκει πάντοθεν περιίστασθαι δεινὰ, ὅμως ἐπὶ τὸν πάντα ἄγοντα θεὸν τὰς ἐλπίδας τῆς σωτηρίας καὶ τῆς νίκης ἀνατιθεὶς πρὸς Χρέλην ὅσα ἔδει διαλεχθεὶς καὶ προθεσμίαν συνθέμενος, καθ' ἣν ἔδει τὰ οἴκοι διαθέμενον ἀφικέσθαι πρὸς αὐτόν· πειτα καὶ ἐκ τῆς ἐκείνου στρατιᾶς οὐκ ὀλίγην παραλαβὼν ἅμα τοῖς

narum irritatos perpetraturos esse, fuit verisimile. Eo autem audaciæ amentiæque prodierunt, ut etiam in primis nefanda committerent, crucem ex sacris adytis raperent, eaque pro signo militari uterentur, sub quo se militare autumabant, qui potius ab inimico crucis possessi agitabantur. Quod si cui cum aliquo privata lis et controversia intercederet, rapta cruce, velut ea jubente, populoque inconsiderato impetu et lucri desiderio prosequente, ad domum ejus tendebat, quam repente dirui a fundamentis oportebat. Ad biduum itaque triduumve Thessalonica non secus quam ab hostibus vastabatur, nihilque quod captis urbibus solet, non etiam illic fieri cernebatur. Nam victores noctu et interdiu gregatim obambulabant, et clamoribus sua gaudia testabantur, captorumque res agebant ferebantque; et victi gementes in abstrusa loca se abdebant, hoc uno contenti, quod non sine mora essent jugulati. Interfectis etiam, quos visum est interfici, postquam tumultus conquievit, zelotæ ex mendicis et obscuris divites, atque illustres repente facti, omnia per se curabant: et tenuiores cives sollicitantes, aut secum inhoneste vivere cogebant, aut eorum moderationem, æquitatemque pro Cantacuzenismo accusabant. Atque hæc Thessalonicæ. Protostrator vero cum milite et optimatibus pulsus, Gynæcocastrum venit (quod ipsum prius collocato ibidem præsidio, ut Thessalonicæ præfecto subjectum tenebat) ibique manens, Thessalonicam prædis agundis vexabat; et quantum erat agri ejus extra muros, infestum habebat; ad resistendum enim incolæ nequaquam pares erant. **477** Cantacuzeno autem adhuc prope Chalcidicen hærenti significat, se plebe et zelotis compellentibus Thessalonica ejectum esse; simul etiam spem non minimam subostendit, si acceleraret, indigenis necdum omnibus efferatis (erant quippe, qui ejus partium studiosi, zelotas aversabantur, et potentia eorum qui foris essent, levi negotio civitatem subacturum. Imperator igitur infortuniis obrutus videbatur. Verumtamen in omnium moderatore Deo salutis et victoriæ spe defixa, cum Chrele pro tempore collocutus, et cum eo diem pactus, quo rebus domi dispositis atque ordinatis ad se veniret: deinde ex manipulis illius non paucis assumptis, quibus suum exercitum augeret, ad protostratorem festinavit. In transitu oppidulum quoddam Rhentina, Thessalonica unius diei itinere distans, ultro in ejus ditionem venit; ubi præfecto cum ducentis militibus præsidii causa relictis, pergens Langadæ haud procul Thessalonica tetendit. Manus porro Byzantina, Andronico et Thoma Palæologis ducibus cum Pheras venisset, adjuncto Syrge qui Macedonas ducebat, et præfecto Monomacho cum Thessalis, præteritis Cantacuzeni stativis, Thessalonicam inivit. Imperator nocte ibi exacta, ne illorum metu inde putaretur discedere, postridie

Digitized by Google Распознавание текста ABK/FR

movens ad fluvium quemdam Thessalonicæ finitimum, nomine Galicum pervenit, ubi protostrator et exsules illi Thessalonicenses circiter mille ab equis descendentes (pro eo ac decet illos, qui ad imperatorem accedunt) eum sunt allocuti. Primus protostrator adiens, imperatoris pedem osculatus est : idem cæteri ordine præstiterunt. Imperator et ipse prono capite protostratorem ab equo resalutavit, alios autem dum proveheretur salute impertiit, omnibus mite animi sui ingenium ostendens, et cunctos amico vultu intuens (94). Ea nocte loco illo castra habuerunt. Imperator protostratorem et ejectitios, quorum insigne nomen erat, circum se habens, quid faciendum esset quærebat : eos namque rem Thessalonicensem pernovisse, ipsis ex aliena regione venientibus, pro ductoribus esse posse. Tum protostrator et exsules responderunt quæ ibidem contigissent, nec ipsum nescire, superesse autem, ut is, ubi secum dispexerit quid expediat, id exsequatur.

A οἰκείοις ἠπείγετο πρὸς πρωτοστράτορα· ἐν τῷ μεταξὺ δὲ διερχομένῳ, ἡ Ῥεντίνα φρούριόν τι Θεσσαλονίκης ἡμέρας ὁδὸν διέχων, προσεχώρησεν ἑκοντί· καταλιπὼν δὲ αὐτοῖς ἄρχοντα καὶ δικαστὴν στρατιώτας φρουρὰν, αὐτὸς ἐλθὼν, ἐστρατοπέδευσεν ἐν Λαγκαδᾷ οὐ μακρὰν Θεσσαλονίκης· ἡ δὲ ἐκ Βυζαντίου στρατιὰ, ἅμα στρατηγοῖς τοῖς Παλαιολόγοις Ἀνδρονίκῳ καὶ Θωμᾷ ἀφιγμένοι εἰς Φερὰς, παραλαβόντες καὶ Συργὴν ἄγοντα τὴν ἐκ Μακεδονίας στρατιὰν καὶ ἔπαρχον τὸν Μονομάχον συστρατευόμενον ἅμα τοῖς οἰκείοις, τὸ ἐκείνου παραμείψαντες στρατόπεδον, ἦκον εἰς Θεσσαλονίκην. Βασιλεὺς δὲ ἐκεῖ τὴν νύκτα αὐλισάμενος, ὡς μὴ δοκοίη δεῖν τῷ ἐκείνων ἀπανίστασθαι, εἰς τὴν ὑστεραίαν ἅρας, ἦλθεν εἰς Γαλικὸν, ποταμόν τινα ἐγγὺς Θεσσαλονίκης· ἔνθα ὁ πρωτοστράτωρ καὶ οἱ ἐκ Θεσσαλονίκης φυγάδες περὶ χιλίους ὄντες συνεγένοντο τῶν ἵππων ἀποβάντες, ὡς προσήκει βασιλεῦσι προσιόντας πράττειν. Πρῶτός τε ὁ πρωτοστράτωρ προσελθὼν πεζῇ, ἠσπάζετο τὸν βασιλέως πόδα. Εἶτ' ἐφεξῆς καὶ οἱ λοιποὶ προσίεσαν ὁμοίως. Βασιλεύς τε καὶ αὐτὸς πρωτοστράτορα μὲν ἀπὸ τοῦ ἵππου κύψας, ἀντησπάζετο· τοὺς δ' ἄλλους προσηγόρευε παριὼν, πᾶσιν ἦθος χρηστὸν ἐμφαίνων, καὶ βλέπων εὐμενές. Ηὐλίσαντό τε στρατοπεδευσάμενοι ἐκεῖ τὴν νύκτα. Βασιλεὺς δὲ πρωτοστράτορα καὶ τοὺς ἐν λόγῳ μάλιστα τῶν φυγάδων ἔχων περὶ ἑαυτὸν, ἠρώτα ὅ τι δέοι ποιεῖν· αὐτοὺς γὰρ μάλιστα εἰδέναι τὰ ἐνταῦθα πράγματα, καὶ ἀγωγῶν τόπον ἐπέχειν πρὸς αὐτοὺς ἄρτι ἀφιγμένους ἐξ ἀλλοδαπῆς. Πρωτοστράτωρ δὲ καὶ οἱ φυγάδες, τὰ μὲν γεγενημένα ἔφησαν ἐνταῦθα, οὐδ' αὐτὸς ἀγνοεῖς· λείπεται δὲ αὐτὸν σκεψάμενον, ὅ τι ἂν δοκῇ συμφέρειν πράττειν.

B

478 CAPUT XXXIX.

Concionatur imperator facta prius cuique potestate dicendi quid sentiret, et cur respondere subterfugerint. Censet re desperata ab urbe discedendum, nec tamen ad cætera desperandum. Rhentinæ præsidium augendum, quod Thessalonicam incurset, et quomodo Thessali, Acarnanes, et reliqua continens in potestatem ventura sit. Profectionem dissuadet protostrator, sed frustrà; datur signum. Defectio Thessalonicensium quorumdam. Nobiles nituntur ejus iter impedire. Inundatio Axii fluminis, et reversio exercitus Gynæcocastrum.

Postera luce imperator omnibus ad concionem vocatis, dicendæ sententiæ potestatem facit, et unumquemque quod animus suggereret, sine tergiversatione in medium proferre jubet, ut ex plurium dictis, quid profuturum sit, facile appareat. Illi omnes deinceps cunctari, et quod occurreret, non audere palam proloqui. Byzantio namque profugi, qui cum imperatore venerant, frustrationem Thessalonicæ ferebant molestissime, et quo se verterent æstuabant; reliquus autem miles, videns eidem cœpta secus procedere, desperatione frangebatur. Protostrator quoque et exsules Thessalonicenses, urbem a Byzantinis ducibus occupatam, et ereptum illius aditum cernentes, dolebant acerbius, quam misera esset futura propinquorum suorum conditio cogitantes. Universi demum imperatoris sententiam exspectabant, eumque quibus essent cincti malorum remedium inventurum spem concipiebant. Ergo cum sensum suum aperire nemo vellet, sic ipse exorsus est : Contra quam sperabamus nobis accidisse omnes utique videtis. Nam et protostra-

C Βασιλεὺς δὲ ἐς τὴν ὑστεραίαν ἐκκλησίαν ἐκ πάντων συναθροίσας, γνώμην πᾶσι περὶ τῶν πρακτέων προὐτίθει, καὶ ἐκέλευε τὸ παριστάμενον ἕκαστον μηδὲν ἀναδυόμενον, εἰπεῖν, ὡς ἐκ πολλῶν τῶν λεγομένων, ῥᾴδια ἡ τοῦ συνοίσοντος αἵρεσις γένοιτο αὐτοῖς. Οἱ δ' ἀνεβάλλοντο πάντες ἐφεξῆς, καὶ οὐδεὶς τὸ παριστάμενον ἐτόλμα λέγειν φανερῶς. Οἵ τε γὰρ ἐκ Βυζαντίου φυγάδες μετὰ βασιλέως ἀφιγμένοι, ἄγαν ἠχθοντο πρὸς τὴν ἀποτυχίαν τῆς Θεσσαλονίκης, καὶ ἐν ἀπόρῳ εἶχοντο τοῦ τί χρὴ ἐλίσθαι· καὶ ἡ ἄλλη στρατιὰ ἐν ἀθυμίᾳ ἦσαν, οὐ κατὰ ῥοῦν χωροῦντα τὰ πράγματα ὁρῶντες βασιλεῖ. Καὶ ὁ πρωτοστράτωρ ἅμα Θεσσαλονικέων τοῖς φυγάσιν, ὡς εὖρον τοῖς ἐκ Βυζαντίου στρατηγοῖς τὴν πόλιν κατεχομένην, καὶ ἄπορα ἤδη ἦν προσάγεσθαι, μᾶλλον ἐχαλέπαινον, τοὺς οἰκείους ἐννοοῦντες οἷα πείσονται. Καὶ πρὸς τὴν βασιλέως γνώμην πάντες ἀφεώρων, οἰόμενοί τινα σφίσι τῶν περισχόντων κακῶν λύσιν ἐξευρήσειν. Βασιλεὺς δὲ ὡς εἶδε μηδεμίαν γνώμην μηδένα βουλόμενον εἰσάγειν· Τὰ μὲν πράγματα, εἶπεν, ὡς ἐναντίως ἢ ᾠόμεθα ἀπήντησεν ἡμῖν, πάντες ὁρᾶτε δήπου. Πρωτοστράτωρ τε γὰρ καὶ Θεσσαλονι-

D

Jacobi Pontani notæ.

(94) Vide quid de læto vultu imperatoris scribat in Strategico Onosander, cap. 13, quam multum is valeat apud milites.

Digitized by Google Распознавание текста ABBYY FR

κέων οἱ τὰ ἡμέτερα ἠρημένοι, οὓς ἔδει τὴν πόλιν ἔχοντας εὑρεῖν, καὶ τὰ μέγιστα ὠφελεῖσθαι ὑπ' αὐτῶν, δυσκόλῳ τύχῃ χρησάμενοι, ἐξελήλανται· ὅ τε δῆμος, καὶ οἱ ἐναπολειφθέντες, οὓς ἠλπίζομεν ἢ πειθοῖ προσάξεσθαι, ἢ βιάσεσθαι τοῖς ὅπλοις, διά τε τὰς ἁρπαγὰς ἡμῖν ἐκ πεπολεμωμένοι καὶ θαῤῥοῦντες τῇ ἐκ Βυζαντίου στρατιᾷ, οὐ προσχωρήσουσιν ἡμῖν. Εἰ γὰρ ἔμελλον, οὐκ ἂν ἐπὶ τῆς πύλης αὐτῶν σχεδὸν ἐστρατοπεδευμένου ἡσύχαζον αὐτοί· ἀλλ' ἢ πρεσβείαν ποιούμενοι κοινῇ, ἢ ἰδίᾳ κρύφα τινὲς αὐτῶν διαλεγόμενοι, παρῆσαν ἄν. Τὸ δὲ μηδένα ἐξελθεῖν, τεκμήριον τοῦ τε τοὺς πυλλοὺς ἐγνωκέναι πολεμεῖν ἡμῖν, καὶ τοῦ εἴ τινες καὶ εἶεν ἠρημένοὶ τὰ ἡμέτερα, δέει τοῦ μὴ κακῶς παθεῖν συμφέρεσθαι τοῖς ἄλλοις. Ὅθεν οὐδὲ ἐλπίδων ἀνονήτων ἕνεκα ἐνταῦθα οἶομαι παραμένειν δεῖν. Οὐ μὴν διὰ τὸ τῆς πόλεως ἀποτετυχηκέναι, καὶ πρὸς τὰ λείποντα δίκαιον τοῦ πολέμου μαλακίζεσθαι. Οὐδὲ γὰρ οὐδὲ πρὸς πάντα εὐτυχήσομεν ἀεί. Σωφρόνων δέ ἐστιν ἀνθρώπων καὶ γενναίοις χρωμένων λογισμοῖς, μήτε ἐν ταῖς εὐτυχίαις τοῦ μετρίου φαίνεσθαι ἐκπίπτοντας, μήτ' ἐν ταῖς δυσπραγίαις καταπίπτειν ἀπαγορεύοντας τὸ ἀνορθοῦσθαι αὖθις· ἀλλὰ δέον τὰ ἐνταῦθα ὡς προσῆκον διοικησαμένους, χωρεῖν ἐπὶ τὰ πρόσω χρηστοτέρας ἡμῖν, καὶ ὡς μάλιστα ἀσφαλεῖς ὑποφαίνοντα ἐλπίδας. Δέον οὖν ἐγὼ νομίζω τῇ εἰς τὴν Ῥεντίναν καταλελειγμένῃ φρουρᾷ δύναμιν προσθέντας μείζονα, ὡς κατατρέχειν Θεσσαλονίκης δύναιντο. Ἡ γὰρ ἐκ Βυζαντίου στρατιὰ, οὐ πολλῷ ὕστερον ἀποχωρήσει, καὶ ἐν Γυναικοκάστρῳ δύναμιν ὁμοίαν καταλιπόντας τῆς αὐτῆς αἰτίας ἕνεκα τῇ ἄλλῃ στρατιᾷ διαβάντας αὐτοὺς τὸν Ἀξιὸν, εἰς Βέῤῥοιαν γενέσθαι καὶ Ἔδεσσαν τὰ ἡμέτερα ἠρημένας πόλεις· ἐκείνων δὲ κρατήσασιν, οἵτε Θεσσαλοὶ προσχωρήσουσιν αὐτίκα καὶ Ἀκαρνανία, καὶ τὸ ἄλλο ἠπειρωτικὸν, πάλαι τὴν ἐμὴν ἄφιξιν προσδεχόμενον. Τοιαύτην δὲ προσλαβοῦσι δύναμιν, οὐδεὶς ἀνθίστασθαι ἔτι ἀξιώσει, ἀλλ' ἢ ἑκόντες τῆς ἀρχῆς πάντες παραχωρήσουσιν ἡμῖν, ἢ τοῖς ὅπλοις βιασθέντες. Τοιαῦτα εἰπόντος βασιλέως, πρωτοστράτωρ τε ἅμα τοῖς συνοῦσι, καὶ οἱ ἀπὸ Βυζαντίου μάλιστα φυγάδες, ἐν δεινῷ τοὺς λόγους ἐποιοῦντο, καὶ φόβου ἦσαν μεστοὶ καὶ ἀγωνίας, τὸν πλάνον ὡς ἀπέραντον λογιζόμενοι, εἰ δέοι Ἀκαρνανίαν καὶ Ἤπειρον περιϊέναι, τοῖς ἐκ τῆς στρατείας κακοῖς ταλαιπωροῦντας, τῶν οἷκοι μάλιστα κακῶς διακειμένων, καὶ ταχείας τῆς ἐπικουρίας δεομένων. Φανερῶς μὲν οὖν ἀντειπεῖν, καὶ τὴν οἰκείαν ὡς ἔχουσι περὶ τὰ εἰρημένα γνώμην ἐκκαλύψαι, ἐδεδίεσαν· τό τε περὶ βασιλέα δυσνοεῖν, καὶ τὸ ἡσσᾶσθαι κατάκρας ἐν τοῖς δεινοῖς ὡς φαῦλον ἑαυτοῖς προστρίβειν οὐκ ἐθέλοντες· προφάσεις δέ τινας συνεἰροντες οὐκ ἀναγκαίας, διεκώλυον τὴν πρᾶξιν. Ὡς δὲ ὁ βασιλεὺς ἐπέκειτο ταύτην εἶναι μόνον φάσκων, ὡς ἐν τοῖς παροῦσι λυσιτελεστάτην γνώμην· Ἀλλ' εἰ μὲν τοῦτό σε λέληθεν, εἶπεν, ὦ βασιλεῦ, ὁ πρωτοστράτωρ, ὡς στρατιὰ Τριβαλῶν, πολὺν ἤδη χρόνον Ἔδεσσαν περικάθηται πολιορκοῦσα, ἢ δεῖ χωρήσαντας διὰ μάχης παρέρχεσθαι εἰς τὴν πόλιν, ἄλλος ἂν εἴη λόγος. Εἰ δ' οὐκ ἀγνοεῖς, μάλιστα θαυ-

A σιν. Οἱ δὲ ἐπὶ μίαν τῶν τριήρεων ἀναγαγόντες καὶ τοῦ δήμου σχεδὸν τῶν Θεσσαλονικέων παντὸς παρόντος, τὰ μοναχῶν, ὥσπερ εἰωθεν ἠμφιεσμένον, ἐπέθηκαν τῇ κεφαλῇ πῖλόν τι, ὃ τοῖς πολλοῖς καὶ δημώδεσι τῶν Περσῶν ἐπὶ τῆς κεφαλῆς φορεῖν ἔθος, λαμπάδας τε ἡμμένας ἀμφοτέραις κατέχειν ἀναγκάζοντες ταῖς χερσὶν, ὄπισθεν μὲν ἐλάκτιζον ἐπὶ τὸν πρωκτόν. Εἶτα παριόντες, ἔμπροσθεν ἠσπάζοντο, Οὗτος, ἐπιβοῶντες, ὁ πατριάρχης Καντακουζηνοῦ. Μετὰ δὲ τὴν πολλὴν ἐκείνην ἐρεσχελίαν καὶ τὸν θρίαμβον τὸν ἄτιμον, ἐκέλευε καὶ αὐτὸν εἰς δεσμωτήριον ἀπάγειν. Μετὰ δὲ τοῦτο, τὰ ἐν Θεσσαλονίκῃ πράγματα ὡς ἂν αὐτῷ ἐδόκει ἄριστα οἰκονομήσας,

B καὶ πρὸς τὸν πρὸς βασιλέα πόλεμον πάντας παραθήξας, αὐτὸς μὲν ἐκ θαλάσσης, ἡ ἵππος δὲ ἐκ τῆς ἠπείρου εἰς Βυζαντίον ἀνέστρεφε. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς μετὰ τὴν ἐκ Βυζαντίου καὶ Θεσσαλονίκης στρατιὰν αὐτοῦ ἀναχωρῆσαι πρὸς τὴν μάχην ἀπειποῦσαν, τὸ ἐπίλοιπον ὁδεύσας τῆς ἡμέρας, παρὰ τῶν Προσοίκου στενῶν τὴν εἴσβολὴν ηὐλίσατο τὴν νύκτα. Ὁ δὲ Πρόσοικος οὗτος φρούριόν ἐστι καρτερώτατον ἐπὶ λόφου ἱδρυμένον· ὃ πάλαι μὲν ὑπὸ τῶν Ῥωμαίων ἡγεμονίαν διετέλει, κατὰ δὲ τὸν βασιλέων Ἀνδρονίκων πρὸς ἀλλήλους πόλεμον πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν ὑπὸ τῶν κατεχόντων ἐκόντων παρεδόθη μίσει τῷ πρὸς τὸν νέον βασιλέα. Τότε δὲ ὑπὸ Μιχαήλ τινος τοῦ Τριβαλῶν ἄρ-

C χοντος παραδόντος ἐκρατεῖτο, ὃς δὴ Μιχαὴλ, τῶν βασιλέως οἰκείων, ὡς ὕστερον αὐτὸς ἔφασκεν, ὤν, πρὸς Χράλην αὐτομολήσειεν ἔκ τινος αἰτίας. Τότε δὴ τὴν στρατιὰν ἰδὼν ἐστρατοπεδευμένην, καὶ νομίσας Ῥωμαίων οὖσαν ἐπὶ λείαν ἥκειν, πεζούς τε καὶ ἱππέας ὅσους μάλιστα ἠδύνατο ἀθροίσας, τῆς νυκτὸς προκατέλαβε τὰ στενά· καὶ ἅμα πρωῒ παρεσκευάζετο πρὸς μάχην, ὡς τὴν δίοδον τῇ στρατιᾷ οὐκ ἐπιτρέψων. Βασιλεύς τε ὁμοίως ἐπεὶ ἐκείνους εἶδε περὶ τὰ καρτερώτατα τοῦ χωρίου ἐγκαθιδρυμένους, τὴν

D στρατιὰν ἐκέλευεν ὁπλίζεσθαι ὡς βιασόμενος· πρὸς ἕτερόν τι τρέπεσθαι γὰρ βέλτιον οὐκ ἐνῆν. Μιχαὴλ δὲ τήν τε στρατιὰν ἐθέλων ὅθεν εἴη μαθεῖν, καὶ τὸν ἄγοντα στρατηγὸν, πλησίον τε γενόμενος τοῦ στρατοπέδου, καί τινας τῶν συνήθων καὶ φίλων πόρρωθεν ἰδὼν, ἐκάλει τε αὐτοὺς ὀνομαστὶ, καὶ ἐπυνθάνετο περὶ τοῦ στρατηγοῦ. Ἐκείνων δὲ ἀπαγγειλάντων, ὡς εἴη βασιλεὺς ὁ Καντακουζηνὸς, μηδὲν μελήσας, προσῆει τε αὐτίκα, καὶ ἠσπάζετο τὸν πόδα. Ἔπειτα καὶ ἑαυτὸν ἀναγνωρίσας, συνήλγησέ τε πρὸς τὴν δυσπραγίαν βασιλεῖ, καὶ περὶ τὰ ἄλλα πρόθυμότατόν ἑαυτὸν παρέσχετο, χάριν τῷ Θεῷ πολλὴν ὁμολογῶν, ὅτι πρὸς τοῦτο καιροῦ συντύχοι, ἐν ᾧ τὴν εὔνοιαν ἐξέσται τὴν πρὸς ἐκεῖνον φανερὰν ποιεῖν. Τήν τε οὖν δίοδον εὐθὺς ἀπονητὶ παρείχετο, καὶ ἐξένιζεν ἐκ τῶν ἐνόντων τὴν στρατιάν. Τὴν μὲν οὖν ἡμέραν ἐκείνην ἐν Προσοίκῳ διετέλεσεν ὁ βασι-

Jacobi Pontani notæ.

(98) Descriptionem uberiorem hujus castelli lege apud Nicetam, principio lib. III *De reons gestis Alexii Angeli.*

Digitized by Google Распознавание текста ABK/FR

λεὺς ξενιζόμενος ὑπὸ Μιχαὴλ · ἅμα δ' ἵνα καὶ ἡ στρατιὰ πορίζοιτο τὰ ἐπιτήδεια, ἦσαν γὰρ παντάπασι τῶν ἀναγκαίων ἐνδεεῖς. Ἐς τὴν ὑστεραίαν δὲ ἄρας ἐκεῖθεν, καὶ Ἀξιὸν διαβὰς τὸν ποταμὸν, τῆς ἐπὶ Σκοπιὰν πόλιν καὶ αὐτὴν πάλαι μὲν Ῥωμαίων οὖσαν, ἔτεσι δὲ πολλοῖς πρότερον ὑπὸ Τριβαλῶν κατεχομένην εἶχετο φερούσης. Ἐπεὶ δὲ ἔδει περιϊέναι Βελεσσὸν πόλιν καὶ αὐτὴν ταῖς ἄλλαις παραπλησίως ὑπὸ Τριβαλῶν κατεχομένην, ἀθρόον ὡρᾶτο στρατιὰ τὴν πέραν τοῦ ποταμοῦ γῆν διερχομένη. Νομίσας δὲ ὁ βασιλεὺς ὅπερ ἦν, τὸν δυνατώτατον εἶναι τῶν Τριβαλῶν Λίβερον ὠνομασμένον, ἐκεῖ γὰρ ἐπύθετο ἐκεῖνον διατρίβειν, τῶν συνόντων ἐκέλευε τινα διανηξάμενον ἔφιππον, ἄπορος γὰρ ἦν ὁ ποταμὸς ἐκεῖ, πρὸς ἐκεῖνον ἀφικέσθαι, προσαγορεύσαντα δὲ αὐτὸν ἐκ βασιλέως, ἔπειτα καὶ γνώμην παρ' αὐτοῦ ζητεῖν ᾗ χρὴ διαθέσθαι τὰ κατ' αὐτούς, τοῦτον συνεσκευασμένα τὸν τρόπον ἦν ἐγένετο. Λίβερος δὲ ἐπεὶ πύθοιτο τοὺς παρὰ βασιλέως λόγους, ἡδέως τε μάλιστα ἐδέξατο καὶ τῶν οἰκείων ἕνα ἅμα τῷ ἐκ βασιλέως ἥκοντι συναποστέλλας, ἀντησπάζετό τε καὶ αὐτὸς ἐκ τοῦ ὁμοίου, καὶ τὸν ποταμὸν ἐδέξατο μικρὸν ἄνωθεν περιόντα, ἔνθα εὐχερῆ μάλιστα πρὸς πόρον παρέχεται αὐτὸν, αὐτῷ συγγενέσθαι διαβάντα ἄνευ πόνου, ἔπειτα καὶ ἅπερ οἴεται λυσιτελήσειν συμβουλεύσειν. Καὶ πρότερον μὲν γὰρ φιλίως διακεῖσθαι πρὸς αὐτὸν ἐξ ὅτου βασιλέως Ἀνδρονίκου τῷ Κράλῃ συγγενομένου καὶ αὐτὸς ὡμιληκὼς αὐτῷ οὐ μικρὰν ἔσχε φιλίας ἀφορμὴν τὴν συντυχίαν. Νῦν δὲ δὴ μᾶλλον οὐ φίλος εἶναι μόνον, ἀλλὰ καὶ τῶν δουλευόντων ἀκριβῶς εἶναι βούλεσθαι. Ὁ μὲν οὖν βασιλεὺς κατὰ τὴν παραίνεσιν ἐκείνου μικρὸν ἀνωτέρω προελθὼν, τόν τε ποταμὸν διέβαινεν εὐχερῶς, καὶ Λιβέρῳ συνεμίγνυτο. Ὁ δὲ οἷά τε δεσπότῃ προσεφέρετο τῷ βασιλεῖ, καὶ πᾶσαν παρεῖχετο τιμήν · πρὸς τὴν οἰκίαν τε ἀγαγὼν, ἐξένισεν ἐπὶ τρισὶν ἡμέραις ἅμα πᾶσαν τὴν στρατιὰν μάλα φιλοτίμως. Ἔπειτα συνεβούλευε βασιλέα μὲν ἐλθεῖν εἰς Σκοπιὰν, κἀκεῖ τὴν ἐκ Κράλη ἀγγελίαν περιμένειν, αὐτὸν δὲ πρότερον ἐλθόντα πρὸς ἐκεῖνον πάσῃ χρήσασθαι σπουδῇ, ὥστε πεῖσαι τὴν βασιλέως ἄφιξιν ἡπίως δέξασθαι καὶ προσηνῶς. Ὁ δὴ καὶ κατὰ τὴν ἐκείνου παραίνεσιν ἐτελεῖτο. Καὶ βασιλεὺς μὲν ἀφίκετο εἰς Σκοπιάν.

A ascenderet, ubi vadum esset, quo facillime superato, se conveniat, tum se utile consilium daturum. Nam cum et antea bene illi voluisse, a congressu videlicet Andronici cum Crale (quo tempore et ipse multa cum Cantacuzeno collocutus, amicitiæ fundamenta jecerit), nunc non tantum amicum, sed et ministrum sedulum esse velle. Imperator, ut erat monitus, paulo supra flumen expedite transit, et cum Libero colloquium serit, a quo tanquam dominus colitur, omnique honore afficitur, et in toparchiam perductus, cum toto exercitu, magnifico apparatu per triduum hospes retinetur. **491** Deinde consulit, Scopiam pergat, ibi nuntium a Crale præstoletur : se prius eum B conventurum, daturumque enixissime operam ut ab eo clementer ac placide excipiatur. Bene monenti paret imperator, Scopiam pervenit.

CAPUT XLIII.

Liberus Cantacuzeno Cralem conciliat, qui eidem cum uxore ad se venienti occurrit; et excipitur perhonorifice, tractaturque regaliter. Ab eo, calamitates suas enumerans, amicitiam et auxilium petit et se de dicto excusat. Crales mercedem societatis nimiam postulat, quam Cantacuzenus diserte, spiritu plane imperatorio negat.

Λίβερος δὲ συντόνῳ χρησάμενος ὁδοιπορίᾳ ὀλίγῳ C χρόνῳ περί τινα τόπον Μοράβαν ἐγχωρίως προσαγορευόμενον τῷ Κράλῃ συντυγχάνει Ἑλένην προπέμποντι τὴν γυναῖκα, πρὸς τὸν βασιλέα Μυσῶν Ἀλέξανδρον, ὄντα ἀδελφὸν ἀφικνουμένην. Ἀπαγγείλας δὲ αὐτοῖς τὰ περὶ βασιλέα τὸν Καντακουζηνὸν ὑπὸ τῶν ὁμοφύλων εἰργασμένα, καὶ ὡς προδοσίᾳ τῶν ἑπομένων, τῆς Ῥωμαίων γῆς ἀπελαθείς, ἀφίκοιτο παρ' αὐτούς, ἔπειθε φιλοφρόνως λέξασθαι καὶ μεγαλοπρεπῶς, ὡς τῆς εἰς ἐκεῖνον φιλοτιμίας πολλῆς ἐκείνοις τε καὶ παιδὶ καὶ πάσῃ τῇ Τριβαλῶν ἀρχῇ τὸν ἔπειτα πάντα χρόνον εὐδοξίας ἐσομένης ὁ φορμῆς. Οἱ δ' αὐτίκα τε ἐπείθοντο, καὶ ἀνέστρεφον ἐκ τῆς ὁδοιπορίας, ὡς ἀφιξόμενοι πρὸς βασιλέα. Πέμψαντες δὲ πρὸ αὐτῶν Μπογδάνον τὸν Λιβέρου D ἀδελφὸν, ἠσπάζοντό τε βασιλέα, καὶ ἐδήλουν ὡς ὀλίγῳ ὕστερον ἀφιξόμενοι πρὸς ἐκεῖνον. Ὁ δ' ἐπεὶ πύθοιτο Κράλην ἅμα γυναικὶ ἀφικνουμένους

Liberus properato itinere, brevi spatio Cralem loco quodam, Moraba ab indigenis nuncupato, Helenam uxorem ad fratrem ejus Alexandrum Mœsorum regem deducentem offendit : quibus narrat, quæ Cantacuzenus imperator a civibus suis pertulerit, et quomodo suorum proditione Romano solo exactus, ad eorum opes confugiat, suadetque uti eum humaniter et magnifice accipiant, quod in ipsum collata merita magnæ illis, illorumque liberis, totique Triballorum genti aliquando gloriæ futura sint. Obtinuit rem statim. Jamque iter relegebant, ad imperatorem profecturi; cui per Bogdanum Liberi fratrem salutationem mittunt, et brevi se apud eum adfuturos certiorem faciunt. Qui ut Cralem cum conjuge ad se venturum didicit, eos resalutans, de amicitia gratias magnas agit, et Scopia recedens, ad locum Tao propter amœnitatem nominatum (99) venit; ibi prope v-

Jacobi Pontani notæ.

(99) Ταὼς sive ταῶν, Græcis est *pavo*, ἀπὸ τῆς τάσεως των πτερῶν, *ab extensione pennarum* nominatus. Et quoniam pennis est pulcherrimis et splendidissimis, forsitan ab ea elegantia loco nomen Tao factum est. Tu vide quam vera sit conjectura nostra.

Digitized by Google Распознавание текста ABBYY FR

cum muris carentem, Pristenum vocabulo, cum Crale et regina congreditur, atque ab iis, adventu ejus lætantibus sibique gratulantibus, quanto maximo potuit honore ac studio excipitur, et summa veneratione colitur. In omnibus enim Crales illum sibi præponebat, et ut præstantiori primas cedebat. Nam et in accubatione epulari ornatiorem et altiorem ei sellam dabat, et in incessu aliisque singulis eum sibi anteferebat. Inveterarat apud Triballos consuetudo, ut si quis nobilium ac potentum longo intervallo temporis ad principem veniret, **492** ante primam salutationem ambo ab equis descenderent, et primum quidem inferior principis pectus, post ejusdem os, sive labra deoscularetur; altero congressu minor non descenderet amplius, sed et ipse in equo dominum salutaret. Mos cum ipso quidem rursum servabatur; Triballos autem morem Romanum erga imperatorem tenere volebat, et quoties eum convenirent, omnes ab equis descendere, ac primo præsertim remotius descendere, et pedibus accedere, et sic ejus genu exosculari : quodque mirabilius est, si quando una equitarent, oporteretque e Triballis quempiam nobiliorem accedere, Crales quidem pro recepto more faciens, ab equo ad salutationem illius descendebat, imperator autem de equo accedentem salutabat. Quoties porro regiam Cralis ingrederetur (et ingrediebatur pene quotidie : non enim manere in tentorio illum sinebat, quavis etiam jucunda occupatione illius collocutionem jucundiorem ducens), extra portam adolescentulos nobiles honorarios (1) ei jubebat obviam ire : in atrio autem seniores, et qui honoribus fungebantur, ipse post atrium in aditu domus se obvium ferens salutabat, aut etiam ad locum, ubi ab equo descenderet, procedebat. Non minus eum Cralæna honorabat, cuixe contendens, ne quid a marito vinceretur. Atque hæc tandiu fiebant, quandiu apud eos imperator commorabatur. Cum autem primis ab adventu diebus, iisque non paucis, Triballorum princeps compotando et amice propinando suam erga illum propensionem satis declarasset, quæsivit tandem qua gratia venisset (2), et quid ab se peteret. Respondit amicitiæ causa venisse, qua vera et constanti apud homines recte sentientes nihil sit præstabilius. Deinde si modo velit et possit, cupere se ejus auxiliis ad reditum in imperium suum adjuvari. Putare autem nec ipsum latere, quæ jam totis novem mensibus post bellum inter Romanos excitatum perpessus sit, quantoque odio apud gentem suam nulla culpa sua laboret, quomodoque bellum sibi fecerint, nec indixerint; et qua ratione ad extremum a militi-

A πρὸς αὐτὸν, ἀντησπάζετο μὲν καὶ αὐτὸς αὐτούς. Καὶ πολλὴν ὡμολόγει τῆς φιλίας χάριν, ἀναστάς τε ἐκ Σκοπιᾶς, πρός τινα τόπον ἦλθε, Ταὼ διὰ τὸ κάλλος ὠνομασμένον· ἔνθα περὶ κώμην τινὰ ἀτείχιστον Πρίστηνον προσαγορευομένην, συνεμίγνυτο τῷ Κράλῃ ἀφιγμένῳ ἅμα γυναικί. Οἱ δ' ἐδέξαντο μὲν βασιλέα μεθ' ὅσης ἂν εἵποι φιλοτιμίας καὶ σπουδῆς. Οὐχ ἧττον δὲ καὶ αὐτοὶ διὰ τὴν ἐκείνου ἄφιξιν συνήδοντό τε καὶ συνέχαιρον ἑαυτοῖς, τιμῆς τε ἠξίουν μάλιστα πολλῆς. Ἐν ἅπασι γὰρ αὐτὸν προῆγεν ἑαυτοῦ, καὶ ὡς κρείττονι τῶν πρωτείων παρεχώρει. Ἔν τε γὰρ ταῖς ἀνακλίσεσι τὴν κρείττω καὶ ὑψηλοτέραν παρείχετο καθέδραν, καὶ ἐν ὁδοιπορίαις καὶ ἐν ἅπασι τοῖς ἄλλοις προετίθει ἑαυτοῦ. Ἔθους δὲ ἀρχαίου παρὰ Τριβαλοῖς κεκρα- B τηκότος ἐπειδάν τις τῶν εὐγενεστέρων καὶ μεγάλα δυναμένων ἔλθῃ διὰ χρόνου πρὸς τὸν ἄρχοντα αὐτῶν, καὶ δέῃ ποιεῖσθαι τὴν πρώτην προσαγόρευσιν, ἀμφοτέρους ἀποβαίνοντας τῶν ἵππων, πρῶτα μὲν τοῦ ἄρχοντος τὸ στῆθος τὸν ὑποδεέστερον ἀσπάζεσθαι ἔπειτα καὶ τὸ στόμα, καὶ μηκέτι κατὰ δευτέραν συντυχίαν ἀποβαίνειν τὸν δουλεύοντα τοῦ ἵππου, ἀλλ' ἔφιππον καὶ αὐτὸν προσαγορεύειν τὸν δεσπότην. Πρὸς μὲν ἐκεῖνον πάλιν τὰ εἰωθότα ἐτελεῖτο· βασιλεῖ δὲ κατὰ τὸ Ῥωμαίων ἔθος ἐκέλευσε προσφέρεσθαι τοὺς Τριβαλούς, καὶ κατὰ πᾶσαν μὲν συντυχίαν τῶν ἵππων πάντας ἀποβαίνειν, κατὰ δὲ τὴν πρώτην μάλιστα καὶ πόρρωθεν ἀποβάντας καὶ προσελθόντας πεζῇ οὕτως ἀσπάζεσθαι ἐπὶ γόνυ βα- C σιλέα. Καὶ τὸ δὴ θαυμαστότερον, ὅτι εἴ ποτε συνοῦσιν ἀμφοτέροις ἐδέησε τινα τῶν εὐγενεστέρων Τριβαλῶν προσελθεῖν, Κράλης μὲν κατὰ τὸ εἰωθὸς ἐποίει, καὶ ἀπέβαινε τοῦ ἵππου πρὸς τὴν προσαγόρευσιν· βασιλεὺς δὲ μένων ἔφιππος, ἠσπάζετο τὸν προσιόντα. Πρὸς δὲ τὴν οἰκίαν ἐκείνου εἰσιόντα, εἰσῄει δὲ ὁσημέραι σχεδόν, οὐ γὰρ εἶα μένειν ἐπὶ τῆς σκηνῆς, πάσης ἡδίω διατριβῆς τὴν πρὸς ἐκεῖνον τιθέμενος ὁμιλίαν, ἔξω μὲν τῆς πύλης τοὺς νέους τῶν εὐγενεστέρων πεζῇ θέοντας ἐκέλευεν ὑπαντᾶν, ἔνδον δὲ τῆς αὐλῆς τοὺς πρεσβυτέρους καὶ ἀξίαις ταῖς παρ' αὐτοῖς τετιμημένους, αὐτὸς δὲ ἐπὶ τὸν πρῶτον μάλιστα τῶν οἴκων, κατὰ τὴν αὐλὴν προσηγόρευεν ὑπαντῶν, ἢ καὶ ἄχρι τοῦ τόπου ἔνθα τοῦ ἵππου ἀπέβαινε προῇει. Οὐχ ἧττω δὲ φιλοτιμίαν καὶ D ἡ τοῦ Κράλη γαμετὴ πρὸς βασιλέα ἐπεδείκνυτο, ἐν πᾶσι μάλιστα ἐκείνου οὐδαμῶς ἀπολείπεσθαι φιλονεικοῦσα. Ταῦτα μὲν οὖν παρὰ πάντα τὸν χρόνον ἐν ᾧ συνδιέτριβεν αὐτοῖς ὁ βασιλεὺς ἐπράττετο· ἐν ἀρχαῖς δὲ τῆς ἐπιδημίας μάλιστα ἐν ἡμέραις οὐκ ὀλίγαις πότοις καὶ φιλοτησίαις ὁ τῶν Τριβαλῶν ἄρχων τὴν πρὸς βασιλέα εὔνοιαν ἐπιδεικνύμενος, ἔπειτα ἐπυνθάνετο, ὅτου χάριν ἀφίκοιτο πρὸς αὐτὸν, καὶ εἴ δέοιτο παρ' αὐτοῦ τινος. Βασιλεὺς δὲ ἧκειν μὲν

Jacobi Pontani notæ.

(1) Sic a quibusdam appellatos scio, quos Germani *Edelknaben*.

(2) Apud Græcos illos vetustissimos fuisse morem, ut legatos et advenas prius liberaliter tractarent, ac tum demum causam adventus eorum exquirerent, cognoscitur ex Homero, apud quem *Odysseæ* lib. III excipitur a Nestore Telemachus cum Minerva sub forma Mentoris, et lib. IV cum eodem Telemacho Pisistratus Nestoris filius a Menelao; et post epulas demum ac die altero causam adventus interrogatur.

Digitized by Google Распознавание текста ABK/FR

ἔφασκε τῆς εἰς αὐτὸν φιλίας ἕνεκα. Οὐ γὰρ ἂν εἶη τι βέλτιον καὶ σωφρονέστερον ἀνθρώποις ὀρθοῖς χρωμένοις λογισμοῖς τὴν βεβαίαν καὶ ἀληθῆ φιλίαν κτήσασθαι. Ἔπειτα δὲ εἴ γε βούλοιτο καὶ δύναιτο καὶ βοηθείας παρ' αὐτοῦ τυχεῖν, ὥστ' ἐπανελθεῖν πρὸς τὴν οἰκείαν. Οἴεσθαι δὲ μηδ' αὐτὸν ἀγοεῖν τὰ αὐτῷ συμβεβηκότα ἐν ἐννέα μάλιστα μησὶν ἤδη τοῦ παρὰ Ῥωμαίοις πολέμου κεκινημένου, ὅπως τε φθονηθείη παρὰ τῶν ὁμοφύλων μηδὲν ἠδικηκὼς, καὶ ὡς κινηθείη παρ' ἐκείνων πόλεμος ἀκήρυκτος, καὶ τὰ τελευταῖα ταῦτα δή, ὡς προδοθείη παρὰ τῶν συνόντων πρὸς τοὺς πολεμίους ἀποστάντων. Εἰ δὲ μὴ βούλοιτο βοηθεῖν, ἀπαγορεύειν φανερῶς, ὥστ' αὐτὸν διασκεψάμενον, ὅ τι ἂν δοκοίη βέλτιον αὐτῷ τε καὶ τοῖς συνοῦσι πράττειν. Μὴ θαυμάζειν δὲ ὡς, εἴ γε δύναιτο βοηθεῖν, εἰρήκει· οὐ γὰρ ἀδυναμίαν αὐτοῦ κατεγνωκὼς τοιαῦτα φάναι· ἀλλ' εἰδὼς ὡς πᾶσιν ἀνθρώποις ἡ μὲν βούλησις ὁμοίως ἐπ' ἐξουσίᾳ κεῖται, τὸ δύνασθαι δὲ οὐκέτι. Ἐνίοτε γὰρ καὶ αὐτοὶ οἱ μεγάλα δκοῦντες δύνασθαι ὑπό τινων κωλυμάτων τὴν τοῦ πράττειν ἃ βούλονται δύναμιν ἀποστεροῦνται ἢ πολεμίων ἄλλων δυνατωτέρων ἐπικειμένων, ἢ αὐτοὶ ὁμόροις ἔθνεσί τισι μέλλοντες ἐπιστρατεύειν, διὰ τοῦτο φάναι τὸ, εἰ δύναιτο· ὃ δίκαιον αὐτὸν μὴ θορυβεῖν, πολλῶν τοιούτων ἐν τῷ βίῳ συμβαινόντων. Ἔφασκε δὲ ὕστερον ἐξεπίτηδες τοιαῦτα πρὸς Κράλην εἰρηκέναι, ὡς εἰ μὴ βούλοιτο βοηθεῖν, προφάσεως εὐπροσώπου παρὰ τῶν ἐκείνου λόγων εὐπορεῖν, ὥστε τὴν μὲν βοήθειαν ἀπαγορεύειν, μηκέτι δὲ καὶ τὴν φιλίαν τὴν πρὸς αὐτόν. Ἐδεδίει γὰρ μὴ ἐκπολεμωθείη πρὸς αὐτὸν, εἰ μὴ βούλοιτο βοηθεῖν, νομίσας ἤδη διὰ τὴν ἀποτυχίαν τῆς ἐπικουρίας εἰς ὀργὴν ἐξάγεσθαι καὶ ἔχθραν. Ὁ Κράλης δὲ, Καλῶς ἐποίησας, εἰρηκεν, ὦ βασιλεῦ, τὸν λόγον διασαφήσας· ὑπέθραττε γὰρ οὐκ ὀλίγον καὶ ἐθορύβει τὴν διάνοιαν, ὡς ἀγνοῶν τὴν ἐμοὶ παροῦσαν δύναμιν οἰόμενον τοιαῦτα λέγεις. Ἐπειδὴ δὲ τῶν τοιούτων ἀπήλλαξας ὑπονοιῶν, ἤδη σοι τὴν γνώμην καὶ αὐτὸς ποιήσω φανεράν, ὡς δύναμίν τε ἔχω μάλιστα ἀρκοῦσαν πρὸς τοὺς πολεμοῦντάς σοι, καὶ ἡδέως ἂν ἐπικουροίην εἴ γε βούλει καὶ αὐτός. Ἀποκρινομένου δὲ τοῦ βασιλέως, ὡς τῆς μὲν φιλίας ἕνεκα καὶ τῆς προθυμίας τῆς περὶ αὐτὸν, πολλὰς ἂν εἰδείη χάριτας, ἀγνοίη δὲ πρὸς ὅ τι φέρει τὸ, εἰ βούλοιτο καὶ αὐτὸς, μισθὸν τῆς συμμαχίας ὁ Κράλης τὰς ἀπὸ Χριστουπόλεως πρὸς τὴν ἑσπέραν ἁπάσας πόλεις Ῥωμαίοις ὑπηκόους ἤτει· εἰ δὲ τοῦτο ἐπαχθὲς δοκοίη, τὰς γοῦν ἀπὸ Θεσσαλονίκης. Οὐ γὰρ ἐπ' οὐδενὶ κέρδει χρήματά τε ἀναλώσουσι πρὸς τὸν πόλεμον ὑπὲρ αὐτοῦ τοσαῦτα, καὶ διακινδυνεύσωσι πρὸς πᾶσαν τὴν Ῥωμαίων ἡγεμονίαν, οἷς οὐδ' ὑπὲρ σφῶν αὐτῶν ποτε ἐτόλμησαν πόλεμον ἄρασθαι τοσοῦτον, ὥστε πρὸς Θρᾴκην, ἢ καὶ περαιτέρω προελθεῖν. Οἴεσθαι δὲ ἀριστά τε καὶ λυσιτελέστατα αὐτῷ βουλεύεσθαι. Εἰ γὰρ ὧν οὐκ ἔστι κύριος ἀποσχόμενος, οὐχ ἑαυτῷ καὶ τοῖς συνοῦσι μόνον, ἀλλὰ καὶ παισὶ μεγάλην ἀφέλειαν πορίσαιτο, καὶ προσέτι τοὺς πολεμιωτάτους διαφθείρας, τῶν

A bus suis ad hostes transeuntibus proditus sit. Si auxiliari nolit, aperte recusĕt, ut cum deliberarit, quid sibi suisque potius conducat, id ăgat. Non debere porro mirari, quod dixerit, si possit auxiliari; **493** non enim quo eum imbecillitatis argueret, ita locutum, sed quia sciat, omnibus mortalibus ex æquo liberum esse velle, posse non item. Interdum enim etiam qui videntur potentia excellere, quibusdam impedimentis potestate faciendi quæ volunt, excluduntur; si aut hostes potentiores urgeant, aut quosdam finitimos populos armis appetituri sint; idcirco dixisse, si possit, quod merito ipsum turbare non debeat, quandc hujuscemodi multa in hominum vita usu veniant. Narrabat postea, scientem ac volentem sic locu- B tum, ut si opitulari nollet, suppetiarum desperandarum, vel ex ipsius verbis honesta sibi facultas suppeditaret, non etiam amicitiæ: metuebat siquidem, ne hostile in se odium susciperet; si adjuvare nollet, ratus Cantacuzenum spe auxilii lapsum, iratum sibi et inimicum esse. Crales vero, Bene factum, inquit, cum verbum tuum exposuisti; haud enim modice terrebar ac perturbabar, cum existimarem te ignorantem quantum possem, ita loqui. Et quia talem mihi suspicionem ademisti, ego nunc te vicissim sensum meum non celabo. Virium adversus hostes tuos habeo plus satis, teque si ipse vis, adjuvabo libenter. Subjiciente imperatore, se amicitiæ et promptæ voluntatis er- o magnam illi habere gratiam, nescire autem, quid C illud sibi velit, «si ipse vis,» Crales præmium societatis omnes Romanorum urbes, a Christopoli usque in Occidentem poscit; si hoc nimium et intolerabile videatur, certe quidem a Thessalonica. Non enim pecuniam tam grandem in bellum pro ipso nulla spe lucri impensuros, totique imperio Romano cum discrimine se opposituros, qui nec pro seipsis unquam ad Thraciam, aut ultra, armati procedere ausi fuerint. Et arbitrari optimum atque utilissimum hoc esse consilium. Si enim illis urbibus, quarum dominus non sit, dimissis, non sibi et exercitui solum, sed et liberis magnum emolumentum comparare, et insuper infensissimis hostibus suis perditis, reliquarum potens evadere D queat, contentum hoc esse debere, nec ultra quam opportunum est, et mediocritas postulat, laborare. Recte, inquit imperator, de lucro ex societate, et opera, et sumptibus in bellum ratiocinaris. Nemo quippe cordatus, nisi prius commodum aliquod e faciendis eluxerit, non gravate defatigari et æruminas perpeti velit. Tu vero si mihi gratificari non vis, non injuria opis tuæ mercedem postules, **494** quam si dem, nullam tibi meriti gratiam debuero. Nec enim qui argento quidpiam ab aliquo emerit, venditori gratias agit. Sin ob solam amicitiam, et ut magno principi pulchrum est, honoris studio gratis mihi opitulabere, primum quidem de teipso, ut decet, merebere: qui non quæstus, ut ignobile vulgus, sed amicitiæ et gloriæ

Digitized by Google Распознавание текста ABK/FR

causa milites : deinde multo plura quam desideras, habere licebit. Si enim me Romanorum principem germanum amicum habueris, non solum urbium a Christopoli et Thessalonica, usque ad fines tuos, sed et insularum, et Byzantii, et reliquæ Thraciæ imperium habere poteris, quandoquidem amicorum, ut aiunt sapientes, omnia sunt communia (3) : ac præter factorum decus, major atque insignior utilitatis fructus ad te confluet. Si itaque missa cupiditate hac illiberali me audies, ut gratuito mihi succurras, quod te et nobis dignum est præstabis. Sin id facere nulla alia conditione statuisti, nisi Romanorum civitates tibi prodiderimus, aperte edicito, ut Deo nos adjuvante, aliam et commodam rationem ineamus. Plane enim scias velim, nos non multas et nobiles quas dixisti, verum nullam, quamvis abjectissimam volentes tradituros, et cum salute illius libenter filiorum salutem commutaturos.

A ἐπιλοίπων πόλεων κύριος κατασταίη, ἀγαπᾷν προσῆκον, καὶ μὴ πέρα τοῦ καιροῦ καὶ τοῦ μετρίου φιλονεικεῖν. Ὁ βασιλεὺς δὲ, Ὀρθῶς, εἶπε, περὶ τοῦ κέρδους τῆς συμμαχίας, καὶ τῶν πόνων, καὶ τῶν πρὸς τὸν πόλεμον ἀναλωμάτων ἐλογίσω. Οὐδεὶς γὰρ εὖ φρονῶν εἰ μή τινα πρότερον ἐκ τῶν πραττομένων ὠφέλειαν συνορᾷη, κόπτεσθαι καὶ ταλαιπωρεῖν ἕλοιτ' ἂν ἑκών· σὺ δ' εἰ μὲν οὐδεμίαν ἐμοὶ βούλει χάριν καταθεῖναι, λόγον ἂν ἔχοι μισθὸν τῆς συμμαχίας ἀπαιτεῖν· ὃν εἰ παράσχομαι αὐτὸς, οὐδεμίαν εἴσομαί σοι τῆς ἐπικουρίας χάριν. Οὐδὲ γὰρ ὁ ἀργυρίῳ τι παρά του ἐξωνούμενος, χάριν ἂν εἰδείη τῷ πιπράσκοντι τοῦ παρέχεσθαι. Εἰ δὲ φιλίας μόνης ἕνεκα, καὶ τῆς πρεπούσης δυνάστῃ φιλοτιμίας ἕλοιτο προῖκα βοηθεῖν, πρῶτον μὲν τὰ προσήκοντα βουλεύσῃ περὶ σεαυτοῦ, οὐ μισθοῦ ἕνεκα, B ὅπερ πάσχουσιν οἱ πολλοὶ καὶ φαῦλοι τῶν ἀνθρώπων, ἀλλὰ φιλίας καὶ φιλοτιμίας στρατευόμενος· ἔπειτα καὶ ὧν ζητεῖς ἐξέσται πλείω ἔχειν μετὰ πολλοῦ τοῦ περιόντος. Εἰ γὰρ ἐμὲ τὸν ἄρξοντα Ῥωμαίων, γνήσιον κτήσῃ φίλον, οὐ τῶν ἐκ Χριστουπόλεως μόνον καὶ Θεσσαλονίκης ἄχρι τῆς σῆς ἡγεμονίας ὅρων πόλεων, ἀλλὰ καὶ νήσων καὶ Βυζαντίου καὶ τῆς ἄλλης Θράκης ἔχειν ἐξέσται τὴν ἀρχήν· κοινὰ γὰρ οἱ σοφοὶ φασι τὰ φίλων, καὶ συμβήσεταί σοι μετὰ τῆς ἀπὸ τῶν ἔργων φιλοτιμίας, καὶ μείζω καὶ θαυμασιωτέραν τὴν ὠφέλειαν κατοῦσθαι. Εἰ μὲν οὖν ἐμοὶ πειθόμενος, καὶ πᾶσαν ὑπεριδὼν μικρολογίαν, προῖκα βοηθήσεις, σεαυτῷ τε καὶ ἡμῖν προσήκοντα βουλεύσῃ. Εἰ δ' ἄρα οὕτως ἔγνωκας ὡς οὐδενὶ τῳ τρόπῳ ἑτέρῳ βοηθήσων, εἰ μή σοι καταπροδοίημεν τὰς Ῥωμαίων πόλεις, ἀλλ' ἡμῖν γε φράσον φανερῶς, ὡς ἂν πρὸς ἕτερόν τι τῶν λυσιτελεῖν τρεπώμεθα δοκούντων Θεοῦ συναιρομένου. Ἴσθι γὰρ, ἴσθι σαφῶς, ὡς οὐ πολλῆς καὶ θαυμασίας, ἃς περ εἴρηκας αὐτὸς, ἀλλ' οὐδεμίαν καὶ τὴν φαυλοτάτην ἐκόντες ὄντες προησόμεθα, οὐδ' ἀλλαξαίμην ἂν ἡδέως αὐτῆς τὴν σφετέραν καὶ τῶν παίδων σωτηρίαν.

CAPUT XLIV.

Dolet recusatione Crales. Helena uxor causam Cantacuzeni apud proceres agens, nullo modo interficiendum docet; nec vacuum dimittendum, sed adjuvandum, idque gratis, una tantum conditione posita, ut amicum se fore et ablatarum civitatum nullam repetiturum juret. Eam a prudentia laudat Liberus, et consilium cum Crale cæterisque amplectitur. Imperator suorum consilium de concedendis quæ Crales peteret, iratus repudiat.

Crales ad spiritus tam excelsos, tantumque in adversa fortuna robur obstupescere, et dolere mirifice quod nihil impetrasset. Helena autem conjux præsens, et cogitationes viri conjectans, nempe urbes sibi ab imperatore negatas ægre ferre, eum de sententia deducturam, accersitis quatuor et viginti totius provinciæ potentissimis proceribus, sic eos affatur : In nostro situm esse arbitrio, præsenti Romanorum imperatori, aut bene facere, aut male, nemo utique inficiabitur. Videndum tamen, utram partem amplexi, prudentiam et utilitatem secuti videamur. Si **495** igitur malefacere voluerimus, aut omnino eum occidemus, aut vacuis, ut aiunt, manibus dimittemus, nulla cura aut ope dignati videlicet. Quod ad cædem attinet, nescio num quis adeo crudeli et efferata natura sit, ut hanc ipsam velle et aliis suadere possit. Nam ut

C Ὁ μὲν οὖν Κράλης ἐξεπέπληκτο μὲν τὴν τῶμαν τοῦ φρονήματος, καὶ τὴν καρτερίαν τὴν ἐν τοῖς δεινοῖς, ἤχθετο δὲ οὐκ ἀνεκτῶς ὅτι μὴ πεῖθαν εἶχεν. Ἑλένη δὲ ἡ γαμετὴ παροῦσα, καὶ τῆς διανοίας τοῦ ἀνδρὸς καταστοχαζομένη ὡς βαρέως φέροι τὴν περὶ τῶν πόλεων ἀπαγόρευσιν τοῦ βασιλέως, μεταστήσασα τὸν ἄνδρα, καὶ τοὺς ἐν τέλει καὶ μεγάλα δυναμένους παρ' αὐτοῖς προσπεμψαμένη τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσιν, Ὡς μὲν ἐφ' ἡμῖν ἐστιν, εἶπεν, ἀφιγμένον πρὸς ἡμᾶς τὸν Ῥωμαίων βασιλέα εὖ ποιεῖν, ἢ τὸ ἐναντίον, οὐδεὶς δήπουθεν ἀντερεῖ. Σκεπτέον δὲ ὁποτέρῳ πρόσθεμένους νοῦν ἔχοντα καὶ λυσιτελοῦντα δόξομεν ἑλέσθαι ἑαυτοῖς· εἰ μὲν οὖν ἑλοίμεθα κακῶς ποιεῖν, ἢ ἀποκτενοῦμεν D πάντως, ἢ κεναῖς ἀποπέμψομεν, ὃ φασι, χερσὶ, μηδεμιᾶς προνοίας, ἢ ἐπικουρίας ἀξιώσαντες. Τὸ μὲν οὖν ἀποκτείνειν, οὐκ οἶδα εἴ τις εἰς τοσοῦτον

Jacobi Pontani notæ.

(3) Festive. Nihil hoc dicto vulgatius, quod ab Euripide profectum est. Perlepide hinc probabat Socrates, sapientum esse omnia, quod et alibi a me notatum memini. Quia, inquiebat, *deorum sunt omnia. Sapientes amici sunt deorum. Amicorum omnia sunt communia. Ergo sapientum sunt omnia.* Verumtamen scimus multos sapientes hujus mundi, cum haberent deorum opes, interim multis, etiam necessariis eguisse. Christianis tantum sapientibus dicere cum Paulo licet, *Nihil habentes, et omnia possidentes.*

Digitized by Google Распознавание текста ABK/FR

ἀπανθρωπίας ἥκει καὶ ὠμότητος, ὡς αὐτός τε ἐλέσθαι καὶ τοῖς ἄλλοις συμβουλεῦσαι. πρὸς γὰρ τῷ Θεῷ ἐχθίστην εἶναι τὴν τοιαύτην τόλμαν, καὶ παρὰ πᾶσιν ἀνθρώποις σαφῆ παρέχεται κακίας καὶ μοχθηρίας ἀπόδειξιν ὑπερβολῆς. Τὸ γὰρ νῦν τε ὄντα Ῥωμαίων βασιλέα, καὶ πρὶν εἰς τοῦτο ἥκειν σχήματος πολλοῖς πρότερον χρόνοις ὁμοίως ἄρχοντα, καὶ παρὰ πάντων καὶ Ἑλλήνων καὶ Βαρβάρων ἀγαπώμενον καὶ περισπούδαστον ὄντα διὰ τὴν προσοῦσαν ἐπιείκειαν, καὶ σύνεσιν, καὶ φιλοτιμίαν ἐν πᾶσιν ἀγαθοῖς, νῦν ἥκοντα παρ' ἡμᾶς διὰ πραγμάτων μεταβολήν, πρὸς τῷ μὴ προστῆναι, καὶ ἀνήκεστα διαθεῖναι, οὐκ ὠμότητος καὶ ἀπανθρωπίας μόνον, ἀλλὰ καὶ ἀσεβείας ἔγκλημα ἡμῖν δικαίως περιάψαι. Οὗ δὴ ἕνεκα, τῶν τοιούτων αὐτή τε ἔγνωκα, καὶ ὑμῖν ἀποσχέσθαι παραινῶ· τὸ δ' ἀποπέμπειν ἄπρακτον, ἀβουλίας ἂν τις τιθείη λογιζόμενος ὀρθῶς· οὐ γὰρ μόνον ἀγνοίας περὶ τὰ καλὰ καὶ ἀφιλοτιμίας δικαίως ἂν ἁλοίημεν παρὰ τοῖς κρίνειν τὰ τοιαῦτα δεινοῖς, ὅτι δν ἐπεθύμουν πολλοὶ τῶν δυναστῶν, καὶ πολλὰ ἐπραγματεύοντο φίλον ἔχειν, τοῦτον ἔχοντες αὐτοί, καὶ δυνάμενοι τῶν ἄλλων μᾶλλον τὴν παρ' αὐτοῦ φιλίαν καρποῦσθαι, ἐκόντες ὄντες προηκάμεθα δι' ἀγροικίαν. Ἀλλ' εἴ ποτε συμβαίη καὶ Ῥωμαίων ἄρξαι, μεμνημένος ὡς οὐδεμιᾶς ἐπικουρίας τύχοι παρ' ἡμῶν, ἀλλὰ τόγε εἰς ἡμᾶς ἦκον, καὶ τοῖς πολεμίοις καταπροδοθείη· οὐδὲ γὰρ ἧττον τούτου νυνὶ τὸ ἀποπέμψαι δύναται· ἀμυνεῖται δικαίως, καὶ κακῶς ποιήσει τὰ ἡμέτερα, ἄλλων τε πολλῶν προφάσεων εὐπορήσας ἄν, καὶ τὴν νῦν προδοσίαν ἐπικαλῶν. Δι' ἃ οὐδὲ ἀποπέμπειν ἄπρακτον οἰόμαι λυσιτελεῖν. Δεῖσθαι δὴ βοηθεῖν, ἢ παραχωρήσαντι τῶν πόλεων ὧν αἰτοῦμεν, ἢ προῖκα καὶ διὰ φιλοτιμίαν. Τὸ μὲν οὖν τῶν πόλεων παραχωρεῖν αὐτὸν, ἐμοὶ μὲν ἥδιστον, καὶ μάλιστα βουλοίμην ἄν· ἐκεῖνος δὲ, ὡς ὁρῶμεν, τοσοῦτον ἀπέχει τοῦ διὰ τὴν παροῦσαν δυσπραγίαν κατεπτηχέναι καὶ ταπεινὰ καὶ ἀνελεύθερα φρονεῖν, ὥσθ' ἡδέως ἂν, ὥσπερ ἔφη, τῆς αὐτοῦ καὶ παίδων καὶ πάντων τῶν συνόντων σωτηρίας τὴν μιᾶς καὶ φαυλοτάτης πόλεως ἀλλάξαιτο. Ὅτε τοίνυν οὕτως ἔχει καὶ ἐλευθέρῳ πρέποντα ἀνδρὶ καὶ βασιλεῖ προσήκοντα ἀπεφήνατο, βέλτιον ἐμοί τε ἔδοξε, καὶ ὑμῖν πᾶσι παραινῶ ἣ ἐκεῖνος ἀξιοῖ ποιεῖν, καὶ πᾶσαν μικρολογίαν καὶ ἀνελευθερίαν ἀποῤῥίψαντας, πάσῃ δυνάμει βοηθεῖν, καὶ τὴν Ῥωμαίων αὐτῷ ἡγεμονίαν κατακτᾶσθαι, οὐ μικρὰν ὠφέλειαν ἡγουμένους τὴν παρὰ πάντων ἡμῖν εὔκλειαν ἐσομένην, καὶ τὸ φίλον κτήσασθαι καὶ σύμμαχον τοιοῦτον, ὃν πολλοὶ μὲν ἐπιθυμοῦσι, τυγχάνουσι δὲ οὐδὲ ὀλίγοι· καὶ ὃν οἱ ἔχοντες, ἀγνοήσαντες αὐτοί, καὶ τὰ χείριστα καὶ ἀλυσιτελέστατα βουλευσάμενοι, ἑαυτοῖς ἀπεώσαντο ἑκόντες. Τοῦτο δὲ μόνον παρ' αὐτοῦ αἰτεῖν ὅρκοις βεβαιοῦσθαι, ὥστε σύμμαχόν τε καὶ φίλον διὰ βίου ἡμῖν εἶναι, καὶ ἃς ἔχομεν νυνὶ πόλεις αὐτοί τε καὶ πατέρες οἱ ἡμέτεροι, τῆς Ῥωμαίων ἀφελόμενοι ἡγεμονίας μηδεμίαν ἀπαιτεῖν, ὅταν ἐπὶ τῆς ἀρχῆς καταστῇ· μηδὲ πόλεμον κινεῖν περὶ αὐτῶν ἐπιχειροῦντα ἀφελέσθαι. Ὧ καὶ αὐτὸν οἰόμαι συνθήσεσθαι

A laceam, tale scelus apud Deum esse odiosissimum, apud homines quoque universos certum incredibilis malitiæ et improbitatis argumentum est. Etenim cum qui nunc Romanorum imperator est, et priusquam insignia accepit, diu imperatoris munus gessit, et omnibus tum Græcis, tum Barbaris charum, et propter eam, qua præditus est, lenitatem, prudentiam, et omnis honestatis studium certatim expetendum, et nunc ad nos rebus labefactatis confugientem, non tantum non tueri ac tegere, sed etiam importunissime violare, non crudelitatis solum et immanitatis, sed impietatis quoque in crimine nos jure posuerit. Quare scelus hujusmodi et ipsa fugere statui, et ut vos æque fugiatis, moneo. Re autem infecta eum dimittere, B id bonus rerum æstimator amentiæ ascripserit. Non enim solum ut honesti ignorantes, et ab omni cogitatione laudis aversi, a peritis judicibus merito redarguemur, si cujus amicitiam multi principes sollicite et laboriose quæsiverunt, hunc ipsi nobiscum habentes, cum possemus ante alios ejus amicitiam consequi, ex quadam rusticitate volentes deseruerimus. Atqui si quando eum Romanis jura dare contigerit, memor, se nullum hinc auxilium abstulisse, sed quantum in nobis fuit, etiam hostibus suis objectum (perinde enim est, nunc ipsum inanem dimittere, atque hostibus prodere), non injuria se ulciscetur, et nobis malum dabit, eum ad alias causas non paucas hæc etiam proditionis accesserit. Quocirca si rei nostræ consultum C cupimus, inanem dimittendum non puto. Relinquitur ergo adjuvandum, aut cedentem urbibus quas petimus, aut gratuito certe, ut istuc nobis honori sit. Si oppidis cederet, id mihi jucundissimum atque optatissimum foret. At ille, quod videmus, tantum abest, ut præsenti calamitate consternatus, humile quidpiam abjectumque cogitet, ut libenter, quemadmodum professus est, etiam filiorum et qui cum eo sunt omnium salutem cum uno et ignobilissimo oppidulo commutaverit. Quando igitur res ita se habet, et ille homini ingenuo atque imperatori decora affirmavit, præstare mihi visum est, et ad idem vos omnes adhortor, ut quæ vult ei concedamus omnique illiberali et sordida cu- D piditate posita, 496 ad Romanum principatum acquirendum totis viribus ei studeamus : non exiguum fructum arbitrati, quam apud omnes gloriam adipiscemur, cum talem amicum nobis sociumque paraverimus, qualem multi exoptantes, pauci inveniunt : et qualem qui habebant, nescientes qualem haberent, rationibus suis longe pessime consulentes, ultro repulerunt. Hoc solum ab eo petendum ut se in omni vita amicum et socium nobis fore, et quas nunc urbes, sive per nos, sive per patres nostros a Romanorum principatu divulsas tenemus, earum nullam repetiturum, quando in imperium venerit, nec bellum ea gratia moturum, sacramento confirmet. Quam conditionem, ut justam, nec quasi idcirco rempublicam

Digitized by Google Распознавание текста ABBYY FR

Romanam prodat, maculæ futuram, non illibenter accepturum confido. Talis fuit Helenæ Cralænæ in conventu sententia. Quæ ut conticuit, et maritus principibus dicendi copiam fecit, addendique, si cui melius aliquid in mentem veniret, Liberus procerum longe potentissimus, qui primus imperatori occurrerat, eumque unice diligebat, Si Cralæna uxor tua, inquit, non satis, aut ad gloriam principatus Triballici parum pertinentia profata esset, liceret cuipiam quod deesset supplere. Nunc tanta inest in ejus oratione intelligentia et consilii bonitas, ut nec multo intelligentissimus meliora, nec benevolentissimus utiliora nobis suadere possit. Quare et ego idem cum ea sentio, teque hortor, uti amplius ne labores, sed hunc imperatoris ad nos adventum clarissimi nominis materiam ducentes, alacriter ei succurramus. Hæc breviter Liberus, quæ cuncti, nihil adjicientes, ut ex vero dicta approbarunt. Crales quoque conjugi gratias agere, quod sibi, ut magno principi gloriosissima et excogitasset, et suasisset, consiliumque etiam ipse ratum habuit. At enim Crale, uxore et dynastis hunc in modum de imperatore consultantibus, quotquot cum eo Romani advenerant, anxii ne propter illius in recusando constantiam a Triballis malo mactarentur, adeuntes rogabant, ut tempori serviret, et quæ tanti momenti non essent, ea ne tam præfracte abnueret, postulataque Barbarorum expleret, ne alioqui ira succensi, in eos acerbe sævirent. Ille torvum ac truculentum intuitus, facessere cum istoc consilio jubet, quod **497** vivo mortuoque magnum dedecus turpitudinemque afferret. Nolle enim imperium Romanum prodere, nec barbaris hominibus ultro in manus dare, quamvis longe majoribus ac dirioribus malis premeretur: verum ita pro eo pugnaturum, et ejus jura custoditurum, velut si eo totosibi subjecto, ipse plenam ac summam statuendi auctoritatem habens, cum Triballis, Mœsis, aut aliis vicinorum Barbarorum de fœdere ageret. Illi severitate responsionis percussi, statim se subduxerunt.

ῥᾳδίως, δίκαιόν τε ὂν ὁμοῦ καὶ μηδ' αὐτῷ τινα αἰτίαν ἐπιφέρον, ὡς καταπροδιδοίη τὰ Ῥωμαίων. Ἑλένη μὲν οὖν ἡ Κράλη γαμετὴ τοιαῦτα συνεβούλευεν ἐπ' ἐκκλησίας. Τοῦ δὲ ἀνδρὸς, μετὰ τὸ παύσασθαι ἐκείνην λέγουσαν τοῖς ἐν τέλει τὴν βουλὴν προτιθεμένου, καὶ εἴ τίς τι τὸ βέλτιον ἔχει κελεύοντος τοῖς εἰρημένοις προστιθέναι, Λίβερος ὁ πρώτως βασιλεῖ συντυχὼν, τῶν ἄλλων τῶν ἐν τέλει μάλιστα ὢν ὁ δυνατώτατος, καὶ φιλίως ἄγαν διακείμενος πρὸς βασιλέα· Ἀλλ' εἰ μὲν ἀτελῆ τινα, εἶπεν, ἦ πρὸς εὐδοξίαν ὀλίγα συντείνοντα τῇ Τριβαλῶν ἀρχῇ, ἡ σὴ γαμετὴ Κράλαινα ἐφθέγξατο, εἶχεν ἄν τις προστιθέναι τὰ ἐνδέοντα. Νῦν δ' εἰς τοσοῦτον ἥκει καὶ φρονήσεως καὶ εὐβουλίας, ὡς μήτε τὸν ἄγαν συνετώτατον δοκοῦντα εἶναι, μήτε τὸν εὐνοώτατον ὑμῖν βελτίω καὶ λυσιτελέστερα δυνήσεσθαί ποτε βουλεύσεσθαι. Ὅθεν αὐτός τε πέπεισμαι, καὶ σοὶ παραινῶ μηδὲν περαιτέρω πολυπραγμονεῖν, ἀλλ' εὐδοξίας πρόφασιν λογισάμενον ἡμῖν εἶναι τὴν βασιλέως ἐνθάδε ἄφιξιν προθύμως βοηθεῖν. Τοιαῦτα μὲν καὶ Λίβερος εἶπεν ὡς ἐν βραχεῖ. Οἱ δ' ἄλλοι πάντες οὐδὲν προσέθεντο τοῖς εἰρημένοις, ἀλλ' ὡς καλῶς ἔχουσιν ἐπεψηφίζοντο. Κράλης δὲ καὶ αὐτὸς πολλὰς ὡμολόγει χάριτας τῇ γυναικὶ ὅτι προσήκοντά τε αὐτῷ ἀρχὴν μεγάλην περιβεβλημένῳ, καὶ πολλὴν οἰσοντα τὴν εὔκλειαν καὶ ἐβουλεύσατο, καὶ ἔπεισε, καὶ τὴν βουλὴν ἐκύρου καὶ αὐτός. Ἐν ὅσῳ δὲ τοιαῦτα Κράλης τε καὶ ἡ γυνὴ, καὶ οἱ ἐν τέλει περὶ βασιλέως ἐβουλεύοντο, ὅσοι Ῥωμαίων βασιλεῖ παρῆσαν συνεπόμενοι, δείσαντες μὴ διὰ τὴν ἐκείνου ἔνστασιν ὑπὸ Τριβαλῶν τι περὶ αὐτοὺς κακουργηθῇ, προσελθόντες ἐδέοντο βασιλέως προσήκοντα τῷ καιρῷ ποιεῖν, καὶ μὴ σφόδρα ὑπὲρ τῶν μὴ λίαν ἐνίστασθαι προσηκόντων, ἀλλὰ πρὸς τὴν ἀξίωσιν ἐνδοῦναι τοῖς βαρβάροις, μὴ διὰ ταῦτα ἐξαχθέντες πρὸς ὀργὴν ἀνήκεστα διάθωνται αὐτοὺς κακά. Ὁ δὲ, αὐτοῖς ὀλίγου καὶ βλοσυρὸν ἐνιδὼν, ἀφίστασθαι ἐκέλευε, καὶ μὴ τοιαῦτα συμβουλεύειν, ἃ πολλὴν ζῶντί τε οἴσει τὴν ἀδοξίαν, καὶ μετὰ τελευτήν. Οὐ γὰρ ἂν καταπροδοίη τὴν ἀρχὴν Ῥωμαίων· οὐδὲ βαρβάροις πολλῷ καὶ δεινοτέροις περιέχοιτο κακοῖς· ἀλλ' οὕτω περὶ αὐτῆς ἐνστήσεται, καὶ τὸ δίκαιον αὐτῇ φυλάξει, ὥσπερ ἂν εἰ αὐτοκράτωρ ὢν αὐτῆς, καὶ πᾶσαν ὑφ' ἑαυτῷ πεποιημένος, πρὸς Τριβαλοὺς, ἢ τινας τῶν ὁμόρων βαρβάρων διαλέγοιτο περὶ σπονδῶν. Οἱ μὲν οὖν αὐτίκα, πρὸς τὸ αὐστηρὸν τῆς ἀποκρίσεως ἐνδόντες, ὑπεχώρουν.

CAPUT XLV.

Crales imperatori læta nuntiat et rogat, ne semel ablatas urbes repetat, quod ille promittit, si fœdus servent. Præsente archiepiscopo inter Cralem et imperatorem juramenta dantur certis conditionibus. De Chrele Triballo contentio. Quo honore adveniens archiepiscopus exceptus fuerit. Chreles quare ad Cralem reverti voluerit. Melenicus Chreli traditur. Controversia propter eumdem inter reges. Rhentina castellum Syrgi deditur; ejus in præsidiarios et cives quosdam tyrannis.

Crales e consilio rediens, Vicisti, inquit, imperator, ac nobis persuasisti, ut amicitiam tuam grandi pecuniæ et amplis urbibus anteponendam censeamus. Itaque omnes quasi quibusdam vinculis tibi astrictos trahis, et quasi de compacto sumptum facere, et quemvis tua causa laborem hilariter perferre constituimus. Proinde tu quæ libet impera: nos imperata studiosissime libenter

Ὁ Κράλης δὲ ἐκ τῆς βουλῆς πρὸς βασιλέα ἐπανήκων, Νενίκηκας, εἶπεν ὑπομειδιῶν, ὦ βασιλεῦ, καὶ πάντας ἔπεισας πολλῶν χρημάτων καὶ πόλεων μεγάλων τὴν σὴν ἡγεῖσθαι φιλίαν προτιμοτέραν. Ὅθεν καὶ πάντας τοῖς τῆς σῆς φιλίας δήσας ἀπήγαγες δεσμοῖς, καὶ πάντες ὥσπερ ἐξ ἑνὸς συνθήματος, καὶ χρήματα ἀναλοῦν, καὶ πάντα πόνον ὑπὲρ τοῦ προθύμως εἰλόμεθα ὑφίστασθαι. Τοιγαρ-

Digitized by Google Распознавание текста ABK/FR

οὖν αὐ μὲν χρεὼν τὰ κατὰ γνώμην ἐπιτάττειν, ἡμᾶς δὲ τὰ ἐπιτεταγμένα πράττειν πάσῃ προθυμίᾳ καὶ σπουδῇ. Ἠξίου τε, ὥσπερ ἐβουλεύσατο μετὰ γυναικὸς καὶ τῶν ἐν τέλει, ὅρκους παρασχέσθαι τοῦ τε σύμμαχον καὶ φίλον βέβαιον διὰ βίου παντὸς αὐτοῖς μενεῖν, καὶ τοῦ μηδεμίαν τῶν νυνὶ κατεχομένων πόλεων ὑπ' αὐτοῦ, ἃς αὐτός τε καὶ πατὴρ, τοῦ τε Ῥωμαίων βασιλέων πρὸς ἀλλήλους πολέμου κεκινημένου, καὶ ὕστερον Ἀνδρονίκου τοῦ νέου βασιλέως ἔτι περιόντος, αὐτὸς ἔχει ἀφελόμενος, ἀπαιτήσειν καταστάντα πρὸς τὴν ἀρχὴν, ὡς προσηκούσας τοῖς Ῥωμαίων βασιλεῦσιν. Ὁ βασιλεὺς δὲ πρὸς μὲν τὸ πεπεῖσθαι προῖκα, καὶ φιλοτιμίας μόνης ἕνεκα καὶ φιλίας τῆς εἰς αὐτὸν ἐπικουρεῖν ἔφασκεν, οὐκ αὐτῷ μόνῳ, ἀλλὰ καὶ γυναικὶ, καὶ τοῖς ἐν τέλει πολλὰς χάριτας ὁμολογεῖν, ὡς ψήφῳ κοινῇ τὰ τοιαῦτα ἑλομένοις. Περί γε μὴν τῶν ὅρκων οὓς ἀξιοῦσιν ἐπὶ τῷ μὴ παρενοχλεῖν ὑπὲρ τῶν ἄχρι νυνὶ κατεχομένων ὑπ' ἐκείνων πόλεων παρασχέσθαι καταστάντα ἐπὶ τῆς ἀρχῆς, μάλιστα ποιήσει τὴν γνώμην φανεράν. Εἰ μὲν γὰρ ἔτι νῦν ὑπὸ Ῥωμαίοις ἦσαν, καὶ διασώζειν ἑαυτὰς ἠδύναντο, οὐκ ἂν οὐδ' αὐτὸς προήκατο, ὥσπερ οὐδὲ τὰς ἄλλας· ἀλλ' εἶλετο ἂν μᾶλλον πρότερον ἀποθανεῖν, ἢ ἀγεννές τι καὶ ἀνελεύθερον ἀνασχέσθαι. Εἰ δ' ἔτεσι πρότερον, αἱ μὲν πλείοσιν, αἱ δ' ἐλάττοσι, βασιλέων ἔτι τῶν Ῥωμαίων περιόντων ταύτας ἀφελόμενοι ἔχετε αὐτοὶ, οὐδ' αὐτῷ τινα μέμψιν τὸ προέσθαι τὰς κατεχομένας ἐπαγάγοι. Καὶ συνέθετο ὅρκους παρασχέσθαι. Ἐκεῖνο μέν τοι, ἔφασκε, χρὴ σκοπεῖν, ὡς ἂν μὲν ἡ εἰρήνη διασώζοιτο καὶ αἱ σπονδαὶ, αὐτῶν μὴ παρασπονδούντων· αὐτὸς γὰρ παντὶ τρόπῳ τηρήσει τοὺς ὅρκους, οὓς ὀμόσεται, οὐδ' ὑπὲρ τῆς χώρας καὶ τῶν πόλεων, αἳ πρότερον ὑπὸ Ῥωμαίοις ἦσαν, οὐδὲν παρενοχλήσει καὶ αὐτός. Εἰ δ' αὐτοὶ πρὸς πόλεμον πρότερον χωρήσουσιν ἀδικοῦντες καὶ παρασπονδοῦντες, οὐκ ἐκείνων μόνων ὑπὲρ ὧν οἱ ὅρκοι οὐκ ἀφέξεται εἰ δύναιτο, ἀλλὰ καὶ τὰς ἄνωθεν ὑπηκόους Τριβαλοῖς παραστήσεται ἂν ἐξῇ, ὥσπερ καὶ αὐτοὶ τὰς Ῥωμαίων πάσας, εἰ δύναμις πρὸς τὴν ὁρμὴν παρείη. Κράλης δὲ καὶ ὅσοι παρῆσαν τῶν Τριβαλῶν, ἐξεπλήττοντό τε, καὶ διὰ θαύματος ἦγον βασιλέα, ὅτι οὐδὲν ἀγεννὲς, οὐδὲ πεπλασμένον διὰ τὰς περισχούσας τύχας, ἀλλὰ πάντα ἀληθῶς, καὶ ὡς εἶχε διανοίας ἀπεφθέγγετο. Ἡ μὲν οὖν συμμαχία τοῦτον εἶχε τὸν τρόπον. Ὅρκοι δὲ ἦσαν οἱ ἐπὶ τούτοις, ὥστε βασιλέα Καντακουζηνὸν καὶ Κράλην φίλους εἶναι διὰ βίου καὶ συμμάχους, καὶ μηδένα τῆς ἀλλήλων κακοῦν, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ βασιλέα μὲν τὸν Καντακουζηνὸν, ὧν ὁ Κράλης γέγονε κύριος πόλεων Ῥωμαίοις ὑπηκόων, ἢ παρὰ πατρὸς παραλαβὼν, ἢ αὐτὸς ἁρπάσας ἔτι περιόντος βασιλέως Ἀνδρονίκου, μηδεμίαν μήτε ἀπαιτεῖν, μήτε πόλε-

A tissimeque conficiemus (4). Rogabat item, ut quemadmodum in concilio esset visum, sacramento perpetuam ac stabilem cum ipsis societatem amicitiamque sanciret, et nullam urbium, quas nunc ipse possideret, quasque ipse paterque Romanis imperatoribus inter se belligerantibus, et postea Andronico juniore adhuc spirante ipse abstulisset, adepto imperio, tanquam Romanorum imperatorum propriam repetiturum. Imperator, quod gratis ductique honoris et amicitiæ desiderio sibi opem ferre decrevissent, non ei solum, sed et uxori principibusque multas se gratias agere testatus est, ut qui communi calculo ita vellent. De juramento autem quod postularent, nempe cum in imperium venisset, de occupatis urbibus nullum negotium exhibiturum, quid sentiat, apertissime ostensurum. Si etiamnum sub Romanis essent, seseque tueri possent, non se illas, quomodo nec alias neglecturum, **498** sed moriturum prius, quam imbelle aliquid parumque ingenuum commissurum. Quia vero alias multis, alias paucioribus abhinc annis, Romanis imperatoribus adhuc superstitibus, ablatas tenerent, nec se reprehensionem incursurum, si tandiu usurpatas dimiserit. Et pactus est juraturum; videndum ipsis, ut pacem ac fœdus sancte tueantur, se omni ratione jurata præstiturum, nec pro regione et oppidis, quæ Romanis antea paruissent, molestiam eis creaturum. Si priores per iniquitatem atque perjurium arma ceperint, non solum illis, quorum causa jurarit recipiendis, si poterit, non temperaturum, sed etiam jam olim Triballorum peculiares, si quiverit, subacturum, sicut et ipsi Romanorum omnes subigerent, si voluntati vires responderent. Crales, et qui aderant Triballi, admirari et obstupescere imperatorem, qui quanquam exsul et miser, nihil tamen timidum neque fictum, sed sincere omnia et ex animo locutus esset. Ac de societate quidem actum est isto modo; in has autem conditiones juratum: Ut imperator Cantacuzenus et Crales amici ac socii essent in omne tempus, neuterque alterius provinciam infestaret ullis artibus, aut machinis: sed Cantacuzenus urbium Romanarum, quarum Crales esset dominus, sive eas a patre accepisset, sive ipse eas Andronico imperatore vivente sub se redegisset, nullam neque reposceret, neque ob eas ullum bellum intentaret: reliquæ vero, quæ nunc etiam sub Romano imperio censerentur, Cantacuzeni essent, nullamque Crales ullis artibus machinisve adimeret, sed imperatorem ad eas subjiciendas juvaret tantummodo. Et quotquot quidem aut armis caperentur, aut ex pacto se dederent imperatori præsenti, has imperator haberet, Triballi

B

C

D

Jacobi Pontani notæ.

(4) Virgil. *Æneid.* I:

—— Tuus, o regina, quid optes
Explorare labor, mihi jussa capessere fas est.

Affert ex epistola M. Antonii ad quemdam septemvirum, capitalem hominem, collegam ipsius hæc verba *Philipp.* V M. Tullius: *Quid concupiscas tu videris; quod concupieris certe habebis.*

Digitized by Google Распознавание текста ABK/FR

nihil injuriarum facerent. Sin absente imperatore, aut ipse Crales vel armis, vel deditione, vel pecunia incolis corruptis, aut dynastarum ei subjectorum aliquis urbem Romanam subegisset, hæc quoque imperatoris esset, et reposcenti nihil causando redderetur. Item ut ipse Crales Annæ imperatrici et Joanni ejus filio imperatori hostis esset, nec unquam fœdus cum illis feriret, sed incommodaret pro viribus, Cantacuzenum imperatorem adjutans quam posset strenuissime. Compos autem imperii Cantacuzenus, Cralem sua potentia tueretur, si quis cum invaderet, ac pro hoste duceret, qui in eum expeditionem pararet. **499** Multa etiam verba facta de Chrele Triballo : quem cum Crales sibi vindicaret, propter communionem gentis, imperator, quod adhuc vivente imperatore Andronico transfugisse ad Romanos affirmaret, et in præsens non solum sub imperio Romano adnumeraretur, sed etiam sibi peculiarem se addixisset : et insuper juramentum proferret, quo Chreles Cantacuzeno fidem obedientiamque suam obligasset, quoniam justa dicere videbatur, Crales annuit, et juramento subscripsit. Cum his igitur conditionibus regum sacramenta conscripta sunt. Cæterum et archiepiscopum Triballorum adesse oportebat, in cujus præsentia jurarctur. Is a Crale evocatus, mox adfuit ; cui ad medium atrii procedens obviam Crales, frenum equi quo vehebatur apprehendit, et ad locum, quo descendere solebat, perduxit. Quem deinde salutans, fausta ab eodem comprecatione lustratus est. Cantacuzenus ex ædibus prodire non est permissus, sed pro imperatorum Romanorum consuetudine intra ædes occurrens, et salutans, similiter bonis precibus ab eo dignatus est. Cum reges postero die sacramenta dicturi essent, Chreles ad Cralem mittens fidem petit ut ad ejus auctoritatem rediturus, Melenicumque traditurus. Chreles enim, tametsi Cantacuzenum Romano potiri imperio, et ei subesse mirabiliter cupiebat, non tamen etiam ejus causa objectare se periculis volebat. Ut autem post illa ad Gynæcocastrum gesta imperator ad Triballos est profectus, opinatus a Crale coactum, tum alia quæ essent Romanorum, tum ipsum quoque illi deditum (norat enim Cralem defectionem suam iniique tulisse), timensque ne sibi propter conjunctionem cum imperatore una pereundum esset, considerabat qua ratione Melenicum occuparet : qua tradita Cralis iram placaret. Sed cum armis haud expugnabilem cognosceret, quod natura et operibus esset munitissima, primum quidem alimenta importari vetabat, deinde aperta vi eam adoriebatur. Asanes et præsidiarii cernentes penuria commeatus obsidionem diutius sustineri non posse (imperatori namque propter eventa, de quibus diximus, accurrere cum auxilio non licebat), et cum aliud præterea ipsis quiddam contigisset, Chreli urbem dediderunt. Qui ad Cralem misso oratore, palam ei se adjunxit. Quo ille facto supra

A μόνα τινα κινεῖν περὶ αὐτῶν· τὰς δὲ ἐπιλοίπους, ὅσαι νῦν ἔτι ὑπὸ τὴν Ῥωμαίων τελοῦσιν ἡγεμονίαν, ἔχειν αὐτὸν, καὶ μηδεμίαν ἀφαιρεῖσθαι Κράλην μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ συμμαχεῖν μόνον βασιλεῖ ἐπὶ τῷ ταύτας καταδουλοῦσθαι. Καὶ ὅσαι μὲν αὐτῶν ἢ ὅπλοις ἁλῶσιν, ἢ ὁμολογίᾳ προσχωρήσουσι παρόντος βασιλέως, ταύτας ἔχειν βασιλέα, καὶ Τριβαλοὺς ἀδικεῖν μηδέν. Ἂν δ' ἀπόντος βασιλέως, ἢ αὐτὸς Κράλης, ἢ ὅπλοις, ἢ ὁμολογίᾳ, ἢ χρήμασι τοὺς κατοικοῦντας διαφθείρας, ἢ τῶν ὑπ' αὐτὸν δυνατῶν τις πόλιν παραστήσεται τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ταύτην εἶναι βασιλέως, καὶ ἀποδιδόναι ἀπαιτοῦντι μηδὲν πολυπραγμονοῦντας. Αὐτὸν δὲ Κράλην πολέμιον εἶναι
B Ἄννῃ τε τῇ βασιλίδι, καὶ τῷ υἱῷ Ἰωάννῃ τῷ βασιλεῖ· καὶ σπένδεσθαι μηδέποτε, ἀλλὰ κακοῦν κατὰ τὸ δυνατὸν βοηθοῦντα Καντακουζηνῷ τῷ βασιλεῖ, τρόπῳ ὁπῳοῦν ἂν δύναιτο ἰσχυροτάτῳ· καταστάντος δὲ καὶ Καντακουζηνοῦ βασιλέως ἐπὶ τῆς ἀρχῆς, Κράλῃ συμμαχεῖν κατὰ τὸ δυνατὸν, ἄν τις ἐπίῃ ἐπ' αὐτὸν, καὶ πολέμιον ἡγεῖσθαι τὸν αὐτῷ ἐπιστρατεύσοντα. Γενομένου δὲ καὶ περὶ Χρέλη τοῦ Τριβαλοῦ λόγου οὐκ ὀλίγου, καὶ Κράλη μὲν αὐτὸν ἀντιποιουμένου διὰ τὸ ὁμόφυλον, βασιλέως δὲ ὡς ἔτι Ἀνδρονίκου περιόντος τοῦ βασιλέως αὐτομολήσειεν ἰσχυριζομένου, καὶ νῦν οὐ μόνον ὑπὸ τὴν Ῥωμαίων τελοίη ἡγεμονίαν, ἀλλὰ καὶ ἰδίως αὐτῷ προσχωρήσοι, καὶ ἔλοιτο πράττειν τὰ αὐτοῦ, προσέτι δὲ καὶ ὅρκους
C ὑποδεικνύντος, δι' ὧν συνέθετο ὁ Χρέλης δουλεύειν Καντακουζηνῷ τῷ βασιλεῖ, ἐπεὶ δίκαια ἐδόκει λέγειν, συνέθετο καὶ ὁ Κράλης, καὶ προσεγράφετο καὶ αὐτὸς τοῖς ὅρκοις. Οἱ μὲν οὖν ὅρκοι οὕτως ἐγράφοντο. Ἔδει δὲ καὶ τὸν ἀρχιεπίσκοπον τῶν Τριβαλῶν παρεῖναι ὡς γενησομένων ἐπ' αὐτοῦ τῶν ὅρκων· καὶ μεταπεμψαμένου τοῦ Κράλη, παρῆν καὶ αὐτὸς οὐκ ἐν μακρῷ· ἐπεὶ δὲ παρῆν ἐν τῇ οἰκίᾳ Κράλη, ἐκεῖνος μὲν ἄχρι τοῦ μέσου προελθὼν τῆς αὐλῆς, ἐπελάβετο τῶν χαλινῶν τοῦ ἵππου, ᾧ ὠχεῖτο ὁ ἀρχιεπίσκοπος, καὶ προήγαγεν ἄχρι οὗ εἰώθει ἀποβαίνειν. Ἔπειτα προσαγορεύσας, εὐλογεῖτο παρ' ἐκείνου. Βασιλέα δὲ οὐκ εἴασε τῶν οἰκημάτων προελθεῖν, ἀλλὰ κατὰ τὸ Ῥωμαίων βασιλέων ἔθος ὑπήντα τε ἔνδον τοῦ οἰκήματος, καὶ προσαγορεύσας
D εὐλογεῖτο καὶ αὐτός. Μελλόντων δὲ ἤδη εἰς τὴν ὑστεραίαν ὀμνύειν τοὺς ὅρκους, πέμψας ὁ Χρέλης πρὸς Κράλην, πίστει, ᾔτει, ὡς αὐτός τε δουλεύσων αὖθις, καὶ Μελενίκον παραδώσων. Χρέλης γὰρ μάλιστα μὲν ἐβούλετο βασιλέα τὸν Καντακουζηνὸν τὴν Ῥωμαίων ἔχειν ἀρχὴν, καὶ ὑπ' ἐκείνου ἄγεσθαι· διακινδυνεύειν δὲ οὐκ ἤθελεν ὑπὲρ ἐκείνου. Ἐπεὶ δὲ συμβαίη τὰ κατὰ Γυναικόκαστρον περὶ βασιλέα, καὶ ἀφίκοιτο εἰς Τριβαλοὺς, νομίσας ὑπὸ Κράλη βιαζόμενον ἑτέρων τέ τινων Ῥωμαίοις προσηκόντων ἀνάγκῃ παραχωρήσειν, καὶ ἐκεῖνον παραδώσειν, ἤδη γὰρ οὐ περὶ ἐλάττονος τιθέμενον Κράλην τὴν αὐτοῦ ἀποστασίαν, καὶ δείσας μὴ καὶ αὐτὸς ἐκ τῆς εἰς βασιλέα παραπέληται φιλίας, ἐσκέψατο εἰ δύναιτο Μελενίκον κατασχεῖν, ἵν' αὐτῷ πρὸς Κράλην

Digitized by Google Распознавание текста ABK/FR

ἀρκοῦσα παραίτησις εἴη τῆς ἀποστασίας παραβάντι. Συνιδὼν δὲ ὡς ὅπλοις μὲν οὐκ ἂν εἴη ἁλωτὸς διὰ τὴν ἄγαν φυσικήν τε καὶ κατεσκευασμένην ὀχυρότητα, σίτου δὲ ἐνδεία μᾶλλον, πρῶτα μὲν ἐκώλυσε σῖτον εἰσκομίζειν· ἔπειτα δὲ ἐπέκειτο καὶ φανερῶς πολεμῶν. Ἀσάνης δὲ καὶ ἡ περὶ αὐτὸν φρουρὰ, ὁρῶντες ὡς οὐκ ἀντισχήσουσι πρὸς τὴν πολιορκίαν διὰ σίτου ἀπορίαν· βασιλεῖ γὰρ διὰ τὰ συμβεβηκότα βοηθεῖν οὐκ ἐνῆν· συμβάν δέ τι καὶ ἕτερον περὶ αὐτοὺς, παρέδοσαν τὴν πόλιν Χρέλῃ· ὁ δὲ, πρὸς Κράλην πέμψας, διελέγετο περὶ συμβάσεων, καὶ προσεχώρει φανερῶς. Κράλης μὲν οὖν ὑπερήσθη τοῖς γεγενημένοις, καὶ ὅρκους παρείχετο αὐτίκα Χρέλῃ καὶ ὑπεποιεῖτο. Βασιλέα δὲ ἐλύπησεν οὐκ ὀλίγα τὸ συμβάν. Εἰς τὴν ὑστεραίαν γὰρ ἐπεὶ ἦκον ὁμόσοντες τοὺς ὅρκους κατὰ τὰς συνθήκας, Κράλης μὲν ἠξίου Μελενίκον τε καὶ Χρέλην τοῖς ὅρκοις μετεγγραφῆναι ὡς προσήκοντας αὐτῷ· πρὶν γὰρ τοὺς ὅρκους γενέσθαι προσεχώρησαν. Βασιλεὺς δὲ ἀντέλεγεν, ἀδικεῖν φάσκων Κράλην καὶ παρασπονδεῖν. Ἐξ ὅτου γὰρ ἐγένοντο αἱ συμβάσεις, δεῖν ἑκατέρους στέργειν οἷς συνέθεντο. Εἰ δ' ἄρα καὶ μέτριά τινα ἐθέλοι ἀδικεῖν, Χρέλην μὲν ἔχειν ὁμόφυλόν τε ὄντα, καὶ ὀλίγῳ πρότερον αὐτομολήσαντα Ῥωμαίοις, Μελενίκου δὲ ἐᾶν, ἐξ ἐτῶν ἤδη παλαιῶν ὑπήκοον ὄντα τοῖς Ῥωμαίων βασιλεῦσι. Κράλης δὲ οὐχ ἑτέρῳ ἔφασκεν, ἀλλ' αὐτῷ χρήσεσθαι διαιτητῇ περὶ ὧν ἀμφισβητοῦσι. Τοὺς μὲν γὰρ ὅρκους τοὺς περὶ τῶν σπονδῶν, τῇ προτεραίᾳ γεγράφθαι· οἷς ἐγγέγραπται, τὰς μὲν ἡρπασμένας αὐτῷ ἐκ τῆς Ῥωμαίων ἡγεμονίας; πόλεις ἔχειν, καὶ μηδεμίαν ἀπαιτεῖσθαι παρ' αὐτοῦ· τὰς δ' ἔτι τελούσας ὑπὸ Ῥωμαίοις, βασιλέα ἔχειν· ὥστ' οὐκ ἂν ἀδικοίη πολλαῖς πρότερον ἡμέραις ἢ γενέσθαι τὰς τοιαύτας συμβάσεις Χρέλῃ μετὰ Μελενίκου προσχωρήσαντος, ὡς ἐκ τῶν ἐκείνου γραμμάτων ἐγίνετο καταφανές. Βασιλεὺς δὲ πρός τε τὸ πείθειν ὁμοῦ διὰ τὰς τοιαύτας εὐρεσιλογίας, καὶ πρὸς τὸ βιάζεσθαι ἔχων ἀδυνάτως, παρεχώρησε καὶ ἄκων, καὶ ἐγένοντο οἱ ὅρκοι ἐπὶ τούτοις. Μετὰ δὲ τοὺς ὅρκους ὁ Κράλης, τῶν ἐν τέλει τοὺς δυνατωτάτους αὐτοῦ συναγαγὼν τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσι, τέσσαρας μὲν αὐτὸς κατεῖχε, τοὺς δὲ εἴκοσι παρεδίδου βασιλεῖ ἅμα ταῖς ὑπ' ἐκείνους στρατιαῖς, ὡς πάντα προθύμως, ἅπερ ἂν κελεύῃ βασιλεὺς ποιήσοντας. Ἐκεῖνος μὲν οὖν ἅμα Τριβαλοῖς παρεσκευάζοντο ὡς ἀφιξόμενον εἰς Διδυμότειχον. Ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ ἐπεὶ ἀπῆραν ἡγουμένου Συργῆ, πρὸς Ῥεντίναν ἐστρατοπεδεύσαντο. Ὁ δὲ ἐν τῷ φρουρίῳ δῆμος, ἐπεὶ ἐπύθετο Καντακουζηνὸν τὸν βασιλέα πρὸς τὴν γῆν τῶν Τριβαλῶν ἀφιγμένον κατὰ συμφοράν. παρῆν δὲ καὶ Συργὴς μετὰ τῆς στρατιᾶς, ἐπιτίθενται τοῖς διακοσίοις οὓς κατέλιπεν ὁ βασιλεὺς φρουρεῖν ἅμα ἡγεμόνι, καὶ κρατήσαντες, αὐτούς τε παρέδοσαν καὶ τὸ φρούριον Συργῇ. Ὁ δὲ, τῇ συνήθει χρησάμενος ὠμότητι, ἵππους τε καὶ ὅπλα ἀφελόμενος, καὶ τῶν ἄλλων ὧν εἶχον ἀποχυμώσας, ἔπειτα πληγὰς ἑκάστῳ διακοσίας ἐπετίθει πάντων ὁρώντων, μηδένα παραλιπὼν, τὸ ἀπ' ἐκείνου δὲ κατακλείσας ἐν δεσμωτηρίοις, καὶ τῶν πολιτῶν τοὺς δυνατοὺς, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἠρημένους, πάντων ἀποστερήσας ὧν ἔκτων, καὶ τιμωρησάμενος μετρίως, ἐνίων δὲ καὶ καταψηφισάμενος φυγὴν, ἦλθεν εἰς Φεράς.

A modum lætatus, statim ei juravit, atque in fidem et clientelam suam recepit. Ille casus imperatorem non parum doluit. Nam postridie, cum ex condicto juraturi venissent, Crales Melenicum et Chrelem ad juramentum ascribi, ut sibi debitos contendebat, quod antequam juraretur, ad se accessissent. Imperator renitens, Cralem iniquitatis ac læsi fœderis arguebat. Ex quo enim fœdus conceptum sit, utrumque pactis conventis stare oportere. Quod si modestius injuriam facere velit, Chrelem sibi habeat, quia et contribulis sit, et paulo ante ad Romanos transfugerit: Melenicum relinquat, quæ inde a vetustis temporibus Romani juris fuerit. Crales contra, non alio, sed ipsomet judice in ista lite usurum. Nam juramenta fœderis B heri in tabellas relata esse, in quibus pateret, ut quas a Romano principatu abstulisset urbes, sibi haberet, nullamque repetere fas esset, quæ autem adhuc in eo numerarentur, imperatoris essent. Quare nihil hic adversus æquitatem peccari, cum multis diebus ante isthæc pacta Chreles ad ejus partes transierit, quod ex litteris ejusdem constet. Imperator nec persuadere potis, ubi tam prompte verba funditabantur, nec cogere, cessit invitus. Et juratum utrimque dictis supra conditionibus. Postea Crales quatuor et viginti suorum dynastarum opulentissimis congregatis, et quatuor sibi retentis, cæteros cum sua unumquemque copia militari imperatori attribuit, facturos alacriter C omnia, quæ is velit. Cum Triballis igitur Didymotichum iter adornabat. At qui Thessalonicæ erant, Syrge ductore Rhentinam processerunt. Castelli indigenæ ut Cantacuzenum ærumna cogente ad Triballos abiisse acceperunt, et Syrges manum adduxit, ducentos ad custodiam ab imperatore relictos invadunt, victosque ipsos et castellum Syrgi contradunt. Qui solita crudelitate equis, et armis, et aliis quæ habebant primum spoliatos, post in conspectu omnium singulis, nemine excepto, ducentas plagas incutit, et in carceribus eos includit. Potentiores autem civis, ut Cantacuzenicæ factionis, omnibus fortunis exuit, nec medioeriter punit, et quosdam exsilio damnat, atque ita Pheras venit.

Digitized by Google Распознавание текста ABK/FR

501 CAPUT XLVI.

Apocauchus quid Polystyli egerit; quid ad Didymotichenses scripserit, qui acerbis litteris respondent, ei genus vile et mores improbos exprobrantes, ac se in Cantacuzeni auctoritate futuros testificantes et tabellariis sequentibus malum minitantes. Apocauchus Byzantii cum plausu excipitur et pro libidine imperat. Irenes uxoris et ejus fratris super Cantacuzeno metus.

Magnus autem dux Apocauchus Polystylon navibus delatus, quoniam urbs libenter in potestatem veniebat, de civibus alios, quos in primis suspectos habebat, in naves conjecit, Byzantium eos portaturus, alios secum facientes ibi reliquit, nec immerito, præfecto Gudele imperatricis pocillatore imposito. Ad Didymotichenses porro scripsit in hæc verba: Quæ ob Cantacuzenum Thessalonicæ egerim, nec vobis clam esse opinor, cum propter magnitudinem omnibus sint notissima. Quoniam igitur tota de illo spes vestra evanuit, nihil tergiversantes, ad Ænum (5) mihi vos occurrere, et una fratrem meum (qui illic in custodia erat) adducere oportet. Si et Asanes vobiscum venerit, res suas fecerit meliusculas. Sin illic remanere maluerit, omnino vos Ænum cum fratre venitote. Asanem autem cum sorore ejusque liberis, ubi Didymotichi fuero, tali cura dignabor, quam et ipsi, ut pro tempore sufficientem judicabunt. Hæc magnus dux ostentationis et fastus plena scripsit. Didymotichenses, quia nihil hactenus de imperatore audierant, primum, ut debuerunt, perturbati sunt, dein resumptis animis, et existimantes aliquid imperatori contigisse hujusmodi, quale in exercitibus solet, quod cito emendari posset, Apocaucho his verbis rescribunt: Lectis litteris tuis tam vecordibus, tam stolidis et confidentibus, principio admirati sumus, unde te atra bilis sic exagitet. Post cum perspexissemus, te qui patrem tuum diabolum audacia æquasses, et imperatorem tam bene de te meritum læsisses, palamque oppugnasses, etiam arrogantia ac verborum ampullis eodem patre tuo inferiorem esse noluisse, nostrarum fore partium censuimus, si te alloqueremur. Tuam igitur ab initio obscuritatem, moresque vitiosos, et genus despicabile nec nos nescimus, quæ nemo Romanorum nescit. Macreno enim primum, vectigalia a quibusdam agricolis cogenti, mercenariam **502** dedisti operam: et post illum præfecto Nicolao, cujus idem institutum fuit, et tertio post illos Stratego appellato, salis curatori: quem ut argento tuo, et calumniis ac sycophantiis, milleque mendaciis ac perjuriis tibi usitatis præfectura apud imperatorem Andronicum seniorem depulisti, ipse eam es consecutus. Atque ibi felices tui successus constiterunt. Cum jam propter mores agrestes et improbos, et infinita nomina quæ publice debebas, tibi pereundum esset, imperator noster Cantacu-

Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ ἅμα ταῖς ναυσὶν εἰς Πολύστυλον ἐλθὼν, ἐπεὶ προσεχώρει ἑκουσίως, τοὺς μὲν τῶν πολιτῶν ὅσους μάλιστα ὑπώπτευεν, ἐν ταῖς ναυσὶν εἶχεν ὡς εἰς Βυζάντιον κομίσων· τοὺς δὲ τὰ ἐκείνου ἠρημένους εὖ ποιήσας ἀπέλιπεν ἐκεῖ, ἄρχοντα ἐπιστήσας Γουδέλην τὸν βασιλίδος οἰνοχόον. Πρὸς δὲ τοὺς ἐν Διδυμοτείχῳ πέμψας, Τὰ μὲν περὶ Καντακουζηνὸν εἰργασμένα, ἔγραφεν, ἐν Θεσσαλονίκῃ πρ' ἐμοῦ, οὐδ' ὑμᾶς οἶομαι ἀγνοεῖν, οὕτω πᾶσι γνωριμώτατα διὰ μέγεθος γεγενημένα. Τοίνυν ἐπεὶ πᾶσα ἡ περὶ ἐκεῖνον ἐλπὶς περιῄρηται ὑμῶν, δέον πᾶσαν πρόφασιν καταλιπόντας εἰς Αἶνον ἥκειν ὑπαντήσοντας, ἄγοντας καὶ τὸν ἀδελφόν· ἦν γὰρ ἐν δεσμωτηρίῳ φρουρούμενος ἐκεῖ. Εἰ μὲν οὖν καὶ Ἀσάνης βούλοιτο συνελθεῖν ὑμῖν, ἄριστ' ἂν ἑαυτῷ βουλεύσαιτο. Εἰ δ' αὐτόθι μένειν ἐθελήσει, ἀλλ' ὑμᾶς γε πάντως μετὰ τοῦ ἀδελφοῦ εἰς Αἶνον ἥκειν. Ἀσάνην δὲ καὶ τὴν ἀδελφὴν, καὶ παιδία τὰ ἐκείνης, ὅταν ἐν Διδυμοτείχῳ γένωμαι προνοίας ἀξιώσειν, ἥτις καὶ αὐτοῖς ἂν δόξειεν ἀρκοῦσα ὡς ἐν τοῖς παροῦσιν. Ὁ μὲν οὖν μέγας δοὺξ, τοιαῦτα ἔγραφε κόμπου καὶ φρονήματος πεπληρωμένα. Οἱ ἐν Διδυμοτείχῳ δὲ, ἐπεὶ πρότερον οὐδὲν ἦσάν περὶ βασιλέως πεπυσμένοι, ἐθορυβήθησαν μὲν ὥσπερ εἰκὸς τὸ πρῶτον. Ἔπειτα ἀναθαρσήσαντες καί τι περὶ βασιλέα οἰηθέντες, ἃ περὶ στρατεύματα εἴωθε συμβεβηκέναι, ὃ ταχέως ἂν διορθοίη, πρὸς μέγαν δοῦκα τὸν Ἀπόκαυχον καὶ αὐτοὶ ἀντέγραψαν τοιαῦτα· Τὰ παρὰ σοῦ γεγραμμένα ἀναγνόντες εἰς τοσοῦτον ἀπονοίας καὶ μωρίας ἥκοντα καὶ θρασύτητος, πρῶτα μὲν ἐθαυμάσαμεν, ὅθεν εἰς τοσοῦτον ἥκεις μελαγχολίας, ἔπειτα συνιδόντες, ὡς τὰ ἴσα τετολμηκότι τῷ σῷ πατρὶ τῷ διαβόλῳ καὶ κατὰ βασιλέως τοῦ πολλὰ εὐεργετήσαντος ἄδικον χεῖρα κεκινηκότι, καὶ πολεμήσαντι φανερῶς, οὐδὲ κατὰ τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τῶν ῥημάτων τοῦ πατρὸς ἔδει ἀπολείπεσθαι, εἰκότα ἐνομίσαμεν ποιεῖν καὶ προσήκοντα φθέγγεσθαι σαυτῷ. Τὴν μὲν οὖν ἐξαρχῆς ἀφάνειαν τὴν σὴν, καὶ τὴν φαυλότητα καὶ τῶν τρόπων, καὶ τοῦ γένους, οὐδ' αὐτοὶ ἀγνοοῦμεν, ὥσπερ οὐδὲ τῶν λοιπῶν Ῥωμαίων οὐδὲ εἷς. Μακρηνῷ γὰρ πρῶτον χρήματά τινας εἰσπράττοντι γεωργοὺς, ὀλίγου ἕνεκα ἐδούλευσας μισθοῦ· καὶ μετ' ἐκεῖνον, ἄρχοντι τῷ Νικολάῳ, τῶν αὐτῶν κἀκείνῳ ἐχομένῳ ἐπιτηδευμάτων· καὶ τρίτῳ μετ' ἐκείνους τῷ Στρατηγῷ ὠνομασμένῳ περὶ τοὺς ἅλας καὶ τὴν ἐκείνων διάθεσιν ἠσχολημένῳ τότε, ὃν καὶ τοῖς ἰδίοις χρήμασιν ἐξώσας τῆς ἀρχῆς, διαβολαῖς καὶ συκοφαντίαις, καὶ ψεύδεσι μυρίοις καὶ ἐπιορκίαις ταῖς φίλαις χρησάμενος πρὸς

Jacobi Pontani notæ.

(5) Ænum urbem Æneas Trojanus exsul condidit, ut est lib. III *Æneid.* Plinius Ænos vocat lib. IV, cap. 2; similiter Mela, lib. II, cap. 2: *Eximia est Ænos*, inquit, *ab Ænea profugo condita.* Dionysius, lib. I, Æneam nominat. Juxta hoc oppidum Hebrus fluvius non ignobilis in mare volvitur.

Digitized by Google Распознавание текста ABK/FR

βασιλέα τὸν πρεσβύτερον Ἀνδρόνικον αὐτὸς ἄρχων ἀπεδείχθης τῶν ἀλῶν. Καὶ μέχρι τούτου σοι τὰ τῆς εὐημερίας ἔστη. Κινδυνεύοντι δὲ ἤδη ἀπολέσθαι διὰ τῶν τρόπων τὴν σκαιότητα καὶ μοχθηρίαν καὶ τὸ χρήματα μυρία τῷ δημοσίῳ ὄφλειν, ὁ ἡμέτερος βασιλεὺς ὁ Καντακουζηνὸς Συργιάννη δεηθέντος παραλαβὼν, ἐξ ἀτίμου καὶ καταφρονουμένου περίβλεπτον πεποίηκεν οὐκ ἐν μακρῷ· δι' ἃ καὶ τῶν εὐγενεστέρων οὐκ ὀλίγοι ἤχθοντο δικαίως καὶ ἐδυσχέραινον ὅτι τὸν μηδενὸς ἄξιον μεγάλων τινῶν ἠξίωσε καὶ θαυμασίων· ὧν τὴν ὑπερβολὴν οὐδὲ αὐτὸς φέρειν δυνηθεὶς κατὰ τοῦ μετὰ Θεὸν πλάσαντος καὶ ἐκ κοπρίας ἀναγαγόντος, ὥσπερ ὁ Σατὰν κατὰ Θεοῦ πόλεμον κεκίνηκας, τὸ ὑπήκοον ἐκπολεμώσας· προφάσει μὲν ὥσπερ ἐκεῖνος τοῦ πρόνοιάν τινα αὐτῶν ποιεῖσθαι, τῇ δ' ἀληθείᾳ φθονῶν αὐτοῖς τῆς σωτηρίας. Καὶ νῦν ἔξεστιν ὁρᾷν, ὡς αἱμάτων μὲν ἀνθρωπίνων ἐνέπλησας τὰς πόλεις πάσας Ῥωμαίων. Δεσμωτήρια δὲ, καὶ τοι πρὸς τοῖς οὖσι πολλαπλασίῳ κατεσκευασμένα ὑπὸ σοῦ, ὅμως ὑπὸ πλήθους τῶν δεσμωτῶν στενοχωροῦνται. Ἁρπαγαὶ δὲ καὶ λεηλασίαι καὶ μυρία ἕτερα δεινὰ ὁσημέραι ἐν ταῖς πόλεσι τολμῶνται, καὶ δάκρυα πανταχοῦ καὶ κωκυτοὶ, καὶ ὁ φειδόμενος οὐδὲ εἷς. Ἀλλ' ὥσπερ ὁ Σατανᾶς τοῖς μάλιστα Θεῷ προσφκειωμένοις καὶ βελτίοσι τῶν ἄλλων δεῖν ἔγνωκε πολεμεῖν τῶν ἄλλων ἀμελῶν, οὕτω δὴ καὶ σὺ τοὺς ἀρίστους τῶν ἑκασταχοῦ πόλεων, καὶ δυναμένους τὰ δέοντα συνορᾷν διαφθείρων, καὶ κατακόπτων ἀπανθρώπως, τῶν πολλῶν καὶ οὐδενὸς ἀξίων οὐδένα λόγον ποιῇ, ὡς ὕστερον ἢ δειλίᾳ καὶ ἀπειρίᾳ τῇ πρὸς τοὺς πολέμους βαρβάροις παραδώσων, ἢ αὐτὸς κατὰ σχολὴν διαφθερῶν· καὶ ὅλως κοινὴν πανωλεθρίαν τοῦ Ῥωμαίων γένους διανοῇ, εἰ μὴ Θεὸς κωλύσειε, τὴν μισανθρωπίαν βδελυξάμενος. Βασιλεὺς δὲ Καντακουζηνὸς ὁ ἡμέτερος καὶ σὸς δεσπότης, κἂν ἔτι πλείω καὶ δεινότερα ἀγνωμονήσῃς, ὥσπερ τῶν δούλων οἱ κακοτροπώτατοι, τὴν ἐκ προγόνων εὐκλειαν ἄχρι νῦν διασώζει, καὶ τὴν ἐπιείκειαν καὶ τὴν σεμνότητα τῶν τρόπων· καὶ Ῥωμαίων συμπάντων ἄρχων, καὶ βασιλέως ἔτι περιόντος οὐδὲν ἧττον καὶ νῦν ἐστι βασιλεύς. Εἰ δέ τι περὶ αὐτὸν συμβέβηκε καὶ δυσχερὲς, θαυμαστὸν οὐδέν· πολλὰ γὰρ ὁ παρεληλυθὼς τοιαῦτα χρόνος ἔσχηκε παραδείγματα. Ἡμεῖς δὲ ἐκείνῳ τὴν πίστιν ἄδολον φυλάξομεν καὶ καθαρὰν, οὐ μόνον περιόντι, ἀλλὰ καὶ τοῖς παισὶ μετὰ τὴν τελευτὴν, καὶ οὔτε ἀγαθῶν ἐπαγγελίαι, οὔτε δεινῶν ἐπαγωγαὶ, οὔθ' ἕτερον τῶν ὄντων τι τῆς πρὸς ἐκεῖνον πίστεως δυνήσεται ἀποστῆσαι καὶ ἀγάπης. Σοῦ δὲ ἐπιστρέψει ὁ πόνος ἐπὶ τὴν κεφαλὴν, καὶ ἐπὶ κορυφὴν ἡ ἀδικία σου καταβήσεται. Τὴν μὲν οὖν ἀπολογίαν ἔχεις ἤδη παρ' ἡμῶν ἀξίαν τῶν γεγραμμένων. Τοὺς κεχομικότας δὲ τὰ γράμματα νῦν μὲν ἀπαθεῖς ἀπεπέμψαμεν κακῶν, τοὺς περὶ τὰ τοιαῦτα κειμένους αἰδούμενοι νόμους, οἳ κακῶς ποιεῖν ἀπαγορεύουσι τοὺς πρὸς ἀπαγγελίας ἥκοντας· ἂν δὲ μετ' αὐτοὺς ἕτεροί τινες ἀφίκωνται, ἑστῶσαν μὴ ἄνευ πληγῶν καὶ τιμωρίας τῆς δεούσης ἀπαλλάξοντες. Τοιαῦτα μὲν οἱ ἐν Διδυμοτείχῳ ἀντέγραψαν Ἀποκαύχῳ τῷ μεγάλῳ δουκί·

zenus Syrgiannæ parario, te inhonorum prorsus et contemptum, brevi conspicuum reddidit, non paucis de nobilitate id iniquissime ferentibus : et jure quidem, quod hominem nullius pretii amplis quibusdam et eximiis ornamentis cumularet : quorum præstantiam cum nec ipse posses ferre, adversus eum qui te secundum Deum quodammodo finxit, et de stercore erexit, velut Satan contra Deum arma movisti, cum subjectos in illum exacerbasti, specie, quasi illis consuleres, cum revera salutem ipsis et incolumitatem invideres. Et nunc in propatulo est, quomodo humano sanguine omnes Romanorum civitates repleveris. Carceres, quamvis multo plures, quam erant, abs te constructi sint, vinctorum multitudinem non capiunt. Rapinæ et direptiones, aliaque mala innumera quotidie in urbibus nefarie perpetrantur. Ubique lacrymæ, ubique gemitus, et qui his vacet, nullus reperitur. Sed quemadmodum cacodæmon Deo deditissimos sanctimoniaque supra alios eminentes sibi oppugnandos sumit, cæteros negligit : ita sane tu quoque per omnes urbes optimum quemque et recti intelligentem dispердens, et inhumaniter concidens, vulgi, ut vilis et abjecti, rationem nullam ducis : postea illud aut ex timiditate et imperitia bellandi tua Barbaris objecturus, aut ipse paulatim perditurus, omninoque communem Romani generis internecionem machinaris, nisi Deus misanthropiam tuam detestatus prohibuerit. Imperator autem Cantacuzenus, noster ac tuus dominus, quamvis plura et deteriora, ut servus sceleratissimus, designaris, acceptam a majoribus suis gloriam usque nunc cum modestia gravitateque morum conservat, et Romanorum universorum adhuc vivo imperatore princeps, nihilo minus etiam nunc imperator est. Cui si quid tristius accidit, nihil novum; multa enim ex **503** antegresso tempore hujusmodi exempla colliguntur. Nos integram ac sinceram fidem non ipsi solum viventi, sed post obitum, item filiis ejus præstabimus : nec bonorum promissio, nec malorum inflictio, nec aliud quidquam omnium a fide et charitate illius nos abstraxerit. Tuus autem labor revertetur in caput tuum, et in verticem tuum iniquitas tua descendet. Habes dignum abs te scriptis responsum. Tabellarios nunc quidem intactos dimisimus, legum reverentia, quibus illis cavetur. Si alii supervenerint, sciant se sine plagis supplicioque condigno haud abituros. Hæc qui erant Didymotichi, Apocaucho magno duci responderunt; quibus ille perlectis, multa minatus Byzantium abnavigavit, ubi a patriarcha et conjuratis cum geminatis plausibus et præconiis, ut qui præclare implesset ducis officium Cantacuzenumque vicisset, exceptus est. Qui jam propter ductum exercitum superbia turgidus, rerum summæ sic præesse incipiebat, ut rationem nullam referret : simulareque amplius et consultare, ut inutilia, spernens, pro libidine faciebat,

Digitized by Google Распознавание текста ABK/FR

et regebat omnia. Porro Irene Cantacuzena imperatrix, cum Manuele Asane fratre, ut ab Apocaucho nuntii venerunt, quid imperatori apud Gynæcocastrum fieret, quanquam non penitus vera esse suspicarentur, tamen vehementer conturbabantur, sollicitudinumque fluctibus æstuabant. Metuebant namque, ne quidam de illius exercitu clam negotium Annæ agentes, opportunitatem hanc et adversam sortem imperatoris quasi insperatum lucrum arripientes, seditionem inter populum ac militem concitarent, dareturque res pesti et exitio. Præcipue vero suspicionem Comitopulus et Batatzes movebant, qui imperatoris Palæologi domestici, tum a Cantacuzeno in occidentem ducente, Didymotichi suburbanis fuerant præpositi, habebantque sub se uterque mille pedites sagittarios, et valebant gratia apud populum ac milites plurimum.

A ὁ δὲ, ἐπεὶ τὰ γράμματα ἀνέγνω, πολλὰ τοῖς γεγραφόσιν ἀπειλήσας, ἀπέπλευσεν εἰς Βυζάντιον, καὶ ἐδέξαντο αὐτὸν ὅ τε πατριάρχης καὶ ἡ συνομοσία μετὰ πολλῶν τῶν κρότων καὶ ἐπαίνων, ὡς καλῶς ἐστρατηγηκότα καὶ νενικηκότα Καντακουζηνόν· καὶ αὐτὸς ἤδη φρονήματος ὢν ἀνάπλεως διὰ τὴν στρατηγίαν, ἀνυπεύθυνον ἑαυτῷ παρείχετο τῶν πραγμάτων τὴν ἀρχήν· καὶ πάντα ἔπραττε καὶ διῴκει ᾗ αὐτῷ ἐδόκει, τὴν ὑπόκρισιν καὶ τὸ βουλεύεσθαι ἤδη ὡς ἀνόνητον ἀποῤῥίψας. Εἰρήνη δὲ βασιλὶς ἡ Καντακουζηνὴ ἅμα Μανουὴλ Ἀσάνῃ τῷ ἀδελφῷ, ἐπεὶ οἱ παρὰ Ἀποκαύχου τοῦ μεγάλου ἥκοντες δοῦκὸς ἀπήγγελλον τὰ περὶ βασιλέως οἷα συμβαίη ἐν Γυναικοκάστρῳ, ὑπώπτευον μὲν καὶ μὴ παντάπασιν εἶναι ἀληθῆ· πλὴν ἐθορυβοῦντο σφοδρῶς καὶ ἐκυμαίνοντο. Ἐδεδοίκεσαν γὰρ μὴ τῶν αὐτεῖ τινες συνόντων κρύφα τὰ βασιλίδος Ἄννης πράττοντες, ὥσπερ ἐρμαίου λαβόμενοι τοῦ καιροῦ καὶ τῆς δυσ-

B

πραγίας βασιλέως, στασιάζειν πείσωσι τὸν δῆμον καὶ τὴν στρατιάν, καὶ ἀπόληται αὐτοῖς παντάπασι τὰ πράγματα διαφθαρέντα. Μάλιστα δὲ ἐν ὑποψίᾳ εἶχον τόν τε Κομιτόπουλον καὶ Βατάτζην, οἳ τῶν Παλαιολόγου μὲν ἦσαν βασιλέως οἰκετῶν, τότε δὲ ὑπὸ Καντακουζηνοῦ βασιλέως εἰς ἑσπέραν ἐκστρατεύοντος, ἐπὶ τῆς ἔξω Διδυμοτείχου συνοικίας ἦσαν τεταγμένοι, χιλίων ἕκαστος ἄρχοντες τοξοτῶν πεζῶν· ἦσαν δὲ καὶ πρὸς τὸν δῆμον καὶ τὴν ἄλλην στρατιὰν δυνάμενοι οὐ μικρά.

504 CAPUT XLVII.

Tentantur ducum et militum animi de fide erga Cantacuzenum. Comitopulus dux se ab eo staturum profitetur et ad idem cæteros hortatur, vultque ipsum de eorum fidelitate certiorem fieri. Batatzes ejus orationem approbat, juramentum urget, juratur. Nuntius ab imperatore cum ejus signo in cera; qui tamen de suo etiam addit et rem gestam, quominus audientes contristet, imperfecte narrat.

Iis de causis timebant, et quomodo eos in officio ac subjectos tenerent circumspiciebant: simul et de aliis periculum facere cogitabant, ecquid propter audita pristinam voluntatem immutassent. Placuit igitur, postridie, ubi omnes in palatium convenissent, Asanem audiente imperatrice duces ac milites pluribus alloqui, et cujusque animum pertentare. Ad hunc itaque modum Manuel Asanes orsus est: Quæ Apocauchus sacri cubiculi præfectus ad nos scripserit, commilitones, omnes intellexistis. Ita præsentem statum multis mutationibus obnoxium esse, levique momento vel prudentissimum et sagacissimum decipi, et improvidum atque a casu et fortuna pendentem, etiam præter opinionem beatum fieri, usu et experientia multa universi didicistis. Quod cum ita sit, non tanta fides Apocaucho habenda est. Cui enim vita semper simulata, pravitatisque ac fallaciæ plena, et sermo mendax, nihilque probum ac sincerum unquam continens, qui tandem eum nunc vera dixisse quisquam crediderit? Sed demus vera esse, at non omnimodis, sed talia quæ cum imperatori parvum dederint incommodum, parvo negotio corrigi possunt. Vestrum autem unusquisque usque in hanc diem, dum res secundum cursum, sine aliqua offensione tenuerunt, magnanimitatis ac fortitudinis suæ in rebus turbidis, prudentiæ item, charitatisque, qua imperatorem et filios ejus comprehenderet, ostentandæ, occasionem nullam nactus est. Nunc, quoniam se obtulit occasio, et omnes simul, et seorsum quemlibet quantum intelligentia,

Διὰ ταύτας γοῦν τὰς αἰτίας ἐδεδοίκεσάν τε καὶ ἐσκέπτοντο ᾗ χρὴ αὐτοὺς ὑποποιήσασθαι· ἅμα δὲ διενοοῦντο καὶ περὶ τῶν ἄλλων ὡς ἀποπειράσοντες, εἰ διὰ τὰ ἀκουσθέντα μὴ παρετράπησαν τὰς γνώμας. Ἐδόκει δὴ οὖν εἰς τὴν ὑστεραίαν πάντων ἐν βασιλείοις συνελθόντων ἐπὶ τῆς βασιλίδος, τὸν Ἀσάνην πρός τε τοὺς ἡγεμόνας καὶ τὴν στρατιὰν λόγον ἀποτείναι καὶ ἀποπειρᾶν τῆς ἑκάστου διανοίας· καὶ ἐς τὴν ὑστεραίαν ἐπεὶ ἦσαν ἐν βασιλείοις πάντες, Ἀσάνης ὁ Μανουὴλ ἐπὶ τῆς βασιλίδος οὕτω τὸν λόγον ἐποιήσατο· Ἄνδρες συστρατιῶται, τὰ μὲν ὑπὸ παρακοιμωμένου τοῦ Ἀποκαύχου πάντες ἀκηκόατε γεγραμμένα πρὸς ὑμᾶς. Τὰ μὲν οὖν παρόντα πράγματα ὡς πολλὰ ἐπιδέχεται μεταβολὰς, καὶ ῥᾴδιον καὶ ἐκ μικρᾶς αἰτίας καὶ τὸν συνετώτατον καὶ κατεστοχασμένον σφαλῆναι· καὶ τὸν ἀπερισκέπτως καὶ ὡς ἔτυχε φερόμενον καὶ ἄπιστα εὐτυχῆσαι πάντες ἴστε πολλοὶ ὠμιληκότες πράγμασιν. Οὐ μὴν διὰ τοῦτο πάντα χρὴ πιστεύειν παρακοιμωμένῳ. Ὧ γὰρ ὁ τε βίος ἐπίπλαστος ἀεὶ καὶ σκαιωρίας καὶ ἀπάτης γέμων, καὶ ὁ λόγος ἐψευσμένος, καὶ οὐδὲν οὐδέποτε ἔχων ὑγιὲς, πῶς ἂν τις πιστεύσειε νυνὶ εἰρῆσθαι τἀληθῆ; εἰ δὲ καὶ ἀληθῆ τὰ εἰρημένα, ἀλλ' οὐ παντάπασιν, ἀλλὰ τοιαῦτα εἶναι τὰ γεγενημένα, οἷα βασιλεῖ μικρὰν δυσχέρειαν παρεσχημένα, ῥᾳδίως πάλιν ἐπανορθωθῆναι. Ὑμῶν δὲ ἕκαστος νῦν μὲν ἄχρι τῶν πραγμάτων ἐξουρίων φερομένων, οὐδεμίαν ἔσχε πρόφασιν τήν τε εὐψυχίαν καὶ τόλμαν τὴν ἐν τοῖς δεινοῖς καὶ τὴν σύνεσιν ἅμα ἐπιδείξασθαι, καὶ τὴν εὔνοιαν ἣν ἔχει περὶ βασιλέα καὶ τοὺς παῖδας. Νυνὶ δὲ ἤδη τῶν πραγμάτων παρασχόντων,

Digitized by Google Распознавание текста ABK/FR

καὶ πάντας ὁμοῦ καὶ ἰδίᾳ ἕκαστον καὶ τὴν σύνεσιν καὶ τὴν εὐβουλίαν ἐπιδείκνυσθαι χρεών, καὶ ἐπὶ τοῖς ἔργοις φαίνεσθαι ὁμοίους· ὡς ἂν ἅπασι τὰ πράγματα τῶν λόγων οὐδένων ὄντων. Τὰ μὲν οὖν ἔργα ὕστερον ἐπιδειξόμεθα ἡνίκα ἂν δέῃ. Νυνὶ δὲ ἀναγκαῖον γνώμην ἕκαστον εἰσάγειν ἣ χρὴ τραπομένους, σφᾶς τε αὐτοὺς καὶ τὴν ἄλλην πόλιν διασώζειν. Οὐ γὰρ ἡσυχάσειν οἶομαι παρακοιμώμενον, ἀλλὰ ταχέως ἡμῖν ἐπιστρατεύσειν, εἴγε ὄντως ἀληθῆ τὰ περὶ βασιλέως εἴη εἰρημένα. Ἀσάνης μὲν οὖν τοιαῦτα ἐπαύσατο εἰπών. Κομιτόπουλος δὲ αὐτίκα ὑπὸ προθυμίας καὶ τῆς περὶ βασιλέα εὐνοίας κινηθείς, ἀναστὰς παρελθὼν εἰς μέσους, ἔλεξε τοιάδε· Οὐδένα ὑμῶν ὅσοι πάρεστε νῦν οἶομαι ἀγνοεῖν, ὡς βασιλέως ἔτι περιόντος τοῦ μακαρίου, τοῖς οἰκείοις συνεξηταζόμην, καὶ τοῖς πολλῆς παρ' ἐκείνου καὶ τῆς εὐμενείας ἀπολαύουσι καὶ τῆς προνοίας· καὶ αὐτὸς δὲ οὐδὲν ἀπέλιπον, τό γε εἰς ἐμὲ ἧκον, τοῦ μὴ τὴν προσήκουσαν εὔνοιαν εὐγνώμονι δούλῳ ἐπιδείκνυσθαι. Οὐ μὴν διὰ τὸ ἐκεῖνον ἐξ ἀνθρώπων γεγονέναι νυνὶ μεταβαλὼν, τοῖς ἐκείνου παισὶ δεῖν ἔγνων πολεμεῖν· ἀλλὰ τὴν ὁμοίαν γνώμην καὶ νῦν ἔτι διατηρῶ. Ὁρῶν δὲ βασιλέα μὲν τὸν Καντακουζηνὸν δίκαια καὶ λυσιτελῆ τοῖς παισὶ βασιλέως ἠρημένον πράττειν, Ἀπόκαυχον δὲ τὸν παρακοιμώμενον πολλὰς κατ' αὐτοῦ διαβολὰς καὶ συκοφαντίας συνεσκευακότα, καὶ ἄλλους προσεταιρισάμενον πονηροτέρους ἀνθρώπους καὶ διεφθορότας, καὶ βασιλίδα ἐξηπατηκότας, καὶ τουτονὶ τὸν πόλεμον τὸν μυρίων αἴτιον κακῶν νῦν τε ἄχρι γεγενημένον, καὶ ἔτι πλειόνων ἐσόμενον πολλῷ κεκινηκότας, εἰ μὴ Θεὸς ἄνωθεν κατασβέσει, ἐμίσησά τε τὴν πονηρίαν αὐτῶν, καὶ βασιλεῖ μᾶλλον ἔκρινα δίκαιον προσέχειν, ὡς δίκαιά τε ἅμα καὶ βασιλέως τοῖς παισὶ συμφέροντα, καὶ πᾶσιν ὁμοῦ Ῥωμαίοις διανοουμένῳ. Νυνὶ δὲ ὡς ἀκούομεν δυσκόλοις τύχαις ἐκείνου χρησαμένου διὰ τῶν συνόντων τὴν ἀποστασίαν καὶ πρὸς τὸν Τριβαλῶν δυνάστην ἀφιγμένου, οὐ δίκαιον ἡμᾶς καταπεσεῖν, οὐδὲ πρὸς στάσεις καὶ διαφορὰς χωρήσαντας, ἀνδραπόδων δίκην σφᾶς αὐτοὺς τοῖς πολεμίοις καταπροδοῦναι· ἀλλὰ συμφρονήσαντας, ὅρκους δοῦναι βασιλίδι καὶ ἀλλήλοις, ἢ μὴν μηδένα μήτε δι' ἀγαθῶν πολλῶν ἐπαγγελίαν, μήτε δι' ἐπαγωγὴν πολλῶν δεινῶν, ἢ βασιλίδι καὶ παισὶν, ἢ ἀλλήλοις ἐπιβουλεύσειν· ἀλλ' ἀμύνεσθαι τρόπῳ παντὶ τοὺς πολεμίους μίαν γνώμην ἔχοντας, καὶ τὴν πίστιν ἄδολον καὶ καθαρὰν φυλάττειν βασιλεῖ, πέμπειν δὲ καὶ τὴν τχίστην πρὸς ἐκεῖνον ἄνδρας, οἳ διδάξουσιν, ὡς ἡμεῖς ὑπὲρ ἐκείνου καὶ φιλτάτων καὶ τῆς γυναικὸς, πάντα καὶ πράττειν καὶ ὑπομένειν ἐγνώκαμεν ἄχρι παντός· ἵν' αὐτός τε ἥδοιτο τοιαῦτα περὶ ἡμῶν ἀκούων, καὶ ἡμῖν πολλὴν εἰδείη χάριν τῆς εἰς αὐτὸν εὐνοίας. Οὐδὲ γὰρ μικράν τινα οἴεσθαι ἐκεῖνον τὴν περὶ ἡμῶν φροντίδα ἔχειν χρή· ἀλλὰ πολλοῖς παλαίειν λογισμοῖς ὑποπτεύοντα, ὥσπερ εἰκὸς, μὴ πρὸς τοὺς ἀγῶνας ἀποκνήσωμεν. Τοιαῦτα μὲν ὁ Κομιτόπουλος εἶπεν· εὐθὺς δὲ μετ' ἐκεῖνον ὁ Βατάτζης ἐπῆνει τε τὰ εἰρημένα, καὶ ὡς μηδενὸς ἐνδέοντα μήτε πρὸς σύνεσιν μήτε πρὸς εὐβουλίαν, ἐπεψηφίζετο καὶ

consilioque possit, ipso etiam facto demonstrare oportet; verba enim, si facta desint, nihil valent. Sed ad facta postea, quando opus fuerit, veniemus. In præsens singuli sententiam explicare debent, quid agamus, ut nos ipsos reliquamque urbem conservemus. Etenim cubiculi præfectum non quieturum, **505** sed propediem hostiliter in nos iturum existimo: modo plane certa sint, quæ de imperatore narrantur. His dictis Asanes tacuit. Comitopulus, quo erat studio imperatoris incensus, in medium prodiens, hunc in modum disseruit: Neminem ego vestrum, quotquot adestis, fugere arbitror, me imperatoris beatæ recordationis domesticum, et quidem charum illi, acceptumque fuisse; nec vicissim a me (quantum quidem præstare potui) quidquam in amore a probo fidelique servo domino suo remetiendo prætermissum memini. Nec quia ille ab hominibus abiit, ego alius factus, illius filiis bellum inferre decrevi, sed eamdem mentem etiam nunc gero. Cum autem animadvertam, Cantacuzeno propositum esse ea persequi, quæ nec a justitia aliena, et illis utilia sint, contra Apocauchum cubiculi præfectum multas in eum calumnias et sycophantias consuisse, aliosque impuros ac sceleratos assumpsisse, qui et Augustam circumscripserunt, et hocce bellum incenderunt, unde jam mille calamitates natæ, et plures his nascituræ sunt, nisi Deus in cœlo id restinxerit, eorum improbitatem exsecratus, Cantacuzenum potius et virum justum, et defuncti imperatoris liberis Romanisque universis consulentem mihi sequendum censui. Quem cum modo in misera et acerba fortuna sua (utpote a suis proditum) ad Triballorum principem profectum audiamus, haud æquum est nos labascere, et ad seditiones atque dissidia conversos pro mancipiis nosmet hostibus turpiter dedere, sed animis consentientes imperatrici Irenæ ac nobis mutuo sacramenta dicere, nullum nostrum neque bonorum multorum pollicitatione illectum, neque multorum malorum invectione compulsum, illi ejusque liberis, aut inter nos insidiaturos: sed omni ratione et una mente in hostem pugnaturos, fidemque germanam ac puram imperatori servaturos. Quin etiam certos homines celeriter ad eum mittendos judico, qui doceant nos pro ipso, charissimisque ejus filiis, et uxore omnia semper et facere et pati constituisse: ut de nobis hæc audiens lætetur, deque tanta benevolentia gratias agat. Nec enim parum de nobis sollicitum esse credendum est, sed variis distractum cogitationibus suspicari, ut est verisimile, nos ignavia torpentes certare amplius non audere. Hactenus Comitopulus. Quem mox excipiens Batatzes, **506** et dicta laudare, et ut prudentissima atque consultissima suffragio suo approbare, et juramenta urgere. Irene vero imperatrix, et Asanes frater, Comitopuli cohortationem ex divino afflatu exstitisse rati, ut ad dimicandum omnes acuerent (propterea quod qui prius suspecti erant, tantam nunc

Digitized by Google Распознавание текста ABK/FR

erga imperatorem animorum inclinationem præferebant) magnis levati angoribus, cum et cæteri idem omnes sentirent, sacramenta concipi jusserunt; primusque se imperatricis frater obligavit. Interea quidam Bratilus nomine ab imperatore adveniens, non ille quidem litteras, sed ceram annulo ejus signatam, fidei causa afferebat. Ille primum imperatricem adiens, salutem dicit; deinde alios quoque verbis imperatoris salutat, et de Gynæcocastro narrat (cujus gratia se missum autumabat), non ut revera contigerant, sed obiter admodum, et quomodo non multum terroris sese daturum existimabat. Adjiciebat, turbatione non modica inter milites suborta, post protostratoris, aliorumque secessionem, quod domestica damna ferre non potuissent, audito Cralem haud procul abesse, imperatorem pro veteri amicitia ad eum profectum esse; ibi libenter, valdeque comiter et benevole susceptum, et auxiliaribus copiis magnis ac fortibus auctum esse: putareque se, nunc iter versus Didymotichum tenere, et brevi coram affuturum, seque præmissum, ut gesta nuntiaret: ne, si aliter quam pro veritate et multis cum additamentis audirent, turbarentur. Nec cunctandum, sed datis sibi de statu ipsorum litteris, ad imperatorem se remittendum affirmabat, qui in multa de ipsis cura versetur, quippe cui in eo sint omnia, ut res eorum cognoscat. Aiebat item, epistolam se ab eodem accepisse, eadem quæ narrasset continentem. Cæterum multis per viam occurrentibus timuisse, ne interceptus, propter eam aliquid calamitatis perpeteretur, et negotium ad nihilum caderet, atque ideo conscidisse; signum solum fidei faciendæ retinuisse, quod cavo oris inditum, scrutantes posset effugere. Ejus dictis solatii ac levamenti plenis adjuncta fides, quod scirent hominem nec alias ad mendacia ex levitate componenda ingeniosum fuisse. Res vero secus erat quam ille memoraverat. Quando enim Gynæcocastri ab imperatore defectio, tantaque confusio ac perturbatio incidit, quoniam et ipse **507** aderat, cum pluribus sui similibus ad hoc constitutus, ut si quo opus esset imperatori occulte mittere litteras, ipse ferret qui propter vilitatem suam facile lateret, accedens rogavit ut quoniam tempore exclusus scribere litteras non posset, signum ex annulo impressum daret, quo sibi gesta memoranti Didymotichenses crederent. Tempestive locutum arbitratus imperator ita fecit. Bratilus ergo his Didymotichum nuntiatis, rursum ab imperatrice cæterisque accepta epistola ad imperatorem est reversus.

A αὐτὸς, καὶ ἐπέσπευδε τοὺς ὅρκους. Εἰρήνη δὲ ἡ βασιλὶς, καὶ ὁ ἀδελφὸς Ἀσάνης, τὴν Κομιτοπούλου παραίνεσιν νομίσαντες θεόθεν κεκινῆσθαι, ἵν' εἰη πᾶσι παράκλησις πρὸς τοὺς ἀγῶνας, τὸ τοὺς ὑποπτευομένους τουτουσὶ, οὕτως ἔχοντας εὐνοίας φαίνεσθαι πρὸς βασιλέα, τῶν πολλῶν ἀναπνεύσαντες φροντίδων, καὶ ἐπιψηφισάμενοι τὴν βουλὴν, ἐπειδὴ καὶ τοῖς ἄλλοις ἅπασιν ἐδόκει, τοὺς ὅρκους ἐκέλευον τελεῖσθαι· καὶ ἐτελοῦντο, πρώτου τοῦ τῆς βασιλίδος ἀδελφοῦ ὀμωμοκότος. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ἥκει τις ἐκ βασιλέως Μπρατίλος ὄνομα· ὃς γράμματα μὲν οὐκ εἶχε, κηρὸν δὲ ἐσφραγισμένον τῷ δακτυλίῳ τοῦ βασιλέως ἀξιοπιστίας ἕνεκα. Καὶ πρῶτα μὲν προσηγόρευε βασιλίδα παραστάς· ἔπειτα καὶ τοὺς ἄλλους ἐκ βασιλέως· διηγεῖτό τε τὰ περὶ Γυναικόκαστρον, οὐχ ὃν ἐγένετο τρόπον, ἀλλ' ὑφειμένως μάλιστα, καὶ ὡς ἂν ᾤετο οὐ σφόδρα θορυβήσειν. Πρὸς τοῦτο γὰρ ἔφασκε παρὰ βασιλέως ἐκπεμφθῆναι. Ἔπειτα καὶ τοῦτο προσετίθει, ὡς ταραχῆς οὐ μικρᾶς περὶ τὴν βασιλέως στρατιὰν γεγενημένης, καὶ πρωτοστράτορός τε καὶ ἄλλων ἀποστάντων διὰ τὸ μὴ τὴν οἰκοι ζημίαν φέρειν δύνασθαι, περὶ Κράλη πυθόμενος ὁ βασιλεὺς ὡς ὀκτῳδέοι ἐγγὺς, γένοιτο πρὸς αὐτὸν κατὰ φιλίαν παλαιάν. Ἐκείνου δὲ ἀσμένως ὑποδεξαμένου καὶ μετὰ πολλῆς φιλοφροσύνης καὶ εὐνοίας καὶ στρατιὰν πολλὴν τε καὶ ἀγαθὴν παρεσχημένου κατὰ συμμαχίαν, νῦν πρὸς εὐπορίαν εἶναι οἴεσθαι, καὶ ἀφίξεσθαι μετὰ μικρόν· αὐτὸν δὲ πεμφθῆναι πρότερον ἀπαγγελοῦντα τὰ γεγενημένα, ὡς ἂν μὴ διεφθαρμένως πυθόμενοι καὶ μετὰ πολλῆς προσθήκης θορυβῆσθε· ἠξίου τε μὴ μέλλειν, ἀλλὰ παρασχομένους γράμματα, περὶ αὐτῶν ὅπως ἔχουσι δηλοῦντα, αὖθις εἰς βασιλέα ἀποπέμπειν. Πολλὴν γὰρ αὐτῷ περὶ αὐτῶν φροντίδα εἶναι, καὶ τοῦ παντὸς τιμᾶσθαι τὸ πυθέσθαι τι περὶ αὐτῶν. Ἔφασκε δὲ καὶ παρὰ βασιλέως γράμματα λαβεῖν, ἃ καὶ αὐτὸς εἶπε περιέχοντα· πρὸς τὴν ὁδοιπορίαν δὲ πολλῶν συντυγχανόντων, δείσας μὴ ἁλῷ καὶ αὐτός τε δι' ἐκεῖνα εἰς πεῖραν ἔλθῃ πολλῶν κακῶν, καὶ ἡ πρᾶξις κωλυθῇ, τὰ γράμματα ἀφανίσαι, τὴν σφραγῖδα δὲ μόνην ἀξιοπιστίας ἕνεκα φυλάξαι, δυναμένην ἐπὶ τὰ κοῖλα τοῦ στόματος τοὺς ἐρευνῶντας διαδιδράσκειν. Ὁ μὲν οὖν τοιαῦτα λέγων ἐπιστεύετο, καὶ πολλὴν παρείχετο παραψυχὴν, καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούφιζεν. Ἤδεισαν γὰρ αὐτὸν οὐδὲ πρότερον εὐφυῶς ἔχοντα διὰ κουφότητα περὶ τὸ πλάσματα συντιθέναι. Τὰ δὲ οὐκ ἦσαν, ὡς ἀπήγγελλεν. Ἀλλ' ἡνίκα ἐν Γυναικοκάστρῳ ἡ περὶ βασιλέα ἐγίνετο ἀποστασία, καὶ σύγχυσις δεινὴ, καὶ ἀταξία ἦν περὶ τὴν στρατιὰν, ἐπεὶ καὶ αὐτὸς παρῆν εἰς τοῦτο τεταγμένος σὺν πλείοσιν ἑτέροις τοιούτοις, ἵν' εἴ που δέοιτο βασιλεὺς ἀγγελίαν κρύφα πέμπειν, αὐτὸς διακομίζοι διὰ τὴν εὐτέλειαν λανθάνων, προσελθὼν ἐδεῖτο βασιλέως, ἐπεὶ μὴ γράφειν δύναιτο διὰ τὴν ἀκαιρίαν, σφραγῖδα παρέχειν ἐκ τοῦ δακτυλίου ἵν' ᾖ πιστεύεσθαι ἀπαγγέλλοντι τοῖς ἐν Διδυμοτείχῳ περὶ τῶν γεγενημένων· νομίσας δὲ καὶ ὁ βασιλεὺς προσήκοντα εἰρηκέναι τῷ καιρῷ, παρεῖχε. Μπρατίλος μὲν οὖν τοιαῦτα τοῖς ἐν Διδυμοτείχῳ ἀπαγγείλας, γράμματά τε αὖθις παρὰ βασιλίδος καὶ τῶν ἄλλων λαβὼν, ᾤχετο πρὸς βασιλέα.

B

C

D

Digitized by Google Распознавание текста ABK/FR

CAPUT XLVIII.

Suburbanus populus in oppidum insurgit : præsidium erumpit, hostem fugat, qui per varias urbes dispergitur. Ædes destruuntur. Episcopi vaticinium evenit. Proceres Triballos promissi auxilii pœnitet ; obsidem filium requirunt. Liberus filium suam Manueli Cantacuzeni filio desponderi cupit. Utrique petitioni imperator annuit. Liberus voto potitus lætatur.

Ὁ δὲ ἐπὶ τῆς ἔξω Διδυμοτείχου συνοικίας δῆμος οὐ πολλῷ ὕστερον οὐκ ἀνεκτὸν ἡγούμενοι, εἰ μὴ τὰ ἴσα καὶ αὐτοὶ τοῖς ἄλλοις δήμοις δρῷεν καὶ διαφθείροιεν τοὺς δυνατούς, τῶν ἀρχόντων αὐτοῖς μὴ συνειδότων, νυκτὸς ἐπὶ τὴν στάσιν ἀλλήλους παρορμήσαντες καὶ καθοπλισάμενοι ὡς εἶχον πάντες ἅμα ἕω πρὸς τὰς πύλας ἐλθόντες, ἐτειχομάχουν, καὶ πάντας ἠπείλουν ἀποκτείνειν τοὺς ἔνδον, εἰ μὴ ἐκόντες προσχωροῖεν· οὕτω γὰρ ἂν μόλις φείσεσθαι μὴ ἀποκτείνειν. Ἀσάνης δὲ καὶ ἡ ἔνδον στρατιὰ ἡγησάμενοι δεινὸν εἰ μετὰ τῶν ἐκ Βυζαντίου καὶ τῆς ἐκ τῆς ἄλλης ἀρχῆς Ῥωμαίων στρατιᾶς καὶ παρὰ τῶν οἰκείων πολιορκοῖντο, ὁπλισάμενοι καὶ αὐτοὶ καὶ ἀνοίξαντες τὰς πύλας συνεπλέκοντο τῷ δήμῳ ἐξελθόντες. Ἐκεῖνοι δὲ οὐδὲ πρὸς ὀλίγον ἀντισχόντες πρὸς τὴν μάχην, ἔφευγον ὡς εἶχον, παῖδας καὶ γυναῖκας μόνας ἀναλαβόντες· καὶ διεσκεδάσθησαν κατὰ τὰς ἄλλας πόλεις μηδὲν ἐπιφερόμενοι ὧν εἶχον πλήν τινων ὀλίγων, οἱ διὰ τὸ μὴ συμμετεσχηκέναι τῆς στάσεως τοῖς ἄλλοις μένειν συνεχωρήθησαν ἐπὶ τῶν οἰκιῶν. Ἡ στρατιὰ δὲ τὰς οἰκίας τῶν φυγόντων διεπόρθουν, καὶ πάντα εἰσεκόμιζον ἐντὸς τειχῶν. Ὀλίγῳ δὲ ὕστερον καὶ τὰς ξυλώσεις καθαιροῦντες ἐχρῶντο πρὸς τὸ πῦρ ὑπὸ τῶν ἐν Βυζαντίῳ ἤδη πολιορκούμενοι. Ἡ γὰρ ἐκ Βυζαντίου στρατιὰ ἄχρι μὲν οἱ ἔξω Διδυμοτείχου πρὸς τοὺς ἔνδον ὠμοφρόνουν, οὐδὲ ἐγγὺς γενέσθαι ἐπεχείρουν· ἀλλὰ εἰσβάλλοντες, τὰ πόρρω διεπόρθουν, καὶ ὡς τάχιστα ἀνεχώρουν. Ἐπεὶ δὲ ἡ στάσις γένοιτο καὶ ἐκπολεμωθεῖεν τοῖς ἔνδον οἱ ἐκτὸς, αὐτοί τε ἐφθάρησαν παντάπασιν ἀνάστατοι γεγενημένοι, καὶ οἱ ἔνδον τὸ πολὺ τῆς δυνάμεως ὑφαιρεθέντες, ἀσθενεῖς τε ἦσαν, καὶ οὐκέτι πρὸς τοὺς πολεμίους ἀξιόμαχοι. Ὅθεν κἀκεῖνοι ἐπιόντες καὶ στρατοπεδευόμενοι, ἐγγὺς διεκαρτέρουν. Οἱ μέντοι ὑπολειπόμενοι τοῦ δήμου ἐν Διδυμοτείχῳ, τῶν οἰκημάτων ὑπὸ τῆς στρατιᾶς καθαιρεθέντων, αὐτοὶ τοὺς λίθους ἐκκαθαίροντες, πρὸς λαχανισμὸν ἐχρῶντο τῷ χωρίῳ. Καὶ τέλος ἤδη εἶχε τὸ περὶ τοῦ χωρίου τούτου τῷ μητροπολίτῃ τῆς αὐτῆς πόλεως ὀλίγῳ πρότερον προειρημένον. Ἔτι γὰρ Καντακουζηνοῦ τοῦ βασιλέως πρὸς τὴν εἰς τὴν ἑσπέραν ἐκστρατείαν παρασκευαζομένου, ἐδόκει δεῖν διὰ τὸν πόλεμον περὶ τὴν ἔξω συνοικίαν τάφρον περιελαύνειν, ἵνα μὴ ῥᾴδία ἡ εἴσοδος τοῖς πολεμίοις εἴη, εἴ ποτε εἰσβάλοιεν. Διανενεμημένης δὲ τῆς τάφρου κατὰ φατρίας παντὶ τῷ δήμῳ, ὥστε ἀνορύττειν, καὶ τοῖς ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας πᾶσι παρείχετο μερίς. Δυσχεραινόντων δὲ ἐκείνων διὰ τὸ πονεῖν, καὶ προσαγγελλόντων τῷ μητροπολίτῃ τοὺς ἐπὶ τὰ ἔργα ἀναγκάζοντας, Οὐδὲν μὲν, εἶπεν ἐκεῖνος, τὰ τοιαῦτα πρὸς τὸν πόλεμον λυσιτελήσει. Μετ' οὐ πολὺ γὰρ ὃ περιποιοῦνται χωρίον, πρὸς λαχανισμὸν ἐπιτηδείως ἕξειν. Τοῦ δὲ μὴ δοκεῖν αὐτοὺς τοῦ κοινῇ λυσιτελοῦντος ἀμελεῖν, ἐκέλευε τὰ ἐπιτεταγμένα

At plebs suburbana Didymotichi non multo post minime ferendum putans, si non etiam alios populos æmulata, potentes interficeret, præfectis imprudentibus, noctu ad tumultum inter se cohortati, armatique ut poterant, omnes, bene mane ad portas procedunt, muris oppugnationem inferunt : minantur oppidanos omnes perempturos, ni se dediderint : sic enim vix tamen manus a cæde cohibituros. Hic Asanes et præsidium rem periculosam rati, si præter Byzantios et alios aliunde ex imperio contractos etiam a domesticis obsiderentur, accincti et ipsi, portis apertis cum populo conflicturi erumpunt. Qui nec aliquandiu saltem impetum sustinens, fugit ut potuit, filiis et uxoribus tantum assumptis ; nihilque aliud rerum suarum secum asportans, per alias urbes dissipatus est. Paucis, quod seditionis participes non fuissent, domicilia sua habitare permissum. Milites fugitivorum domibus direptis, totam prædam in urbem intulerunt. Brevi intervallo etiam materiationem destruentes, ea a Byzantiis jam obsessi, ad focum usi sunt. Nam Byzantii quandiu Didymotichenses suburbani cum oppidanis voluntatibus congruebant, ne pedem quidem propius ferre audebant, sed remotiora agri depopulantes, properato se in stativa recipiebant. Tumultu autem et seditione conflata suburbani urbanos hostilem in modum aggressi, et ipsi omnino sedibus suis pulsi perierunt, **508** et urbani imminutis magnopere viribus, pugna hostibus pares amplius non erant. Unde illi, Byzantii, inquam, propius accedere, et locatis castris perseverare non dubitarunt. Ex Didymotichensibus suburbanis restantes, vicinorum ædibus a milite eversis, ipsi lapides et rudera efferebant, et per areas illas oluscula serebant. Et jam evenerat, quod de hoc loco ipsius urbis metropolita non ita pridem vaticinatus fuerat. Nam dum se Cantacuzenus ad expeditionem occidentalem adhuc instrueret, suburbana ad hostem arcendum fossa debere circumdari decernebat. Tributim igitur toti populo, et clericis Ecclesiæ ad fodiendum pars describebatur. Quibus, clericis puta, laborem indignantibus, et exactores operum ad episcopum deferentibus, ille hanc fossam bello nihil profuturam prædixit. Quem enim locum servare et custodire niterentur, brevi olerum sationi idoneum habituros. Verum enim vero ne commodum publicum parvipendere videretur, jussit imperata fieri. Cum non diu post eventus respondisset, Didymotichenses in memoriam prædictionis regressi, virum de ea suspexerunt. Porro a Crale Cantacuzeno adjuvando designati, jamque parati, et ad opus accessuri, dominum suum conveniunt, haud utile se et illum sibimetipsis consilium ini-

Digitized by Google Распознавание текста ABK/FR

visse autumant, quando tam incaute florem ac nervum potentiæ suæ Cantacuzeno tradidissent. Si enim pace cum Anna imperatrice clam composita ipsis insidietur, nec insidias præsentientes occidat, quid reliquum, nisi ut regressus liberos et conjuges eorum in servitutem abripiat, universumque Triballorum principatum sibi subjiciat? ideo tum demum juvandum (si ipsorum egeat auxilio) quando juniorem filium apud eos obsidem reliquerit: sine obsidibus non juvandum. Sic enim cupide una militaturos, nullamque in futurum malam spem de eo concepturos. Liberus autem privatim Cralem orare, imperatori auctor esset, ut is Manueli juniori filio ipsius Liberi filiam desponderet: audiisse enim Syrgen sponsalia inter ejus filiam et Manuelem hunc, cui eam, Andronico imperatore adhuc in vita manente, despondisset, belli causa rescidisse. Et videbantur Crali quoque duces æquum et bonum postulare. Quamobrem quid velint, imperatori renuntiat; hortatur ut eis obsecundet; **509** hac enim ratione impigre militaturos. Separatim vero de Liberi filia cum filio ejus nuptiis consocianda rogat, et monet, ne quod sit inter ambos ex generis claritate discrimen, sed quantum in præsens efficere hac via possit, intueatur. Nam præterquam quod et aliis Triballis hæ nuptiæ jucundæ sint futuræ, etiam Liberum ipsum non socium modo et amicum, sed et servum plane ipsius fore, omniaque ejus utilitati prompte postpositurum, quod ipsemet polliceatur. Hæc res, ut apparebat, magnum Crali æquitatis et candoris testimonium dabat, quod dynastarum suorum potentissimo cum imperatore se conjungente, adeoque manifeste omnia illius causa facturum pollicente, si is tantum filiam ipsius filio suo collocaret, nihil suspicaretur mali, nec præpedire negotium tentaret, sed adjuvaret magis. Verum istuc non tam æquitati Cralis, quam Liberi opulentiæ, magnæque inter Triballos potentiæ adscribendum, propter quam et ipse Crales eum offendere timebat. Hæc igitur ille, cum et Liberus adesset, apud imperatorem disseruit: qui quod tum illud, tum hoc in præsentia conducere videbat, neutrum recusabat, et ita suspicionem de sociis aliquando lædendis, aut per insidias appetendis eximebat: nescire enim se amicos sic remunerari, quando constaret, nec apertis hostibus unquam insidiatum: et affinitatem cum Syrge non priorem dissuisse; sed eo generum abdicante, causæ nihil esse, cur non et ipse aliam filio suo uxorem jungeret; præsertim cum nondum sic astrictum fuerit matrimonium, ut dissolvere non liceret. Si juramentum intercessisset, nulla de causa id distracturum fuisse. Proinde dimittere se filium, simul generum futurum Libero, simul propter copias sociales, ut ne quid ab se insidiarum metuat; non sic tamen, ut apud eos omnino semperque maneat, sed ubi pater revocaverit, redeat. Liberus ut imperatorem de connubio annuisse cognovit, eum ado-

A πράττειν. Ὧν ὀλίγῳ ὑστερον ἐκβάντων, ἀνεμιμνήσκοντό τε οἱ ἐν Διδυμοτείχῳ, καὶ ἐθαύμαζον τὸν ἄνδρα τῆς προαγορεύσεως. Οἱ μέντοι παρὰ Κράλη βασιλεῖ τῷ Καντακουζηνῷ ἐπιτεταγμένοι συμμαχεῖν, ἐπεὶ παρεσκευασμένοι ἤδη ἦσαν, καὶ ἔμελλον ἔργου ἔχεσθαι, τῷ σφετέρῳ δυνάστῃ προσελθόντες, οὐ λυσιτέλοῦντα ἔφασαν σφᾶς τε αὐτοὺς κἀκεῖνον βεβουλεῦσθαι περὶ ἑαυτῶν, οὕτως ἀπερισκέπτως τὸ κράτιστον τῆς αὐτῶν δυνάμεως ἐγχειρίσαντας Καντακουζηνῷ τῷ βασιλεῖ. Εἰ γὰρ ἐκεῖνος διαλύσεις θέμενος πρὸς Ἄνναν τὴν βασιλίδα κρύφα ἐπιβουλεύσειεν αὐτοῖς, καὶ διαφθερεῖ μὴ προαισθομένους τὴν ἐπιβουλὴν, τί λοιπὸν ἢ ἐπανελθόντα παῖδας καὶ γυναῖκας ἄγειν ἐπὶ δουλείᾳ, καὶ τὴν ἄλλην ἅπασαν Τριβαλλῶν ἀρχὴν ὑποποιεῖσθαι; δι' ἃ οὐ χρῆναι

B χωρὶς ὁμήρων ἐκείνῳ συμμαχεῖν· ἀλλ' εἴ τι δέοιτο τῆς αὐτῶν ἐπικουρίας, τὸν νεώτερον τῶν υἱῶν ὁμηρεύσοντα καταλιπεῖν παρ' αὐτοῖς· οὕτω γὰρ προθύμως συστρατεύσεσθαι, καὶ μηδεμίαν πρὸς τὸ μέλλον πονηρὰν ἐλπίδα σχήσειν. Λίβερος δὲ ἰδίᾳ ἐδεῖτο Κράλῃ, πεῖθειν βασιλέα τὴν ἐκείνου θυγατέρα Μανουὴλ τῷ νεωτέρῳ υἱῷ κατεγγυᾶν· πυθέσθαι γὰρ περὶ Συργῆ, ὡς διαλύσειε τὸν γάμον θυγατρὸς διὰ τὸν πόλεμον, ἦν ἔτι περιόντος Ἀνδρονίκου βασιλέως τούτῳ δὴ κατηγγύησε τῷ Μανουήλ· καὶ ἐδόκει κἀκείνῳ δίκαια καὶ συμφέροντα ἀξιοῦν τοὺς στρατηγούς. Διὸ καὶ ἀπήγγελλε βασιλεῖ τὰ παρ' ἐκείνων εἰρημένα, καὶ συνεβούλευε πείθεσθαι αὐτοῖς, τοῦτον τρόπον προθύμως συστρατευσομένοις. Ἐδεῖτο τε ἰδίᾳ καὶ περὶ Λιβέρου τῆς θυγατρὸς ἐπὶ γάμῳ συ-

C νάπτειν τῷ υἱῷ· καὶ μὴ τὸ διάφορον ἀμφοῖν τῆς εὐδοξίας, ἀλλὰ τὴν συντέλειαν ἣν πρὸς τὰ παρόντα συντέλεσειε, σκοπεῖν. Πρὸς γὰρ τῷ καὶ τοῖς ἄλλοις Τριβαλοῖς πρὸς ἡδονὴν τὸν γάμον εἶναι τοῦ παιδὸς, ἔτι καὶ Λίβερον αὐτὸν οὐ σύμμαχον ἕξειν ἔτι καὶ φίλον, ἀλλὰ δοῦλον ἀκριβῶς, καὶ πάντα προησόμενον προθύμως ὑπὲρ τῶν αὐτῷ λυσιτελούντων, οὕτω γὰρ ἐπαγγέλλεσθαι καὶ αὐτόν. Ἐδόκει μὲν οὖν πολλὴν ἐπιείκειαν καὶ εὐγνωμοσύνην τὸ τοιοῦτο Κράλῃ συμμαρτυρεῖν, εἰ τοῦ παρ' αὐτῷ δυνατωτάτου βασιλεῖ προστιθεμένου, καὶ οὕτω φανερῶς ὑπὲρ ἐκείνου πάντα ποιήσειν ἐπαγγελλομένου, εἰ πείθοιτο μόνον τὴν ἐκείνου θυγατέρα συνοικίζειν τῷ υἱῷ, μήθ' ὑποπτεύειν αὐτὸς, μήτε κωλύειν ἐπιχείρει, συνέ-

D πραττε δὲ μᾶλλον. Τοῦτο δὲ οὐ μᾶλλον τῆς ἐπιεικείας Κράλη ἦν, ἢ τῆς Λιβέρου περιουσίας καὶ τοῦ μεγάλα δύνασθαι παρὰ Τριβαλοῖς, ὥστε καὶ αὐτὸν προσκρούειν ὀρρωδεῖν. Ὁ μὲν οὖν Κράλης τοιαῦτα πρὸς βασιλέα διεξῆει, παρόντος καὶ Λιβέρου. Βασιλεὺς δὲ ἐπείθετο πρὸς ἀμφότερα, λυσιτελοῦντα ὁρῶν ἐν τῷ παρόντι, καὶ τὴν τε ὑποψίαν ἀπωθεῖτο, ὡς ἀδικήσειέ ποτε καὶ ἐπιβουλεύσειε τοῖς συμμάχοις. Οὐ γὰρ τοιαύταις αὐτὸς ἐπίστασθαι τοὺς φίλους ἀμείβεσθαι εὐεργεσίαις, ὅπου γε καὶ τοῖς πολεμοῦσι φανερῶς οὐδέποτε ἐπιβουλεύων ἐφάνη. Καὶ τὸ πρὸς Συργὴν κῆδος οὐκ αὐτὸς διαλύειν πρῶτος ἔφασκεν· ἀλλ' ἐκείνου ἀπειπαμένου μηδεμίαν αἰτίαν εἶναι, εἰ καὶ αὐτὸς ἑτέραν τῷ υἱῷ ἁρμόσεται. Καίτοι γε οὐδ' εἰς τοσοῦτο δεσμῶν ἧκειν τὸν γάμον, ὥστε μὴ

Digitized by Google Распознавание текста ABK/FR

ἐξεῖναι διαλύειν. Εἰ γὰρ μέχρι-ὅρκων προεχώρει, ἐξ οὐδεμιᾶς ἂν αἰτίας ἐπεχείρησε διασπᾶν αὐτός. Τοιγαροῦν ἀφιέναι τὸν υἱὸν ἅμα μὲν γαμβρὸν ἐσόμενον Λιβέρῳ, ἅμα δὲ καὶ τῆς στρατιᾶς ἕνεκα τοῦ θαρρεῖν αὐτῷ, ὡς οὐδέποτε ἐπιβουλεύσειε, μὴ μέντοι παντάπασι διατρίβειν παρ' αὐτοῖς, ἀλλ' ἐπανήκειν πρὸς αὐτὸν ἡνίκα ἂν καλοίη. Λίβερος δὲ ἐπεὶ ἀκούσειε βασιλέα πεπεισμένον πρὸς τὸ τὴν ἐκείνου θυγατέρα ἄγειν τῷ υἱῷ, προσεκύνει τε καὶ ἠσπάζετο τὸν βασιλέως πόδα, καὶ πολλὰς ὡμολόγει χάριτας ἐκείνῳ τε τῆς εὐεργεσίας, καὶ Κράλῃ τοῦ συνεπιλαβέσθαι πρὸς τὸ ἔργον. Τοῦτο δὲ λόγοις μόνον συνετίθετο ψιλοῖς· ὅρκοις δὲ ἢ δεσμοῖς τισιν ἄλλοις πρὸς τὸν γάμον οὐκ ἐχρήσαντο.

A rans, pedemque deosculans, multas ipsi de beneficio, et Crali de opera gratias egit. At enim hæc nudis tantummodo verbis transigebantur; juramentis aut nexibus aliis ad nuptias conglutinandas non sunt usi.

510 CAPUT XLIX.

Imperator cum auxiliis Pheras venit. Syrges fit Armeniorum rex jure paterno. Pheræi deditionem pertinaciter recusant. Ducum et exercitus morbi et funera. Apocauchus Christopolim præsidia mittit. Triballos abiturientes imperatoris pudor retinet. Romani tumultuantes ab eodem amice increpantur. Facta potestate plurimi ab eo Christopolim discedunt. Ducum ibidem perjurium. Transfugarum ad imperatorem reversio.

Μετὰ δὲ τοῦτο τὴν στρατιὰν παραλαβὼν ἤδη παρεσκευασμένην περὶ θέρους ἐκβολὰς ἅμα καὶ Κράλῃ μετὰ γυναικὸς παρεπομένου ἄχρι τῆς Ῥωμαίων ὅρων ἡγεμονίας. Ἐκεῖνοι μὲν οὖν, ἀνεχώρουν συνταξάμενοι. Βασιλεὺς δὲ τὴν τεταγμένην ἔχων στρατιὰν, ἐστρατοπέδευσεν ἐν Φεραῖς, καὶ διήγαγεν ἐπὶ τρισὶν ἡμέραις διαλεγόμενος Φεραίοις περὶ τοῦ προσχωρεῖν αὐτῷ. Συργὴς γὰρ μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Γυναικοκάστρου Φεραῖς ὀλίγον ἐνδιατρίψας, ἦλθε πρὸς Βυζάντιον. Κἀκεῖθεν εἰς Ἀρμενίαν ἀπεχώρησεν, Ἀρμενίων ἐπὶ τὸ σφίσιν ἄρχειν αὐτὸν προσκαλεσαμένων ἐκ πατρῴου προσηκούσης αὐτῷ κλήρου τῆς ἀρχῆς. Φεραῖοι δὲ οὐδὲν μᾶλλον ἢ πρότερον ἦσαν βασιλεῖ τῷ Καντακουζηνῷ παρεσκευασμένοι πολεμεῖν, καὶ τοὺς προσιόντας ἐπὶ τῷ διαλέγεσθαι λίθοις ἔβαλλον καὶ βέλεσιν ἀπὸ τῶν τειχῶν. Ὅθεν καὶ ἡ στρατιὰ ὡς πολεμίων ἀδεῶς τὴν χώραν διεπόρθουν. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, Βράκτος τῶν ἡγεμόνων τῆς στρατιᾶς ὁ διαφορώτατος, ἐνόσησε, καὶ διεκαρτέρησεν ἐκεῖ ἡ στρατιὰ ἐστρατοπεδευμένη μίαν ἡμέραν ἐπὶ δέκα. Ἐπεὶ δ' ἐκεῖνος ῥᾴων ἦν, Λίβερος κατείχετο τῇ νόσῳ, καὶ ἔδει τοσοῦτον χρόνον περιμένειν, ἢ καὶ πλείω. Ῥᾳδίως δὲ ἐκείνου, οἱ λοιποὶ ἐνόσουν τῶν ἀρχόντων, καὶ ἡ στρατιὰ σύμπασα σχεδόν. Μέλιτος γὰρ ἐμφορούμενοι καὶ κρεῶν, ὧν ἡ χώρα μάλιστα εὐπόρει, εἶτα ἀποθλίβοντες καὶ σταφυλὰς, καὶ τοῦ ἀπορρέοντος αὐτίκα ἐμφορούμενοι, εἰς πυρετοὺς ἐνέπιπτον καὶ φθοράς. Ἔπειτα ἀπέθνησκον κατεργαζόμενοι ὑπὸ τῆς νόσου. Καὶ τῶν τε μάλιστα ἐν λόγῳ ἐτεθνήκεσαν οὐκ ὀλίγοι, καὶ τῆς στρατιᾶς ὑπὲρ πεντακοσίους καὶ χιλίους. Ῥωμαίων δὲ τῶν βασιλεῖ συνόντων οὐδὲ εἷς, οὔτε μὴν ἐνόσησεν. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ ἐπεὶ ἐπύθετο τὸν Καντακουζηνὸν βασιλέα στρατιὰν ἔχοντα ἐκ Τριβαλῶν περὶ Φεραὰς ἐστρατοπεδευμένον εἶναι, μέλλοντα εἰς Διδυμότειχον ἐπανήκειν, κατὰ τάχος ἔπεμπε τριήρεις εἰς Χριστούπολιν· ἅμα δὲ καὶ στρατιὰν ἐκ τῆς ἠπείρου, ὡς τὸ ἐκεῖσε τείχισμα φυλάξοντας καὶ κωλύσοντας διαβαίνειν τὴν στρατιάν. Ἦν γὰρ ὁ τόπος ἐπιτηδείως ἔχων εἰς φυλακὴν τὴν ἐκ τῶν ὁπλιτῶν, οὐ διὰ τὸν ἐπιτειχισμὸν μόνον, ἀλλ' ὅτι καὶ χρημνώδης ὢν, δύσκολον τοῖς ἱππεῦσι παρείχετο τὴν δίοδον, μάλιστα εἰ καὶ ὑπό τινων

B Præcipiti æstate imperator, Crale cum uxore usque ad confinia prosequentibus, ibique dicta salute recedentibus, cum paratis et attributis sibi copiis Pheras processit: ubi ad triduum manens, cum Pheræis de deditione egit. Syrges enim e Gynæcocastro reversus, non diu Pheris subsistens, Byzantium petivit; inde in Armeniam, ab Armeniis ad sceptrum, ei ex paterna sorte debitum vocatus, discessit. Pheræi nihilo magis quam ante ad Cantacuzeni partes propendebant, et accedentes ad colloquendum saxis ac telis de muro repellebant: quare exercitus agrum ut hostilem secure devastabat. Dum hæc aguntur, Bractus præstantissimus e ducibus morbo corripitur, mansitque eo loci exercitus dies undecim. Postquam ei melius C est factum, Liberus ægrotare cepit, rursumque diebus totidem, aut etiam pluribus illic hærendum fuit. Ubi is quoque convaluit, reliquos duces ac totum ferme exercitum valetudinis incommoditas pervasit. Siquidem melle et carnibus, quibus regio maxime abundat, farti ac distenti, deinde ex uvis compressis musto defluente obruti, in febres et tabem incidebant: tum ita confecti interibant, præsertimque honoratorum non pauci moriebantur. De gregariis autem animas liquere supra mille quingentos: Romanorum nemo ne tentatus quidem est. Apocauchus magnus dux, ut Cantacuzenum cum copiis Triballicis, prope Pheras morantem, Didymotichum reversurum rescivit, subito D triremes Christopolim, simulque ex continenti manum ad murum ibidem custodiendum, et transitu illum prohibendum misit. Erat enim locus defensioni idoneus gravis armaturæ militi, non propter muri altitudinem duntaxat, **511** sed quia propter præcipitia quoque (potissimum si prohibentium vis adesset) equiti perdifficilem transitum efficiebat. Triballi propter morbum et quotidiana multorum funera, ac præsertim, quod murum seu munitionem illam a Romanis occupatam intellexissent, Pheris in patriam redire statuerunt. Imperator cum eos a morbo tam male affectos ad manendum cogere non posset, omnibus proceribus ac ducibus convocatis, eos horta

Digitized by Google Распознавание текста ABK/FR

tur, ne pusillo sint animo, neve hanc frustrationem in malis numerent; sed illud cogitantes, divina providentia universitatem administrari, et non posse a Deo quidquam fieri, quod non deceat fieri, boni consulerent, omniaque ab illo ad emolumentum suum fieri interpretarentur. Et nunc quidem, inquit, domum redibimus; non multo autem intercedente tempore rursum instructi, Didymoticham, si Deo placuerit, petemus. Triballi magnas imperatori de admonitione gratias agere. Etsi enim de reditu mire lætarentur, tamen imperatorem, si eo invito recedere viderentur, nolebant offendere. Romani stomachari, ac putare, se ad Acherontem ire compelli, tumultuantesque et seditione frementes Christopolim abire velle. Imperator, eorum a se dissensionem meditatamque discessionem videns, advocata concione eos admonet, non avaritia aut ambitione, sed ipsorum causa, qui rogassent, ne se ab Apocaucho sacri cubiculi præfecto ad servitutem et mortem rapi pateretur, hoc periculum subiisse. Deinde in memoriam eis redigit, quæ in ipso belli principio, dixerit: nec justum, nec pium videri, nunc quidem se ad imperium capessendum invitari, et hanc unicam salutis viam censeri; postea vero, si res secus eant, se discriminibus circumventum deseri, uno quoque diffugiente, quo illum sperata vocet utilitas: rursusque admonet, ne trepident animis, neve ob labores et pericula desperationi cedant, sed pro eo ac ingenuos deceat, excelsa et interrita mente, mala istæc tolerent. Haud enim quidquam insigne, et laudabile citra laborem (6) a quoquam feliciter geri. Sin adversis amplius resistere nequeant, iisque penitus succubuerint, oblitique convitiorum ac reprehensionum, quibus Gynæcocastri abeuntes insectati sint, idem modo ipsi cupiant, primum quidem etiam ipsos jure incusandos, qui promissa fefellerint, timidique et ignavi appareant, quando sibi opera sua plurimum prodesse debuerunt. **512** Deinde, se invitos non retenturum: nec enim inde ab initio se ullum coegisse, at se potius quæ noluisset, facere coactum. Sed quibus quidem suave esset labores secum et pericula, et si necesse foret, mortem quoque præ bonis, quæ apud hostes apparerent, amplecti, propius ad se accederent, ut scire posset, quorum operam suo tempore, ac Deo opitulante digna remuneratione compensaret. Qui discriminis societatem detrectarent, abirent. Secundum hæc statim in duas partes discessum est, et plures quidem imperatorem adorantes recesserunt; plus quingenti fortunam cum eo experiri constituerunt. Quibus de amore et fide germana erga se gratiis actis, cum illis reliquiis ad Triballos reversus est. Desertorum pars major du-

A κωλυοιντο. Οἱ Τριβαλοὶ δὲ μάλιστα μὲν διὰ τὴν νόσον, καὶ τὸ πολλοὺς ἀποθνήσκειν καθ' ἡμέραν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὸ πυθέσθαι τὸ τείχισμα ὑπὸ Ῥωμαίων κατεχόμενον, ἀναστρέφειν ἔγνωσαν ἐκ τῶν Φερῶν πρὸς τὴν οἰκείαν. Βασιλεὺς δὲ ἐπεὶ βιάζεσθαι οὐκ ἐνῆν οὕτω πάσχοντας κακῶς ὑπὸ τῆς νόσου, τοὺς ἐν τέλει πάντας καὶ ἡγεμόνας συναγαγὼν, παρῄνει μὴ ἀθυμεῖν, μηδὲ τὴν ἀποτυχίαν ταύτην ὡς τι τῶν δεινῶν λογίζεσθαι· ἀλλ' ἐκεῖνο ἐνθυμουμένους, ὡς πάντα μὲν Θεοῦ προνοίᾳ διοικεῖται. Ἀδύνατον δέ τι τῶν μὴ δεόντων ὑπ' ἐκείνου πράττεσθαι πάντα στέργειν, ὡς μάλιστα λυσιτελῶς ἡμῖν πραττόμενα παρὰ Θεοῦ. Καὶ τὸ νῦν μὲν ἔχον, ἐπανελευσόμεθα πρὸς τὴν οἰκείαν. Ὀλίγῳ δὲ ὕστερον πάλιν παρασκευασάμενοι, ἐλευσόμεθα εἰς Διδυμό-
B τειχον, ἂν φίλον ᾖ Θεῷ. Οἱ μὲν οὖν Τριβαλοὶ πολλὰς χάριτας ὡμολόγουν βασιλεῖ πρὸς τὴν παραίνεσιν. Καὶ γάρ τοι μάλιστα χαίροντες πρὸς τὴν ἐπάνοδον, ὅμως μὴ προσκρούειν βασιλεῖ ἐβούλοντο δοκοῦντες ἄκοντος ἀναχωρεῖν. Ῥωμαῖοι δὲ ἐν δεινῷ ἐτίθεντο, καὶ οὐδὲν ἐνόμιζον ἀπεοικέναι τὴν ὁδὸν ἐκείνην, ἢ εἰ πρὸς Ἀχέροντα βαδίζειν ἠναγκάζοντο, καὶ δεινῶς ἐθόρυβοῦντο καὶ ἐστασίαζον, πρὸς τοὺς ἐν Χριστουπόλει βουλόμενοι ἀποχωρεῖν. Ὁρῶν δὲ ὁ βασιλεὺς τὴν διχόνοιαν αὐτῶν, καὶ τὴν μελετωμένην ἀποστασίαν, περιστησάμενος ἑαυτῷ καὶ ὑπομνήσας, ὡς οὐκ ἰδίας πλεονεξίας, ἢ τιμῆς ἐπιθυμίας, ἀλλ' αὐτῶν ἕνεκα δεομένων μὴ περιΐδεῖν, διαφθαρέντας καὶ δουλωθέντας Ἀποκαύχῳ τῷ παρακοιμωμένῳ τὸν
C ἀγῶνα ὑπελθεῖν. Ἔπειτα καὶ ὧν ἐν ἀρχῇ τοῦ πολέμου μάλιστα διαλεχθείη πρὸς αὐτοὺς, ὡς οὔτε δίκαιον, οὔτε ἄλλως εὐσεβὲς, νῦν μὲν πάντας πρὸς τὸ βασιλέα γίνεσθαι παρακαλεῖν, καὶ μίαν ταύτην ὁδὸν σωτηρίας συνορᾶν, ὕστερον δὲ ἂν μὴ κατὰ γνώμην τὰ πράγματα ἐκβαίνῃ, καταλείποντας αὐτὸν ἐν τοῖς κινδύνοις ἕκαστον ἀναχωρεῖν ὅποι ἂν δοκῇ συμφέρειν, αὖθις παρῄνει μικροψυχεῖν, μηδ' ἀπαγορεύειν πρὸς τοὺς πόνους καὶ τοὺς κινδύνους, ἀλλ' ἀνδράσι πρέπουσαν γενναίοις ἐπιδεικνυμένους εὐψυχίαν τε καὶ τόλμαν, καρτερεῖν ἐν τοῖς δεινοῖς. Οὐδὲ γάρ τι τῶν μεγάλων καὶ ἐπαινουμένων ἄνευ πόνων ἄν ποτέ τινι κατορθωθείη. Εἰ δ' ἥττηνται παντάπασιν ἐν τοῖς δεινοῖς, καὶ ἀντέχειν πρὸς αὐτὰ οὐκέτι οἷοί τέ
D εἰσιν, ἀλλὰ τῶν προτέρων ἐπιλελησμένοι λοιδορῶν καὶ μέμψεων, αἳ τοὺς ἐκ Γυναικοκάστρου ἀποστάντας ἔβαλλον, πρὸς τὰ ἴσα ὥρμηνται καὶ αὐτοὶ νυνὶ, πρῶτα μὲν μέμψεσθαι αὐτοῖς δικαίως, ὡς τὰ ὑπεσχημένα παραβαίνουσι, καὶ φαινομένοις κακοῖς περὶ αὐτὸν, ἡνίκα μάλιστα ἔδει συνόντας ὠφελεῖν. Ἔπειτα οὐ κατασχήσειν ἄκοντας· οὐδὲ γὰρ, οὐδ' ἐξαρχῆς αὐτῷ τι πρὸς ἀνάγκην τινὶ εἰργάσθαι· ἀλλ' αὐτὸς μᾶλλον καὶ ἃ μὴ κατὰ γνώμην ἦν πρὸς ἀνάγκην πράττειν ἡγεῖτο. Ἀλλ' οἷς μὲν ἦδὺ τοὺς μετ' αὐτοῦ πόνους καὶ κινδύνους καὶ θάνατον εἰ δέοι, τῶν

Jacobi Pontani notæ.

(6) Terentius *Non fit sine periculo facinus magnum et memorabile.* Laborem gloriæ patrem vocavit Euripides. Vide symbolas nostras in illud ex *Georg.* lib. I: *Labor omnia vincit improbus*, ubi laborem ex optimis scriptoribus laudavimus.

Digitized by Google Распознавание текста ABK/FR

παρὰ τοῖς πολεμίοις δοκούντων ἀγαθῶν ἀλλάττεσθαι, A ἰέναι πρὸς αὐτὸν, ἵν' εἰδείη καὶ αὐτὸς τίσι τὰς ἀμοιβὰς τῶν πόνων ἀξίας καιροῦ καλοῦντος, καὶ Θεοῦ συναιρομένου ἀποδοίη· τοὺς δ' αὐτῷ μὴ συγκινδυνεύειν αἱρουμένους ἀποχωρεῖν. Αὐτίκα τε εἰς δύο διῃροῦντο· καὶ οἱ πλείους μὲν προσκυνήσαντες βασιλέα ἀπεχώρουν· ὑπὲρ πεντακοσίους δὲ συγκινδυνεύειν εἵλοντο, οἷς καὶ πολλὴν ὁμολογήσας χάριν τῆς εἰς αὐτὸν εὐνοίας καὶ πίστεως ἀδόλου, ἀνέστρεφε μετὰ τῆς ἄλλης στρατιᾶς. Τῶν δὲ ἀφεστηκότων οἱ πλείους μὲν ὁμολογίας χωρὶς προσεχώρησαν τοῖς ἐν Χριστουπόλει στρατηγοῖς καὶ προσεδέχθησαν ἀσμένως παρ' αὐτῶν· ὅσοι δὲ μάλιστα ἐν λόγῳ ἦσαν, πέμψαντες ἠτοῦντο πίστεις παρὰ τῶν ἀρχόντων. Οἱ δὲ ὤμνυον μὲν, γνώμην δὲ εἶχον ὡς καὶ μετὰ τοὺς ὅρκους εἰς πεῖραν ἄξοντες πλείστων ἀλγεινῶν. Ἅτε οὖν εἴτε αὐτοὶ αἰσθόμενοι τῆς ἀπάτης ἐκ τῶν λόγων, εἴτε καὶ παρά του τῶν συνόντων μηνυθείσης, τὸν κίνδυνον διαδράντες αὖθις πρὸς βασιλέα ἐπανῆκον· βασιλεὺς δὲ αὐτοῖς τὸ ἄστατον τῆς γνώμης καὶ μικρόψυχον ὀνειδίσας, αὖθις ἐφῆκεν αὐτῷ συνδιατρίβειν.

cibus, qui erant Christopoli, citra pactum aut conditionem se adjunxerunt, a quibus libenter accepti sunt: præcipui fidem pignori petiverunt. Et jurabant quidem duces, cum interim in animo haberent, etiam sic plurimum illos vexare. Quorum fraudulentia sive ex eorum verbis animadversa, sive ab aliquo illis familiari detecta, periculo evitato ad imperatorem redierunt: qui, adjectione et mobilitate animi illis exprobata, denuo secum esse permisit.

CAPUT L.

Mendacium ducum apud Christopolim. Inde Byzantii publica lætitia. Quod ibidem propter Cantacuzenum multi perpessi, itemque in aliis urbibus. Quæ contra illi faverent. Immanitas præfectorum per aliquot exemplа, et cujusdam Persæ captivi humanitas in flagellatos. Impostor sacræ confessioni illudens. Iterum de victo Cantacuzeno gratiæ aguntur.

Οἱ μέντοι ἐν Χριστουπόλει στρατηγοί, ἐπεὶ Τριβαλῶν ἡ στρατιὰ καὶ ὁ βασιλεὺς ἀνεχώρησαν ἐκ Φερῶν πρὸς τὴν οἰκείαν, πέμψαντες ἐν Βυζαντίῳ, βασιλίδι ἀπήγγελλον καὶ μεγάλῳ δουκὶ, ὡς ἄχρι τοῦ διατειχίσματος μετὰ Τριβαλῶν ἐλθὼν ὁ Καντακουζηνὸς, διελθεῖν μὲν οὐ δυνηθείη ἡμῶν ἰσχυρῶς ἀμυνομένων. Ἀναστρεφούσης δὲ τῆς στρατιᾶς, ὅσοι Ῥωμαίων αὐτῷ συνῆσαν, καταλιπόντες ἦκον πρὸς ἡμᾶς, πλὴν δέκα πάντες· αὐτὸς δὲ ὑπ' αἰσχύνης ἀμυθήτου, ὅ τι χρήσασθαι μὴ ἔχων ἑαυτῷ πρὸς Ἄθῳ ἦλθε τὸ ἱερὸν ὄρος, ὡς ἐκεῖσε τὴν βασιλείαν, ἣν ἀδίκως ἥρπασε καὶ παρανόμως ἀποθησόμενος, καὶ σχῆμα μοναχῶν περιθησόμενος. Εὐθὺς μὲν οὖν ἐν Βυζαντίῳ πανήγυρις ἦν λαμπρὰ καὶ ἑορτῶν ἡ χαριεστάτη· καὶ ὁ δῆμος πρὸς τὸ θεομήτορος Ὁδηγητρίας τέμενος ἐχώρουν πανδημεὶ, εὐχαριστήρια τῆς νίκης ἀποδώσοντες, καὶ οἱ ἐν τέλει μάλιστα, εἶτα καὶ οἱ ἄλλοι πεζῇ τοῖς πολλοῖς ὁμοίως. Καὶ οὐδεὶς ἐτόλμα ἀπολείπεσθαι, ἀλλὰ καὶ οἳ μάλιστα ἠνιῶντο καὶ ἐδυσχέραινον τὴν βασιλέως δυσπραγίαν, κἀκεῖνοι τοῖς ἄλλοις ὁμοίως ἀνάγκην εἶχον συνεορτάζειν, ἢ μᾶλλον συνασχημονεῖν, ἢ τῆς κατηφείας χαλεπὰς καὶ ἀπαραιτήτους παρείχοντο εὐθύνας. Οὐ γὰρ μόνον εἴ τις Καντακουζηνῷ τῷ βασιλεῖ συμπράττων φωραθείη, ἐκολάζετο ὠμῶς, ἀλλὰ καὶ εἴ τις πρὸς τὰ πραττόμενα μὴ ἡδέως διακείμενος, ἀλλὰ ἦθος ἐμφαίνων ἀποστρεφομένου φωραθείη, τὰς ὁμοίας δίκας τοῖς ἁλωκόσι ἐπὶ προδοσίᾳ φανερῶς διδόναι ἠνάγκη. Καὶ πολλοὶ ἐκ τοιούτων αἰτιῶν ἀπώλοντο, οὐκ ἐν Βυζαντίῳ μόνον, ἀλλὰ καὶ παρὰ ταῖς ἄλλαις πόλεσιν ἄχρι Θεσσαλονίκης. Τὰ γὰρ περαιτέρω καὶ πρὸς ἑσπέραν κοινῇ, οἵ τε δῆμοι καὶ οἱ δυνατοὶ τῶν πόλεων βασιλεῖ προσεῖχον Καντακουζηνῷ. Ὅθεν οὐδὲ πρὸς στάσεις ἐχώρησαν καὶ πολέμους ἐμφυλίους, ἀλλ' ἐν οἷς μάλιστα αἱ ἄλλαι μεγάλαις ἐχρήσαντο συμφοραῖς καιροῖς, ἐν τούτοις αὗται πρὸς εὐνομίαν καὶ εἰρήνην διῳκοῦντο.

Verum enimvero duces Christopoli, postquam Triballi, et imperator Pheris retro redierunt, Byzantium ad Augustam et magnum ducem nuntiatum mittunt, Cantacuzenum cum ad murum discludentem venisset, ipsis fortiter propellentibus, transire non potuisse. Revertentibus autem in suam provinciam Triballis, quotquot ei militassent Romanos, omnes, extra decem, ad se transilisse: illum quid faceret nescientem, præ pudore incredibili ad sacrum montem Atho, ibi imperium, quod præter fas et ecclerate rapuisset depositurum, et monachum induturum concessisse. Confestim Byzantii dies festus publice agi splendidissimus, omniumque jucundissimus, et populus **513** certatim, in primisque principes, cæterique pedibus, plebeium in morem, Deiparæ Hodegetriæ templum concursare, eique victoriam gratulari. Nec vero quisquam huic gratulationi deesse audebat. Quin etiam quos imperatoris adversa fortuna cruciabat maxime, festum diem simul celebrare, vel potius simul turpiter agere, aut mœroris sui pœnas immites ac indeprecabiles sustinere cogebantur. Non enim solum, si quis a Cantacuzeno imperatore facere deprehendebatur, crudeliter puniebatur; sed etiam si quis ad ea quæ fiebant non bilaritatis, verum aversionis significationem vultu daret, perinde atque si esset proditionis convictus, sine misericordia multabatur: multique tum Byzantii, tum aliis in urbibus, Thessalonicam usque his de causis communi luce privabantur: siquidem in ulterioribus versus occidentem, plebs et optimates promiscue imperatori Cantacuzeno favebant. Quare in illis oppidis nec ditiones, nec bellum civile exsistebat, sed dum alia calamitatibus affligerentur, ipsa bonis legibus pacifice gubernabantur. Quæ a Thessalonica ad Byzantium pertinebant, nihil grave non patiebantur.

Digitized by Google Распознавание текста ABK/FR

Semel enim inducta discordia, præsidia quidem et optimates Cantacuzeno studebant, illum incommodis mederi posse existimantes : at plebs impulsu seditiosorum (quibus bello aliena involantibus ditescere licebat), Cantacuzeno et optimatibus pariter adversabatur, iisque multis modis incommodabat, non solum facultates diripiendo, et uno momento ex divitibus pauperrimos efficiendo, sed et carceribus includendo, et omne genus vexationis in illos conferendo. Quibus vero urbium præfecturæ commissæ erant, hi summum imperium habentibus quam simillimi, feros sese carnifices præstabant, et in humana figura belluarum immanitatem exercebant. Eo namque sævitiæ progressi sunt, ut præter alios complures crudeliter punitos, etiam Patriciotam funiculis suspensum, in tormentis mori siverint. Siderum autem usque ad defectionem animæ verberibus indigne contusum, in tenebricosum quemdam carcerem nudum, velut mortuum, nulla cærimonia projecerunt. Quem sic instar exanimis ad dies aliquot jacentem, Persa quidam bello captus, et divinitus illo carcere detentus, non vulgari cura ex multis illis plagis recreavit. Parem curam idem **514** captivus in Synadenam, ipsam quoque inhumaniter ad mortem pene flagellatam, et nudam in eumdem carcerem detrusam usurpavit. Omnium commune crimen erat antiqua in Cantacuzenum benevolentia, et nosse occultatas ab eo pecunias, quas indicare compellebantur. Nec tamen a nobilioribus adeo atrociter flagellandis abstinebant. Asaninam enim, Michaelis Asanis, filiorum Asanis despotæ primogeniti uxorem fidiculis attractam diu loris cecideruntⁱ, ut consciam redarguentes quarumdam litterarum, quæ a Cantacuzeno Byzantium super nonnullis interficiendis venissent, quas sibi exhiberi jubebant. Hæc pauca exempla de multis narravimus ; propter quæ tantus pavor injectus est omnibus per imperium Romanum optimatibus, ut nec necessitudine conjunctissimis fiderent, ne forte ab iis proderentur. Tali autem quodam eventu majori terrore concussi sunt. Qui in Constantini magni palatio vincti attinebantur, cum jam dies jejuniorum agerentur, et quemque de rebus suis ad patrem spiritualem referre, peccatorumque exomologesin (*i*) instituere oporteret; quandoquidem ipsis

Αἱ δὲ ἀπὸ Θεσσαλονίκης ἄχρι Βυζαντίου, οὐδὲν ἦν ὅ τι μὴ ὑπέμενον. Καθάπαξ γὰρ εἰς δύο διαιρεθεῖσαι, στρατιὰ μὲν, καὶ οἱ ἄλλοι ἄριστοι τῶν πολιτῶν τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾐροῦντο, ἐκεῖνον οἰόμενοι δυνήσεσθαι τὰς κατασχούσας στήσειν συμφοράς· οἱ δῆμοι δὲ τῶν στασιαστῶν ἐναγόντων, οἷς ἐκ τοῦ πολέμου τὰ ἑτέρων ἔχουσι πλουτεῖν ἐνῆν, πρός τε βασιλέα Καντακουζηνὸν καὶ τοὺς παρ' ἑκάστοις δυνατοὺς ὁμοίως ἐπολέμουν, καὶ πολλὰ διετίθεσαν κακὰ, οὐ μόνον τὰς οὐσίας διαρπάζοντες, καὶ ἀπορωτάτους ἐκ πλουσίων ἀποδεικνύντες ἐν μιᾷ καιροῦ ῥοπῇ, ἀλλὰ καὶ δεσμωτηρίοις κατακλείοντες, καὶ ἄλλην πᾶσαν εἰς αὐτοὺς κάκωσιν ἐπιδεικνύμενοι, οἵ τε τὰς ἀρχὰς τῶν πόλεων ἐπιτετραμμένοι, τοῖς τῶν ὅλων ἄρχουσι πραγμάτων μάλιστα ἐξομοιούμενοι, κολαστικοί τινες καὶ ἀνήμεροι καὶ θηριώδεις ἐφιλοτιμοῦντο εἶναι. Ἐκεῖνοι γὰρ εἰς τοσοῦτον ὠμότητος προῆλθον, ὡς ἄλλους τε πολλοὺς ἀπανθρώπως τιμωρήσασθαι, καὶ Πατρικιώτην ταῖς βασάνοις ἐναποθανεῖν ἐᾶσαι καλλωδίοις ἐξηρτημένον. Σιδηρᾶν δὲ μετὰ τὸ αἰκίσασθαι μέχρι ἄπνουν εἶναι, ζοφώδει τινὶ δεσμωτηρίῳ ἐναπέῤῥιψαν γυμνὸν οἷα δὴ νεκρὸν, οὐδὲ ὁσίας ἀξιώσαντες. Ὃν οὕτως ἄπνουν ἀπεῤῥιμμένον ἐπί τινας ἡμέρας, τῶν Περσῶν τις δοριάλωτος θείᾳ προνοίᾳ τῷ δεσμωτηρίῳ ἐκείνῳ καθειρχθείς, προνοίας τε ἠξίωσεν οὐ τῆς τυχούσης, καὶ τῶν πολλῶν ἐκείνων ἀνεκτήσατο αἰκισμῶν. Τὴν ὁμοίαν δὲ ὁ δοριάλωτος ἐκεῖνος πρόνοιαν καὶ πρὸς Συναδηνὴν ἐπεδείξατο, ἀπανθρώπως κἀκείνην αἰκισθεῖσαν ἐγγὺς θανάτου, καὶ γυμνὴν εἰς ἐκεῖνο τὸ δεσμωτήριον ἀπορῥιφεῖσαν. Πᾶσι δὲ ἦν ἔγκλημα ἡ περὶ βασιλέα τὸν Καντακουζηνὸν προτέρα εὔνοια, καὶ τὸ χρήματα ἐκείνου κρυπτόμενα εἰδέναι, ἃ ἠναγκάζοντο φανεροῦν. Οὐ μὴν οὐδὲ τῶν εὐγενεστέρων ἀπείχοντο οὕτως αἰκίζειν ἀπανθρώπως. Ἀσανίναν γὰρ τὴν Ἀσάνη τοῦ Μιχαὴλ γαμετὴν τοῦ πρώτου τῶν Ἀσάνη τοῦ δεσπότου υἱῶν, σχοινίοις αἰωρήσαντες, ἐμάστιξαν ἐφ' ἱκανὸν, ἐπικαλοῦντες, ὡς συνειδείη εἰς Βυζάντιον παρὰ Καντακουζηνοῦ ἐπὶ διαφθορᾷ τινων γράμματα ἀφιγμένα, ἃ ἐκέλευον δῆλα καὶ αὐτοῖς ποιεῖν. Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα εἴρηται, δι' ἃ εἰς τοσοῦτον ἦλθον φόβου οἱ ἁπανταχοῦ τῆς Ῥωμαίων γῆς ἄριστοι τῶν πόλεων, ὡς μηδὲ τοῖς οἰκειοτάτοις ἄγαν θαῤῥεῖν τὴν προδοσίαν δεδοικότες. Συμβὰν δέ τι καὶ τοιοῦτον μᾶλλον ἐξεφόβησεν. Οἱ γὰρ ἐν Κωνσταντίνου τοῦ

Jacobi Gretseri notæ.

(*i*) En usum annuæ confessionis in quadragesima apud Græcos, qui πατέρα πνευματικὸν, vel absolute, sine adjuncto, πνευματικὸν vocant, quem nos *Confessarium*, seu *patrem spiritualem*. Quomodo autem Græci confiteantur, explicavit Hieremias patriarcha Constantinopolitanus in sua censura cap. 11, his verbis : Λέγομεν τοίνυν ἀποκρινόμενοι, ὅτι πρῶτον μὲν ὁ τοιοῦτος οἰκονόμος ὀφείλει εἶναι πνευματικὸς ἰατρὸς, ἀκριβῶς ἐπιστάμενος τὰ πνευματικά. Εἶτα ὁ ἐξομολογούμενος εἰς ὅσα δυνηθῇ καὶ ἐνθυμηθῇ κατ' εἶδος εἰπεῖν καὶ ἐξομολογήσασθαι μετὰ συντετριμμένης καρδίας καὶ τεταπεινωμένης, etc. *Respondemus primum quidem talem ministrum* (sacramenti pœnitentiæ) *debere esse spiritualem medicum, spiritualia accurate doctum. Deinde confitentis munus est, ut quantum fieri et recordari potest, peccata in specie confiteatur cum corde contrito et humiliato.* Capite sequenti fuse disserit idem patriarcha περὶ τῶν ἱκανοποιήσεων de *satisfactionibus et pœnitentiis*, a pneumatico seu spirituali patre imponi solitis. Mos hic instituendæ confessionis Ecclesiæ Græcæ perpetuus fuit, nec a Nectario patriarcha Constantinopolitano sublatus; nam presbyter ille, cujus officium abrogasse fertur, non privatæ, sed publicæ pœnitentiæ præerat : de quo copiose cardinalis Bellarminus, lib. III *De pœnit.* cap. 14, et Franciscus Turrianus, lib. IV *De dogmaticis characteribus verbi Dei.*

Digitized by Google Распознавание текста ABK/FR

μεγάλου τοῖς βασιλείοις ὄντες δεσμῶται, ἐπεὶ τῶν νηστειῶν παρῆσαν αἱ ἡμέραι, καὶ ἔδει ἀναθέσθαι τὰ κατ' αὐτοὺς ἀνδρὶ πνευματικῷ, καὶ ἐξομολόγησιν ποιήσασθαι τῶν πεπλημμελημένων, ἐπεὶ μὴ ἐξῆν αὐτοῖς εἰσάγειν οἷς ἐθάρρουν, ἠτοῦντο παρὰ τῶν ἀρχόντων εἰσελθεῖν, ὃν ἂν βούλοιντο αὐτοί. Οἱ δέ τινα, Γλύκαν ὄνομα, φαῦλον ἄνθρωπον, καὶ περὶ μέθαις ἡσχολημένον, καὶ ἕτερα ἀτοπώτερά τινα, ἱμάτια μοναχῶν ἐνδύσαντες, καὶ τὸ λεγόμενον μέγα σχῆμα περιθέντες, προσέπεμπον τοῖς δεσμώταις, οἷα πνευματικόν· ἐκείλευόν τε τοὺς λογισμοὺς τῶν ἀνδρῶν ἀνερευνᾶν, ὅ τι περὶ Καντακουζηνοῦ διανοοῦνται, καὶ εἰ συνίσασί τινας καὶ ἄλλους τὰ αὐτὰ ἐκείνοις ῥρημένους. Ὁ δὲ, τὴν ὑπόκρισιν κέρδους ἕνεκα ὑπελθὼν ἠδέως, καὶ γενόμενος πρὸς τοὺς δεσμώτας, μετὰ τῶν πλημμελημάτων τὴν ἐξομολόγησιν, ἠρώτα ἕκαστον ἰδίᾳ καὶ περὶ Καντακουζηνοῦ τοῦ βασιλέως, ὅ τι διανοοῦνται πράττειν. Ἐκεῖνοι δὲ ὑποπτεύσαντες οὐχ ὅπερ ἦν, ἀλλὰ πνευματικὸν μὲν εἶναι ἀληθῶς, τῷ μέρει δὲ προσέχειν τῆς περὶ πατριάρχην καὶ Ἀπόκαυχον τὸν μέγαν δοῦκα φατρίας, δείσαντες, ἀπέσχοντο παντάπασι τοῦ καὶ τὰ πεπλημμελημένα ἐξομολογεῖσθαι. Ὁ ἐμπαίκτης δὲ ἐκεῖνος ἐπεὶ μηδὲν ἀπώνατο τῆς πονηρίας, ἐκεῖθεν ἐξελθών, ἃ τε κακῶς ἐνέδυ ἀπεδύσατο ἐνδύματα, καὶ κοσμικὴν ἔχων ἐσθῆτα, τὰ συνήθη πάλιν περιῄει δρῶν. Τὸ δράμα δὲ τοῦτο λίαν πάντας ἐξεφόβησε, καὶ πᾶσιν ἔπεισεν ὁμοίως ἀπιστεῖν. Τούτων δὲ ἡ βασιλὶς οὐδὲν τοῖς πράττουσι συνῄδει, ἀλλὰ πάντα διῳκεῖτο μάλιστα μὲν Ἀποκαύχου τοῦ μεγάλου ἐπιτάττοντος δουκὸς, μετ' ἐκεῖνον δὲ καὶ τῶν ἄλλων τῶν συνομοτῶν. Πατριάρχης δὲ κατ' ἐκείνην τὴν περίοδον τῶν νηστειῶν, τῆς μεγάλης ἐνιστηκυίας παρασκευῆς, ἐν ᾗ ὁ ἐμὸς Χριστὸς ὑπὸ Ἰουδαίων συνελαμβάνετο, αὐτὸς πολλοὺς τοὺς τῷ νεῷ τῆς τοῦ Θεοῦ Σοφίας διὰ τὴν ἀσυλίαν προσπεφευγότας παρεδίδου, καὶ συλληφθέντες ἤγοντο εἰς δεσμωτήρια, καὶ πολλὰ καὶ δυσχερῆ ὑπέμενον. Δι' ἃ δὴ πάντα, ἐπεὶ ἠγγέλλετο καὶ τότε Καντακουζηνὸν τὸν βασιλέα καταλειφθέντα μόνον ὑπὸ τῶν οἰκείων εἰς ὄρος ἔρχεσθαι τὸ ἱερὸν ἐπὶ τῷ μοναχῶν ὑποδῦναι σχῆμα, πάντες ἔθεον πεζοὶ παρὰ τὸ τῆς Ὁδηγητρίας τέμενος, εὐχαριστίας ἀποδώσοντες τῆς ἐκείνου καταλύσεως.

A introducere cui fiderent non licebat, petierunt a magistratibus, ut eo mitterent quem vellent. Qui Glycam quemdam, hominem nequam, poculis et aliis inhonestioribus rebus vacantem, magno quod dicitur schemate (veste monastica) indutum, pro spirituali Patre mittunt : cui mandant, explorare illorum animos, quid de Cantacuzeno sentiant, num alios norint qui secum paria sentiant. Glycas personam hanc quæstus gratia libenter induit, et ad vinctos adiens, post admissorum confessionem, quemque sejunctim etiam de Cantacuzeno, quid meditaretur interrogat. At illi non quod erat, sed revera Patrem spiritualem, factioni autem patriarchæ et Apocauchi deditum suspicati, a peccatis detegendis omnino ex timore abstinuerunt. Illusor vero ille, cum nequitia sua nihil promovisset, inde B exit, et quæ male induerat vestimenta exuens, cum sæculari cultu iterum artem consuetam factitans circumibat. Hoc drama valde omnes perterruit, et ad omnibus æque diffidendum incitavit. Atque horum nihil imperatrice conscia, sed omnia in primis Apocaucho magno duce, deinde reliquis conjuratis auctoribus agitabantur. **515** Patriarcha autem illa jejuniorum periodo, magna Parasceve instante in qua Christus meus a Judæis comprehensus est, ipse multos qui ad Dei Sapientiæ templum, ceu ad asylum confugerant, comprehendendos tradidit; comprehensique, atque in vincula perducti, multos et diros cruciatus sustinebant. Ob hæc omnia, cum et tunc nuntiaretur, Cantacuzenum C solum a domesticis suis derelictum, in sacrum montem ad monachi habitum capessendum discessisse, omnes pedibus ad templum Hodegetriæ, gratias de illo victo et everso acturi, convolarunt.

CAPUT LI.

Imperator a Crale Edessam repetit et accipit statim; iterumque ob defectum præsidii imponendi eidem ad tempus relinquit. Apocauchus Didymotichum invadit, sed frustra. Empythium castellum obsidet. Didymotichii ad verum nuntium colligunt animos. Empythii obsidio solvitur. Didymotichi penuria victus laborant; Scythæ populatum venientes, vacui redeunt. Scopelenses Scythas temere aggressi, peccatum suum magno luunt. Apocauchus bellum protostratori genero committit, qui ab episcopo monetur, ut labore supervacaneo desistat.

Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ ἐκ Φερῶν ἀνέστρεφεν, εἰς Ἔδεσσαν ἐλθών, ἣν περιεστρατοπεδευμένος ὁ Κράλης ἐπολιόρκει, τὴν μὲν πολίχνην εὗρε προσχωρήσασαν ἐκείνῳ χρήμασι διαφθείραντι τοὺς ἔνδον. Ἀναμιμνήσκων δὲ τῶν ὅρκων, καὶ τῶν συνθηκῶν τῶν πρὸς αὐτὸν, οἷς ἐνεγέγραπτο, εἰ πόλιν τινα τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ἀπόντος βασιλέως, ἢ ὅπλοις, ἢ τρόπῳ δή τινι ὑποποιήσαιτο ἀποδιδόναι βασιλεῖ, ἥτει τὴν πολίχνην. Ὁ Κράλης τε παρείχετο ἕτοιμος, φάσκων πάντα τὰ ὑπεσχημένα πράξειν, καὶ ὅπλοις καὶ χρήμασι καὶ πάσῃ δυνάμει συμμαχήσειν. Βασιλεὺς δὲ τότε πρὸ τὴν πολίχνην μένειν αὐτὸς ἀλυσιτελὲς ὁρῶν, περὶ γὰρ τῆς εἰς Δίβυ ὁτειδ

D Cantacuzenus imperator, ut Pheris redeundo Edessam venit, quam Crales obsederat, corruptis pecunia civibus ad eum defecisse invenit. Recordatus ibi sanciti cum eo fœderis, in cujus conditionibus erat scriptum, si quam urbem Romanorum, et absente imperatore, aut armis, aut alio quodam modo subegisset, uti eam illi restitueret, oppidulum repetebat. Quod cum Crales sine dilatione redderet, affirmaretque præstiturum se quidquid promisisset, armisque, et pecunia, et tota sua potentia illi adjutorem fore, cernens nullo se emolumento illic moraturum (nam in reditu Didymotichum tota mente et cogitatione versabatur), nec posse de

Digitized by Google Распознавание текста ABK/FR

suis, quos ducebat, honestum præsidium relinquere, cum et numero exigui essent, et ut ibi sine eo manerent, adduci nequirent, quanquam ingratis (necessitate nimirum id extorquente) Crali oppidum ut proprium tuendum dimisit, donec se ejus recipiendi opportunitas ostenderet. Interea cum eodem in Triballos redit. Apocauchus magnus dux accepto nuntio imperatorem Pheris cum Triballis revertisse, opinans Didymotichenses eo casu vehementer perculsos, facile inter se dissensuros, atque eos se domiturum confidens, quotquot potuit Byzantii, et per urbes Thraciæ peditum manipulos, equitumque catervas contrahens, eo venit, **516** et super deditione verba fecit. Illis sermonem aspernantibus, cum oppugnare mœnia propter firmitatem non auderet, propugnatoresque magnanimos ac strenuos se expugnaturum desperaret, castellum Empythium obsidione vallatum, machinis verberare instituit, felicem se numeraturus, si caperet. Porro Didymotichense præsidium ad urbem sibi tradendam occulte sollicitabat; nullo tamen effectu. Nam cum quidam ab imperatore superveniens indicasset, falsa esse, quæ de illo sparsa fuissent, sed propter morbum, qui exercitum pervasisset, eum redire, et adventum ad illos apparare, instaurarunt animos, pro eo quidvis facere ac perferre paratissimi. Magnus dux parvo tempore in Empythii obsidione consumpto, ut allatum est, Scythas ingenti multitudine in fines Romanos se infudisse, anxius obsidionem solvit, nulloque servato ordine, Adrianopolim festinavit. Qui Didymotichi erant in præsidio, confusione animadversa, opinatique aliquid eis novi contigisse, unde tanta perturbatio exstitisset, mox in castra irruentes, paucos occidunt: commeatum, pecora et impedimenta secum in urbem auferunt. Ex quo enim suburbani armis in urbanos expeditis victi vastatique sunt, nec urbani terram coluerunt, cum scirent, nihil se inde utilitatis percepturos, si obsessi, hostem per se repellere non possent, sed vicinas urbes incursantes ac deprædantes vitam propagabant. Tum vero penitus ab hoste intra muros cohibiti, non mediocri penuria laborabant. Scythæ totam Thraciam pervagati, quoniam populationi nihil restabat, quod bello intestino regio jam exinanita et exhausta esset, et quod superfuerat, se in urbes recepisset, vacui reversi, non procul a Scopelo tetenderunt. Scopelenses intellecto eos sine præda domum remeare, consueta imprudentia temere concitati, armis ut quisque poterat correptis, etiam urbis præfectum Michaelem, præsidiariis quotquot erat assumptis, cum Barbaris cominus confligere cogunt. Quo facinus tam audax detrectante, hortanteque ut conatu absisterent, quia certo perituri, non modo bene monenti non obtemperarunt, verum etiam custodiendum quibusdam tradiderunt, supplicium proditionis in eum expensuri, ubi e pugna revertissent. Non enim quoniam eorum imbecillitatem nosset, ideo in hostes ire nolle: **517** sed

A χον ἐπανόδου πᾶσα ην αὐτῷ ἡ σπουδή. Ἐκ τε τῶν οἰκείων φρουρὰν ἀξιόλογον μὴ δυνάμενος καταλείπειν, ὀλίγων τε ὄντων τῶν συνεπομένων, καὶ μὴ πειθομένων χωρὶς ἐκείνου ἀπολείπεσθαι ἐκεῖ, τὴν μὲν πολίχνην, ὡς ἰδίαν καὶ ἄκων κατέλιπε πρὸς Κράλην φυλάττειν ὑπ' ἀνάγκης ἄχρις οὗ καιροῦ καλοῦντος, αὖθις ἀπολάβῃ. Αὐτὸς δὲ ἅμα Κράλῃ, πρὸς τὴν Τριβαλῶν ἀνεχώρουν γῆν. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ ἐπεὶ πύθοιτο ἐκ Φερῶν ἀνακεχωρηκότα βασιλέα μετὰ Τριβαλῶν, ὑποπτεύσας τοὺς ἐν Διδυμοτείχῳ σφόδρα τεθορυβῆσθαι, καὶ πρὸς διχοστασίαν ἔσεσθαι ῥᾳδίους, καὶ διὰ ταῦτα παραστήσεσθαι ἐλπίσας, στρατιὰν ὅση ἦν ἐκ Βυζαντίου, καὶ τῶν κατὰ Θρᾴκην πόλεων συναγαγὼν πεζήν τε καὶ ἱππικήν, κατὰ Διδυμότειχόν τε ἐγένετο, καὶ προσῆγε

B λόγου: περὶ παραδόσεως. Ὡς δ' ἐκεῖνοι παρεδέχοντο οὐδαμῇ τοὺς λόγους, τὸ μὲν τειχομαχεῖν ἀπεγίνωσκε διά τε καρτερότητα τειχῶν, καὶ εὐψυχίαν καὶ τόλμαν τῶν ἐχόντων, ἀνάλωτον νομίζων, τὸ Ἐμπυθίου δὲ φρούριον περιστρατοπεδευσάμενος, ἐπολιόρκει καὶ μηχαναῖς ἐχρῆτο καὶ τειχομαχίαις, περὶ πλείονος τὸ παραστήσασθαι ποιούμενος. Ἐπεχείρει δὲ κρύφα καὶ τοῖς ἐν Διδυμοτείχῳ εἰ δύναιτο πείθειν τὴν πόλιν παραδοῦναι. Ἦνυε δὲ οὐδέν· ἀριγμένου γάρ τινος παρὰ βασιλέως καὶ μεμηνυκότος, ὡς οὐκ ἀληθῆ τὰ περὶ ἐκείνου εἰρημένα εἴη, ἀλλ' ὑποστρέψειε μὲν διὰ τὴν περὶ τὴν στρατιὰν συμβᾶσαν νόσον, αὖθις δὲ παρασκευάζοιτο ὡς ἀφιξόμενος, ἀνεθάρσησάν τε καὶ ἕτοιμοι ἦσαν, ὡς ὑπὲρ ἐκείνου πάντα καὶ πεισόμενοι καὶ πράξοντες. Ὁ μέγας δὲ δοὺξ ὀλίγα τῇ

C τοῦ Ἐμπυθίου ἐνδιατρίψας πολιορκίᾳ, ἐπεὶ πύθοιτο ἀθρόον στρατιὰν Σκυθικὴν εἰς τὴν Ῥωμαίων ἐμβεβληκυῖαν, ἀσυντάκτως ὑπὸ δέους τῆς πολιορκίας ἀπαναστάς, πρὸς Ἀδριανούπολιν ἐχώρει σπουδῇ πολλῇ. Οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν ἀταξίαν ὁρῶντες τῆς τῶν Ῥωμαίων στρατιᾶς, καὶ νομίσαντές τι περὶ αὐτοὺς συμβεβηκέναι τὸ μάλιστα οὕτω θορυβῆσαν, αὐτίκα τε ἐγένοντο εἰς τὸ στρατόπεδον, καί τινων ἐκράτησαν ὀλίγων ἐπιθέμενοι, σίτου τε καὶ βοσκήματα καὶ ἄλλας διαρπάσαντες ἀποσκευάς, εἰσῆγον ἐντὸς τειχῶν. Ἐξ ὅτου γὰρ οἱ ἐκ τῆς ἔξωθεν συνοικίας πολέμων ἁράμενοι πρὸς τοὺς ἔνδον, ἀνέστησαν ἡττηθέντες, οὐδ' οἱ ἔνδον γεωργίαις προσεῖχον, εἰδότες ὡς οὐδεμία τις ὠφέλεια ἐκ τούτων ἔσται αὐτῶν

D πολιορκουμένων, καὶ τοὺς ἐπιόντας ἀμύνεσθαι ὑπὲρ αὐτῶν οὐ δυναμένων, ἀλλὰ τὰς πλησίον πόλεις καταφρέχοντες καὶ ληΐζόμενοι διέζων. Τότε δὲ παντάπασιν ὑπὸ τῆς στρατιᾶς εἰργόμενοι τειχήρεις, οὐ μετρίως ἐπιέζοντο ἐνδείᾳ. Τὸ μέντοι Σκυθικὸν, πᾶσαν καταδραμὸν τὴν Θρᾴκην, ἐπεὶ ληΐζεσθαι οὐδὲν ἐνῆν, πρότερόν τε ὑπὸ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους τῆς χώρας διεφθαρμένης, καὶ τότε εἴ τι περιῆν ἔτι εἰς τὰς πόλεις καταφυγόντος, κεναῖς ἀναστρέψαντες χερσὶν, οὐ μακρὰν Σκοπέλου τὴν στρατοπεδείαν ἐποιήσαντο. Ὁ δὲ ἐν Σκοπέλῳ δῆμος πυθόμενοι, ὡς Σκύθαι ληΐσάμενοι μηδὲν, πρὸς τὴν οἰκείαν ἐπανέρχονται, τῇ συνήθει ἀσυνεσίᾳ παραβόλως ὁρμηθέντες, ὅπλα ὡς εἶχον ἕκαστος, ἁράμενοι, ἠνάγκαζον καὶ τὸν τῆς πόλεως ἡγεμόνα Μιχαὴλ παραλαβόντα

Digitized by Google Распознавание текста ABK/FR

καὶ τοὺς στρατιώτας ὅσοι ἦσαν παρ' αὐτοῖς, συμ- A
πλέκεσθαι ἐγγὺς οὖσι τοῖς βαρβάροις. Τοῦ δὲ πρὸς
τὸ τόλμημα ἀπαγορεύοντος, καὶ παραινοῦντος ἀπ-
έχεσθαι τῆς πείρας ὡς θανατοῦντας φανερῶς, οὐ
μόνον οὐκ ἐπείθοντο τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ
παρέδοσάν τισι φρουρεῖν, ὡς ἐπειδὰν ἐκ τῆς μάχης
ἀναστρέψωσιν, ἀμυνούμενοι αὐτὸν τῆς προδοσίας.
Οὐ γὰρ ἀδυναμίαν αὐτοῖς συνειδότα μὴ ἐθέλειν στρα-
τηγεῖν ἐπὶ τοὺς πολεμίους· ἀλλὰ χαριζόμενον αὐτοῖς
ὡς ἐκ τῆς Διδυμοτείχου πολιορκίας τὸν μέγαν δοῦκα
ἀναστήσασιν, ὅσον οὐδέπω μέλλοντα διὰ τὴν ἔνδειαν
αὐτοῦ κρατεῖν. Αὐτοὺς δὲ ἐκείνοις ἐπελθεῖν τε καὶ
κρατῆσειν οὐ τοῦ πολεμίους εἶναι μόνον, ἀλλὰ καὶ
διὰ τὴν εἰς τὸν μέγαν δοῦκα εὔνοιαν. Τῷ γὰρ ἐκεί-
νου δέει μηδὲν λυμηναμένους τὴν Ῥωμαίων, πρὸς
τὴν οἰκείαν ἀναστρέφειν ἐν ὀλίγῳ χρόνῳ. Τοιαῦτα B
οἱ κακοδαίμονες εἰπόντες καὶ νεανιευσάμενοι, ἐχώ-
ρουν κατὰ τῶν Σκυθῶν, κελεύσαντες αὐτοῖς καὶ τοὺς
στρατιώτας ἕπεσθαι. Οἱ δὲ εἶποντο ἀνάγκῃ, αἱρε-
τώτερον ἡγούμενοι αὐτοὺς, εἰ δέοι, τοῖς βαρβάροις
μαχομένους ἀποθνήσκειν, ἢ πανοικεσίᾳ διαφθείρε-
σθαι ὑπὸ τῶν δημοτῶν. Ἐπεὶ δὲ ἐγγὺς τοῦ στρατο-
πέδου ἦσαν τῶν Σκυθῶν, βοῇ πόῤῥωθεν ἐχρῶντο καὶ
ἀλαλαγμοῖς, καὶ ἐχώρουν δρόμῳ κατ' αὐτῶν, οὐ γὰρ
ᾤοντο ἀντισχήσειν οὐδὲ πρὸς βραχύ· ἀλλ' ὑποπτή-
ξαντας, ἑτοίμους ἑαυτοὺς παρέχεσθαι ἀνδραποδίζε-
σθαι. Διὸ καὶ σχοινία ἕκαστος ἐπεφέροντο τοῦ τοὺς
ἁλωσομένους βαρβάρους ἕνεκα δεσμεῖν, ἵνα μὴ δια-
διδράσκοιεν ἄδετοι ἀγόμενοι. Οἱ Σκύθαι δὲ νομίσαν-
τες στρατιὰν πεζὴν ἰέναι ἐπ' αὐτοὺς, τῶν ἵππων
ἐπιβάντες, ἐξήγοντο τοῦ στρατοπέδου ὡς μαχούμε- C
νοι. Οἱ δὲ, ὡς μόνον εἶδον τοῦ στρατοπέδου ἐξιόν-
τας, τοῦ προτέρου φυσήματος ἐπιλαθόμενοι ἐτρέ-
ποντο πρὸς φυγήν. Ὑπτίου δὲ ὄντος τοῦ πεδίου καὶ
ὕλης παντάπασι ψιλοῦ, διαδρᾶναι ἠδυνήθη οὐδὲ εἷς,
ἀλλὰ πάντες κατεκόπησαν ὑπὸ τῶν Σκυθῶν πλὴν τῶν
ἱππέων. Οὗτοι γὰρ διά τε τὸ πολὺ αὐτῶν τοὺς Σκύ-
θας ἔτι ἀφεστάναι, ἡνίκα ἡ τροπὴ ἐγένετο, ἄλλως
θ' ὅτι καὶ πρὸς τὸν πεζὸν ἠσχόληντο οἱ βάρβαροι,
διασωθῆναι εἰς τὴν πόλιν ἠδυνήθησαν. Οὕτως ἡ
ἄνοια καὶ ἡ παράλογος ὁρμὴ πρὸς ἀνηκέστους ἐξάγει
συμφοράς. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ, μετὰ
τῶν Σκυθῶν τὴν εἰσβολὴν, Ἀνδρόνικον Παλαιολόγον
τὸν πρωτοστράτορα, ὃς ἦν γαμβρὸς αὐτῷ, ἄρχοντα
συμπάσης ἀποδείξας τῆς στρατιᾶς, καὶ τὸν πρὸς D
Διδυμότειχον ἐπιτρέψας πόλεμον, αὐτὸς εἰς Βυζάν-
τιον ἐπανῆκε. Πρωτοστράτωρ δὲ συχνὰς ἐποιεῖτο
κατὰ Διδυμοτείχου ἐκδρομὰς, καὶ πάλιν ἀνέστρεφε
ταχέως. Οὐ γὰρ ἦν ὅ τι κακώσει διαφθείρας οὐδενὸς
ὄντος ἔξω τειχῶν. Οἱ δὲ ἑδδον στρατιῶται αὐτοῦ
ἀναχωροῦντος, τοὺς περιοίκους λῃζόμενοι, καὶ σῖτον
διαρπάζοντες καὶ βοσκήματα, διέφερον τὸν πόλεμον,
οὐδὲν ἀγεννὲς οὔτε πράξαντες, οὔτε μελλήσαντες διὰ

ipsis hostibus gratificari, ut qui ab obsidione Didymotichi Apocauchum magnum ducem jamjam urbem commeatu defectam occupaturum submovissent, quos invadere ac debellare non solum quia hostes sint, sed etiam studio magni ducis debeant, cujus metu nulla Romanorum provinciæ illata vastitate, brevi spatio se domum referant. Talia infelices illi novarumque rerum cupidi fabulati, contra Scythas militibus sequi jussis prodierunt. Qui invito sequebantur, optabilius rati, cum Barbaris, si opus esset, pugnando interfici, quam plebis furore cum tota domo deleri. Scytharum castris appropinquantes, eminus sublato clamore in eos incurrunt; non enim vel parum se opposituros existimabant, sed timore exanimatos, pro captivis abducendos se præbituros. Ideo funes quilibet ad barbaros illos constringendos secum portabat: ne, si absque vinculis ducerentur, aufugerent. Scythæ credentes peditum agmen adventare, equos conscendunt; castris pugnaturi progrediuntur. Scopelenses simul atque illos castris viderunt egredi, obliti prioris insolentiæ, in fugam se penetrant. Sed per plana campi nullo prorsus obvio nemore, præter equites nemo evasit: concisi ad unum omnes. Illi enim, equites, inquam, quod Scythæ adhuc longius distabant, quando fuga iniri cœpta est, deinde quod iidem in peditibus mactandis erant occupati, incolumes in urbem pervenere. Sic stultitia et expers rationis impetus in mala præsentissima homines præcipitant (7). Apocauchus post Scytharum irruptionem Andronico Palæologo protostratore, genero suo, supremo exercitus duce designato, et Didymotichensi bello ei commendato, Byzantium repetit. Palæologus Didymotichum frequenter incursare, et subito se recipere: nec enim erat incolis nocendi occasio, cum extra muros nihil superesset. At præsidiarii ipso recedente, vicinos depopulando, annonamque ac pecora diripiendo bellum tolerabant: nec ob inopiam victus quidquam parum virile aut faciebant, aut facturi erant. Cum aliquando adortus esset illos protostrator, per epistolam metropolita monuit, eos belligerando cum imperatore, in cujus potestate omnino, nec ita diu post futuri sint, inani labore defatigari: nec ad finem cogitata perducturos, cum interim laborare non desinant, et aliis magna detrimenta invehant. Hortabatur igitur, ut sibi obsequentes, maleficia omitterent. **518** Si enim non evenerint, quæ ego dico, inquit, non est locutus in me Spiritus sanctus. Tabellario iter abnuente ob timorem, ne ista de causa haberetur male, episcopus jussit esse bono animo: tantummodo enim aliquot plagas

Jacobi Pontani notæ.

(7) Horatius lib. III, ode 4.
Vis consilii expers mole ruit sua:
Vim temperatam di quoque provehunt
In majus: idem odere viros
Omne nefas animo moventes.
Hoc ipsum strophis sequentibus aliquot exemplis illustrat.

Digitized by Google Распознавание текста ABK/FR

relaturum. Atque hæc ut prædicta fuerant, ita evenerunt.

A τὴν ἔνδειαν. Ἐπελθόντος δὲ αὐτοῖς τοῦ πρωτοστράτορός ποτε, πέμψας ὁ μητροπολίτης· ἐδήλου διὰ γραμμάτων, ὡς ἀνόνητα κόπτονται καὶ ταλαιπωροῦσι διὰ τὸν πρὸς βασιλέα πόλεμον, ᾧ δουλεύσουσι πάντως· μετὰ μικρὸν, αὐτοί τε ἀπέραντα πονοῦντες, καὶ τοῖς ἄλλοις αἴτιοι γινόμενοι μεγάλων συμφορῶν. Παρῄνει τε αὐτῷ πειθομένους τῶν κακῶν ἀπέχεσθαι. Εἰ γὰρ οὐκ ἀποβαίη τοιαῦτα, οἷα ἐγὼ λέγω, ἔφασκεν, οὐ λελάληκε τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἐμοί. Τοῦ πεπαγωμένου δὲ ἀπαγορεύοντος τὴν ἄφιξιν διὰ τὸ δεδοικέναι μὴ κακῶς ὑπ' ἐκείνων πάθῃ τοιαῦτα ἀπαγγέλλων, ἐκέλευε θαρρεῖν, ὡς οὐδὲν ὑποστησόμενον, ἢ πληγὰς ὀλίγας. Ἃ καὶ ἀπέβαινεν ᾗ ἐκεῖνος προηγόρευεν.

CAPUT LII.

Legatio Annæ ad Cralem cum promissis. Responsio Cralis et fides. Item procerum Triballorum constantia erga imperatorem, quem Macarius episcopus de ingrato animo reprehendit. Legatum ad imperatricem mittendum suadet. Imperator acriter illum, ut hominem improbum, ambitiosum ac proditorem et homicidam insectatur.

Anna vero imperatrix, ut Cantacuzenum apud Cralem perquam gratiosum, cum exercitu reditum Didymotichum parare didicit, Georgium Lucam et Macarium metropolitam Thessalonicensem delectos, pro legatis ad eum mittit, spondens se urbes ei, de quot convenerit, donaturam, si tantum Cantacuzenum sibi vinctum mittat. Qui legatione reprehensa, recusavit libere; non solum enim propter paucas urbes, sed nec propter Romanum imperium universum tantum scelus edere velle. Proinde eos frustratos dimisit. Qui regressi Byzantium, brevi rursus adsunt; narrabatque Crales, in altera hac legatione urbes omnes occidentales, præter Thessalonicam, sibi oblatas, ut si Cantacuzenum transdere nollet, saltem in carcere detineret. Verum legatos denuo frustratos rejecit, affirmans, neutiquam fieri posse quæ peterent. Helena quoque Cralis conjux, ut iniqua et sibi ipsis probrosa petentes, acriter objurgatos, indignabunda repulit. Similiter omnes Triballi proceres in eos invehebantur, singularisque stultitiæ coarguebant, cum talia se impetraturos sperassent, quæ adeo omnem scelesti facinoris magnitudinem complecterentur. Universi quippe imperatorem diligentes, nihil ferebant, quod ei nocumento esset. Unde quidam de illis, vocabulo Cabatzes, palam refragatus, mortem legatis minabatur, ni quam primum se auferrent. Eos denique multi stuporis damnabat, quod cum suis manibus oculum Romanorum eruissent, ut eum porro omnimodis exstinguerent, et urbes, et imperium prodere non dubitarent: quasi formident, ne eo reverso, rursum aspiciant. Sic etiam ab illo stomachante repulsi sunt. At Macarius Thessalonicæ episcopus, ut se, quod aiunt, retia inflare sensit, **519** Cantacuzenum invadens, primum ut erga amicum imperatorem defunctum omnino ingratum castigat, a quo tantopere amatus, tantisque beneficiis ejus apud se positis, filiis ipsius dissimillima rependat, eorum imperio et sanguini moliens insidias: cujus facti diritatem Deum quoque ipsum execrantem, ad exitum eas conferri non permisisse, sed hujus in eum injuriæ pœnas repoposcisse: dum effecerit, ut per externas oras vagabundus, salutis suæ spem in aliis reponat. Deinde hortaba-

B Ἄννα δὲ ἡ βασιλὶς, ἐπεὶ πύθοιτο Καντακουζηνὸν τὸν βασιλέα πολλῆς εὐνοίας ἀπολαύοντα παρὰ Κράλῃ, παρασκευάζεσθαι αὖθις ὡς εἰς Διδυμότειχον ἐπανήξοντα ἅμα στρατιᾷ, τὸν Λουκᾶν ἀπολεξαμένη Γεώργιον, καὶ Μακάριον τὸν μητροπολίτην Θεσσαλονίκης, πρεσβευτὰς ἔπεμπεν εἰς Κράλην, καὶ ἐπηγγέλλετο πόλεις παραδώσειν ὅσας ἂν συμβῶσιν, εἰ μόνον Καντακουζηνὸν πέμψειε δεσμώτην πρὸς αὐτήν. Ὁ δὲ ἐμέμψατό τε τὴν πρεσβείαν, καὶ ἀπηγόρευε φανερῶς, ὡς οὐχ ὀλίγων μόνον πόλεων ἕνεκα, ἀλλ' οὐδὲ συμπάσης τῆς Ῥωμαίων ἀρχῆς τοιοῦτον τολμήσων ἄγος, καὶ ἀπέπεμπεν ἀπράκτους. Οἱ δὲ, εἰς Βυζάντιον ἐλθόντες, ὀλίγῳ ὕστερον πάλιν ἐπανῆκον. Ἔφασκε δὲ ὁ Κράλης, ὡς κατὰ τὴν δευτέραν πρεσβείαν τὰς ἐκ Χριστουπόλεως ἁπάσας ἑσπερίους πόλεις παραδιδοῖεν πλὴν Θεσσαλονίκης, ὡς εἰ μὴ Καντακουζηνὸν τὸν βασιλέα βούλοιτο παραδιδόναι, ἀλλ' C αὐτὸν γοῦν εἴρξαντα κατέχειν ἐν δεσμωτηρίῳ. Ὁ δὲ αὖθις ἀπέπεμπεν ἀπράκτους, ἀδύνατα εἰπὼν αἰτεῖν. Ἑλένη δὲ ἡ τοῦ Κράλη γαμετὴ καθ' καθῆψατο πικρῶς, καὶ ἀπέπεμπε πρὸς ὀργὴν ὡς ἄδικα πρεσβεύοντας, καὶ πολλὴν αὐτοῖς τὴν ἀδοξίαν οἴσοντα. Ὁμοίως δὲ καὶ οἱ ἐν τέλει πάντες τῶν Τριβαλῶν ἐλοιδοροῦντό τε καὶ πολλὴν αὐτῶν κατεγίνωσκον μωρίαν, εἰ τοιαῦτα πείσειν ἤλπισαν, οὕτω μηδεμίαν ὑπερβολὴν ἐλλείποντα κακίας. Πάντες γὰρ ἐφίλουν βασιλέα, καὶ οὐδὲν ἠνείχοντο τῶν ἀγόντων βλάβην εἰς ἐκεῖνον. Ὥστε καί τις ἐξ αὐτῶν Κοβάτζης ὠνομασμένος φανερῶς ἀντεῖπε καὶ ἠπείλησε θάνατον τοῖς πρέσβεσιν, εἰ μὴ τάχιον ἀπαλλάττοιντο, πολλήν D τε αὐτῶν ἀναισθησίαν κατηγόρει, ὅτι τὸν Ῥωμαίων ὀφθαλμὸν οἰκείαις αὐτῶν χερσὶν ἐξορύξαντες αὐτοὶ, προσέτι καταπροδιδόασι, καὶ πόλεις καὶ τὴν ἀρχὴν Ῥωμαίων, ἵνα τελέως κατασβέσωσιν αὐτὸν, ὥσπερ δεδοικότες μὴ ἐπανελθόντος αὖθις ἀναβλέψωσιν. Ὁ μὲν οὖν οὕτω πρὸς ὀργὴν ἀπέπεμπε. Μακάριος δὲ ὁ Θεσσαλονίκης ἐπίσκοπος, ἐπεὶ ἀνηνύτους ἤσθετο ἐπιχειρῶν, βασιλεῖ τῷ Καντακουζηνῷ προστελθὼν, πρῶτα μὲν ἐμέμφετο τῆς περὶ βασιλέα τὸν φίλον ἀγνωμοσύνης, ὅτι τοσοῦτον φιλήθεὶς, καὶ οὕτω μεγάλων εὐεργετημάτων ἀπολελαυκὼς, τοῖς ἐναντιωτάτοις ἀμείψαιτο τοὺς παῖδας, τῆς ἀρχῆς ἕνεκα ἐπιβουλεύσας καὶ ἀποκτεῖναι διανοηθείς. Ὧν τὴν ἀτοπίαν βδελυξάμενον καὶ Θεὸν, μὴ μόνον οὐκ ἐᾶν εἰς τέλος τὰ βεβουλευμένα ἀγαγεῖν, ἀλλὰ καὶ τῆς

Digitized by Google Распознавание текста ABK/FR

περὶ βασιλέα ἀδικίας δίκας εἰσπραττόμενον, ὑπερόριον ἀποδεῖξαι καὶ πλανήτην περιιόντα, ἐπ' ἄλλοις τὴν ἐλπίδα ἔχοντα τῆς σωτηρίας. Ἔπειτα συνεβούλευεν εἰ μὴ πρότερον, ἀλλὰ νῦν γε τὸ συνοῖσον συνιδόντα, πρεσβείαν ποιήσασθαι πρὸς βασιλίδα, καὶ ἱκέτην αὐτῆς τε καὶ πατριάρχου, καὶ τῆς συγκλήτου βουλῆς γενέσθαι, ὥστε ἐπὶ τοῖς γεγενημένοις συγγνώμης ἀξιώσαντας, πρόνοιάν τινα ποιήσασθαι αὐτοῦ, καὶ μὴ ὑπερόριος ἀπόληται, οὐδεμιᾶς ἢ φαύλης τινὸς ἐλπίδος ἔτι ὑπολειπομένης. Βασιλεὺς δὲ, Οὐδὲν θαυμαστὸν, εἶπεν, εἰ μεθύων τις καὶ παραφερόμενος ὑπ' ἀναισθησίας οἴοιτο καὶ τοὺς ἄλλους τὰ ἴσα πάσχειν. Καὶ σὺ τοίνυν τῇ κενῇ δόξῃ καὶ φιλαρχίᾳ κατάκρας ἁλοὺς, καὶ προδοσίαν τὴν ἐσχάτην εἰργασμένος, οὐδὲν θαυμαστὸν, εἰ τὰ ἴσα καὶ ἐμοῦ καταψηφίζῃ μηδὲν τοιοῦτον εἰργασμένου. Οἶσθα γὰρ ὡς ἐμοῦ τοῖς ἐν Ἄθῳ ἀρετῆς ἀντιποιουμένοις, καὶ τοῦ καλοῦ καὶ ἐρασταῖς ἐργάταις γεγραφότος, καὶ πολλὰ δεηθέντος πρὸς Βυζάντιον ἐλθεῖν, καὶ βασιλίδι καὶ πατριάρχῃ, καὶ οἷς αὐτὸς ὀνομάζεις σύγκλητον βουλὴν, διαλεχθῆναι περὶ εἰρήνης, καὶ πεῖσαι κατατίθεσθαι τὸν πόλεμον, δν ἀδίκως κεκινήκασι κατ' ἐμοῦ μηδὲν ἠδικηκότος, συκοφαντίας πλασάμενοι καὶ διαβολὰς, μετὰ τῶν ἄλλων παρειλήφασι, καὶ σὲ ὡς ἀρετῆς ἀντιποιούμενον δῆθεν, καὶ ὑπὲρ τοῦ καλοῦ, καὶ τοῦ κοινῇ λυσιτελοῦντος βουλησόμενον διακινδυνεύειν. Ἀλλ' ἐκεῖνοι μὲν καλῶς ποιοῦντες, τά τε δέοντα εἰρήκασι μετὰ παῤῥησίας, καὶ τῶν εἰς αὐτοὺς ἡκόντων ἐνέλιπον οὐδὲν, καὶ τῶν διαφθείρειν βουλομένων καὶ διαστρέφειν ἀπὸ τῆς ἀληθείας, οὐδὲ ἐπεστράφησαν, πολλὰ ἐπαγγελλομένων εὖ ποιήσειν, ἀλλὰ τοῖς ἐξαρχῆς ἐνέμειναν λογισμοῖς, καὶ τῇ περὶ τοῦ καλοῦ καὶ δικαίου κρίσει. Δι' ἃ καὶ μέχρι νῦν πολλοῖς προσταλαιπωροῦσιν ἀλγεινοῖς. Σὺ δ' ὑπὸ φιλαρχίας καὶ τῆς κατὰ τὴν ἀρχιερωσύνην δόξης ἡττηθεὶς αἰσχρῶς, καὶ τοὺς συμπρεσβευτὰς μετὰ τοῦ δικαίου καὶ τῆς ἀληθείας προὔδωκας· οἷς ἁρμόσει μικρὸν ὑπαλλάξαντας τὸ ὑπὸ Παύλου τοῦ θεσπεσίου εἰρημένον περὶ Δημᾶ, καὶ περὶ σοῦ εἰπεῖν νυνὶ, ὅτι « Μακάριος ἡμᾶς ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην. » Ἃ ἐχρῆν μεμνημένον, καὶ ὡς νῦν ἀνοσιώτερα καὶ ἀδικώτερα πολλῷ τολμᾷς, τὸν οὐδὲν ἐμὲ ἠδικηκότα αὐτοχειρίᾳ μονονουχὶ πειρώμενος φονεύειν, χάριν ἀξίαν ἐν τούτῳ κατατιθέμενος τοῖς τὴν ἀρχιερωσύνην ἐγχειρίσασιν, αἵμασιν ἀδίκοις μολύνων τὰς χεῖρας, μὴ ἐμοῦ καταψηφίζεσθαι ἀδικίαν καὶ ἀγνωμοσύνην περὶ βασιλέα οὐδὲν οὔτε πρότερον, οὔτε μέχρι νῦν ἀνάξιον τῆς εἰς ἐκεῖνον φιλίας εἰργασμένου. Περὶ μὲν οὖν τῆς εἰς βασιλέα καὶ τοὺς παῖδας ἐμοῦ εὐγνωμοσύνης, λόγον οὐδένα πρὸς σὲ ποιήσομαι νυνὶ καθάπαξ τὰς φρένας διεφθορότα, καὶ ἄδικα, καὶ παράνομα καὶ λέγοντα καὶ διανοούμενον περὶ ἐμοῦ, ἀλλ' ὕστερον ἡνίκα ἂν ἐθέλῃ Θεός. Περὶ δὲ ὧν εἰρηκας, ὡς δεῖ βασιλίδος ἱκέτην καὶ πατριάρχου γενέσθαι ὡς ἂν συγγνώμην παρασχόμενοι πρόνοιάν τινα ποιήσωνται πρὶν παντάπασιν ἀπολέσθαι, ἐκεῖνο εὔκαιρον εἰπεῖν, ὅτι « Μὴ κλαίετε ἐπ' ἐμὲ, θυγατέρες Ἱερουσαλὴμ, ἀλλ' ἐφ' ἑαυτὰς, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. » Πρὸς μὲν οὖν ἐκεῖνον ὁ βασιλεὺς τοιαῦτα ἀπεκρίνατο.

A tur, ut nunc saltem se respiceret, missoque ad Augustam legato, ipsam, patriarcham atque consilium suppliciter oraret, ut data præteritis venia, aliqua se cura dignarentur, nec ab omni bona spe desertum, interire extorrem paterentur. Tum imperator : Haud mirum, ait, si ebrius quispiam, et in orbem actus, sensu deficiente, terram stabilem et inconcussam vacillare putet, nec, si insania correptus, alios quoque judicet insanire. Et tu igitur inani gloria et amore dominandi subactus plane, proditorque maximus, nihil mirum, si insontem me eorumdem criminum condemnes. Meministi quomodo cum ad virtutis alumnos, honestatisque amatores, et cultores in Atho monte scribens, eos enixe rogassem ut Byzantium venientes, cum B imperatrice, patriarcha, et quod nominasti consilio, de pace agerent, deponendique belli, quod conflictis criminationibus, mihi immerenti intulissent, auctores fierent, cum aliis te quoque, ut sanctimoniæ studio flagrantem scilicet, et pro tuenda honestate, communique fructu nullum certamen detrectaturum assumpserint. Verum illi recte sane, et quæ oportuit cum libertate dixerunt, suarumque partium nihil prætermiserunt, et ab iis qui eorum integritatem corrumpere, atque a veritate in diversum rapere magnis pollicitationibus conabantur, a primis cogitationibus suis, atque ab eo quod semel honestum ac justum judicassent, non sunt dimoti. Qua de causa usque hodie in multa ærumna sunt. Tu autem imperandi C cupidine et episcopatus splendore turpiter superatus, etiam legationis socios una cum justitia et veritate prodidisti : qui illud divi Pauli de Dema modice immutatum tibi possunt occinere : « Macarius nos reliquit, diligens hoc sæculum, et profectus est Thessalonicam. » Quorum te memorem esse oportebat, et horum simul, quæ nunc sceleratiora, magisque impia non reformidas : **520** dum me, qui læsi neminem, tantum non per temet conaris occidere (dignas videlicet isto modo gratias referens iis, qui episcopatum tibi mandaverunt), et nefarie effuso sanguine manus tuas sceler..re : ita me ingratæ et improbæ in imperatorem voluntatis non accusasses, qui nihil unquam ejus amicitia D indignum perpetravi. De mea igitur in illum et liberos ejus pietate nullum nunc tecum semel depravato, ac de me pessime existimante, loquenteque verbum commutabo : sed cum Deus voluerit. Quod autem injecisti in sermone, oportere me imperatrici ac patriarchæ supplicare, ut data venia, saluti meæ prospectum velint, illud apposite responderim, « Filiæ Jerusalem, nolite flere super me, sed super vos ipsas flete, et super filios vestros[1]. » Hæc ad Macarium coram imperator.

[1] Luc. xxiii, 28.

Digitized by Google Распознавание текста ABK/FR

CAPUT LIII.

Thessali se Cantacuzeno dedunt ultro. Narrat legatis fortunam suam. Causam edit, cur in Thessaliam venire per se nequeat, et Joannem Angelum præfectum designat. Thessali eum libenter accipiunt. Bulla quam Cantacuzenus eidem dedit pro suspicione tyrannidis affectatæ a se depellenda, ipsaque ejusdem bullæ verba recitata, in qua multa Christiane et ad pios mores accommodate dicta. Commendatio Joannis Angeli eximia, quem præfectum Blachiæ et castellorum creat. Conditiones ei impositas enumerat.

Sub idem tempus etiam e Thessalia legati eum A ad se vocant, et orant, ut sibi præsit; nam et antea ejus potius, quam Augustæ partes amplexi, principem suum esse cupiebant; et tunc concorditer mittentes, ad gubernacula eumdem invitabant. Imperator cum pro veteri benevolentia, tum quod nunc ultro ei se subjicerent, pluribus gratias agens periniquum esse dixit, si, cum ipsi tam incredibile immensumque sui studium demonstrarint, non pari eos amore prosequi videretur, neque aperiret, quid in corde suo volutaret. Quæ enim Gynæcocastri sibi evenissent, quo pacto et ipse, et de suis amicissimi gravibus fuissent obsessi periculis, et domesticis desciscentibus, et hostibus instantibus ac prementibus, multaque in exercitu exstitisset tumultuatio et confusio, præ quibus B malis perundum erat, nisi Deus de cœlo salutarem manum extendisset, hæc inquam, putare se ne ipsos quidem fallere. Cum autem ad Cralem Triballorum principem coactus confugisset, admodum magnifice ab eo tractatum, et auxilia præter opinionem consecutum esse. **521** Itaque nuper cum copiis non parvis ac bellicosis Didymotichum cœpisse contendere, ut rebus suis illic constitutis, cum amicis sese conjungeret. Sed cum Pheris esset, duces ac milites periculose morbo fuisse implicitos, magnamque partem exstinctos: ut proinde in Triballos iter remetiri necesse habuerit. Nunc se comparare, ut cum exercitu denuo Didymotichum proficiscatur: C id enim sibi ad acquirendum, si Deo placuerit, totum Romanum imperium adjumento maximo futurum. Propterea in Thessaliam per id tempus venire non posse; magis enim molestia, quam lætitia eos affecturum, si brevi spatio illic degens, in Thraciam revertatur. Sed si vere et ex animo sibi parere velint, in præsens Joannem Angelum prætorem se illis præficere, sanguine conjunctissimum, quique ad salutem ab hostibus defendendam et prudentia, et invicto animo, et peritia militari egregium se ducem præstare queat. Se, ubi Didymotichi fuerit, nec aliquis casus impeditit quanta maxima poterit diligentia alacritateque eorum res curaturum. Hæc legatis respondit, et ea Thessalis renuntiare jussit: qui si annuerent, D tum opere complerentur. Sic eos qua decebat comitate, et una de domesticis suis Manuelem administratorem dimittit. Ad eos ut venerunt, militesque et optimates urbium responsum audierunt, de benevolentia ac de veritate, cujus a puero fuisset semper studiosissimus, amplissimas ei gratias agunt, quod nimirum nihil fictum ac timidum, quamvis afflicta et prostrata fortuna

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ ἐκ Θετταλίας ἦκον πρέσβεις, καλοῦντες βασιλέα, καὶ δεόμενοι ἄρχειν σφῶν. Καὶ πρότερόν τε γὰρ ἕτοιμοι ἦσαν ὑπακούειν, καὶ τὰ ἐκείνου μᾶλλον ᾑροῦντο, ἢ βασιλίδος, καὶ τότε δὲ ὁμονοήσαντες, ἔπεμψαν πρὸς αὐτὸν, καλοῦντες ἐπὶ τὴν ἀρχήν. Βασιλεὺς δὲ αὐτοῖς πολλὰς ὁμολογήσας χάριτας τῆς τε προτέρας εὐνοίας, καὶ τοῦ νυνὶ προσχωρεῖν ἐκόντας, ἔπειτα ἔφασκεν ἄγνωμον εἶναι δεινῶς, εἰ αὐτῶν πᾶσαν εὐνοίας ὑπερβολὴν ἐνδεικνυμένων, ὁμοίως καὶ αὐτὸς φαίνοιτο διακείμενος περὶ αὐτοὺς, μηδὲ τὴν διάνοιαν ἀποκαλύπτοι. Ὅσα μὲν γὰρ ἐν Γυναικοκάστρῳ συμβαίη περὶ αὐτὸν, καὶ ὡς αὐτός τε καὶ τῶν συνόντων οἱ μάλιστα φιλοῦντες μεγάλοις κινδύνοις περισχεθείεν, ἀφισταμένων μὲν τῶν οἰκείων, τῶν πολεμίων δὲ ἐπικειμένων, καὶ ταραχῆς πολλῆς καὶ ἀταξίας τὸ στρατόπεδον κατεχούσης, εἰ μὴ Θεὸς ἄνωθεν χεῖρα σώζουσαν ὑπερέσχεν, οὐδ' αὐτοὺς ἠγνοηκέναι οἴεσθαι. Ἀνάγκῃ δὲ ἐλθὼν πρὸς Κράλην τὸν ἄρχοντα Τριβαλῶν, πολλῆς ἀπολελαυκέναι παρ' αὐτοῦ καὶ τιμῆς καὶ συμμαχίας παρὰ δόξαν. Ὀλίγῳ γοῦν πρότερον στρατιὰν παραλαβὼν πολλήν τε καὶ ἀγαθὴν, ἐπὶ Διδυμότειχον σπεύδειν, ὡς τοῖς ἐκεῖσε φίλοις συνεσόμενος καὶ διαθησόμενος εὖ τὰ κατ' αὐτόν. Γενομένου δὲ ἐν Φεραῖς, τούς τε ἡγεμόνας καὶ τὴν στρατιὰν νόσῳ δεινῇ περισχεθῆναι καὶ ἀποθανεῖν αὐτῶν πολλοὺς, ὡς ἐκ τῆς νόσου καὶ πρὸς ἀνάγκην ἐλθεῖν αὖθις ἀναστρέφειν εἰς τὴν Τριβαλῶν ἀρχήν. Νυνὶ δὲ παρασκευάζεσθαι, ὡς ἅμα στρατιᾷ εἰς Διδυμότειχον αὖθις ἀφιξόμενος. Τοῦτο γὰρ μάλιστα λυσιτελεῖν αὐτῷ πρὸς τὸ κτήσασθαι, εἰ κατὰ γνώμην εἴη Θεῷ, τὴν πᾶσαν Ῥωμαίων ἡγεμονίαν. Δι' ἃ οὐ δύνασθαι ἧκειν πρὸς Θετταλίαν νῦν. Μᾶλλον γὰρ ἀνιάσειν, συγγινόμενος μὲν ἐπὶ μικρὸν, ἐν τάχει δὲ ἀπαίρων πρὸς Θρᾴκην αὖθις. Ἀλλ' εἴγε κατὰ γνώμην αὐτοῖς εἴη ὑπ' αὐτὸν τελεῖν, νῦν μὲν ἄρχοντα αὐτοῖς τὸν Ἄγγελον Ἰωάννην ἐφιστᾷν, προσήκοντά τε μάλιστα ἐξ αἵματος, καὶ δυνάμενον ἐξηγεῖσθαι καὶ διασώζειν ἀπὸ τῶν πολεμίων ἄν τινες ἐπίωσι, καὶ συνέσει καὶ εὐψυχίᾳ, καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους. Αὐτὸν δὲ γενόμενον ἐν Διδυμοτείχῳ, εἰ μήτι κωλύοι δυσχερές, πρόνοιαν αὐτῶν ποιήσεσθαι, ὅση δυνατὴ, καὶ πᾶσαν ἐνδείξεσθαι ὑπὲρ αὐτῶν καὶ προθυμίαν καὶ σπουδήν. Τοιαῦτα μὲν πρὸς τοὺς πρέσβεις ἀπεκρίνατο. Ἐκέλευέ τε καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγείλαντας εἰ πείθοιντο, εἰς ἔργον ἄγειν. Φιλοφρόσυνήν τε αὐτῷ προσήκουσαν περὶ αὐτοὺς ἐπιδειξάμενος, συνέπεμπε καὶ τῶν οἰκείων ἕνα Μανουὴλ τὸν διοικητὴν, ὡς τὰ εἰρημένα παρ' αὐτοῦ καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγελοῦντα. Ὧν καὶ γενομένων ἐν Θετταλίᾳ, ἐπεὶ ἥ τε στρατιὰ καὶ τῶν πόλεων οἱ ἄριστοι τὰ παρὰ βασιλέως εἰρημένα ἐπυνθάνοντο, πρῶτα μὲν ὡμολόγουν βασιλεῖ χάριτας πολλὰς τῆς εὐμενείας

Digitized by Google Распознавание текста ABBYY FR

τῆς περὶ αὐτοὺς, καὶ τῆς συντρόφου καὶ φίλης, ἀληθείας ἐκ παιδὸς, ὅτι καίτοι δοκῶν ἐν δυσπραγίαις εἶναι, οὐδὲν ὑπέμεινε πεπλασμένον φθέγξασθαι, οὐδ' ἀγεννὲς, ἀλλὰ δήλην αὐτοῖς πεποίηται τὴν διάνοιαν οἵα ἦν. Αὐτοὺς δὲ τῷ περιόντι τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ μὴ λυσιτελεῖν αὐτῷ δοκοίη, τὸ νῦν ἔχον ἥκειν παρ' αὐτοὺς, οὐκ Ἄγγελον μόνον κατὰ γένος αὐτῷ προσήκοντα, καὶ ἄρχειν δυνάμενον αὐτῶν, ἀλλὰ καὶ εἴ τινα ἐκείνου πέμποι πολλῷ καταδεέστερον δέξεσθαι προθύμως, καὶ πᾶσαν ἐπιδείξεσθαι περὶ τὸν βασιλέα εὔνοιαν. Τοιαῦτα μὲν καὶ οἱ ἐν Θετταλίᾳ ἀπεκρίναντο. Βασιλεὺς δὲ ἐπεὶ πύθοιτο ἀπὸ τῶν πρέσβεων ἐπανελθόντων, ἔπεμπε τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, ἐπίτροπον εἶναι Θετταλίας. Πᾶσι δὲ βουλόμενος καταφανὲς ποιεῖν, ὡς οὐ βασιλέως τοῖς παισὶν ἐπιβουλεύων ἤρατο τὸν πόλεμον, καὶ ὡς οὐδ' εἰ περιγένοιτο τῆς ἀρχῆς ἔγνωκεν ἀποστερεῖν, ἀλλ' ὑπὸ βασιλίδος μᾶλλον αὐτὸς ἐπολεμήθη ἀνθρώποις πειθομένης συκοφάνταις, τῷ Ἀγγέλῳ πρὸς τὴν Θετταλίας ἀρχὴν χρυσόβουλλον ποιῶν, βασιλίδα τε προσέγραψε, καὶ βασιλέα Ἰωάννην τὸν υἱὸν, ὥστε Ἄγγελόν τε καὶ Θετταλοὺς, τὴν δουλείαν τε κἀκείνοις, ὥσπερ καὶ αὐτῷ ὁμολογεῖν, καὶ μᾶλλον ἢ πρότερον ὑπείκειν. Ὃ καὶ ἐπὶ λέξεως εἶχεν οὕτως· Ὡς ἀπόλοιτο ὁ φθόνος τὸ πάντων τῶν κακῶν χειριστόν τε καὶ ἀδικώτατον, ὅ γε κακῶς ἡμᾶς ἀρχῆθεν ἐξώσας τῆς ἀκηράτου τρυφῆς χειρὶ Θεοῦ πλασθέντας, καὶ λόγῳ τιμηθέντας, ὧ τῆς ὑπὲρ λόγον χάριτος, καίτοι μετὰ τὴν τοῦ χείρονος πεῖραν, ἵνα συνελὼν εἴπω, εἰ τῆς ἐνδίκου καταδίκης ἐκείνης ἦμεν ἐν συναισθήσει, καὶ τὰ βελτίω ἐμελετῶμεν, κἂν συγγνώμης τυχόντες αὖθις ἂν ἦμεν ἐν τοῖς προτέροις. Νυνὶ δ' ὥσπερ μήτι χαλεπὸν πεπραχότες, ἢ πεπονθότες ἐξ ἀβουλίας, ἢ γοῦν ὑπὸ τοῦ παθεῖν οὗ μενουν διδαχθέντες τὸ τὰ δέοντα φρονεῖν οἱονεὶ παρῃρήμεθα, πήματα πάσχειν αὐθαίρετα κακῶς αἱρεθέντες, καὶ δεινῶς ἐγκαλινδεῖσθαι διὰ βίου τοῖς μὴ καθήκουσι, καὶ τῆς ἴσης ἀξίας πρὸς Θεοῦ τυχόντες, καὶ τῆς αὐτῆς ἠξιωμένοι σπουδῆς, μεμηνότος δίκην, ταυτησὶ μὲν οἰκτρῶς ἐκπεπτώκαμεν, ἀνισότητα δὲ πεπόνθαμέν τε καὶ τετιμήκαμεν. Δέον γὰρ σπουδάζειν, ἢ τὸν αὐτὸν ἐπὶ τοῖς ἀμείνοσι δρόμον, ἢ φιλονεικεῖν ἄλλος ἄλλον ὑπερβαίνειν, ὅπως ἂν ἐπ' ἀγαθοῖς ἀλλήλους νικῴημεν, τοὐναντίον ἅπαν φαινόμεθα πράττοντες, καὶ συμβέβηκεν ἡμῖν οἷόν τι πάθος ἀτεχνῶς ἄτοπον, ὅτι κατὰ τοὺς τῆς μορφῆς χαρακτῆρας ἔπεστι διενηνοχέναι, καὶ ταῖς τῆς ψυχῆς ἕξεσι. Καὶ τὴν πρώτην ἐκείνην καὶ μακαριστὴν ὄντως εὐδαιμονίαν ἀποβαλοῦσιν ἡμῖν, δέδοκτο δεῖν ἐφ' ἑτέραν πολυσχιδῆ τραπέσθαι, ἀβέβαιον πάντη καὶ καθ' ἑαυτὴν στασιάζουσαν. Ἦν εἴ τις οὐ καλοίη τύρβην κομιδῇ ματαίαν, καὶ θόρυβον ἀκερδῆ, τοῦτον ἐγὼ νομίζω τελεῖν οὐκ εἰς τοὺς εὖ φρονοῦντας, οὐ φύσεως

A sua, ut appareret, loqui, sed mentem illis suam candide declarare voluisset. Se autem abundantia quadam amoris erga illum, quandoquidem hoc tempore ad eos sibi veniendum non putet, non modo Angelum, ipsi genere conjunctum et ad regendum idoneum, sed et si quempiam illo multo inferiorem mittat, libenter suscepturos, imperatorisque semper fore cupidissimos. Talia Thessali responderunt; quæ ut a legatis reversis imperator audivit, consobrinum Joannem Angelum ad ineundam Thessaliæ præfecturam misit. Volens autem constare palam, non se insidiantem imperatoris liberis bellum suscepisse, nec, si vinceret, illos imperio privare statuisse, sed potius ab Augusta mendaciloquis hominibus fidem commodante se oppugnari, **522** Angelo propter Thessa-
A μεγάλη καὶ καλὴ μέλλει ἀφαιρεῖσθαι ὑπὸ τῆς πολιορκίας ἀνάγκη Τριβαλοῖς δουλεύσουσα, τῶν οἰκείων πέμψας ἕνα, παρεκάλει φείδεσθαι αὐτῶν, καὶ μὴ μίσει τῷ εἰς ἐκεῖνον, τὰ ἀνήκεστα σφᾶς αὐτοὺς διατιθέναι· ἀλλὰ νῦν μὲν πρόνοιάν τινα αὐτῶν ποιεῖσθαι, καὶ μήτε δέχεσθαι εἰς τὴν πόλιν, μήτ' αὐτὸν, μήτε φρουρὰν, μήτε ἡγεμόνα, ἀλλὰ μόνον τῆς βασιλίδος Ἄννης καὶ βασιλέως τοῦ υἱοῦ φημιζομένων, εὐφημίας καὶ αὐτὸν ἅμα ἐκείνοις ἀξιοῦν καὶ μνημονεύειν ἐν τελεταῖς ταῖς ἱεραῖς, καὶ τοῦτον τὸν τρόπον τῶν ἐκ τῆς πολιορκίας ἀπαλλάττεσθαι κακῶν· οὐκέτι γὰρ ἀδικήσουσιν οὐδὲν αὐτοὺς οἱ Τριβαλοὶ διὰ τοὺς ὅρκους καὶ σπονδὰς τὰς πρὸς αὐτόν. Ἀναχωρήσαντος δὲ αὐτοῦ πρὸς Θρᾴκην, ἂν μὲν καὶ τῆς ἄλλης ἀρχῆς φαίνοιτο Ῥωμαίων ἐγκρατής, ὑπείκειν καὶ αὐτούς. Εἰ δέ τι περὶ B αὐτοῦ ὕστερον βουλεύσαιτο ὁ Θεὸς καὶ ἀπόλοιτο ἐξ ἀνθρώπων, τότ' ἤδη ἢ τῷ βασιλεύοντι Ῥωμαίων προσέχειν, ἂν δύνηται ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων, ἢ σῖτον ἔχοντας καὶ ἄλλην ἀφθονίαν, ὑπομένειν τὴν πολιορκίαν. Νυνὶ δὲ μὴ οὕτω κακῶς περὶ σφῶν αὐτῶν βουλεύσασθαι, ὥστε ἐκόντι ἐλέσθαι τὰ δεινὰ, καὶ τὸν πόλεμον ἑλκῦσαι κατ' αὐτῶν ἑνὸν συνέσει καὶ ἀγχινοίᾳ διασώζεσθαι. Βασιλεὺς μὲν οὖν τοιαῦτα Φεραίοις συνεβούλευε, καὶ πείθεσθαι ἐδεῖτο ὡς συνοίσουσι μεγάλως. Ἐκεῖνοι δὲ ἐπεὶ ἀκούσειαν, βασιλέως μὲν πολλὰς ὕβρεις κατέχεον καὶ λοιδορίας· καὶ μᾶλλον ἔφασαν ἐκείνῳ περὶ ἑαυτοῦ, καὶ τῶν συνόντων βουλευτέον ἂν εἴη ὅπη σωθήσεται, ἢ περὶ C ἡμῶν. Τὸν δὲ πρεσβευτὴν ἀποσφάξαντες καὶ διελόντες τετραχῆ θηριωδῶς καὶ ἀπανθρώπως, τὰ τμήματα ἀνῆψαν καλλιδίοις ἐν τοῖς πύργοις. Ἃ βασιλεὺς μὲν δεινὰ ἠγεῖτο, καὶ πολλὴν τῶν ἀνδρῶν ἀπανθρωπίαν κατεγίνωσκε καὶ ἀβουλίαν, ἔπεμπε δὲ καὶ γράμματα αὐτοῖς διά τινος Γεωργίου ἔξω συλληφθέντος, τήν τε ὠμότητα καὶ τὴν κακοβουλίαν ὀνειδίζοντα, καὶ πολλῶν προανασφωνοῦντα δεινῶν ἐπαγωγὴν, καὶ ὡς τότε τῆς παρ' αὐτοῦ δεήσονται ἐπικουρίας, ἡνίκα μηδ' αὐτῷ τοῦ ὑπὲρ αὐτῶν ἀνιᾶσθαι πλέον τι ἐξέσται. Οἱ δὲ συνόντες Ῥωμαῖοι ἐν πάσῃ ἤδη καθέστασαν ἀμηχανίᾳ, καὶ ἄπορον παντάπασιν ἡγοῦντο πόλιν βασιλεῖ ἑτέραν προσελθεῖν, Φεραίων τοιαῦτα τετολμηκότων. Ὅθεν καὶ ἐδέοντο βασιλέως συνελθόντες μηκέτι μέλλειν, μηδὲ D κατατρίβειν τὸν καιρὸν ἀνήνυτα πονοῦντας, ἀλλ' εἰς Διδυμότειχον ἐπείγεσθαι, ὡς ἅμα τοῖς οἰκείοις ἤ τινὸς τυγχάνειν ἀγαθοῦ, εἰ πρὸς τὸ βέλτιον αὐτοῖς τὰ πράγματα χωροίη, ἢ ἀποθνήσκειν εἰ δεήσειεν. Ἐδόκει μὲν οὖν καὶ βασιλεῖ τοῖς ἐκείνων πείθεσθαι βουλεύμασιν οὕτω περιπλείστου ποιουμένοις τὴν ἐπάνοδον. Καὶ συνταξάμενος Κράλῃ, παραλαβών τε τὴν στρατιὰν ὅσην αὐτὸς παρείχετο συνέπεσθαι, εἴχοντο ὁδοῦ. Κράλης δὲ ἐν Φεραῖς ὑπολειπόμενος, ἔτεμνε τὴν γῆν, καὶ ἐδῄου πάντα ἄρδην διαφθείρων. Βασιλεὺς δὲ ἐπεὶ γένοιτο μακρὰν Φερῶν, συνιδών, ὡς ἡ ἑπομένη στρατιὰ τῶν Τριβαλῶν ὄχλος μόνον ἀνόνητός εἰσι, τοὺς ἀρίστους γὰρ αὐτῶν ἀπολεξάμενος πρότερον ὁ Κράλης, φρουρὰν κατέλιπε ταῖς πόλεσιν, ἃς Χρέλη ἔχοντος μετὰ τὴν ἐκείνου τελευτὴν

Digitized by Google Распознавание текста ABK/FR

ἔλαβεν αὐτὸς, ἄλλως τε καὶ τῶν ὑπολειφθέντων χρονίῳ τε στρατείᾳ τεταλαιπωρηκότων· ἦσαν γὰρ πλέον ἢ δυσὶ πρότερον μησὶ Κράλῃ ἐπόμενοι στρατευομένῳ· ἄλλως τε καὶ δέει ἀσχέτῳ κατεχομένων, καὶ νομιζόντων οὐκ εἰς Θράκην, ἀλλ' εἰς Πάρθους ἢ Ἰνδοὺς στρατεύεσθαι, ὅθεν οὐκ ἐξέσται μηχανῇ οὐδεμιᾷ οἴκαδε ἐπανελθεῖν, καὶ διὰ τοῦτο καὶ ἵππους πολεμιστηρίους, καὶ ὅπλα, καὶ εἴ τι ἐπιφέροντο χρήσιμον πρὸς τὸν πόλεμον, οἴκαδε ἀποπεμπόντων, ἵνα ταῦτα γοῦν τοῖς παισὶν ὑπολειφθείη, ὡς ἐκείνων ἀπολουμένων πάντως· ταῦτα δὴ συνορῶν ὁ βασιλεὺς, καὶ βουλόμενος εἰς Διδυμότειχον μὴ οὕτως ἀφικέσθαι ἀσθενὴς, ὥσθ' ὑπὸ Βυζαντίων καὶ αὐτὸς πολιορκεῖσθαι· οὔτ' αὐτῷ γὰρ οὔτε τοῖς συνοῦσι τοῦτο μάλιστα συνοίσειν· ἐσκέψατο εἰς Κράλην ἀναστρέφειν, καὶ στρατιὰν ἀξιόχρεων αἰτεῖν, ὥστε εἰς Διδυμότειχον φοβερὸν τοῖς πολεμίοις ἐλθόντα εἶναι, ἀλλὰ μὴ καταφρονεῖσθαι διὰ τὴν ἀδυναμίαν. Ἐπεὶ δὲ καὶ τοῖς συνοῦσι Ῥωμαίοις ἐκοινοῦτο τὴν βουλὴν, πάντες ὥσπερ ἐκ συνθήματος πάντα μᾶλλον ἔφασαν αἱρεῖσθαι ὑπομένειν, καὶ μυρίων θανάτων κατατολμᾶν, ἢ εἰς τὴν γῆν αὖθις ἀναστρέφειν Τριβαλῶν. Οὐ γὰρ ἐνόμιζον εἰς γῆν πορεύσεσθαι ἡλίῳ περιλαμπομένην, καὶ ὑπὸ ἀνθρώπων οἰκουμένην, ἀλλ' εἰς ᾅδου κευθμῶνας, καὶ νεκρῶν διατριβάς, καὶ ἄλλο εἴ τι δυσχερέστερον. Πολλὰ δὲ βασιλέως παραινοῦντος, ὡς βελτίω καὶ λυσιτελέστερα βουλεύοιτο καὶ δεομένου πείθεσθαι, οὐδ' ἄκροις παρεδέχοντο ὠσὶν, ἀλλὰ πάνθ' ὅσα ἂν τις εἴποι δεινὰ φορητότερα ἡγοῦντο, ἢ εἰς Τριβαλοὺς αὖθις ἀναστρέφειν. Βασιλεὺς δὲ, τόν τε κίνδυνον ὁρῶν, ὡς οὐ μικρὸς ἐκ τοῦ πείθεσθαι τοῖς συνοῦσιν οὕτως ἀλυσιτελῆ, καὶ βουλευομένοις καὶ πράττειν ἤδη ὡρμημένοις ἀλογίστως, ὅ τί τε χρήσαιτο τοῖς πράγμασιν οὐκ ἔχων, τῶν συνόντων πείθεσθαι μὴ δυναμένων, πρότερον αὐτοῖς πολλὰ διαλεχθεὶς, καὶ φανερὸν ποιήσας, ὡς διὰ τὴν αὐτῶν μικροψυχίαν καὶ ἀβουλίαν ἀνάξια ἑαυτοῦ, καὶ τῆς στρατηγίας καὶ τῆς πείρας πράττει, ἐπείθετό τε ἄκων αὐτοῖς πρὸς τὴν βουλὴν, καὶ παρεκελεύετο θαρρεῖν, ὡς τοῦ Θεοῦ προστησομένου, ὥσπερ δὴ καὶ ἄλλοτε πολλάκις ἐν κινδύνοις οὐ μικροῖς, καὶ εἴχοντο ὁδοῦ. Ἐπεὶ δὲ ἦσαν Χριστουπόλεως οὐ μακρὰν, περιτυγχάνουσι Ῥακωδυτοῦντι ἐκ Διδυμοτείχου ἀφιγμένῳ, ὃς παρεῖχε γράμματα βασιλεῖ παρὰ βασιλίδος· τῆς γυναικὸς, καὶ τῶν ἄλλων τῶν ἐν Διδυμοτείχῳ, φυλάττεσθαι παραινοῦντα, καὶ μὴ ἀπερισκέπτως πρὸς αὐτοὺς χωρεῖν, εἰ μὴ δύναμιν ἄγει μεγάλην, καὶ πρὸς τοιούτους ἀξιόχρεων πολεμίους. Πρωτοστράτωρ γὰρ ὁ Παλαιολόγος, πολλὴν ἄγων στρατιὰν πεζήν τε καὶ ἱππικὴν ἐν Περιθεωρίῳ στρατοπεδευόμενος, τὴν αὐτοῦ ἄφιξιν περιμένει ὡς μαχούμενος. Ἀπόκαυχός τε ὁ παρακοιμώμενος ἔχων ἑβδομήκοντα τριήρεις ἐν αἷς κατέπλευσεν εἰς Ἀμφίπολιν, ἐνταῦθα καὶ αὐτὸς ἐφορμεῖ· περὶ ὧν δέον βουλευσάμενον αὐτὸν πράττειν, ὅ τι ἂν δοκῇ συμφέρειν. Συμβέβηκε δέ τι περὶ τὰ γράμματα ἐκεῖνα θαυμαστὸν καὶ τῆς Θεοῦ περὶ τὸν βασιλέα κηδεμονίας φανερῶς. Ὡς γὰρ ἐν Βυζαντίῳ ἐμνήσθη, ὡς στρα-

A præterea immensa quadam formidine attonitos, nec in Thraciam, verum ad Parthos aut Indos, unde nullis artibus unquam ad patrios lares repedare possent, militatum se proficisci arbitrantes (quam ob causam et equos militares, et arma, et si quid aliud militiæ idoneum portabant, domum remittebant, ut ipsis omnino perituris, ea saltem sibi haberent liberi); hæc, inquam, animadvertens imperator, nolensque Didymotichum sic infirmus accedere, ut ipse quoque a Byzantiis obsideretur (nec enim sibi suisque id multum profuturum), ad Cralem redire et a Crale sufficiens auxilium petere cogitavit, ut cum Didymotichum venisset, hostibus terrori, non contemptui esset. Communicata re cum Romanis, omnes velut de
B compacto quæcunque potius se perpessuros, et mille mortibus caput objecturos, quam ad Triballos redituros confirmarunt. Non enim ad terram quæ solis radiis vestiretur, et ab hominibus incoleretur, sed ad inferorum valles, vitamque cum mortuis agendam, et si quid inamœnius ac tristius est, se reversuros credebant. Impensius autem hortante imperatore, ut melius et utilius sapere vellent, roganteque ut parerent, eas voces auribus aversantes, omnia gravia quæ dici possunt, isthoc in Triballos reditu leviora ducebant. Imperator cum periculum non modicum provideret, si suis tam parum frugifera volventibus, et tam inconsulto aggredi parantibus obsequeretur, et quid
C ageret nesciret, quandoquidem flectere milites non poterat, multa præfatus, quibus planum fecit, se propter illorum imbelles animos et temeritatem, indigna suo nomine, auctoritateque imperatoria, et usu militari committere, eorum desiderio invitus paruit, cohortans, uti Deo fiderent, qui quomodo antehac sæpe in periculis non parvis, tutorem se præbiturus esset. Atque his dictis, cœpto itinere perrexerunt. Non longe a Christopoli in peditem Rhacidytuntem vocabulo, Didymoticho cum litteris ab imperatrice uxore et præsidio ad imperatorem missum incidunt: quibus litteris eum admonebant, caute ageret, et ne inconsiderate ad eos veniret, nisi magnas totque hostibus pares copias adduceret. Palæologum enim
D protostratorem cum peditatu **534** et equitatu non mediocri ad Peritheorium sedere, et adventum ejus ad confligendum exspectare. Ibi etiam Apocauchum cum triremibus septuaginta, quibus Amphipolim navigaverat, in portu stare, de quibus capto consilio facere debeat, quod prodesse videbitur. Circa litteras autem illas admirabile quidpiam, et quam imperator Deo curæ esset, manifestum indicium evenit. Ut enim Byzantii intellectum est, ipsum cum exercitu ex Triballis Didymotichum revenire; et protostrator universum peditatum equitatumque ducens, magnis utique cum viribus Peritheorium devenit; et Apocauchus eodem Amphipoli cum septuaginta navibus eadem de causa appulsus, cum aliis copiis sibi exspe-

Digitized by Google Распознавание текста ABK/FR

etandum, reditumque imperatoris intercludendum censuit. Dispositis autem per viam, ut mos est, custodibus ad intercipiendos qui inter Didymotichenses et imperatorem commearent, qui hanc epistolam ferebat comprehensus, et ad protostratorem perductus deque litteris examinatus, habere se litteras confessus est, statimque porrexit, quibus imperator rogabatur, ne qua illum moraretur segnities, sed ad eos advolaret. Nam qui essent Didymotichi in præsidio equites et pédites, loca Thraciæ depopulatos victum sibi comparasse. Similiter opifices et alios, quotquot manuum labore vitam transigerent, alimonia abundare: mediis civibus nihil quo se alant undecunque suppetere, et eos inopia supra modum premi. Precabantur igitur imperatorem imperatrix conjux et alii, citissime rediret, quo adventus ejus cives tanto malo levaret. Lectis litteris protostrator, curioso nimirum et solerti facinore, auro dato et promissis, se in illum et domum ejus (Selybrianus autem erat) beneficum futurum, persuadet tabellario, ut epistolam illam suo arbitratu et modo transcriptam, pro vera et germana uxoris epistola ad Cantacuzenum apportet, ac de facto nihil dicat. Facit ille quod petebatur, et protostrator quanquam nolens imperatori ejusque exercitui commodat. Ut enim recitata est, et Cantacuzenici de insidiantibus sibi copiis cognoverunt, esse multis partibus suis majores, modisque omnibus valentes, militibus veteranis constantes scilicet, Deo de cura erga se et aversione mali, atque etiam imperatrici de studio et sollicitudine erga ipsos gratias ingentes egerant, et ob majus periculum, **535** quæ prius odiosa et invisa erant, facillima et utilissima judicantes, haud ægre retro redierunt. Sic imperator cum suis improviso discrimini ereptus, ex hostium nequitia fructum cepit uberrimum. At magnus dux, ut accepit eum ducentem manum admodum despicabilem, et superatu facillimam, propter litteras a genero suo immutatas revertisse, aperte succensuit, acriterque hominem increpuit, qui per stultitiam suam hosti profuisset. Ac multi de Apocauchi factione etiam in crimen violatæ fidei protostratorem vocabant, scientem volentemque Cantacuzeno, cui occulte studeret, profuisse confirmantes. Is vero juramento interposito, nihil ejusmodi se voluisse asseverabat, sed velut cœlesti quadam vi eo impulsum esse, cum putaret se Cantacuzenum cum numeroso adventantem exercitu decepturum, si ei terrefacto reversionem persuasisset. Hæc ad hunc modum acta sunt, et Cantacuzenus ad Cralem se recepit. Apocauchus Byzantium cursum reflexit, quem incolæ multis plausibus et encomiis admirandis, servatorem, propugnatorem, liberatorem vocitantes exceperunt. Circumquaque tum fama percrebuit, Cantacuzenum ne audentem quidem obtueri magnum ducem, desperata salute revertisse, et ad sanctum montem ibi revera monachum professurum abire

A τιὰν ἔχων ἐκ Τριβαλῶν βασιλεὺς ὁ Καντακουζηνὸς αὖθις ἐπανέρχοιτο εἰς Διδυμότειχον, πρωτοστράτωρ τε συμπάσης πεζῆς καὶ ἱππικῆς δυνάμεως στρατηγῶν πολλὴν ἔχων δύναμιν εἰς Περιθεώριον ἀφίκτο, καὶ Ἀπόκαυχος ὁ μέγας δοὺξ ἐξ Ἀμφιπόλεως ταῖς ἑβδομήκοντα ναυσὶν ἀναστρέφων τῆς αὐτῆς ἕνεκα αἰτίας, ἔγνω δεῖν περιμένειν καὶ αὐτὸς μετὰ τῆς ἄλλης στρατιᾶς, καὶ βασιλεῖ τὴν ἐπάνοδον κωλύειν. Τῶν ὁδῶν δὲ ὡς ἔθος φυλαττομένων, ἵνα μὴ λανθάνοιεν ἐκ Διδυμοτείχου ἢ βασιλέως πρὸς ἀλλήλους
B ἀφικνούμενοί τινες, ὁ τὰ γράμματα κατέχων τοῦτο, συνελήφθη καὶ ἦχθη πρὸς πρωτοστράτορα· ἀνερευνώμενος δὲ περὶ γραμμάτων, ὡμολόγει ἔχειν, καὶ παρείχετο εὐθύς· τὰ δὲ ἐδεῖτο βασιλέως τάχιστα ἥκειν πρὸς αὐτοὺς καὶ μὴ ῥᾳθυμεῖν. Τῶν γὰρ ἐν Διδυμοτείχῳ τὸ μὲν στρατιωτικὸν ἱππεῖς τε καὶ πεζοὶ τὰ κατὰ Θρᾴκην χωρία λῃζόμενοι ἀφορμὰς τοῦ βίου ἐποιοῦντο. Ὁμοίως δὲ καὶ χειροτέχναι καὶ ἄλλοι ὅσοις ὁ βίος ἦν ἐκ τῶν χειρῶν πονοῦντες καὶ ἐργαζόμενοι, διέζων τῶν ἀναγκαίων εὐπορούντες. Οἱ μέσοι δὲ τῶν πολιτῶν πάνυ κραταιῶς ἐπιέζοντο ὑπὸ ἐνδείας μηδεμίαν οὐδαμόθεν εὐπορίαν ἔχοντες. Διὰ ταῦτα οὖν ἐδέοντο βασιλέως βασιλίς τε ἡ γυνὴ ὁμοίως καὶ οἱ ἄλλοι, τάχιστα ἐπανήκειν, ὡς τῆς αὐτοῦ ἐπιδημίας τοῖς πολίταις ἐσομένης μεγάλων
C συμφορῶν ἀπαλλαγῆς. Πρωτοστράτωρ δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, περίεργόν τι δῆθεν ποιῶν καὶ ἀγχινοίας ἄξιον, ἔπειθε τὸν ἄγοντα, χρυσίον παρασχόμενος, καὶ αὐτὸν ἐπαγγειλάμενος καὶ οἰκείους εὖ ποιήσειν· Σηλυβριανὸς γὰρ ἦν· ὥστε τὰ γράμματα μεταγραφέντα ᾗ αὐτῷ ἐδόκει, Καντακουζηνῷ ἀγαγόντα παρασχεῖν, μηδὲν ἀπαγγείλαντα τῶν εἰργασμένων, ἀλλ' ὡς ὄντα βασιλίδος τῆς γυναικός. Ὁ μὲν οὖν ἐποίει κατὰ τὰ κεκελευσμένα, καὶ πρωτοστράτωρ ἄκων ὠφέλησε βασιλέα τε καὶ τοὺς περὶ αὐτόν. Ὡς γὰρ τά τε γράμματα ἀνεγινώσκετο καὶ ἤκουον περὶ τῆς ἐνεδρευούσης στρατιᾶς οἱ περὶ βασιλέα, ὡς πολλαπλασίων τε αὐτῶν εἴη καὶ τοῖς
D πᾶσιν ἐῤῥωμένη, οἷα δὴ οὔπω χθὲς καὶ πρώην τῶν οἰκιῶν εἰς τὴν στρατείαν ἐξελθόντες, Θεῷ τε πολλὰς ὡμολόγουν χάριτας τῆς εἰς αὐτοὺς προνοίας καὶ τῶν κινδύνων τῆς ἀπαλλαγῆς, καὶ βασιλίδι τῆς σπουδῆς καὶ τῆς φροντίδος τῆς περὶ αὐτούς, καὶ ἅσμενοι ὑπέστρεφον, τοῦ μείζονος κινδύνου τὰ δυσχερῆ πρότερον καὶ δυσάρεστα, ῥᾷστα καὶ λυσιτελέστατα φαίνεσθαι ποιοῦντος. Οὕτω μὲν οὖν βασιλεύς τε καὶ οἱ ἀμφ' αὐτὸν ἀπροσδοκήτων ἐῤῥύοντο κινδύνων, ἐκ τῆς παρὰ τῶν πολεμίων πονηρίας μέγιστα ὠφεληθέντες. Ὁ μέγας δὲ δοὺξ πυθόμενος, ὡς πάνυ φαύλην ἄγων στρατιάν, καὶ ἐς τὰ μάλιστα εὐεπιχείρητος ὤν, ἀναστρέψειεν ἐκ τῶν γραμμάτων, ἃ μεταποιήσειεν ὁ γαμβρὸς, πολλὴν αὐτῷ ἐπῆγε μέμψιν, καὶ ὠργίζετο φανερῶς, ὅτι τὸν ἐχθρὸν ἐξ ἀβουλίας ὠφελήσειε. Πολλοὶ δὲ καὶ τῶν τὰ ἴσα ἠρημένων Ἀποκαύχῳ, καὶ ἀπιστίας πρωτοστράτορα ἐγράφοντο, ὡς ἑκὼν εἶναι Καντακουζηνὸν ὠφελήσειεν ἰσχυριζόμενοι κρύφα τὰ ἐκείνου ἠρημένος. Ὁ δ' ὀρκοις διεβεβαιοῦτο, ὡς οὐδὲν αὐτῷ τοιοῦτον συνειδείη, ἀλλ' ὥσπερ ὑπό τινος ἀγόμενος δυνάμεως κρείττονος

Digitized by Google Распознавание текста ABK/FR

εἰς τοῦτο προαχθείη· νομίζων σφάλλειν Καντακουζηνὸν μετὰ βαρείας ἥκοντα δυνάμεως, εἰ πείσειεν ἀναστρέφειν ἐκφοβήσας. Ταῦτα μὲν οὖν τοῦτον ἐπέπρακτο τὸν τρόπον, καὶ Καντακουζηνὸς ὁ βασιλεὺς αὖθις εἰς Κράλην ἐπανῆκεν. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ εἰς Βυζάντιον ἀπέπλευσε, καὶ ὑπεδέχοντο αὐτὸν οἱ ἐν Βυζαντίῳ μετὰ κρότων πολλῶν καὶ θαυμασίων τῶν ἐγκωμίων, σωτῆρα, καὶ πρόμαχον, καὶ ἐλευθερωτὴν ἀποκαλοῦντες. Περιηγγέλλετό τε πανταχόθεν, ὡς Καντακουζηνὸς οὐδ' ἀντιβλέψαι δυνηθεὶς πρὸς μέφαν δοῦκα, ὑπέστρεψε τῆς οἰκείας σωτηρίας ἀπογνούς, καὶ ἐπὶ τὸ ἱερὸν ὄρος ἀφίξεται ὄντως μοναχῶν σχῆμα ἐνδυσόμενος· ἄλλως γὰρ οὐκ ἂν ἐξέσται περιεῖναι. Καὶ ἑορτὴ πανταχοῦ συνεχρότουν τῶν εὐαγγελίων ἕνεκα. Ὁ μέγας δὲ δοὺξ ὀλίγῳ ὕστερον μεγάλῳ στρατοπεδάρχῃ τῷ Χούμνῳ τὴν πρὸς Καντακουζηνὸν βουλευθεῖσαν εἰρήνην, ὥς τι ἔγκλημα ἐπικαλέσας· οὐ γὰρ διέλαθεν αὐτὸν, ἃ πρὸς βασιλίδα πρότερον εἰρήκει περὶ τῆς εἰρήνης· κατέκλεισεν αὐτόν τε καὶ τὸν υἱὸν ἀπρόϊτον εἰς τὴν οἰκίαν. Μετ' ἐκεῖνον δὲ καὶ Ἀσάνην τὸν Κωνσταντῖνον καὶ τὸν υἱόν· καὶ ἀξίας ἀπετίννυον αὐτοῖς ἀντιμισθίας τοῦ πρὸς τὴν τοσαύτην τῶν Ῥωμαίων φθορὰν αὐτῷ συνάρασθαι. Εἶτα καὶ τοὺς ἄλλους ἐπῄει, ὥσπερ φλὸξ ἀεὶ τῶν προσαπτομένων ἐπιλαμβανομένη.

A constituisse : alioqui secure non victurum. Ubique item festi dies ob tam lætos nuntios indicebantur. Porro magnus dux non multo post Chumno magno stratopedarchæ datum pacis consilium ut crimen exprobrans (nec enim ignorabat quid cum Augusta egisset), in ejus ipsius domo cum filio eum inclusit, et adiri vetuit. Deinde Constantinum quoque Asanem cum filio, dignam illam illis mercedem rependens, quod ad tantam Romanorum perniciem administros se ipsi præbuissent. Post alios, veluti flamma, quæ semper quidquid attingit, depascitur et consumit.

536 CAPUT LVI.

Concio Irenes imperatricis magnanimitatis plena. Ad Alexandrum Mœsorum regem de societate legatio et falsa promissio, certis de causis. Alexander Cantacuzeni reditum impedire, eumque occidere conatur. Calliditas in copiis Didymotichum missis. Fames oppidanorum. Mœsorum ducum fraus. Mœsi nolunt ab urbe recedere. Episcopi cohortatio et prædictio; item epistola ad Apocauchum pro Cantacuzeno et quædam vaticinia. Mœsi Persarum adventu territi fugiunt. Eorum satrapam Amurium ut Irene imperatrix acceperit. Ejusdem amor in Cantacuzenum et moderatio. Transitus per murum apud Christopolim.

Οἱ ἐν Διδυμοτείχῳ δὲ πυθόμενοι, ὡς αὖθις ὑποστρέψειεν ὁ βασιλεὺς εἰς Τριβαλοὺς, δεινὰ ἐποιοῦντο, καὶ θορύβου ἦσαν μεστοὶ καὶ ταραχῆς. Αἰσθομένη δὲ ἡ βασιλὶς Εἰρήνη, καὶ μεῖζον ἐπιδειξαμένη, ἢ κατὰ γυναικεῖον φρόνημα, συνεκάλει πάντας, καὶ παρῄνει μὴ τὰ πραττόμενα ἡγεῖσθαι τῶν ἄγαν δεινοτάτων· ἴσως γάρ τοι μᾶλλον ἂν οὕτω λυσιτελεῖν δόξειε Θεῷ, ἐκέλευέ τε διανίστασθαι, καὶ μὴ καταπίπτειν, ὡς πολλῶν καὶ μεγάλων ἐλπίδων ἔτι ὑπολειπομένων. Βασιλέα γὰρ πρὸς τὴν ἐπάνοδον οὐκ ἀπαγορεύσειν, ἀλλ' ἥξειν τε μετὰ μικρὸν, καὶ τῆς εἰς αὐτὸν εὐνοίας, καὶ τῆς ἀνδρίας, καὶ τῆς καρτερίας ἀμείψεσθαι ἀξίως. Καὶ τούτοις τοῖς λόγοις ἀνεκτᾶτό τε οὐ μετρίως, καὶ χρηστότερα ἐλπίζειν ἔπειθεν. Ἐδόκει δὲ δεῖν κοινῇ βουλευομένοις, καὶ πρεσβείαν πρὸς Ἀλέξανδρον τὸν βασιλέα Μυσῶν ποιεῖσθαι, καὶ συνθήκας τίθεσθαι ἐπὶ τούτοις πρὸς αὐτὸν, ὥστε σύμμαχον αὐτοῖς εἶναι καὶ φίλον, καὶ βοηθεῖν ἐπὶ τοὺς πολεμίους, καὶ μηδενὸς ἀμελεῖν ὧν προσήκει φίλῳ πρὸς αὐτούς· κἂν μὲν ἐπανέλθῃ βασιλεὺς ὁ Καντακουζηνὸς, αὐτὸν αὐτῷ τῆς συμμαχίας καὶ τῆς φιλίας τὰς χάριτας ἐκτίνειν. Εἰ δὲ συμβαίη, ἢ πολέμῳ ἢ ἑτέρῳ τρόπῳ πρὶν ἐπανήκειν τελευτᾶν, αὐτῷ τὴν πόλιν παραδιδόναι, καὶ τῆς ἀρχῆς ἀφίστασθαι Ῥωμαίων. Τοῦτο δὲ οὐχ οὕτω καὶ ἀληθῶς αὐτοῖς ἐδέδοκτο ποιεῖν· ἀλλὰ φενακίζειν ἐπειρῶντο τὸν Μυσὸν ἕνεκα δυοῖν· τοῦ τε αὐτὸν τῆς ἐλπίδος ἕνεκα αὐτοῖς ὠφέλειάν τινα παρέχειν, καὶ τοῦ βασιλίδα τὴν Ἄνναν καὶ Ῥωμαίους τοὺς αὐτοὺς πολιορκοῦντας πυθομένους, ὡς συμβάσεις περὶ παραδόσεως ποιοῦνται πρὸς Μυσοὺς, μὴ λίαν ἐπιτίθεσθαι, ἀλλ' ἀνακωχήν τινα παρέχειν, δεδιότας μὴ δι' ὀργὴν σφᾶς τε

B Qui Didymotichi erant, ubi cognoverunt imperatorem denuo ad Triballos rediisse, moleste tulerunt, tumultus ac trepidationis pleni. Id sentiens Irene imperatrix, animumque ac spiritum supra sexum gerens, concione advocata hortatur, ne præsentem statum pro deploratissimo habeant; fortassis enim Deo videri sic magis conducere; non demittendos, sed erigendos animos, utpote multa et magna spe adhuc reliqua. Imperatorem enim non tardaturum in reditu, paulo re post affuturum, et eorum in se benevolentiam, fortitudinem ac tolerantiam pro dignitate compensaturum. Istiusmodi verbis milites illa mirifice recreabat, et ad feliciora speranda excitabat. Decretum est porro communi sententia, Alexandrum regem Mœsorum per legatos appellandum, C et cum eo fœdus ita feriendum, ut ipsorum socius et amicus esset, arma conjungeret, et nullum amicitiæ munus officiumque non præstaret: et ut Cantacuzenus imperator redux ipse ei hujus amicitiæ societatisque præmium persolveret. Sin eum aut in pugna, aut aliter ante reditum emori contigisset, ipsi urbs Didymotichum, ab imperio Romano segregata, traderetur. Quod quidem revera facere inter se non statuerant; sed eum ludificari duabus de causis attentabant, tum ut hac spe illectus, aliquo ipsis auxilio succurreret, tum ut Anna Augusta, et Romani qui obsidebant, obsessos de urbe tradenda cum Mœsis pacisci audientes, segnius instarent, induciasque concederent, timentes ne ira stimulante, seque et oppidum Mœsis dederent. Hac illi mente fœdus libente Mœso-

Digitized by Google Распознавание текста ABK/FR

rum rege, et omnimodam opem pollicente iciebant. Atqui contra opinionem cecidit. Alexander enim percusso fœdere in eam conditionem, ut si Cantacuzenus non rediret, ei civitas transderetur, ratus si quo modo illum de medio sustulisset, pro certo **537** eam habiturum, nihil inausum reliquit, quo reditionem ejus impediret, aut etiam si posset, illum interimeret, crebrisque legationibus Cralem et Helenam sororem suam, illius conjugem sollicitabat, ne Cantacuzenum dimitterent, sed vinctum in carcere custodirent, vel potius occiderent : sic enim posse eos imperium Romanum citra laborem adipisci. Crales cohortationes ejus ut nefarias, uxore potissimum adnitente, et in eo fratri adversante repudiavit. Mœsus copiis, quantas urbi obsidendæ putabat sufficere, missis, prope muros castris positis servare jussit, perinde quasi pro obsessis contra Romanos propugnaturos : reipsa, ut oppidum ipsimet commodius obsiderent et oppugnarent. Factum. Nam Romanis sæpe quidem incursantibus, sed festine recedentibus, Didymotichenses licentiam nacti, Thraciæ urbes noctu diuque depopulantes, inde victum sibi quæritabant. Mœsis autem postea invadentibus, assiduoque per dies plurimos incumbentibus, res eorum vehementer in angustum redactæ sunt, omnibus jam ob famem de vita periclitantibus, siquidem Mœsi peræque et Romanos urbem adoriri, et urbanos urbe exire prohibebant. Quod si qui de more ad prædandum egrederentur (hæc enim erat ipsis maxime necessaria ad vitam sustentandam excogitata ratio), occurrentes Mœsi (quorum in hoc providentiam et sollicitudinem magnam latere utique non poterant) equis et armis nudatos in urbem regredi sinebant. Si Didymotichenses hujusmodi prædones apud duces exercitus deferrent, asseverantissime respondebant, se facti inscios, nec suos esse tam audaces, sed Romanos, qui ipsi quoque prædatum circumirent, jubebantque castra perambulantes, a raptoribus sua auferre, si quo signo eos cognoscerent, et extrema supplicia minabantur, si quis talis repertus fuisset. Sed hi nulli cernebantur; nam duces hujusmodi prædatores cum præda statim in Mœsiam mittebant. Hoc igitur modo Didymotichenses in maximas difficultates reique cibariæ penuriam adducti sunt. Tum animadverso periculo, Irene imperatrix Mœsis præcepit uti ab urbe abscederent, amplius eorum auxilio opus non esse, quod satis præstitissent, atque idcirco se non tantum ipsorum regi, verum etiam ipsismet multas gratias agere. Mœsi neutiquam se recessuros, sed continenter ibidem pro imperio regis ad opem ipsis ferendam mansuros affirmare. **538** Eo responso Didymotichenses nimiopere perturbati ac territi, nihil jam sibi decesse ad exitium arbitrabantur. At episcopus urbis hosce motus, tamque atroci calamitati se submittentes animos intuens, progressus in medium labantes erigit et confirmat : quæ

A αὐτοὺς Μυσοῖς καὶ τὴν πόλιν παραδῶσιν. Οἱ μὲν οὖν τοιαύτῃ γνώμῃ τὰς συνθήκας ἐποιοῦντο, ἀσμένως καὶ τοῦ Μυσῶν βασιλέως δεξαμένου, καὶ παντὶ τρόπῳ συμμαχήσειν ἀπαγγελλομένου. Τὸ δ' ἀπέβαινεν ἐναντίως, ἢ ᾠήθησαν αὐτοί. Ἀλέξανδρος γὰρ, ἐπεὶ οἱ ἐν Διδυμοτείχῳ τὰς συνθήκας ἐποιήσαντο, ὡς εἰ μὴ Καντακουζηνὸς ὁ βασιλεὺς ἐπανήξει, παραδώσειν αὐτῷ τὴν πόλιν νομίσας, εἰ τρόπῳ δή τινι ἐκεῖνον διαφθείρειε, βεβαίως τὴν πόλιν ἤδη ἔχειν, πάντα κάλων ἐκίνει κωλύειν τὴν ἐπάνοδον αὐτῷ, ἢ εἰ δύναιτο καὶ διαφθείρειν· καὶ πρεσβείας πρὸς Κράλην πέμπων συχνὰς, καὶ Ἑλένην τὴν ἀδελφὴν Κράλῃ συνοικοῦσαν, παρῄνει Καντακουζηνὸν τὸν βασιλέα μὴ ἀνιέναι, ἀλλὰ δήσαντας ἐν δεσμωτηρίῳ φρουρεῖν, ἢ καὶ ἀποκτείνειν· οὕτω γὰρ ἂν ἐξέσται
B τὴν Ῥωμαίων ἔχειν ἀρχὴν ἀπονητί. Κράλῃς μὲν οὖν αὐτοῦ τὰς παραινέσεις φαύλας ἡγούμενος, οὐ παρεδέξατο, μάλιστα εἰς τοῦτο ἐναγούσης καὶ τῆς γυναικός. Ἐκεῖνος δὲ καὶ στρατιὰν πέμψας ὅσην ᾤετο ἀρκεῖν τοῖς ἐν Διδυμοτείχῳ πρὸς πολιορκίαν, ἐκέλευσε φυλάττειν παραστρατοπεδευσαμένους· πρόφασιν μὲν ὡς βοηθήσοντας ἐπὶ Ῥωμαίους τοὺς πολιορκοῦντας, τῇ δ' ἀληθείᾳ, ἵν' αὐτοὶ μᾶλλον ἀκριβέστερον πολιορκοῖεν. Ὅπερ δὴ καὶ κατὰ τὴν ἐκείνου γνώμην ἐτελεῖτο. Τῶν γὰρ Ῥωμαίων, συχνὰς μὲν ποιουμένων τὰς καταδρομὰς, τάχιστα δὲ ἀναχωρούντων, ἀδείας οἱ ἐν Διδυμοτείχῳ τυγχάνοντες, τὰς κατὰ Θράκην ἐλῄζοντο πόλεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ ἐκ τῆς ἁρπαγῆς καὶ
C λεηλασίας ἐποιοῦντο τὰς τοῦ βίου ἀφορμάς. Τῶν Μυσῶν δὲ ἐπελθόντων, καὶ συνεχῶς ἐπικειμένων ἐφ' ἡμέραις πλείσταις, εἰς στενὸν κομιδῇ περιέστη τὰ πράγματα αὐτοῖς, πάντων ἤδη κινδυνευόντων ὑπὸ τοῦ λιμοῦ διαφθαρῆναι· Μυσοὶ γὰρ ὁμοίως Ῥωμαίους τε ἐκώλυον τοῖς ἐν Διδυμοτείχῳ ἐπιέναι, καὶ αὐτοὺς τῆς πόλεως μὴ ἐξιέναι. Εἴ γάρ τινες ἐξίοιεν ἐφ' ἁρπαγήν, ὥσπερ εἰώθεσαν· (οὗτος γὰρ ἦν αὐτοῖς ἀναγκαιότατος πόρος πρὸς τὸ ζῆν) προστυγχάνοντες οἱ Μυσοὶ, πάντως δὲ οὐκ ἐνῆν διαλαθεῖν πολλὴν πρόνοιαν τούτους καὶ φροντίδα ποιουμένους, ἵππους τε ἀπεστέρουν, καὶ ὅπλα, καὶ γυμνοὺς ἠφίεσαν ἐπανήκειν πρὸς τὴν πόλιν. Εἰ δὲ προσαγγέλοιεν τοὺς ταῦτα πράττοντας οἱ ἐκ Διδυμοτείχου πρὸς τῆς
D στρατιᾶς τοὺς ἡγουμένους, οἱ δὲ μηδὲν εἰδέναι διετείνοντο, μηδὲ τῆς σφετέρας εἶναι στρατιᾶς τοὺς τολμῶντας τὰ τοιαῦτα, ἀλλὰ Ῥωμαίους· καὶ αὐτοὺς ἐπὶ ληστείᾳ περιϊόντας, ἐκέλευόν τε τὸ στρατόπεδον περιϊέναι, εἴ τι γένοιτο γνώρισμα λαβεῖν ἐκ τῶν ἀπολομένων, καὶ τὰ ἔσχατα ἠπείλουν διαθήσειν, εἴ τινα τοιοῦτον λάβοιεν. Τὰ δὲ ἦσαν οὐδαμοῦ· πρότερον γὰρ ἐξέπεμπον αὐτοὶ πρὸς Μυσίαν τοὺς τοιαῦτα εἰργασμένους. Τοῦτον μὲν οὖν τὸν τρόπον ἐν στενῷ κατέστησαν κομιδῇ τοὺς ἐν Διδυμοτείχῳ· πάνυ γὰρ ὑπὸ ἐνδείας ἐπιέσθησαν. Συνορῶσα δὲ ἤδη τὸν κίνδυνον ἡ βασιλὶς Εἰρήνη, ἀπανίστασθαι ἐκέλευε τῆς πόλεως, ὡς οὐκέτι δεομένης τῆς παρ' αὐτῶν ἐπικουρίας, ἀρκούσης ἤδη γεγενημένης· δι' ἣν οὐ βασιλεῖ μόνον τῷ αὐτῶν, ἀλλὰ καὶ αὐτοῖς χάριν ὁμολογεῖν πολλήν. Οἱ δὲ οὐδενὶ τρόπῳ ἔφασαν

Digitized by Google Распознавание текста ABK/FR

ἀναστήσεσθαι, ἀλλὰ διηνεκῶς αὐτόθι μενεῖν ἐπικου- A
ροῦντας· οὕτω γὰρ αὐτοῖς εἶναι προστεταγμένον
παρὰ βασιλέως τοῦ σφετέρου. Ἡ τοιαύτη δὲ ἀπολο-
γία πολλὴν ἐνέβαλε ταραχὴν καὶ πτοίαν τοῖς ἐν
Διδυμοτείχῳ· ἤδη γὰρ αὐτοῖς ἐφαίνετο ὁ ὅλεθρος
ἐλλείπων κατ' οὐδέν. Ὁ δὲ τῆς πόλεως ἀρχιερεὺς
ὁρῶν ἤδη κλονουμένους, καὶ πρὸς τὴν ὑπερβολὴν τῆς
δυσπραγίας ἐνδιδόντας, παελθὼν εἰς μέσους,
παρεθάρρυνε, καὶ οὐκ εἶα καταπίπτειν, κατὰ γνώ-
μην Θεῷ πάντα τὰ τῇδε πράττεσθαι εἰπών, καὶ τὰς
τοιαύτας ἐπηρείας ὑπ' ἐκείνου παρεχωρεῖσθαι, ἵνα
τὸ πρὸς βασιλέα φίλτρον ὑμῶν δοκιμασθῇ· ὃς ἥξει
τε μετὰ μικρὸν, καὶ πάντας ἀμείψεται ταῖς προση-
κούσαις εὐεργεσίαις. Μηδὲ γὰρ οἴεσθε ἐκεῖνον μὴ
κατὰ γνώμην βασιλεύειν Θεῷ· τοῦτο γὰρ αὐτὸς
σαφέστατα εἰδέναι. Ἀμφισβητῶν γὰρ ἔφασκεν ἐν B
ἀρχῇ περὶ ἐκείνου, εἰ μὴ κατ' εὐδοκίαν, ἀλλὰ μᾶλλον
κατὰ παραχώρησιν Θεοῦ εἰς τοῦτο ἦλθε σχήματος
ἰδίᾳ πειθόμενος ἐπιθυμίᾳ καὶ ὁρμῇ, καὶ δεδοικὼς
μὴ καὶ αὐτὸς συναπόλοιτο, τοῖς Θεῷ συνὼν βουλευ-
σαμένοις ἐναντία εὐχαῖς προσανέχειν, καὶ δέήσεσι
τὸ Θεῖον ἐκκλεῖσθαι, ὥστε διδαχθῆναι περὶ αὐτοῦ,
εἰ μὴ ὀργίζοιτο περὶ τῶν γινομένων. Ἐκκαλυφθῆναι
δὲ αὐτῷ παρὰ τοῦ πνεύματος ὅτι κατ' εὐδοκίαν
μᾶλλον εἴη τὸ βασιλεύειν Καντακουζηνὸν, ᾧ καὶ
πεισθέντα καὶ πᾶσαν ἀμφιβολίαν ἀποθέμενον ἐν
Διδυμοτείχῳ μένειν τῇ βουλήσει τοῦ Θεοῦ συναιρό-
μενον τὰ δυνατά. Οὐ γὰρ ἄν τις αὐτοῦ κατηγοροίη,
ὅτι τῶν ἐν τῷ παρόντι βίῳ τινὸς δέοιτο παρὰ βασι-
λέως· οὔτε γὰρ πρότερον, οὔτε μέχρι νῦν τοιούτου
τινὸς παρά τινος ἐδεήθη· καὶ αὐτοῖς παραινεῖν νυνὶ C
γενναίως ἵστασθαι πρὸς τῶν δεινῶν τὰς ἐπαγωγὰς,
ὡς οὐ μέχρι πολλοῦ τινος ἐσομένας, ἀλλ' ὀλίγῳ
ὕστερον λυθησομένας ζλεων αὐτοῖς ἐπιβλέψαντος
Θεοῦ· τοὺς γὰρ πολιορκοῦντας τούτοις Μυσοὺς ἐν
προσχήματι φιλίας καὶ τὴν παροῦσαν ἔνδειαν ἐπαγα-
γόντας ἐν ἑπτὰ ταῖς ἐσομέναις μάλιστα ἡμέραις
συμπατοῦντας ὄψεσθε ἀλλήλους, καὶ φυγῇ τὴν σωτη-
ρίαν ποριζομένους, καὶ τῶν περισχόντων ἀπαλλά-
ξεσθε δεινῶν. Ὁ μὲν οὖν μητροπολίτης τοιαῦτα
εἶπε, πᾶσι δὲ εὐθὺς ἐπῆλθε βελτίω προσδοκᾶν, καὶ
τῆς ἀθυμίας ἀπηλλάττοντο. Ἤιδεσαν γὰρ αὐτὸν τὰ
μέλλοντα εἰδέναι μᾶλλον, ἢ τὰ παρεληλυθότα ἕτερον,
καὶ ὡς προφητεύοντι προσεῖχον φανερῶς. Διηπόρουν
δὲ ὅτι ἂν εἴη τὸ Μυσοῖς αἴτιον ἐσόμενον φυγῆς. Ὁ D
δ' αὐτὸς ἀρχιερεὺς καὶ Ἀποκαύχῳ τῷ μεγάλῳ δουκὶ
ἔγραψε τοιαῦτα· ὡς ἀποροίη ὅτου ἕνεκα πεῖραν
αὐτοῦ πολλάκις ἐν πολλοῖς πρότερον ἐσχηκὼς, καὶ
τῶν εἰρημένων τὴν ἔκβασιν οὐκ εἰς μακρὰν, οὐδ'
εἰς ἕτερόν τινα, ἀλλ' εἰς ἑαυτὸν ἰδὼν σαφέστατα
γεγενημένην, νῦν ἀπιστοίη παντάπασι, καὶ λόγους
οἴοιτο εἰκῇ λεγομένους τὰ εἰρημένα ὑπ' αὐτοῦ.
Αὐτὸς δὲ καίτοι μὴ βουλομένῳ πείθεσθαι, οὐδὲν
ἧττον συμβουλεύσειν, ἃ αὐτῷ τε καὶ Ῥωμαίοις
ἅπασι λυσιτελήσειν οἴεται· ἐκκαλυφθῆναι γὰρ αὐτῷ
παρὰ Θεοῦ, ὡς οὐκ ἐκείνῳ μᾶλλον, ἀλλὰ Καντακου-
ζηνῷ τῷ πρὶν μὲν μεγάλῳ δομεστίκῳ, νυνὶ δὲ βα-
σιλεῖ γεγενημένῳ, τὸ τοῖς βασιλέως παισὶν ἐπιτρο-
πεύειν καὶ συμβασιλεύειν προστήκει. Διὸ καὶ δεδό-

hic fiunt, omnia divino nutu fieri, et hujusmodi
miserias atque clades Deum permittere, ut eorum
erga imperatorem amor illustretur, qui propediem
venturus et pro eo ac mereatur, unumquemque
remuneraturus sit. Non enim putandum, eum Deo
nolente imperare, imo volente, quod ipse norit
certissimo. Nam cum principio dubitaret num di-
vina voluntate, an indulgentiæ potius et cupiditati
suæ ac lubidini obsecutus, purpuram assumpsis-
set, timeretque ne si ab illis esset, quorum cogi-
tationes Deo contrariæ sunt, una cum illis etiam
periret, ad preces et vota incubuisse, divinumque
numen fatigasse ut se doceret, ecquid sibi ista
probarentur. Tum sibi per spiritum revelatum
placere Deo, Cantacuzenum imperare. Se vero
citra hæsitationem credidisse, et Didymotichi
manere, ut quantum possit, operam ac studia sua
cum divina voluntate conjungat. Neque enim a
quoquam se accusari posse, quasi quidpiam rerum
humanarum ab imperatore sibi quærat: usque
nunc enim nihil tale ab ullo quæsivisse. Et se illos
hortari, ut hoc tempore viriliter malis præsentibus
resistant, quæ Deo propitiis oculis respiciente,
brevi in nihilum casura sint. Mœsos quippe istos
obsessores, et obtentu amicitiæ præsentis auctores
inopiæ, septem omnino diebus futuris fuga salutem
petentes, atque inter se conculcantes visuros, et
quibus nunc circumdentur malis, fore liberos.
Hæc ut metropolita disseruit, omnes confestim
posita tristitia spem fortunæ melioris ingressi sunt.
Norant siquidem, perspectiora esse illi futura,
quam aliis præterita, et tanquam vati animos
eidem palam attendebant. Cur vero Mœsi fugam
facturi essent, de hoc ambigebant. Idem antistes
Apocaucho magno duci in hanc sententiam scri-
psit: Non videre se, quamobrem cui sui documenta
sæpe in multis habuisset, dictorumque suorum
eventum non in longum dilatum, nec ad alios,
sed ad se pertinuisse manifestissime sciret, nunc
penitus fidem sibi denegaret, et pro verbis ina-
nibus duceret, quæ dicerentur. Porro se, quan-
quam refraganti, nihilominus quæ cum ipsi, tum
Romano **539** imperio universo conducere sen-
tiret, suadere velle. Sibi enim a Deo indicatum,
non ipsi, verum Cantacuzeno, qui prius magni
domestici munus gessisset, nunc imperatori re-
nuntiato convenire imperatoris defuncti liberis
tutorem esse, et una cum illis imperare. Unde et
hoc ei divinitus datum: ipsi autem eidem sub-
esse, et rem navalem curare ac mari præsidere.
Monebatque ut datis contentus, septa ne trans-
siliret, atque ut se audiret, rogabat: haud enim
bene eventurum si contra divinum consilium
venerit. Se quoque principio potissimum creationis
Cantacuzeni factum ægrius ferentem, et cogitantem
ne forte aliud Deo videretur, precibus operam
dedisse et ab ipso his verbis doctum fuisse: Sic
volo, sic complacitum est, sic decerno, imperare
Joannem Cantacuzenum, fiat. Quæ igitur Deo

Digitized by Google Распознавание текста ABK/FR

complacuerunt, mortalium nemini fas esse irrita reddere conari, quia nec potest. Precabatur insuper, ne ista cuidam gloriationi et ostentationi virtutis ascriberet; non enim in id superbiæ barathrum decidisse, ut talia adversus Deum mentiatur, sed ad fructum multorum, inique adeo et contra omnem justitiæ legem bello pereuntium, et ad ipsum errore liberandum, dum se Cantacuzeno imperatore superiorem fore confidit, hæc dicta esse: quibus si paruerit, quantum operæ pretium fecerit, brevi intellecturum. Sin minus, tamen plane cogniturum, se amicum esse veritatis, a qua ista didicerit. Hactenus litteræ metropolitani Didymotichensis ad magnum ducem, quibus perspicue Cantacuzenum inimicos superaturum prænuntiavit. Iis ille perlectis nihil respondit. Cæterum non de imperatore solo multa istiusmodi, sed de privatis quoque nonnullis haud pauca vaticinatus est. Cum enim Michael Bryennius Pamphili præfectus, insidiis a populo esset appetitus, et Byzantium in vinculis adductus, et ab archontibus carcere damnatus, pauloque post a præfecto custodiæ parva de causa per insanum furorem adeo flagellis laceratus, ut pro mortuo haberetur, fama Didymotichum ad ejus propinquos volante, et illis episcopum rogitantibus, ut uxori necem mariti aperiret, quo reverentia et pudore illius cohibita, vitam sibi ad nuntium tam funestum ne abrumperet, episcopus Bryennium non esse mortuum dixit, **540** cæsum tam atrociter, ut ad saniem et inflammationes ex flagellatione coercendas, sale opus fuerit. Verumtamen adhuc vivere, et tam inhumaniter aliis de causis quibusdam secretioribus flagellatum esse, reditusque ad uxorem et liberos illam præcipue causam fore. Dimissum enim e carcere ad plagas curandas, Didymotichum fugam arrepturum. Tempore autem procedente et imperatore præsente, pro ipso in acie occubiturum. Quæ omnia exitus docuit. Absolutus namque a carcere Bryennius, ut a medicis curaretur, opportunitatem fugiendi nactus, domum incolumis pervenit; postea in pugna contra Momitzilum ante pedes imperatoris oppetiit. Tali gratia ille a Deo dignatus erat, et futura quasi quæ oculis conspiciuntur, præsciebat. Mœsi, qui ad Didymotichum castra habebant, haud diu post intelligentes e suis exploratoribus, Persas classem ad Hebri ostia appulisse, prae tumultu trepidi, invicem conculcantes (quod episcopus prædixerat) aufugiebant, nec ubi terrarum se abscondissent, apparebat. Didymotichenses fugæ causam ignorantes, mirari quid ita turbarent Mœsi. Parvo temporis intervallo nuntiatur, Amurium filium Aitinæ, Cantacuzeni longe amantissimum, qui multa antea suæ in illum voluntatis charitatisque argumenta dederat (ob illum quippe etiam imperatorem Andronicum juniorem bello adversus Phocæam et Lesbum juverat), cum accepisset gravibus conflictantem infortuniis, totoque Romano imperio

σθαι παρὰ Θεοῦ· ἐκείνῳ δὲ ὑπ' ἐκεῖνον εἶναι καὶ περὶ ναῦς ἀσχολεῖσθαι καὶ θαλασσοκρατεῖν. Συνεβούλευέ τε ἔχεσθαι τῶν δεδομένων, καὶ μὴ ὑπὲρ τὰ ἐσχαμμένα πηδᾶν, καὶ ἐδεῖτο πείθεσθαι· μηδὲ γὰρ ἂν εἰς τέλος ἥξειν ἀγαθὸν αὐτῷ τὸ τοῖς βεβουλευμένοις ἀνθίστασθαι Θεῷ. Καὶ αὐτὸς γὰρ ἐν ἀρχῇ μάλιστα ἔφασκε τῆς ἀναῤῥήσεως Καντακουζηνοῦ τοῦ βασιλέως περὶ τῶν πραττομένων δυσχεραίνων, καὶ λογιζόμενος, εἰ μὴ κατὰ γνώμην εἴη Θεῷ τὰ εἰργασμένα, καὶ διὰ τοῦτο δεήσεσι προσκείμενος καὶ ἱκεσίαις, ἐκδιδαχθῆναι παρὰ Θεοῦ αὐταῖς λέξεσιν, ὡς Θέλω, εὐδοκῶ, ὁρίζω βασιλεύειν Ἰωάννην τὸν Καντακουζηνόν, καὶ γενέσθω. Ἃ τοίνυν ὁ Θεὸς εὐδόκησεν, οὐδένα δίκαιον ἀνθρώπων πειρᾶσθαι καταλύειν, ὅτι μηδὲ δυνατόν· ἠξίου τε μὴ κόμπον τὰ τοιαῦτα οἴεσθαι καὶ ἄλλως ἐπίδειξιν ἀρετῆς· μηδὲ γὰρ ἂν εἰς τοσοῦτον ἀπονοίας βάραθρον ἐληλακέναι, ὡς τοιαῦτα καταψεύδεσθαι Θεοῦ· ἀλλὰ τῆς τε ὠφελείας τῶν πολλῶν, ἀδίκως οὕτω καὶ παρὰ πάντα τοῦ δικαίου νόμον ἀπολλυμένων ὑπὸ τοῦ πολέμου, καὶ τοῦ αὐτὸν ἐξελέσθαι, ὑφ' ἧς κατέχεται ἀπάτης, οἰόμενον Καντακουζηνοῦ τοῦ βασιλέως περιγενήσεσθαι εἰρῆσθαι τὰ τοιαῦτα· οἷς εἰ πεισθείη, εἴσεται τὴν ὠφέλειαν οὐκ ἐν μακρῷ· εἰ δ' οὐ πεισθείη, πάντως εἴσεται ὡς ὀληθείας φίλος αὐτὸς καὶ παρ' ἐκείνης τὰ τοιαῦτα δεδιδαγμένος. Τοιαῦτα μὲν ὁ Διδυμοτείχου ἔγραφε πρὸς μέγαν δοῦκα, διαῤῥήδην περὶ Καντακουζηνοῦ τοῦ βασιλέως προλέγων, ὡς τῶν ἀδικούντων περιέσται. Ἐκεῖνος δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, οὐδὲν πλέον ἀπεκρίνατο. Οὐ περὶ βασιλέως δὲ μόνον ἐκεῖνος πολλὰ τοιαῦτα προηγόρευεν, ἀλλὰ καὶ περὶ ἰδιωτῶν τινων οὐκ ὀλίγα. Βρυεννίου γὰρ τοῦ Μιχαὴλ, Παμφίλου ἄρχοντος, ἐπιβουλευθέντος τε ὑπὸ τοῦ δήμου, καὶ δεσμώτου εἰς Βυζάντιον ἀπαχθέντος, δεσμωτήριόν τε ὑπὸ τῶν ἀρχόντων οἰκεῖν κατεψηφισμένου, ἐπεὶ χρόνῳ ὕστερον μικρᾶς τινος ἕνεκα αἰτίας ὁ τῆς φρουρᾶς ἄρχων, ὑπὸ μανίας ἀλόγου καὶ θυμοῦ, εἰς τοσοῦτον ἠκίσατο σφοδρῶς, ὡς νομισθῆναι καὶ ἀποθανεῖν, πρὸς τοῖς οἰκείοις ἐν Διδυμοτείχῳ τῆς φήμης διαδραμούσης, κἀκείνων τοῦ ἀρχιερέως δεομένων ἀπαγγέλλειν τῇ γυναικὶ τοῦ ἀνδρὸς τὴν τελευτὴν, ἵν' ὑπὸ τῆς πρὸς ἐκεῖνον αἰδοῦς κατεχομένη, μὴ τὴν ψυχὴν ἀποῤῥήξῃ πρὸς τὴν ἀγγελίαν, ἐκείνος οὔτε τετελευτηκέναι ἔφασκε Βρυέννιον, ἀλλὰ ζῆν· τετύφθαι μέντοι εἰς τοσοῦτον ἀπανθρωπίας, ὡς καὶ ἀλῶν δεηθῆναι τὰς σηπεδόνας καὶ φλεγμονὰς τὰς ἐκ τῶν μαστίγων καταστλούντων· μὴ μέν τοί γε ἀποθανεῖν, ἀλλὰ ζῆν, καὶ τὴν ἀπανθρωπίαν τῶν αἰκισαμένων, ἄλλων τε τινῶν ἀποῤῥητοτέρων ἕνεκα αὐτῷ ἐπενεχθῆναι, καὶ τῆς εἰς παῖδας καὶ γυναῖκα ἐπανόδου αἰτία μάλιστα ἐκείνη ἔσται. Τοῦ δεσμωτηρίου γὰρ ἀπολυθεὶς ἐπὶ τῷ ἰᾶσθαι τὰς πληγὰς, διαδρὰς ἀφίξεται ἐνθάδε· χρόνῳ δὲ ὕστερον καὶ βασιλέως παρόντος, πεσεῖται μαχόμενος ὑπὲρ αὐτοῦ. Ἃ πάντα ὕστερον κατὰ τὴν ἐκείνου πρόῤῥησιν ἀπέβαινεν. Ἀφεθεὶς γὰρ τοῦ δεσμωτηρίου ὁ Βρυέννιος ἐπὶ τῷ προνοίας τινὸς τυχεῖν παρὰ τῶν ἰατρῶν, καιροῦ τυχὼν διεσώζετο, οἴκαδε διαδρᾶναι δυνηθείς· ὕστερον δὲ, ἐν τῇ πρὸς Μομιτζίλον μάχῃ ἔπεσε μα-

Digitized by Google Распознавание текста ABK/FR

χόμενος ἐπίπροσθεν βασιλέως. Τοιαύτης ἦν ἐκεῖνος χάριτος ἠξιωμένος παρὰ Θεῷ, καὶ τὰ ἐσόμενα ὡς ὁρώμενα προῄδει. Οἱ μέν τοι Μυσοὶ οἱ περὶ Διδυμότειχον ἐστρατοπεδευμένοι μετὰ μικρὸν παρὰ τῶν σφετέρων πυθόμενοι σκοπῶν, ὡς πλῆθος Περσικῶν νεῶν τῇ τοῦ Ἕβρου προσέσχεν ἐκβολῇ, ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἀλλήλους συμπατοῦντες τὴν ἀρχιερέως πρόῤῥησιν τάχιστα ἀνεχώρουν, καὶ ὅποι γῆς κατεδύοντο ἀγνοούμενοι. Οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν αἰτίαν ἀγνοοῦντες τῆς φυγῆς, ἐθαύμαζον ὅ τι ποτ' ἂν εἴη τὸ οὕτω θορυβῆσαν τοὺς Μυσούς. Μετὰ μικρὸν δὲ ἠγγέλλετο ὡς Ἀμοὺρ ὁ τοῦ Αἰτίνη φίλος ὢν ἐς τὰ μάλιστα Καντακουζηνῷ τῷ βασιλεῖ, καὶ πολλὰς ἀποδείξεις τῆς εἰς αὐτὸν εὐνοίας καὶ πρότερον παρεσχημένος, δι' ἐκεῖνον γὰρ καὶ βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν κατὰ Φωκαίας καὶ Λέσβου πόλεμον συνεπολέμησε, πεπυσμένος περὶ αὐτοῦ, ὡς μεγάλης χρήσαιτο κακοπραγίας, κοινῇ τῶν Ῥωμαίων αὐτῷ πάντων ἐκπολεμωθέντων, καὶ αὐτὸς μὲν ᾤχετο ἐς Τριβαλοὺς φυγάς, Διδυμότειχον δὲ ὁ μόνον καταλέλειπτο γυναικί τε καὶ τέκνοις καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσι φίλοις καταφυγή, δεινῶς ὑπὸ τῆς συχνῆς πολιορκίας ὑπὸ ἐνδείας ἐπιέσθη, καὶ κινδυνεύει τὸ τοῦ φίλου σκάφος αὐτανδρον ἀπολωλέναι, ὀγδοήκοντα καὶ τριακοσίας ναῦς τὰς συμπάσας ὁμοῦ παραλαβών, καὶ μείζους καὶ ἐλάσσους, ἐν αἷς ἐνακισχίλιοι πρὸς δισμυρίους ἐπιβάται κατελέγοντο, παρὰ τὸ τοῦ Ἕβρου στόμα προσέσχε. Πέμψας δὲ καὶ ἐκεῖνος πρίσβεις πρὸς Εἰρήνην τὴν βασιλίδα, ἀπήγγελλε τὰ ἴσα· ἐδήλου τε ὅτι ἥξει καὶ αὐτὸς μετὰ μικρόν. Εἰρήνη δὲ ἡ βασιλὶς, τούς τε στρατιώτας ἔπεμπεν, ὅσοι ἦσαν καὶ τοὺς ἄλλου· τῶν εὐγενεστέρων εἰς ὑπάντησιν ἐκείνου, καὶ ἵππους ἑκατὸν, ὡς ἂν αὐτός τε χρήσαιτο, καὶ μὴ πεζῇ βαδίζῃ, καὶ τοῖς ἄλλοις διαδῷ. Ἀπήγγελλόν τε οἱ κεκομικότες, μὴ μέμφεσθαι τῆς ὀλιγότητος, ὡς διὰ τὸν περισχόντα πόλεμον, αὐτῶν μᾶλλον ἵππων δεομένων, καὶ διὰ τοῦτο τῶν παρόντων οὐ πλείους παρέχεσθαι δεδυνημένων. Τοὺς μὲν οὖν ἵππους ἐδέξατο ἀσμένως, καὶ βασιλίδι χάριτας τῆς εὐεργεσίας ὡμολόγει· διέδωκε δὲ τοῖς εὐγενεστέροις τῶν Περσῶν, καὶ μάλιστα προήκουσι καθ' ἡλικίαν. Ἐρόμενος δὲ περὶ τοῦ φίλου βασιλέως εἰ ζῇ, πολλὰ στενάζων, καὶ δάκρυα τῶν ὀφθαλμῶν ὑπὸ συμπαθείας ἀφιείς, ἐπεὶ ἐπύθετο ζῆν Θεοῦ βουλο-

eidem infesto ad Triballos profugisse, et Didymotichum, quæ sola uxori, liberis, amicorumque reliquiis perfugium relinquebatur, propter obsidionem extrema inopia premi, parumque abesse, quin navis amici cum ipsis vectoribus submergatur (16), deductis numero trecentis octoginta navibus majoribus, et minoribus, et in undetriginta millibus impositis (17), ad Hebri ostia applicuit: atque hæc missis ad Irenen imperatricem nuntiis, simulque semet mox affuturum significavit. Irene omnes præsidiarios et nobiles ei obviam mittit; equos præterea centum, quorum uno ipse uteretur, ne pedibus incederet, reliquos comitibus distribueret. Renuntiabant autem qui illos ducebant, non debere ea paucitate offendi: nam propter præsens bellum equorum raritate laborari, atque ideo plures his suppeditare nequivisse. **541** Equos Amurius non invitus accepit, et imperatrici pro ista gratia grates egit, interque Persas nobiliores, ac præsertim ætate provectiores dispertivit. Percunctatus autem de charo sibi imperatore num viveret, idque multa gemens, et lacrymans, ex commiseratione videlicet, ubi audivit eum Dei beneficio superstitem esse, primum quidem Numini laudes dixit, cujus ope ad tuendum illum ipse cum suis tam prompti ac magnanimi essent; deinde illis quoque eadem de causa gratias egit, et se multa atque eximia debere pronuntiavit, qui tam variis et ingentibus sese pro illo discriminibus obtulissent, stipatusque bis mille selectis militibus ad urbem pedibus et ipse processit. Orantibus qui Didymoticho obviam prodierant, ut equo uteretur, et alios insuper extra centum illos subministrantibus, non est motus, duo millia nobiliorum esse dicens, dignos in primis qui equitarent. Quia vero qui in tantum numerum distribuerentur non sufficerent, præstare, et se peditem incedere, laboremque communicantem, viæ molestiam illis leviorem reddere (18). Ita Didymotichum venit, ubi paucos dies moratus, quibus Didymotichenses Thraciæ pagos deprædantes sibi victum conquirere oportebat, postquam negotium ex sententia transegerunt, magnumque frumenti numerum, et alia ad victum idonea cum peco e

Jacobi Pontani notæ.

(16) Id est, *quin Cantacuzenus una cum suis omnibus intereat*. Conditionem ac statum suum navi seu navigationi, et adversam conditionem sive sortem infelici navigationi, ac tempestati naufragioque comparare, usitatum est bonis scriptoribus tum poetis, tum oratoribus, quod hic Amurius Cantacuzeno facit. Naves porro quæ cum vectoribus aut deprimuntur, aut capiuntur, Græcos nunc voce juncta αὐτάνδρους, nunc separatis vocibus, σὺν τοῖς ἀνδράσιν dixisse, ostendit Victorius lib. XXV, cap. 8.

(17) Trecentis navibus tantum numerum imposuit. Sed ex sequentibus triginta unum millia colliguntur. Si enim jussit sequi se viginti millia, cum selectis mille quingentis, et novem millia quingentos ad navium custodiam reliquit, ergo summa conficit triginta unum. Sed vel erratum librarii est in numero, vel auctor lapsus est memoria.

(18) Laudabile factum Amurii, exæquantis se militibus suis, dum equo repudiato, una cum illis pedibus incedit. In VI *Æneid.* poeta Æneam cum Trojanis suis arbores cedentem, et ad Miseni cadaver cremandum advolventem facit:

Necnon Æneas opera inter talia primus
Hortatur socios, paribusque accingitur armis.

In quem locum sat multa adduximus in symbolis nostris, quibus demonstraremus, duces et imperatores, qui sese militibus nonnumquam, velut obliti, atque immemores suæ personæ ac dignitatis, ferendis laboribus, atque oneribus, aliisque rebus vilibus obeundis ac patiendis exæquassent, magnam laudem adeptos.

Digitized by Google Распознавание текста ABBYY FR

in urbem intulerunt, mandavit ut quidquid in tentoriis suis prædarum esset, Didymotichensibus donaretur. Curatum ut mandarat. Præterea quingentos ex selectis illis duorum millium segregatos, et de reliquo exercitu novem millia ad naves in reditum suum custodiendos misit : cæteros ad vicena millia, præter mille quingentos selectos, sequi jussit, ad imperatorem profecturus. Ambulabat igitur ipse, et reliqui universi, demptis centum illis, qui senectutis imbecillitate pedibus ingredi non poterant. Cumque ad murum juxta Christopolim venissent, quoniam qui illic in præsidio erant, adversus tantas copias nil valebant, stationem ipsis deserentibus, Persæ multis locis eo perfosso transierunt, et non procul inde noctem duxerunt.

A μένου, πρῶτα μὲν ὡμολόγει χάριτας Θεῷ, πολλὴν αὐτοῖς τὴν πρόνοιαν καὶ τόλμαν ὑπὲρ βασιλέως παρεσχημένῳ. Ἔπειτα δὲ καὶ αὐτοῖς τῶν αὐτῶν ἕνεκα καὶ χάριτας ὡμολόγει, καὶ πολλῶν καὶ μεγάλων ὀφειλέτην ἑαυτὸν ἀπέφαινεν, ὡς κινδύνους μεγάλους καὶ πολλοὺς ὑπὲρ ἐκείνου ἐνεγκοῦσι· τὴν στρατιάν τε παραλαβὼν, πεζὸς ἐχώρει καὶ αὐτὸς εἰς Διδυμότειχον, δισχιλίους λογάδας ἔχων περὶ ἑαυτόν. Δεομένων δὲ τῶν ἐκ Διδυμοτείχου ἵππῳ χρῆσθαι, καὶ παρεχομένων καὶ ἑτέρους πρὸς τοῖς ἑκατὸν οὐκ ἐπείθετο αὐτὸς, δισχιλίους εἶναι φάμενος τοὺς εὐγενεστέρους, καὶ μάλιστα ἀξίους ἵπποις χρῆσθαι. Ἐπεὶ δὲ μὴ εὐπορίᾳ πᾶσι διαδοῦναι, βέλτιον πεζεύειν καὶ αὐτὸν, ἐν τῷ συμπονεῖν αὐτοῖς ῥᾴω καὶ φορητοτέραν τὴν ἐκ τῆς ὁδοῦ ποιοῦντα ταλαιπωρίαν. Οὕτω μὲν οὖν μέχρι καὶ Διδυμοτείχου ἦλθεν· ἡμέρα, δὲ περιμείνας οὐ πολλὰς ἐν αἷς ἔδει τοὺς εἰς Διδυμότειχον, τὰς κατὰ Θρᾴκην πορθοῦσι κώμας σῖτον πορίζειν ἑαυτοῖς, ἐπεὶ ἐπράττετο αὐτοῖς τὰ κατὰ γνώμην, καὶ σῖτον εἰσεκομίζοντο πολὺν, καὶ τὰ ἄλλα ἐπιτήδεια, καὶ βοσκήματα ἐκέλευεν, ὅσα ἦσαν ἐν τῷ στρατοπέδῳ τῷ σφετέρῳ ἐκ τῆς λείας τοῖς ἐν Διδυμοτείχῳ παρέχειν· καὶ ἐπράττετο ᾗ προσέταττεν ἐκεῖνος. Πεντακοσίους τε ἐκ δισχιλίων ἐκείνων λογάδων ἀπολεξάμενος, καὶ ἐννακισχιλίους ἐκ τῆς ἄλλης στρατιᾶς, ἔπεμπεν εἰς τὰς ναῦς, φρουρήσοντας ἄχρις ἐπανήξει· τὸ δὲ λοιπὸν στρατόπεδον εἰς δισμυρίους ὄντας ἐπὶ πεντακοσίοις καὶ χιλίοις τοῖς λογάσιν, ἕπεσθαι ἐκέλευεν, ὡς ἐκεῖσε ἀφιξόμενος ἔνθα διατρίβει βασιλεύς. Ἦσαν οὖν ἅπαντες καὶ αὐτὸς πεζῇ, πλὴν τὴν τῶν ἑκατὸν ἐκείνων, ἀδυνάτων ὄντων πεζεύειν διὰ γῆρας. Καὶ γενόμενοι παρὰ τὸ ἐν Χριστουπόλει τείχισμα, ἐπεὶ ἀντέχειν οὐχ οἷοί τε ἦσαν οἱ φρουροῦντες πρὸς τοσαύτην δύναμιν, πολλαχοῦ διατεμόντες ἐκείνων ἐκλιπόντων, διέβησάν τε, καὶ ηὐλίσαν ἐγγὺς τὴν νύκτα.

542 CAPUT LVII.

Pheræi Amurium commentitiis litteris circumscribunt. Quingenti Persæ mortui frigore præter captivos. Amurius domum redit. Didymotichenses prædones præ frigore ad hostes confugientes quomodo habiti. Oppida se imperatrici dedere cupientia, cur non recipiantur. Angores et sollicitudines Cantacuzeni, cui Arbenus homo obscurus auxilium spondet et de Berrhœa acquirenda consilium dat. Cralis in ea re gratificandi propensa voluntas. Quibus de causis facta deditio. Ad imperatorem legati, qui eum aversant. Admonitio Cralenæ de non cunctando.

Pheræi, postquam nuntiatum est, Persarum copias per ipsos transituras, vastitatem agro suo metuentes, adhæc odio in imperatorem id inique ferentes (ne quid videlicet a Persis adjuvaretur), summo duci verba danda censuerunt, litterasque commentitias sub persona imperatoris ad eum miserunt. Iis secundum salutationem gratiæ Amurio singulares de studio erga se agebantur, ex quo multos ejus causa labores, ac sumptus tolerasset. Deinde hortabatur, uti ex eo loco, in quo epistolam acciperet, retro abiret, ne imprudens noceret, dum prodesse cuperet. Se enim in extimis Triballorum finibus versari, unde jam redire non sit proclive. Si ipsi per mediam Pheræorum regionem proficiscantur, timendum, ne princeps Triballus præsentem amicitiam in iram, et odium vertens, male sibi faciat, ut qui bellum cum barbaris, ac pestem ei crearit. Hæc litteris præscribebantur. Quas cum Amurius legisset, nihil subesse fraudis suspicans, sed revera ab imperatore missas existimans, huc illuc perplexus versabat animum, revertereturne, sicut monebatur, an ad Cantacuzenum porro pergeret, quem cum tam ingenti agmine perquirere, rursus difficile, et operosum esset. Hæc illum per noctem secum volutantem, exorta subito frigoris immensitas, ducentis per

B Φεραῖοι δὲ πυθόμενοι περὶ τῆς στρατιᾶς τῆς Περσικῆς ὅτι μέλλει διιέναι κατ' αὐτοὺς, καὶ τὴν τε βλάβην δείσαντες, ἣν κακώσειν ἔμελλεν αὐτοῖς τὴν χώραν, ἄλλως τε καὶ μίσει τῷ πρὸς βασιλέα δυσχεραίνοντες μὴ ὑπὸ τῶν Περσῶν ὠφεληθῇ, ἔγνωσαν δεῖν παράγειν τὸν ἄρχοντα τῆς στρατιᾶς, καὶ γράμματα πλασάμενοι ὡς ἐκ βασιλέως ἔπεμπον πρὸς αὐτόν. Ἃ μετὰ τὸ προσαγορεύειν, πολλὴν ὁμολογοῦντα χάριν τῇ εἰς αὐτὸν εὐνοίας, ὅτι πολλὴν ὑπέμεινε καὶ πόνον καὶ δαπάνην δι' αὐτὸν, ἔπειτα ἐκέλευεν ἀναστρέφειν· ἐξ οὗπερ ἂν ἐγγένοιτο τοῖς γράμμασι τόπου περιτυχεῖν, μὴ καὶ ἄκων βλάψῃ νομίζων ὠφελεῖν. Ἐκεῖνον γὰρ ἐν ἐσχατιαῖς τῆς Τριβαλῶν διατρίβειν γῆς, ὅθεν οὐ ῥᾴδιον ἐπανελθεῖν νυνί. Εἰ δ' αὐτοὶ χωροῖεν πρὸς C ἐκεῖνον διὰ μέσης τῆς γῆς τῶν Τριβαλῶν, δέος μὴ αὐτῶν ὁ ἄρχων ἀντὶ φιλίας, ἣν ἐνδείκνυνται πρὸς αὐτὸν νυνὶ, πρὸς ἔχθραν καὶ ὀργὴν μεταστραφῇ, καὶ διάθηται κακῶς, ὡς αἴτιον πολέμου βαρβαρικοῦ, καὶ φθορᾶς αὐτῷ γεγενημένον. Τοιαῦτα μὲν οὖν τὰ γράμματα ἐκέλευεν. Ἀμοὺρ δὲ ἐπεὶ ἀνέγνω, τῶν μὲν συνεσκευασμένων ὑπώπτευεν οὐδέν· νομίσας δὲ ἐκ βασιλέως εἶναι ἀληθῶς, ἀμφιβόλοις λογισμοῖς ἐπάλαιεν, εἰ δεῖ ἀναστρέφειν κατὰ τὰ κεκελευσμένα, ἢ ἥκειν πρὸς αὐτὸν, ὡς δυσχερὴς ἐν αὖθις εἰς ἀναζήτησιν ἐκείνου μετὰ τοσαύτης στρα-

Digitized by Google Распознавание текста АВК/FR

τιᾶς ἐλθεῖν. Τοιαῦτα δὲ αὐτῷ λογιζομένῳ τῆς νυκτὸς, χειμὼν ἐξαίσιος ἐπιγενόμενος, ὡς καὶ διακοσίους τῷ στρατοπέδῳ ὑπὸ κρύους ἐναποθανεῖν, ἠνάγκασεν ἀναστρέφειν, πολλὰ καὶ τῶν γραμμάτων πρὸς τὴν ἐπάνοδον συναραμένων. Ἐλθὼν δὲ εἰς Βήραν, ἔνθα αὐτῷ ὡρμίζοντο αἱ νῆες κατὰ τὸν Ἕβρον ποταμὸν, εὗρε κατ' ἐκείνην τὴν νύκτα καὶ τῶν ἐν ταῖς ναυσὶ τριακοσίους ἀποθανόντας· αἰχμαλώτων δὲ πλὴν ὀλίγων, πάντας, ὀλίγους ὄντας καὶ αὐτοὺς διὰ τὸ μὴ τὴν στρατιὰν πρὸς λείαν ἐπιπλέον διασκεδασθῆναι τῆς προκειμένης ἕνεκα στρατείας Ἀμοὺρ τὸν σατράπην οὐκ ἐᾷν. Εἰς Διδυμότειχον δὲ πρὸς βασιλίδα τὴν Εἰρήνην γράμμασι δηλώσας τῆς ἐπανόδου τὴν ἀνάγκην, καὶ παραιτησάμενος, ὡς διὰ τὸν χειμῶνα μὴ πρὸς αὐτὴν ἐπανήκει προσκυνήσων, ἀπέπλευσεν εἰς τὴν οἰκείαν. Μετὰ δὲ τοῦτο, ἐπεὶ ὁ χειμὼν ἐπεκράτει σφοδρότατος κατ' ἐκεῖνο τοῦ ἔτους, οἱ ἐκ Βυζαντίου, καὶ τῆς ἄλλης Θράκης ἡσύχαζον, καὶ οὐκ ἐπῄεσαν τοῖς ἐν Διδυμοτείχῳ· ἀλλ' ἀναγκαίως διεχείμαζον ἐν ταῖς οἰκίαις. Ἐκεῖνοι δὲ ὑπ' ἐνδείας ἀναγκαζόμενοι καὶ τῶν ἄλλοις φοβερωτάτων κατατολμᾶν, πεζοί τε ὀλίγῳ πλείους διακόσιοι, καὶ ἱππεῖς ἐλάττους τούτων, πρὸς ἁρπαγὴν, τῆς πόλεως ἐξελθόντες, οὕτως ὑπὸ σφοδροῦ κατελήφθησαν χειμῶνος, ὡς ἀναγκασθῆναι αὐτόμολοι πρὸς τοὺς πολεμίους ἀφικέσθαι, ἐκλείποντες ἤδη ὑπὸ κρύους. Οἱ μὲν οὖν πεζοὶ πάντες, ὁμοῦ πρὸς Λιτιτζαν πολίχνην ἐλθόντες, ἐπεὶ ὁ τῆς πόλεως ἄρχων, τὰ βασιλέως κρύφα ἠρημένος ἦν, ἐν μιᾷ οἰκίᾳ τοὺς ἄνδρας κατακλείσας, ὡς φρουρεῖσθαι δῆθεν πυρί τε ἀνακτησάμενος, καὶ τῇ ἄλλῃ τῶν ἀναγκαίων χορηγίᾳ, μετὰ τρίτην ἡμέραν, ἐκὼν εἶναι, ἐνεδίδου αὐτοῖς πρὸς τὸν δρασμόν· καὶ διαδράντες ὁμοῦ πάντες σὺν θεῷ εἰς Διδυμότειχον ἐπανῆκον. Ὅθεν καὶ αἰτίαν ἔσχε παρὰ τοῖς πολεμοῦσι βασιλεῖ. Οἱ μέν τοί γε ἱππεῖς ἄλλοι ἄλλοσε διασκεδασθέντες, οἱ μὲν, καὶ φιλανθρώπου τινὸς ἐπέτυχον ξενίας, καὶ ἀπαθεῖς κακῶν πρὸς τὰς οἰκίας ἐπανῆκον, τῶν βασιλέως φίλων πρὸς τὴν σωτηρίαν συναραμένων· οἱ πλείους δὲ αὐτῶν, ὀλίγῳ προσηνέστερον ἐξενίσθησαν παρὰ τῶν ὑποδεξαμένων, ἢ οἱ περὶ Ὀδυσσέα παρὰ Κύκλόπος. Ἀπέθανε μέν τοι ἐξ αὐτῶν οὐδείς, ἀλλὰ χρόνων ὕστερον κατ' ὀλίγους εἰς Διδυμότειχον αὖθις ἐπανῆκον γυμνοὶ μετὰ πεῖραν ἀλγεινῶν πολλῶν. Ἔαρος δὲ ἤδη ἀρχομένου, οἵ τε ἐκ Διδυμοτείχου ἐπῄεσαν ταῖς κατὰ Θράκην πόλεσι, καὶ κακῶς ἐποίουν λῃζόμενοι, ὡς καὶ πολλὰς αὐτῶν πρὸς τὰς συνεχεῖς ἐφόδους καὶ τὰς ληστείας ἀπειρηκυίας, τῇ βασιλίδι Εἰρήνῃ ἐθέλειν προσχωρεῖν· κἂν οἱ ἐν Διδυμοτείχῳ μὴ ἐδέχοντο, ἀπολεῖσθαι φάσκοντες εἰ πείθοιντο. Οὔτε γὰρ εὐπορεῖν φρουρῶν οἱ αὐτὰς φυλάξουσιν, αὐτοί τε λιμῷ ταλαιπωρήσειν

castra enectis, ad reversionem compulit, eodem litteris eum vehementer incitantibus. Ut Beram attigit, ubi naves subductæ stabant in Hebro flumine, invenit eadem nocte mortuos vectores trecentos captivosque demptis paucis, omnes: quanquam et ipsi erant pauci numero, quod Amurius ipse militem propter propositam expeditionem prædabundum amplius discurrere non pateretur. Exarata porro ad Irenem imperatricem epistola qua necessitatem reditus sui declarabat, et simul veniam petebat, quo asperitate frigoris impeditus, ad ei valedicendum non reverteretur, pelago 543 remenso domum discessit. Post quia illo anno hiems intoleranda sæviebat, Byzantii, et reliqui Thraces Didymotichensibus incursandis abstinentes, volentes nolentes in sua loca hiematum recesserunt. At illi rerum egestate coacti, quamvis maxime cæteris formidanda audere peditesque aliquando plures ducentis, et equites his pauciores ad prædandum egressi, frigorum vi sic afflictati sunt, ut jam viribus deficientes, ultro ad hostes confugere compellerentur. Cum itaque pedites simul in oppidulum Lititzam venissent, quoniam præfectus occulte Cantacuzeno favebat, in unis ædibus, quasi in custodia conclusis, et luculento foco aliisque necessariis recreatis, post diem tertium libens fugiendi copiam fecit; qui simul omnes Didymotichum redierunt. Indę hospes ille apud inimicos imperatoris in crimine fuit. Verum equitibus aliis alio dispersis, nonnulli et benignum hospitium repererunt, et sine noxia domum revenerunt, amicis imperatoris eorum saluti opitulantibus: plures autem paulo humanius, quam illi in Odyssea a Cyclope accepti sunt (19). Nemo quidem ab iis jugulatus est; sed post aliquod tempus panci, nudi, et multa perpessu acerba experti, Didymotichum revenerunt. Vere jam ridente, Didymotichenses Thraciæ oppida adoriri ac depopulari, ut eorum complura assiduis impressionibus ac deprædationibus fatigata ac desperantia ad imperatricem Irenem transire vellent, etsi a Didymotichensibus non reciperentur, sibi pereundum dicentibus, si annuerent. Non enim abundare præsidiariis, quos ipsis tutandis darent, et se fame cruciatum iri, nisi vicinos deprædari liceret; aliud enim nullum suppetere ad vitam tolerandam subsidium. Byzantii vero urbem, quantum poterant, affligebant, et Cantacuzenus imperator iterum eodem redire parabat, cui Crales auxilium, sed nec magnum et ignavum adjungebat. Quare variis distractus cogitationibus, plenus erat dubitationis, ecquid reformata Romanorum potentia in Triballos rediret, an cum tam exiguo timi-

Jacobi Pontani notæ.

(19) Vide *Odyss.* η, quemadmodum tractentur a Polyphemo Ulyssis socii. Vide etiam extremum tertium *Æneid.* et, si placebit, Ovid. XIV *Metamorph.* ab eo loco, *Quid mihi tunc animi*, etc.

Paulo humanius fuisse habitos dicit, quasi diceret, tantum non etiam ab illis devorati sunt, quod sociis Ulyssis faciebat illud monstrum horrendum, informe, ingens. Visceribus enim miserorum, et sanguine atro vescebatur.

Digitized by Google Распознавание текста ABK/FR

dorum numero toti se imperio objectaret. Sed præcipua quam sentiebat difficultas erat, quod absumpta jam, quam domo attulerat pecunia, in tam multos, quos ducebat (omnes enim ejus impensa vixerant, ad duos annos quibus Romanorum pulsi finibus exsularant), et honoris causa **544** etiam in Triballorum duces, quid ageret non videbat, si per hostium loca Didymothicum petere non liceret. Nec enim inde dabatur afferendam curare pecuniam, nec a Triballis fœnori sumere: quorum pars omnimodis servirent, pars et in summa paupertate viverent, et si non egerent, mutuum dare nollent, quod imperatorem majoribus semper cumulari miseriis aspicerent, metuerentque, ne in ipso itinere penitus interiret. Quocirca curis gravissimis jactabatur, inopiam et inevitabile periculum reputans, quæ se, et suos oppressura essent. Verumtamen nulli se aperiens, Deum solum precabatur, qui hujusmodi rebus finem dare potis est. Ecce autem quidam Arbenus nomine, Clereno, antea Romanis subjecto oppido, oriundus, accedit, patrisque sui erga imperatorem benevolentiam rememorans, nihilo minus et se aiebat velle illi inservire, eique prodesse quantum maxime posset. Nec mirandum, si tam claro genere prognato, tam admirabili et magno viro, ipse homo abjectus, et perobscurus opem promitteret: siquidem, et mus aliquando, ut esset in fabulis (20), leonem multis, durisque vinculis liberasset. Suadebat igitur, ut quoniam a Crale missus esset, ut cum Berrhœotis de urbe tradenda ageret, et multis promissis eo induceret, si vellet ipse etiam amicis scriberet, et per illos cæteris quoque persuaderet, uti se in urbem reciperent: quæ ampla et populosa, et præsidio militari, rebusque omnibus firma et munita, in præsentibus malis non mediocri solatio esse queat. Se enim quamvis Crali subjectum, male Berrhœam aliasque occidentales urbes ipsum quam Cralem dominum agnoscere, cui nolentes parituræ sint, cum contra in eum propendeant. Hæc audiens imperator, gaudio exsiluit, et a tot sollicitudinibus respiravit, divinum Numen se respexisse et hominem instinctu suo concitasse ratus. Quærebat autem, num primarios nosset, et ad quos scribendum hortaretur. Eo affirmante, se omnes nosse, et optimos quosque nominante, ei imperator ut probe consulenti obsequens, sine mora scripsit. Suasit præterea Arbenus, Cralem quoque, si possit, eo permoveat, ut sibi eam cedat, aperteque causam ejus apud Berrhœotas agat. Hoc namque et imperatori fore utilissimum, et congressum hunc sibi periculum nullum creaturum, si urbs ei

A εἰ μὴ λῃζεσθαι ἐξέσται τοὺς περιοίκους· ἐτέρα γὰρ αὐτοῖς πρὸς τὸ ζῆν εὐπορία οὐδεμία ἦν. Οἵτε ἐκ Βυζαντίου, Διδυμότειχον ἐκάκουν ὅσα δυνατά· βασιλεύς τε ὁ Καντακουζηνὸς παρεσκευάζετο αὖθις, ὡς εἰς Διδυμότειχον ἐπανήξων· καὶ ὁ Κράλης, παρείχετο μὲν στρατιὰν ἐπικουρήσουσαν, ὀλίγην δὲ καὶ φαύλην. Καὶ διὰ τοῦτο βασιλεὺς, πολλοῖς ἐστρέφετο λογισμοῖς, καὶ φροντίδων ἦν ἀνάπλεως εἰ δεήσει πάλιν ἢ τὴν Ῥωμαίων δείσαντας δύναμιν, αὖθις ἀναστρέφειν εἰς Τριβαλοὺς, ἢ μετὰ τοσούτων καὶ οὕτω φαύλων πρὸς πᾶσαν τὴν ἀρχὴν Ῥωμαίων διακινδυνεύειν. Μεγίστη δὲ ἦν αὐτῷ τῶν δυσχερειῶν, ὅτι τῶν χρημάτων, ἃ οἴκοθεν ἦλθεν ἔχων ἀναλωθέντων πρός τε τοὺς συνόντας ὄντας τοσούτους, πάντες γὰρ διετρέφοντο ἐκ τῶν βασιλικῶν

B ἐπὶ δυσὶν ἔτεσιν, ἐν οἷς τῆς Ῥωμαίων γῆς ἀπελθόντες ἦσαν ὑπερόριοι, καὶ πρὸς Τριβαλοὺς τοὺς τῶν στρατοπέδων ἡγουμένους διὰ φιλοτιμίαν, ἐν ἀπόρῳ εἶχετο τοῦ τί χρὴ δρᾶν, εἰ μὴ ἐξέσται τὴν πολεμίαν διελθόντας εἰς Διδυμότειχον ἐλθεῖν. Οὔτε γὰρ ἐξῆν ἐκεῖθεν χρήματα μεταπέμπεσθαι, οὔτε παρὰ Τριβαλῶν δανείζεσθαι, τῶν μὲν, πάντη δεδουλωμένων καὶ συζώντων ἐσχάτῃ ἀπορίᾳ· τῶν ἐχόντων δὲ, δανείζειν οὐ βουλομένων, διὰ τὸ βασιλέα ὁρᾶν μείζοσιν ἀεὶ ταῖς δυσπραγίαις κεχρημένον, καὶ ὑποπτεύειν μὴ παντάπασι διαφθαρείη πρὶν οἴκαδε ἐπανῆκειν· οὗ δὴ ἕνεκα πολλῇ μὲν ἐκυμαίνετο τρικυμίᾳ λογισμῶν τὴν ἔνδειαν ἐννοῶν,

C ὑφ' ἧς περισχεθήσεται καὶ τὸν ἄφυκτον κίνδυνον αὐτὸς, καὶ οἱ περὶ αὐτόν. Ἐξέφαινε δὲ πρὸς οὐδένα τὰ ἀπόῤῥητα, καὶ μόνου Θεοῦ ἐδεῖτο, τοῦ λύειν τὰ τοιαῦτα δυναμένου. Αὐτίκα δέ τις προσελθὼν Ἀρμπενος ὠνομασμένος, ἐκ Χληρηνοῦ πρότερον Ῥωμαίοις ὑπηκόου πόλεως, πατρῴαν τε ὁμολόγει εὔνοιαν τῷ βασιλεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἔφασκε βούλεσθαι νυνὶ χρήσιμον ἑαυτὸν αὐτῷ παρέχειν, καὶ βοηθεῖν τρόπῳ ὁποίῳ ἂν δύναιτο δυνατωτάτῳ· θαυμαστὸν δὲ οὐδὲν εἰ τηλικούτῳ ὄντι καὶ θαυμασίῳ καὶ μεγάλῳ, οὐδενὸς ἄξιος ὢν αὐτὸς καὶ ἀφανείᾳ πολλῇ συζῶν, ἐπαγγέλλεται βοηθεῖν, εἴ κα

D μῦς ποτε, κατὰ τὸν μῦθον, λέοντα ἐῤῥύσατο πολιῶν καὶ χαλεπῶν δεσμῶν. Συνεβούλευέ τε ὡς εἰ βούλοιτο, ἐπεὶ πρὸς Κράλη προσπεμφθείη, Βερροιώταις διαλεξόμενος αὐτοῖς περὶ παραδόσεως τῆς πόλεως καὶ πείσων ὑποσχέσεσι πολλαῖς, γράφειν καὶ αὐτὸν τοῖς φίλοις, καὶ δι' ἐκείνων καὶ τοὺς ἄλλους πείθειν δέχεσθαι εἰς τὴν πόλιν, ἣ μεγάλη τε οὖσα καὶ πολυάνθρωπος, καὶ στρατιᾷ καὶ τοῖς ἄλλοις ἅπασιν ἐῤῥωμένη, οὐ μετρία γένοιτ' ἂν παραῤῥυχὴ πρὸς τὰς περιεχούσας δυσπραγίας. Αὐτὸς γὰρ καί τοι ὑπὸ Κράλην τελῶν, μᾶλλον βούλοιτο Βέῤῥοιάν τε καὶ τὰς ἄλλας ἑσπερίους πόλεις, αὐτῷ μᾶλλον ἢ Κράλῃ προσχωρεῖν· ἐκείνῳ γὰρ ἀνάγκη

Jacobi Pontani notæ.

(20) Hæc fabula, ut arbitror, nec apud Æsopum, nec apud Gabriam, ullumve alium mythographum reperitur. Est tamen ad docendum idonea [illegible], homines potentes aliquando parvarum rerum, et hominum minime potentium auxilio egere. Quid enim mure abjectius, invalidius? quid leone nobilius, robustius?

Digitized by Google Распознавание текста ABK/FR

δουλεύειν, βασιλεῖ δὲ μᾶλλον εὐνοεῖν. Βασιλεὺς δὲ ἀκούσας, ὑπερήσθη μὲν ἐπὶ τοῖς εἰρημένοις, καὶ τῶν πολλῶν ἀνέπνευσε φροντίδων, τὸ Θεῖον αὐτοῦ πρόνοιάν τινα πεποιῆσθαι οἰηθείς, καὶ τὸν ἄνδρα πρὸς τοιαῦτα κεκινηκέναι. Ἤρετό τε εἰ τοὺς ἐν λόγῳ μάλιστα εἰδείη. Βερροιωτῶν καὶ πρὸς οὕς τινας αὐτῶν συμβουλεύει γράφειν, τοῦ δὲ, πάντας μὲν εἰδέναι εἰρηκότος, τοὺς ἀρίστους δὲ ἐκλεξαμένου, ἐπείθετό τε ὁ βασιλεὺς, ὡς καλῶς βεβουλευμένῳ, καὶ ἔγραφεν αὐτίκα. Ἀρμπενος δὲ συνεβούλευεν εἰ δύναιτο καὶ Κράλην πείθειν ἐνδοῦναι αὐτῷ καὶ φανερῶς ὑπὲρ αὐτοῦ διαλεχθῆναι Βερροιώταις· βασιλεῖ τε γὰρ τὰ μέγιστα λυσιτελήσειν τὸ τοιοῦτο, καὶ αὐτῷ τὴν συντυχίαν μηδένα κίνδυνον ὕστερον ἂν ἐπαγαγεῖν, εἰ ἡ πόλις προσχωροίη βασιλεῖ. Ἐπείθετό τε ὁ βασιλεὺς αὐτίκα, καὶ πρὸς Κράλην ἐλθὼν, ἐπυνθάνετο, εἰ βούλοιτο πρὸς Βέρροιαν πέμπειν Ἀρμπενον. Τοῦ δὲ συνθεμένου, Ἐβουλόμην, εἶπε γράφειν καὶ αὐτὸς καὶ παραινεῖν εἰς τὴν πόλιν δέχεσθαι. Ἐννοῶν δὲ οἷα δράσειαν Φεραῖοι τὸν πρεσβεύοντα ἀπεκτονότες, πρὸς τὴν ἐπιχείρησιν ἀμβλύνεσθαι, δεδοικὼς μὴ καὶ ἄλλῳ τῶν κακῶν ὁμοίων αἴτιος καταστῇ. Συνεβούλευέ τε μᾶλλον γράφειν αὐτὸς ὑπὲρ αὐτοῦ· ἅμα δὲ καὶ Ἀρμπένῳ ἐπιτρέπειν Βερροιώταις τὰς πρὸς ἀλλήλους αὐτῶν συνθήκας καὶ τοὺς ὅρκους φανεροὺς ποιεῖν, καὶ ὡς εἴη καὶ σοὶ πρὸς ἡδονὴν τὸ προσχωρεῖν αὐτοὺς αὐτῷ. Ὁ δὲ, τὰ μὲν γράμματα ἐπέτρεπεν αὐτὸν ὑπαγορεύοντα γράφεσθαι, οἷα ἂν δοκῇ αὐτῷ συμφέρειν. Ἀρμπενον δὲ ἐκέλευεν ὑπὲρ βασιλέως Βερροιώταις διαλέγεσθαι, καὶ φανερὸν αὐτοῖς ποιεῖν, ὡς οὐδὲν ἡγοῖτο διαφέρειν αὐτῷ τε προσχωρεῖν καὶ βασιλεῖ. Οὕτω μὲν οὖν ἡ ἐπίνοια αὐτοῖς εἰς τέλος ἦκεν. Ἀρμπενος δὲ εἰς Βέρροιαν ἐλθὼν, τά τε Κράλῃ γράμματα παρείχετο ἀναγινώσκεσθαι ἐπ' ἐκκλησίας, καὶ τὰ βασιλέως τοῖς ἐπιτηδείοις κρύφα διεδίδου. Βερροιῶται δὲ καὶ πρότερον μὲν τὰ βασιλέως ἠρημένοι, οἵ τε ἄριστοι ὁμοίως καὶ ὁ δῆμος ἦσαν, καὶ τότε δὲ ὑπὸ τοῦ Τριβαλῶν πολέμου πιεζόμενοι, πολλὰς γὰρ αὐτοῖς καὶ συνεχεῖς ἐποιοῦντο τὰς ἐφόδους, καὶ κακῶς ἐποίουν τὴν χώραν ληῒζόμενοι, καὶ συνορῶντες ἤδη, ὡς ἐν χρῷ κινδύνου καθεστᾶσι δουλεύειν Τριβαλοῖς ἀναγκαζόμενοι, ἄλλως τε καὶ ὑπὸ τῶν ἀρίστων ἐναγόμενοι, πλὴν γὰρ ὀλίγων τὰ βασιλέως ἦσαν πάντες ἠρημένοι, ἐψηφίσαντο τὴν βασιλέως κάθοδον· αὐτίκα τε ἠροῦντο πρέσβεις, ἐκ μὲν τῶν ἀρίστων, Ἀστραπήρην, τοῦ δήμου δὲ, Ἀλληλούϊαν· ἐκ τῶν κατειλεγμένων δὲ τῷ κλήρῳ τῆς ἐκκλησίας, Σύρον ὠνομασμένον· καὶ ἔπεμπον πρὸς βασιλέα, τάχιστα δεόμενοι ἥκειν πρὸς αὐτούς. Οἱ πρέσβεις δὲ ἐπεὶ ἦκον, τήν τε ἀρχαίαν εὔνοιαν τῆς πόλεως ἐδήλουν βασιλεῖ, καὶ ὡς τοῦ πολέμου τοῦδε τοῦ συγγενικοῦ Ῥωμαίοις κεκινημένου, μετέωροι αὐτοὶ ἦσαν, καὶ τὴν αὐτοῦ ἐπιδημίαν ἦγον δι' εὐχῆς, καὶ πρόθυμοι ἦσαν αὐτῷ προσνέμειν ἑαυτοὺς, καὶ τὸν πόλεμον συγκατεργάζεσθαι. Ἐπεὶ δὲ ἐκ προδοσίας τῶν συνόντων συμβαίη περὶ αὐτὸν τὰ δυσχερῆ, καὶ ἔλθοι ὑπερόριος πρὸς Τριβαλοὺς, μάλιστα μὲν βεβουλῆσθαι εὐθὺς ἐξαρχῆς εἰς τὴν πόλιν προκαλεῖσθαι, δεδοικότας δὲ μὴ διὰ ταῦτα

A se adjunxerit. Amplectens consilium imperator statim ad Cralem adit, num **545** Arbenum Berrhœam mittere velit percunctatur. Quo aiente, Volebam et ipse ad eos scribere, inquit, eosque orare, uti me in urbem admitterent. Sed mecum repetens, quo pacto legatum meum Pheræi ante tractaverint, quem contrucidarunt, cœpto destiti, timuique ne alium in simile malum conjicerem. Hortabatur itaque Cralem, ut ipse potius pro se scriberet, et nihilo minus Arbeno mandaret, ut is amborum inter se fœdera sancita palam indicaret, et ipsi etiam voluptati futurum, si ad Cantacuzenum se aggregarint. Crales eo dictante, quas sibi commodas duceret, exarari litteras permisit, Arbenoque præcepit, pro imperatore
B apud Berrhœotas dissereret, illosque doceret, Cralem arbitrari, nihil interesse, ad ipsum, an ad illum se conferrent. Sic illis commentum ex animi sententia processit. Arbenus Berrhœam ingressus, Cralis litteras in conventu recitandas exhibet et alias imperatoris occulte per ejus fautores spargit. Berrhœotæ et antea ab imperatore minime alieni, optimates æque ac vulgus et tunc a Triballis pressi (crebro enim, continenterque eos incursabant, et agrum populationibus infestum reddebant), et intelligentes præterea, nihil propius esse, quam ut Triballorum jugum, quamvis nolentes perferant: ad hæc ab optimatibus impulsi (præter paucos, siquidem omnes imperatori adhærebant), ei reditum decernunt: illicoque legatos,
C de primoribus quidem Alteroperem, de plebe Alleluiam, de ordine clericorum Syrum deligunt, ac per eos rogant uti ad se approperet. Legati antiquam civitatis in illum benevolentiam exponunt et eam inter hæc arma civilia animi pependisse ejusque adventum exoptasse, cui se dedere, et ad bellum adjumento esse percupierint. Quoniam autem suorum proditione in hæc infortunia incidisset, et exsul ad Triballos abiisset, cogitasse statim a principio ad urbem suam illum accersere, sed timore, ne ob id in calamitatem miserabiliorem devolveretur, Crale propter invidiam, et occupatam civitatem insidias ei instructuro, hactenus quievisse. Nunc, quia occasio venerit, et Crales id
D approbare videatur, venire ipsos, ut eum multo cum gaudio, lætitiaque accipiant. Proinde moveat ab se moras, neve in aliud tempus differat, ne quis casus rem totam disturbet atque evertat. Imperator civitati de hac erga se **546** voluntate, et separatim legatis de ipsorum erga se studio honorifice gratias agit, Cralique summam legationis renuntiat: qui admiratus, non etiam Berrhœam, ut reliquas urbes, verba de imperatore fieri vetuisse, ipse quoque rem ad exitum deducendam judicavit. Helena vero conjux mire sollicita, imperatorem admonere, ne opportunitati deesset, sed omnibus postpositis, Berrhœam sui juris facere solum contenderet. Didymotichum redire, esse id quidem necessarium: verumtamen

Digitized by Google Распознавание текста ABK/FR

Berrhœam, quæ multum bello conductura sit, A obtinere, haud minus profuturum : suadebatque ne exercitum ad sequendum se comparantem exspectaret, sed assumptis Germanis, quos Crales, et ipsa darent, semper ad expeditionem paratis (quod meritorii essent), una cum propriis Berrhœam festinaret. Et si quidem promissis stantes eum acceperint, et reliqui exercitus ope indiguerit, postea jam instructum, paratumque venturum esse. Sin immutati eum rejecerint, reversum, paratis cum copiis uti, et cum eis reditum periclitari posse. Hæc imperatorem Cralis uxor admonebat, ipsaque mercenarios suos Latinos suppeditabat et virum idem ut faceret permovebat.

δυσχεραίνειν, ἥκειν καὶ αὐτοὺς σὺν ἡδονῇ πολλῇ καὶ προθυμίᾳ παραληψομένους. Συνεβούλευόν τε μὴ μέλλειν, μηδὲ ὑπερτίθεσθαι τὸν καιρὸν, μή τι συμβὰν ἕτερον λυμήνηται τῇ πράξει. Βασιλεὺς μὲν οὖν τῇ τε πόλει πολλὰς ὡμολόγει τῆς εὐνοίας χάριτας, καὶ τοῖς πρέσβεσι τῆς εἰς αὐτὸν σπουδῆς, Κράλῃ δὲ ἀπήγγελλεν ὅσα οἱ ἐκ Βερροίας πρέσβεις εἶποιεν· θαυμάσας δὲ ἐκεῖνος ὅτι μὴ τοὺς περὶ βασιλέως λόγους, ὡς καὶ αἱ λοιπαὶ τῶν πόλεων ἀπαγορεύοιεν, ἐπέκρινε καὶ αὐτὸς εἰς πέρας ἄγεσθαι τὸ ἔργον. Ἑλένη δὲ ἡ τούτου γαμετὴ, καὶ πολλὴν εἰσῆγε τὴν σπουδὴν καὶ παρῆνει βασιλεῖ μὴ τὸν καιρὸν προΐεσθαι· ἀλλὰ πάντα δεύτερα ἡγησάμενον, μόνου ἔχεσθαι τοῦ Βέρροιαν ὑποποιεῖσθαι. B

Ἀναγκαίαν μὲν γὰρ καὶ τὴν εἰς Διδυμότειχον ἐπάνοδον εἶναι, οὐχ ἧττον δὲ λυσιτελήσειν καὶ τὸ Βέρροιαν κατασχεῖν, πολλὰ δυναμένην πρὸς τὸν πόλεμον συνάρασθαι. Συνεβούλευέ τε μὴ τὴν παρασκευαζομένην αὐτῷ ἕπεσθαι περιμένειν στρατιάν· ἀλλὰ Γερμανοὺς παραλαβόντα, ὅσους Κράλης τε παρέξεται καὶ αὐτὴ, ἀεὶ πρὸς τὰς στρατείας παρεσκευασμένους ὄντας, διὰ τὸ μισθοφορεῖν, ἅμα τοῖς οἰκείοις, σπεύδειν ἐπὶ Βέρροιαν. Κἂν μὲν δέχωνται ὥσπερ ἐπαγγέλλονται, εἰ δέοιτο καὶ τῆς στρατιᾶς ἐκείνης πρὸς ἐπικουρίαν, ὕστερον ἥξειν παρασκευασθείσαν. Εἰ δὲ μεταβαλόντες ἀποπέμποιεν, ἀναστρέψαντα χρῆσθαι τῇ στρατιᾷ ἤδη παρεσκευασμένῃ καὶ ἀποπειρᾶν πρὸς τὴν ἐπάνοδον. Τοιαῦτα μὲν ἡ Κράλη ὑπετίθετο γαμετὴ τῷ βασιλεῖ, καὶ αὐτὴ παρείχετο τοὺς ἰδίους μισθοφόρους Λατίνους, καὶ τὸν ἄνδρα ἔπειθε.

CAPUT LVIII.

Imperatorem Berrhœenses læti accipiunt. Thessalonicam invadit, a qua occupanda per zelotas et populum impeditur. Cralis perfidia, qui et Thessalonicensem præfectum in imperatorem exstimulat. Germani eum deserere nolunt, quibus obsequens Berrhœam redit. Naves plurimæ Thessalonicam appelluntur. Propter exuentidantem Axium imperator affligitur. Tribullorum dolus. Ex consultatione decernitur tentandum transitum. Filii duo imperatoris commendantur.

Imperator Crali de amicitia, ejusque conjugi, C tum de illa, tum de sollicitudine erga se gratiis ample actis, cum mercenariis et Romanis suis Berrhœam veniens, portis apertis hilariter exceptus est, obtuleruntque se cives ad militandum suis stipendiis, desiderio quodam laudis et gloriæ, promptissime. Mox item Servia ultro se dedidit, urbs ad confinia Thessaliæ posita, et Platamon, urbs maritima : oppidula præterea non pauca, ut Petra, Sosqus, Staridola. Imperator ex deditis urbibus pro temporis brevitate collectis copiis non mediocribus, advocatoque nihilominus consobrino Joanne Angelo cum equitatu Thessalico, Thessalonicam se convertit, castraque ad Galycum flumen **547** non procul ab urbe locavit : quod speraret sui studiosos introitum sibi, de quo jam secum per internuntios egerant, confecturos; id quod aliter evenit. Zelotæ namque, et populus suspicati non illum absque colloquio cum quibusdam super urbe tradenda habito adventare, diligentissime eam custodiebant, ut amici imperatoris, eorum quæ volebant agere nihil possent. Ergo receptio Thessalonicæ ad hunc modum impediebatur. Nihilo sécius imperator, spe non prorsus abjecta, in stativis manebat. Crales postquam Berrhœa aliisque oppidis receptis, ipsum jam sibimet opem ferre posse animadvertit, causa nulla intercedente, fidem mutat : præteritaque necessitudine

Βασιλεὺς δὲ Κράλῃ τε πολλὰς τῆς φιλίας χάριτας ὁμολογήσας, καὶ γαμετῇ, καὶ τῆς φιλίας ἅμα καὶ τῆς περὶ αὐτὸν σπουδῆς, τοὺς μισθοφόρους ἔχων ἅμα τοῖς συνοῦσι Ῥωμαίοις, ἦκεν εἰς τὴν Βέρροιαν, καὶ ἐδέξαντο προθύμως ἀνοίξαντες τὰς πύλας παρεῖχόντό τε ἑαυτοὺς πρὸς τὰς στρατείας ὑπὸ φιλοτιμίας προθυμοτάτους καὶ χωρὶς ἀναλωμάτων. Αὐτίκα δὲ Σέρβιά τε προσεχώρουν ἐκοντὶ, περὶ τὰ μεθόρια Θετταλίας κειμένη πόλις, καὶ Πλαταμὼν, ἑτέρα παραθαλασσία· καὶ φρούρια οὐκ ὀλίγα· τὸ μὲν, Πέτρα προσαγορευόμενον, ἕτερον δὲ Σωσκὸς, καὶ Σταρίβολα τρίτον. Βασιλεὺς δὲ ὡς ἐν βραχεῖ ἐκ τῶν προσθεμένων πόλεων στρατιὰν οὐκ ὀλίγην συναγαγὼν, μεταπεμψάμενός τε καὶ τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, τὴν Θετταλικὴν ἵππον ἄγοντα, ἐπεστράτευσε Θεσσαλονίκῃ, καὶ ἐστρατοπέδευσεν ἐν Γαλυκῷ, οὐ πολὺ ἄπωθεν τῆς πόλεως· ἤλπιζε γὰρ αὐτῷ τοὺς ἐπιτηδείως ἔχοντας καταπράξεσθαι τὴν εἰς Θεσσαλονίκην εἴσοδον, ἦσαν γὰρ αὐτῷ διειλεγμένοι περὶ τούτου· τὸ δὲ οὐχ ἁπήντα ὥσπερ ἤλπιζεν. Οἱ ζηλωταὶ γὰρ καὶ ὁ δῆμος, ὑποπτεύσαντες μὴ ἄνευ τῶν ἐπὶ παραδόσει διαλεγομένων ἀφικέσθαι, πολλὴν ἐποιοῦντο σπουδὴν περὶ τῆς πόλεως τὴν φυλακήν· δι' ἃ οὐκ εἶχον οἱ τὰ βασιλέως ἠρημένοι τῶν δοκούντων πράττειν τί. Ἡ μὲν οὖν Θεσσαλονίκης ἄλωσις οὕτως ἐκωλύετο. Βασιλεὺς δὲ παρέμενεν ἔτι ἐν τῷ στρατοπέδῳ πρὸς τὴν πρᾶξιν οὐ παντάπασιν ἀπειρηκώς. Κράλης δὲ ἐπεὶ Βέρροιά τε καὶ αἱ ἄλλαι πόλεις προσ-

Digitized by Google Распознавание текста ABK/FR

ἐχώρησαν βασιλεῖ, καὶ ἤδη ἑαυτῷ ἀμύνειν ἐώρα δυνατὸν, ἐξ οὐδεμιᾶς μεταβολῶν αἰτίας, τὴν προτέραν φιλίαν εἰς πικρίαν μεταμείψας, ἑαυτῷ τε ἐμέμφετο τοῦ μὴ βασιλέα παρακατέχειν, καὶ πάντα τρόπον τὴν δύναμιν ἐπειρᾶτο καταλύειν· καὶ πέμψας, ἀνεκαλεῖτο τοὺς ἰδίους μισθοφόρους οὐ τὴν ἀπέχθειαν ἐκφαίνων, ἀλλ' ἑτέρας τινὰς προφασιζόμενος αἰτίας· Μιχαὴλ τε Μονομάχῳ, μεγάλῳ κονοσταύλῳ τὴν ἀξίαν ὄντι, Θεσσαλονίκης τότε ἄρχοντι συνεβούλευε πέμψας κατὰ βασιλέως χωρεῖν καὶ μὴ σφόδρα δεδιέναι, ὅλως τε ἔτι ὀλίγην κεκτημένον δύναμιν, καὶ τὸ κράτιστον τῆς παρούσης ὑφαιρούμενον ὑπ' αὐτοῦ νυνί. Τοὺς γὰρ καταφράκτους Λατίνους οὓς ἄγει ἀνακεκλῆσθαι ὑπ' αὐτοῦ ἰδίους ὄντας, καὶ μὴ αὐξάνεσθαι ἐᾷν, ἀλλὰ προεπιχειρεῖν ἕως ἐστὶν ἀδύνατος· εἰ γὰρ μὴ κωλύοιτο ὑπ' αὐτῶν, ἀλλὰ σωζόμενοι μόνον ἀγαπῷεν, τάχιστα ἐπάξεσθαι αὐτὸν, μεγάλην περιβεβλημένον δύναμιν. Μονομάχος δὲ καὶ οἱ ἐν Θεσσαλονίκῃ τοιαῦτα πεπυσμένοι, καὶ οἰόμενοι βασιλεῖ συνεπιθήσεσθαι αὐτοῖς καὶ Κράλην, ἐσκέπτοντο εἰ χρὴ ἐπὶ μάχην ἐξιέναι. Γερμανοὶ δὲ ἐπεὶ τὰ παρὰ Κράλῃ ἀκούσειαν προστεταγμένα, πολλὴν μὲν ἐκείνου κακοήθειαν κατεγίνωσκον καὶ τρόπων εὐκολίαν. Βασιλεῖ δὲ προσελθόντες ἀπήγγελλόν τε ὅσα προσετάχθεῖεν, καὶ ἐδέοντο μὴ θορυβεῖσθαι· ἀλλὰ θαρρεῖν ὡς καὶ αὐτῷ Κράλῃ, ἂν ἐπίῃ, μαχεσομένους ὑπὲρ αὐτοῦ, οὕτω γὰρ εἶναι νόμιμον αὐτοῖς· καὶ εἰ πράττοιεν, οὐ κακῶς ἀκούσειν παρὰ τοῖς οἰκείοις. Εἰ γὰρ ἐκ τοῦ τὸν μισθὸν παρέχοντος, ἕφασαν, ἑτέρῳ τῳ προσταχθείημεν ἐπικουρεῖν, οἵκοι μὲν καὶ ἐν ἀσφαλείᾳ καθεστῶτι, ῥᾳδίως ἀποσταίημεν ἄν, τοῦ τὸν μισθὸν παρέχοντος κελεύοντος· στρατευομένῳ δὲ καὶ πρὸς μάχην παρατεταγμένῳ, οὐχ ἡμῶν εἶναι ἀπολείπειν· προδοσίαν γὰρ ἄντικρυς τὸ πρᾶγμα εἶναι· οὐ τῶν πάντων, οὐδὲν ἀτολμητότερον ἡμῖν, οὐδὲ μεῖζω φέρει τὴν αἰσχύνην. Δι' ἃ οὐδὲ σὲ καταλείψομεν ἐνθάδε, ὥσπερ ἐκέλευσεν ἐκεῖνος· ἀλλ' ἐν ἀσφαλείᾳ οἵκοι καταστήσαντες ἀναχωρήσομεν. Συνεβούλευόν τε μὴ μέλλειν, ἀλλ' εἰς Βέρροιαν τάχιστα ἐπανήκειν· Κράλην γὰρ δῆλον ἤδη εἶναι ἠρημένον πολεμεῖν. Βασιλεὺς δὲ αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τῶν τρόπων τῆς εὐγενείας ἐπαινέσας, ἐπείθετό τε καὶ ἀνέστρεφεν ἤ ἐκεῖνοι συνεβούλευον, μηδὲν τῶν μελετωμένων πρᾶξαι δυνηθεὶς διὰ τὴν Κράλη μάλιστα μεταβολήν. Ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ, ὡς ἐπύθοντο βασιλέα ἀναστρέφοντα, τῆς πόλεως ἐξελθόντες, εἵποντο μὲν, καὶ παρεῖχον δόκησιν ὡς προσβαλοῦντες· οὐκ ἐτόλμων δὲ συμμίγνυσθαι. Τῆς αὐτῆς δὲ ἡμέρας, καὶ ἐκ τῶν ἐν Θεσσαλονίκῃ φίλων γράμματα πρὸς βασιλέα ἦκε, μηνύοντα ὡς τῆς αὐτῆς ἡμέρας Ἀπόκαυχος ὁ μέγας δοὺξ, ναυσὶν ἑβδομήκοντα Ῥωμαίων Θεσσαλονίκῃ προσχοίη, καὶ συμμαχίδας ἄγων Περσικὰς δύο καὶ τριάκοντα· καὶ τοὺς ἐκ Βυζαντίου, καὶ Θρᾴκης καὶ Μακεδονίας ἱππέας οὐ πολλῷ ὕστερον προσδοκίμους εἶναι ἥξειν. Τοὺς μὲν οὖν φίλους, τῆς ἀγγελίας ἕνεκα, ἐπῄνεσεν ὁ βασιλεύς. Αὐτὸς δὲ παρὰ τὸν Ἄξιὸν ἐλθὼν, καὶ πειρώμενος διαβαίνειν· οὐ συνεχωρεῖτο πλημμυροῦντος τοῦ ποταμοῦ ἐξ ὄμβρων ῥαγδαίων ἀθρόον κατενεχθέντων.

A in amaritudinem conversa, semet incassi, quod cum non retinuerit: conaturque modis omnibus ejus potentiam evertere. Mercenarios etiam, celato odio, et aliis quibusdam prætextis rationibus revocat: et Michaelem Monomachum contostaulum Thessalonicæ tum præfectum incitat, uti eum invadat, neu pertimescat, cum præsertim adhuc invalidus sit, et ipse illi robur, ac nervum sustulerit (Latinos enim cataphractos a se ut suos revocatos), neu opes illius crescere sinat, sed adhuc infirmum aggrediatur. Nisi enim eum prætruncaverint quodam modo, sed se salvos esse contenti fuerint, brevissimo intervallo magnis auctum viribus eos oppressurum. Monomachus et Thessalonicenses hæc audientes, opinantesque Cralem una

B imperatorem invasurum, num ad prælium exeundum esset, consultationi permittunt. Germani mandata Cralis accipientes, insignis illum malevolentiæ, levitatisque condemnant; atque ad imperatorem accedentes, quid ipsis imperatum sit narrant, rogant ne angatur, sed adversus ipsum Cralem etiam, si adoriatur, pro ipso dimicaturos confidat. Hoc enim sibi patrium esse, imperatores defendere: et si fecerint, non male apud gentem suam audituros. Si enim ab eo qui stipendia numerat, inquiebant, alterum quempiam domi secure sedentem adjuvare ac defendere jussi essemus, facile ad ejus imperium desisteremus: ab eo autem qui exercitum ducat, et ad pugnam

C acies disposuerit deficere, a nostris moribus abhorret, cum sit manifesta proditio: ut proinde nihil ex omnibus minus commissuri simus, quandoquidem non aliud nobis fœdiorem dedecoris notam inusserit. **548** Quod cum ita sit, nec te hic deseremus, ut ille jussit: sed cum te domi in tuto constituerimus, recedemus. Addebant, ne procrastinaret, sed Berrhœam primo quoque tempore rediret; jam enim satis liquere, Cralem arma cogitare. Imperator eos de egregia in se humanitate, morumque ingenuitate collaudans, quo suadebant redit, propter Cralis mobilitatem nihil eorum ex-

D secutus quæ statuerat. Qui erant Thessalonicæ milites, ut imperatorem recessisse acceperunt, foras se educentes, recedentem insecuti sunt, impressionem, ut apparebat, facturi. Cæterum cicre pugnam non audebant. Eodem die ab amicis Thessalonica scriptum est, eadem luce Apochauchum septuaginta Romanorum, et Persicis subsidiariis duabus et triginta navibus Thessalonicam appulisse: Byzantios item, Thracas et Macedonas equites non multo post venturos exspectari. Imperator amicos de nuntio laudavit, et ad Axium flumen appropinquans, quod ex largissimis imbribus restagnaret, transitum frustra tentavit. Quod illi grave ac molestum accidit. Nam præterire fluvium per provinciam Cralis labentem, non modicam suspicionem dabat, quasi hostiles cum eo inimicitias gereret, præsertim cum etiam prope alicubi castra haberet, et delitere in tentoriis,

Digitized by Google Распознавание текста ABK/FR

usque dum aquæ subsedissent, id vero ne ipsis obesset, verebatur. Timebat enim ne, quod erat probabile, cum ex Thracia, et Madedonia equitatus longe major suo, et ex triremibus gravis et levis armaturæ, et socii Persæ supervenissent, ipse tantam paucitatem adversa acie illis opponere non posset. Sed casus quidam alius perturbationem graviorem attulit. Nam versus ulteriorem ripam Triballorum globus se ferens, ad imperatorem mittit: socia arma spondet, si contra Thessalonicenses imminentes eorum auxilio indigeat. Atqui nihil æquum cudebant; sed sive a Crale clam submissi, sive per se despotæ sui mentem conjectantes (bellum scilicet imperatori cogitare) eo animo veniebant, ut conserta jam pugna, victrici parti se adjungerent, victamque diriperent: quod imperatori peracerbum videbatur, si in ipso certamine ad Romanos simul et Triballos utrinque constitutos attendere cogeretur. Verumtamen difficultate ista, et anxia cura quid ageret distracto, visum ibi **549** noctem agere. Proceres autem, et Angelum consobrinum, præterea Matthæum et Manuelem filios cogens (qui quanquam juvenilibus annis nondum exactis, intelligentia, et consilio propter ingenii magnitudinem, virtutisque indolem cedebant nemini. Præterea quod cum patre diu jam militaverant, non solum erant bello egregii, nihilque magnanimitatis, fortitudinis, et in rebus arduis tolerantiæ a se desiderari patiebantur: sed etiam ad recta perspicienda, eademque periculosis temporibus perficienda expediti, et ad alios consilio juvandos erant idonei. Hinc et pater in deliberationibus gravioribus, maximeque seriis eorum sententias audiebat, easque sæpenumero sequebatur: non quod iis gratificaretur, neque enim id rerum necessitas sinebat, sed quod ita in primis conducere existimaret); cum his itaque, et reliquis deliberatione in multam noctem producta visum primum imperatori, deinde aliis omnibus non illic manendum et periculum minus majori anteferendum, aditoque Axio flumine transitum explorandum: reputando, præstare utique rursum in Triballos (quos forsitan modo aliquo propulsare poterunt) quam in Romanos et socios eorum barbaros incidere. Hæc igitur illi sentiebant.

Ἔδόκει δὲ δεινὸν τῷ βασιλεῖ καὶ πολλῆς ἄξιον φροντίδος· τό τε γὰρ παριέναι τὸν ποταμὸν διὰ τῆς Κράλη ὑπηκόου ῥέοντα, οὐ μικρὰν παρεῖχεν ὑποψίαν, ἐκείνου δοκοῦντος ἐκπεπολεμῶσθαι· ἄλλως τε, καὶ οὐ μακράν, ἀλλ' ἐγγὺς που μετὰ στρατιᾶς ἐστρατοπεδευμένου, καὶ τὸ μένειν ἐστρατοπεδευμένους, τῶν ὑδάτων περιμένοντας ἀμβλυνθῆναι τὴν ὁρμήν, οὐ πρὸς αὐτῶν ἔσεσθαι ὑπώπτευεν· ἐδεδίει γὰρ μὴ ὥσπερ ἦν εἰκὸς τῶν τε ἐκ Θρᾴκης καὶ Μακεδονίας ἱππέων πολλαπλασιόνων ὄντων, ἢ ὧν ἦγεν αὐτὸς, καὶ τῶν ἐκ τῶν τριήρεων ὁπλιτῶν καὶ ψιλῶν, καὶ Περσῶν τῶν συμμάχων ἐπελθόντων οὐχ οἷός τε ᾖ ἀμύνεσθαι ἐκ παρατάξεως πολλῷ τῷ μέτρῳ καταδεεστέρους ἄγων. Συμβὰν δέ τι καὶ ἕτερον, μᾶλλον ἐθορύβει. Πρὸς γὰρ τὴν Ἀξειοῦ περαίαν στρατιὰ ἐλθοῦσα Τριβαλῶν, πέμποντες πρὸς βασιλέα, κατὰ συμμαχίαν μὲν ἔφασκον ἥκειν τὴν αὐτοῦ εἴ δέοιτο αὐτῶν τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς ἐπιθεμένης. Ἦσαν δὲ οὐδὲν ἐννοοῦντες δίκαιον· ἀλλ' εἰθ' ὑπὸ Κράλη λάθρα προσπεμφθέντες, εἴτε καὶ παρ' ἑαυτῶν αὐτοὶ τῆς τοῦ δεσπότου γνώμης στοχασάμενοι, ὡς πολεμεῖν ἔγνω βασιλεῖ γνώμην ἦκον ἔχοντες, ὡς εἰ μάχη συναφθείη, προσθησόμενοι τοῖς ἔχουσι τὸ πλέον, καὶ τοὺς νενικημένους διαρπάσοντες, ὅπερ καὶ μᾶλλον ἐδόκει τῶν δεινοτάτων βασιλεῖ, εἰ παρ' αὐτὴν τὴν συμβολὴν Ῥωμαίοις τε ὁμοῦ καὶ Τριβαλοῖς προσέχειν ἀναγκάζοιτο ἑκατέρωθεν παρατεταγμένοις, ὁμῶς οὕτως ἔχοντι δυσκολίας καὶ φροντίδος περὶ τῶν πρακτέων, ἐδόκει δεῖν αὐτοῦ αὐλίσασθαι τὴν νύκτα. Τοὺς ἐν τέλει δὲ μάλιστα, καὶ Ἄγγελον τὸν ἀνεψιὸν, προσέτι δὲ καὶ τοὺς υἱοὺς Ματθαῖον καὶ Μανουὴλ συναγαγών, ἦσαν γὰρ οὐδενὸς λειπόμενοι πρὸς σύνεσιν καὶ εὐβουλίαν, καί τοι μήπω τὴν μειρακικὴν ὑπερβάντες ἡλικίαν, διὰ φύσεως μέγεθος, καὶ εὐφυΐαν τὴν πρὸς τὰ καλὰ, ἄλλως θ' ὅτι καὶ βασιλεῖ τῷ πατρὶ πολὺν ἤδη συστρατευόμενοι χρόνον, οὐ περὶ τὰ πολέμια μόνον ἀγαθοὶ καὶ εὐψυχίας καὶ τόλμης καὶ καρτερίας τῆς πρὸς τὰ δεινὰ οὐδὲν ἐλλείποντες, ἀλλὰ καὶ νοῆσαι τὰ δέοντα καὶ κατὰ πράξασθαι ἐν καιρῷ κινδύνων ὀξεῖς, καὶ βουλεύσασθαι ἑτέροις ἦσαν ἱκανοί, δι' ἃ καὶ ὁ πατὴρ αὐτοῖς πρὸς τῶν βουλευμάτων τὰ μάλιστα σπουδῇ δεόμενα ἐχρῆτο, καὶ ἐπείθετο οὐκ ὀλιγάκις· οὐ χαριζόμενος, οὐ γὰρ εἶα τῶν πραγμάτων ἡ ἀνάγκη· ἀλλὰ νομίζων μάλιστα λυσιτελεῖν. Μετ' ἐκείνων δ' οὖν, καὶ τῶν ἐπιλοίπων ἄχρι πόρρω βουλευόμενοι νυκτῶν, ἐδόκει βασιλεῖ τε πρῶτον, ἔπειτα καὶ τοῖς ἄλλοις ἅπασι, μὴ μένειν· ἀλλὰ τὸν κουφότερον τῶν κινδύνων προτιμᾶν, καὶ παριόντας τὸν Ἀξιὸν ἄχρις ἂν ἐξῇ, πόρον ζητεῖν ᾗ διαβατὸς ἔσται· βέλτιον λογισαμένους αὖθις Τριβαλοῖς περιτυχεῖν, οὓς ἴσως ἂν καὶ δύναιντο τρόπῳ δή τινι ἀποσκευάζεσθαι, ἢ Ῥωμαίοις καὶ βαρβάροις τοῖς συμμάχοις. Τοῖς μὲν οὖν ἐδέδοκτο τοιαῦτα.

CAPUT LIX.

Rusticus imperatori insidias Triballorum detegit, cujus indicio flumen vado transeunt. Berrhœam veniunt, ubi Germani congiarium accipiunt. Insidiatores ad Cralem deferuntur. Duces ei ad supplicium deducuntur, quibus ignoscit. Apocauchus Cralem in imperatorem incendit. Ejusdem simulatio et imperatoris responsum acre, atque ex parte ironicum. Cum ex tribus unum ei faciendum sit, demonstrat nullum profuturum. Periculum ejusdem eleganti fabella declarat. Sibi illa tria facilia ostendit et ejus imbelliam, ut supra irridet.

Ad tabernaculum autem accedens quidam natus in vico Gaurobo trans Axium, e regione loci, ubi

Ἐξω δὲ τῆς σκηνῆς προσελθών τις ἐκ τῆς κατὰ τὸν περαίαν Ἀξειοῦ κώμης, κατάντικρυ οὗ ηὐλίζον

το, ἔνθα καὶ ἡ Τριβαλῶν διενυκτέρευε στρατιὰ, Γαυρόβου προσαγορευομένης, ἐδεῖτο βασιλεῖ συντυχεῖν, ὡς περί τινων ἀναγκαίων διαλεξόμενος. Ἐπεὶ δὲ εἰσήγετο πρὸς βασιλέα, πρῶτα μὲν ἀρχαίας τινὸς εὐεργεσίας χάριτας ὀφείλειν ὡμολόγει βασιλεῖ. Ἔπειτα ἐμήνυεν ὡς ἡ στρατιὰ Τριβαλῶν ἧς ἡγεῖται Μποζίκης τις προσαγορευόμενος, καὶ Στέφανος δεύτερος, ἐκ πεζῶν καὶ ἱππέων ἠθροισμένη, πεμφθείη μὲν παρὰ Κράλη ἐπὶ τῷ βλάπτειν βασιλέα, ὅσα δύναιτο. Αὐτοὶ δὲ οὕτως εἶναι παρεσκευασμένοι, ὡς εἰ ἀκατίοις χρῷτο ἡ βασιλέως στρατιὰ πρὸς τὴν διάβασιν, τοῖς πρώτοις διαβᾶσιν ἐπιτίθεσθαι καὶ διαφθείρειν· ἔπειτα ἀνείργοντας τοὺς ἄλλους πρὸς τὸν πόρον, αὐτοὺς μὲν διαμένειν ἀπαθεῖς κακῶν· βασιλέα δὲ μετὰ τῶν συνόντων, ὑπὸ τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς διαφθείρεσθαι ῥᾳδίως εὐεπιχείρητον γενόμενον. Τὴν μὲν οὖν ἐπιβουλὴν, οὕτως ἔφασκεν εἶναι συνεσκευασμένην παρὰ Τριβαλῶν· αὐτὸν δὲ εἰδέναι πόρον ἀγνοούμενον τοῖς πολλοῖς, ᾗ διαβατὸς ὁ ποταμὸς ῥᾳδίως ἔσται· ὃν ἔφασκεν ὑποδείξειν χάριν βασιλεῖ κατατιθέμενος. Ἐπαινέσας δὲ ὁ βασιλεὺς τὸν ἄνθρωπον, καὶ ἐπαγγειλάμενος εὖ ποιήσειν, ἐπεὶ καὶ ἡ ἡμέρα ἤδη διεφαίνετο, ἅραντες ἐκ τοῦ στρατοπέδου, διῆσαν τοῦ ποταμοῦ τὴν ὄχθην οἷ ὁ ἄνθρωπος ἡγεῖτο. Ὁμοίως δὲ καὶ οἱ Τριβαλοὶ ἐκ τῆς περαίας ἀντιπαρήρχοντο καὶ αὐτοὶ τὸν ποταμόν· ἐπεὶ δὲ εἰς τὸν πόρον ἦλθον, Τριβαλοὶ μὲν ἐκ τῆς περαίας παρετάσσοντο ὡς κωλύσοντες· καὶ βέλεσιν ἐχρῶντο πόρρωθεν. Βασιλεὺς δὲ μετὰ τῶν ἀρίστων, ὁρμῇ χρησάμενοι παραβόλῳ, καὶ σωμάτων ἀφειδήσαντες, διέβαινον βαλλόμενοι καὶ κωλυόμενοι, ὡς ἐνῆν ὑπὸ τῶν Τριβαλῶν· διαβάντας δὲ ὑπέμειναν οὐδ' ἐπὶ μικρόν· ἀλλ' ἔφευγον τραπόμενοι κατὰ κράτος. Βασιλεὺς δὲ οὔτ' ἐπιδιώκειν εἴα, οὔτε ἀποκτείνειν, ἄγνοιαν τῆς ἐπιβουλῆς ὑποκρινάμενος. Ἐβούλετο γὰρ μηδεμίαν Κράλῃ πρὸς τὸν πόλεμον πρόφασιν παρέχειν. Ἡ δὲ ἄλλη στρατιὰ, διέβαινε κατὰ σχολὴν μηδὲν ζημιωθεῖσα. Βασιλεὺς δὲ φιλοτίμως ἀμειψάμενος τὸν ἡγησάμενον πρὸς τὸν πόρον, πρὸς Βέρροιαν ἐπανῆει, πολλὰς αὐτοῦ τε καὶ τῆς στρατιᾶς τῆς σωτηρίας Θεῷ χάριτας ὁμολογῶν· ἐν χρῷ γὰρ εἴπερ ποτὲ κατέστησαν κινδύνου. Τῆς αὐτῆς δὲ ἡμέρας καὶ ἡ ἐκ Θράκης καὶ Μακεδονίας στρατιὰ ἅμα τοῖς ἐκ τῶν τριήρεων ὁπλίταις καὶ ψιλοῖς, καὶ Πέρσαις τοῖς συμμάχοις, πρὸς Ἄξιὸν ἦκον ἐπὶ βασιλέα. Πυθόμενοι δὲ ὡς διαβὰς πρὸς Βέρροιαν ἐπανέλθοι, ὑπέστρεφον εἰς Θεσσαλονίκην ἀνιώμενοι, ὅτι ὑστερήσειαν. Βασιλεύς τε τότε μᾶλλον ἀκριβέστερον συνεώρα τὴν περὶ αὐτὸν πρόνοιαν τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἐγένετο ἐν Βέρροίᾳ, Γερμανοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἀμειψάμενος εὐεργεσίαις, ἀπέπεμπεν εἰς Κράλην· καὶ τοὺς περὶ τὴν διάβασιν Ἄξιοῦ κωλύοντας, προσήγγελλεν ὡς ἀδικήσαντας, καὶ παρὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους αὐτῶν τοὺς εἰς ἀλλήλους εἰργασμένους. Κράλης δὲ οὕπω φανερῶς ἐξενηνεγμένος πρὸς τὸν πόλεμον, θέλων βασιλέα θεραπεύειν, ἐπεὶ μὴ διὰ τῆς ἐπιβουλῆς ἐξεγένετο διαφθείρειν, Μποζίκην καὶ Στέφανον τοὺς ἡγουμένους τῆς στρατιᾶς, ἔπεμπε πρὸς βασιλέα, ὡς δίκας

pernoctabant, ad quem vicum etiam Triballi manebant, rogabat, ut sibi imperatoris conveniendi copia fieret, de re necessaria cum eo collocuturo. Ad quem introductus, primum quidem antiqui cujusdam beneficii gratiam se illi debere confitetur. Post indicat, Triballorum manum Bozice, et Stephano ducibus, ex peditibus et equitibus constantem, missam a Crale, ut imperatori nocerent, quantum possent. Ipsos autem sic esse paratos, ut si imperatoris cohortes actuariis minutis ad trajiciendum uterentur, **550** qui primi transierint, eos adorti interficiant : deinde alios transitu arcentes nullo præterea malo afficiant : imperatorem cum reliquis superatu jam facilem, levi opera ab exercitu Thessalonica affuturo coneisum iri. Triballos itaque isto modo insidias instituisse aiebat; se vero scire, quod multi nesciant, qua fluvius vado transiri commode queat. Id vadum se gratiæ referendæ demonstraturum. Laudat hominem imperator, et merito responsurum promittit. Ubi diluxit, castris egressi, juxta fluminis ripam, qua vir ille ducebat, incedunt. Pariter Triballi e regione vicissim ad flumen gradiuntur. Ubi ad transitum est perventum, Triballi trans fluvium ad prohibendum se instruebant, et tela procul spargebant. At imperator cum fortissimis audaci impetu, contemptisque corporibus, Triballis jaculantibus, quantumque poterant prohibentibus, transiit : quos hostes nec ad punctum temporis sustinentes, in fugam se omnibus nervis tradiderunt. Imperator, insidiarum ignoratione simulata, nec insequi suos, nec occidere fugientes sinebat, quod nullam Crali armorum occasionem dare vellet. Reliquum agmen paulatim, et nullo cum damno transibat. Tum imperator indicem vadi honorifice remuneratus, Berrhœam se retulit, ob suam militumque salutem Deo gratias agens : periculo enim, si unquam alias, proximi fuerant. Eodem die etiam e Thracia et Macedonia conscripti, simul cum classiariis utriusque armaturæ, et Persis auxiliariis ad Axium adveniunt, imperatorem aggressuri. Quem flumine transito Berrhœam reversum audientes, Thessalonicam mœsti, quod serius affuissent, retrorsum abierunt. Imperator tum a Deo se non negligi, manifestius cognovit, et Berrhœæ Germanos pro eorum in se benevolentia congiario donatos, ad Cralem dimisit : quique Axium transituris obstitissent, eos pro injuriis fœderisque inter ambos sanciti violatoribus detulit. Crales nondum aperte bellum capessens, imperatoremque aliquo officio sibi obligare volens, quandoquidem insidiæ, quibus illum perdere moliebatur, non processerant, Bozicen, et Stephanum duces, pœnas improbitatis, quod nimirum se nesciente cum amico suo bellum gererent, luituros ad eum transmisit, permitteus ut quam liberet supplicii sententiam in eos pronuntiaret; non enim posse, nisi justum pronuntiare. **551** Quibus imperator scelus exprobraus, quod nefaria, et Cralis erga se amici-

Digitized by Google Распознавание текста ABK/FR

tia indigna perpetrassent, veniam dedit, atque ita laudabili facto missos fecit. Apocauchus magnus dux, ubi pugna frustratus est, et Berrhœam imperatorem infestus sequi non potuit, Cralem multa munera partim dando, partim pollicendo adversus eum irritare, jam sua sponte eo incitatum studuit: cum interim Synadenum quemdam nomine, ad imperatorem legaret, tremendoque sacramento confirmaret, nullum se ejus odium concepisse, nec ferre illi perniciem, nec velle istuc, nec ullo modo quærere: sed quodam impetu, atque æstu rerum simul se ad hoc bellum abreptum esse. Quia vero nunc is status sit, cupere nosse, quid de se ipse constituat, aut quo se convertere decreverit. Imperator hominis impudentiam obstupescens, sic respondit: Juramentis, præfecte cubiculi, velle fidem facere in re qualibet, non est hujus temporis. Fuit, quando ego tui cupidissimus, sermonibus tuis tam injurati, quam jurati fidens, gladium in memet imprudens exacui, magnoque illi adjumento ac præsidio fui, qui aliquando potentia sua contra optime de se meritum abusurus erat. Quanquam et jam tum non semel, sed bis ter pejerasse, et pericula ei architectari deprehensus es, qui solo aspectu nequitiam tuam digne ulcisci potuisset. Ex quo autem tempus nactus opportunum, omnino et Dei timorem, et hominum reverentiam abjecisti, multisque mendacitis in me criminibus hoc bellum commovisti, unde hactenus tot calamitates exstiterunt, et plures gravioresque, ut video, exsistent, non est quod tam frequenter, quam mendacium, atque perjurium usurpaveris: quibus prudentiores etiam in errorem induxisti multos, et persuasione falsa delusisti, ut deserta veritate tibi auscultarent: quibus ut et tua perversitate, et illorum vecordia dignissimum fuit, bonam profecto mercedem tribuisti. Jam quod dicis, non odio in me aliquo, nec ut male sit mihi, aut ut vitam, si fieri possit, amittam, te omnia cogitare et facere, nescio num tanto stupore oppressus sis, ut post tot tamque evidentia argumenta, quibus mihi hostis deterrimus apparuisti, te moderatum quemdam hominem, ac mitem existimes: an ita veteratorie egisse, et sic hominum oculos fascinasse, ut tam multa et tam insignia scelera tua omnes latere credas. Verum pro istis aliud tribunal nos manet, **552** et judex integerrimus ac terribilis, et testes angeli, omnia mortalium facta perspicientes (21), etsi mille parietibus, aut peripetasmatis, aut caligine tenebrosa, aut densa nebula circumtegantur: coram quibus de mutuis delictis et offensis judicium subibimus. In arte vero tua imperatoria, sane admirabili, illud ridiculum, quod præteritis universis, etiam olim

A τῆς ἀγνωμοσύνης δώσοντας, ὅτι βασιλεῖ τῷ φιλῳ αὐτοῦ μὴ συνειδότος πολεμοῖεν· καὶ ἐπέτρεπε βασιλεῖ τὴν ψῆφον τὴν κατ' αὐτῶν, ὡς δικαίως πᾶν ὁτιοῦν καταψηφιζομένῳ. Βασιλεὺς δὲ αὐτοῖς τὴν ἀγνωμοσύνην ὀνειδίσας, καὶ ὡς ἄδικά τε ὁμοῦ καὶ ἀνάξια τῆς Κράλη πρὸς αὐτὸν τολμήσαιεν φιλίας, ἔπειτα συγγνώμην τε παρείχετο, καὶ ἀπέλυεν, εὖ ποιήσας. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ τῆς μάχης τε ὑστέρει, καὶ πρὸς Βέρροιαν ἐλθεῖν ἐπὶ βασιλέα ἦν ἀδύνατος, Κράλην μὲν πολλὰ τὰ μὲν, πέμπων δῶρα, τὰ δὲ ὑπισχνούμενος, ἐκπολεμοῦν ἐκείνῳ ἐπεχείρει, καὶ οἴκοθεν ἤδη πρὸς τοῦτο ὡρμημένον· πρὸς βασιλέα δὲ, Συναδηνόν τινα πέμψας ὄνομα, ὅρκοις τοῖς φρικωδεστάτοις διεβεβαιοῦτο, μηδεμίαν ἔχειν πρὸς αὐτὸν ἀπέχθειαν, μηδὲ ὅ τι φέρει πρὸς αὐτὸν φθο-

B ράν, μήτε βούλεσθαι, μήτε ζητεῖν ἐκ τρόπου παντὸς, ἀλλὰ φορᾷ τινι τῶν πραγμάτων καὶ αὐτὸν συνενεχθῆναι πρὸς τὸν πόλεμον. Τῶν πραγμάτων δὲ εἰς τοῦτο νῦν ἡκόντων, μαθεῖν ἐθέλειν ὅ τι βούλοιτο περὶ ἑαυτοῦ· ἢ πρὸς ὅ τι τρέπεσθαι ἐσκέψατο. Βασιλεὺς δὲ αὐτὸν τῆς ἀναιδείας ἐκπλαγείς, τοιαύτην ἐποιεῖτο τὴν ἀπολογίαν πρὸς τοὺς λόγους· Τὸ μὲν ὅρκους, ὦ παρακοιμώμενε, πείθειν περὶ πράγματος ὁτουοῦν, οὐ τοῦ παρόντος καιροῦ. Ἦν γάρ ποτε χρόνος ὅτ' ἐγὼ πολλὴν περὶ σὲ τὴν εὐμένειαν ἐπιδεικνύμενος, καὶ μὴ μόνον τοῖς δι' ὅρκων γινομένοις λόγοις, ἀλλὰ καὶ τοῖς χωρὶς τούτων θαῤῥῶν, ἐλάνθανον ἀχονῶν κατ' ἐμαυτοῦ, καὶ ῥοπὴν μεγάλην προστιθεὶς τῷ μέλλοντι τῇ δυνάμει χρῆσθαι κατὰ τῶ

C πολλὰ εὐηργετηκότος· καί τοί γε καὶ κατ' ἐκείνους τοὺς καιροὺς, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐπιορκῶν ἑάλως· καὶ δεινὰ συσκευαζόμενος κατὰ τοῦ καὶ βλέμματι μόνῳ δυναμένου τῆς μοχθηρίας κολάζεσθαι ἀξίως· ἐξ ὅτου δὲ καιροῦ τυχὼν ἐπιτηδείου, καὶ πάντα καὶ Θεοῦ φόβον καὶ ἀνθρωπίνην ἀπερρίψας αἰδῶ, καὶ πολλὰς πλασάμενος διαβολὰς, τὸν πόλεμον τουτονὶ κεκίνηκας τὸν πολλῶν αἴτιον κακῶν νῦν τε ἄχρι γεγενημένον, καὶ ἔτι πλειόνων ἐσόμενον καὶ δεινοτέρων, ὡς ὁρῶ, οὐκ ἔστιν ὅτῳ κέχρησαι μᾶλλον, ἢ ψεύδει καὶ ἐπιορκίαι; αἷς καὶ τῶν συνετωτέρων ἐξηπάτησας πολλοὺς, καὶ σοὶ παρέπεισας προσέχειν τῆς ἀληθείας ἀποστάντας· οὓς καλῶς ποιῶν, τῆς τε σοὶ προσούσης πονηρίας καὶ τῆς ἐκείνοις ἀβελτηρίας ἀξιώτατα ἠμείψω· ὅτι δὲ

D οὔτε πρὸς ἀπέχθειαν ἐμοὶ, οὔτε πρὸς τὸ κακῶς παθεῖν, ἢ καὶ ἀποθανεῖν εἰ οἷόν τε, πάντα καὶ διανοῇ καὶ πράττεις, οὐκ οἶδα εἴτ' αὐτὸς εἰς τοσοῦτον ἀναισθησίας ἥκεις, ὡς μετὰ τοσαύτας ἐναργεῖς τῶν πραγμάτων ἀποδείξεις, δι' ὧν ἐμοὶ πολεμιώτατος ἐφάνης, οἴεσθαι καὶ μέτριός τις εἶναι καὶ ἐπιεικὴς, εἴτε τοσαύτῃ νομίζεις κεχρῆσθαι πονηρίᾳ καὶ ὀφθαλμῶν ἀπάταις καὶ φενακισμοῖς, ὡς πάντας οἴεσθαι λανθάνειν, τοσαῦτα καὶ τηλικαῦτα κακουρ-

Jacobi Pontani notæ.

(21) Sæpius in Scriptura divina angeli testes citantur. Lucæ XII: *Qui me confessus fuerit coram hominibus, confitebor et ego eum coram angelis Dei.* 1 Corinth. IV: *Spectaculum facti sumus coram Deo, angelis et hominibus.* Psal. CXXXVII: *In conspectu angelorum psallam tibi.* Mitto locos alios. Sed ut angeli omnia mortalium facta perspiciant, cogitata quidem non perspiciunt: Deus solus καρδιογνώστης.

Digitized by Google Распознавание текста ABK/FR

γῶν. Περὶ μὲν δὴ τῶν τοιούτων, ἔστι δικαστήριον ἕτερον, καὶ κριτὴς ἀδέκαστος, καὶ φοβερὸς, καὶ μάρτυρες ἄγγελοι πάντα τὰ πραττόμενα ἀνθρώποις εἰδότες φανερῶς, κἂν μυρίοις τοίχοις, ἢ παραπετάσμασιν, ἢ ζόφῳ σκοτεινῷ, ἢ βαθείᾳ περικαλύπτωνται ὁμίχλῃ, ἐφ' ὧν ὑπὲρ τῶν πρὸς ἀλλήλους δικασόμεθα ἀδικημάτων. Ἐκεῖνο δέ μοι τῆς θαυμαστῆς σου στρατηγίας ἔπεισι γελᾶν, ὅτι πάντας καὶ τοὺς πάλαι βεβοημένους ἐπὶ στρατηγίαις περιὼν καινήν τινα, καὶ θαυμασίαν καὶ σοὶ προσήκουσαν ἐπίνοιαν ἐξεῦρες, δι' ἧς σοι τῶν πολεμίων ὀλίγα πονήσαντι κρατεῖν ἐξέσται, ἣν εἰ Σκηπίων Ἀφρικανὸς καὶ Πομπήϊος ὁ Μάγνος καὶ Σύλλας, καὶ εἴ τις ἄλλος ὑμνεῖται στρατηγὸς, ᾔδεσαν Ῥωμαίων, οὐκ ἂν ἐκόπτοντο ταῦτα, καὶ πολλοὺς ὑπέμενον πόνους καὶ κινδύνους, ἔθνη μεγάλα καὶ πολυάνθρωπα καταδουλούμενοι. Εἰ γὰρ ἐξέσται σοι τὴν διάνοιαν τῶν πολεμίων ἐξ αὐτῶν καταμανθάνειν, αὐτός τε ἀήττητος μέχρι παντὸς διαμενεῖς, καὶ τὴν Ῥωμαίων βασιλείαν οὐκ ἐν πολλῷ τῷ χρόνῳ μεγάλην τινὰ καὶ θαυμασίαν ἀποδείξεις, ὥσπερ δὴ καὶ ποιεῖς. Ἔξει μὲν οὖν πρὸς τοσαύτην ἄνοιαν μηδένα ποιεῖσθαι λόγον. Ἐγὼ δέ σοι τὴν ἀρχαίαν τάξιν τηρῶν, καὶ χαριζόμενος ἐν πᾶσιν, εἰ μέλλοιμι καὶ αὖθις τῆς εὐεργεσίας ἀμοιβὰς ταῖς πρότερον ὁμοίας δέχεσθαι, τὴν ἐμὴν διάνοιαν ποιήσω φανεράν. Ἐγὼ νομίζω οὐδὲν εἶναί σοι σπουδαιότερον καὶ λόγου ἀξιώτερον, πολλοῦ, ἢ τοῦ πρὸς ἐμὲ πολέμου. Τριῶν δὲ ὄντων οἷς ἄν τις ἐπιχειρήσειε, τούτων οὐδὲν οἶομαί σοι λυσιτελεῖν. Ἡ γὰρ εἰς Βυζάντιον ἀνάγκη ἀναστρέφειν, ἢ μένειν ἐν Θεσσαλονίκῃ, ἢ ἥκειν πρὸς ἐμὲ μαχούμενον. Τοῦ μὲν οὖν τοσαῦτα χρήματα ἀναλωκότα, καὶ πολλὰ φυσήσαντα καὶ νεανιευσάμενον, καὶ τὴν Ῥωμαίων πᾶσαν ἡγεμονίαν συγχυκήσαντα παρὰ τοσοῦτον ἐγγὺς ἐλθεῖν τῶν πολεμίων, ἔπειτα ὥσπερ ἐπιλαθόμενον τῶν κόμπων τῶν προτέρων, κεναῖς ἐπανέρχεσθαι χερσὶ, μηδὲ θέαν γοῦν τῶν πολεμίων ὑπομείναντα, καὶ ταῦτα στρατιὰν ἄγοντα πολλὴν καὶ ἀγαθὴν, καὶ τῶν πολεμίων πολλαπλασίω, οὐδὲν ἂν εἴη καταγελαστότερον, οὐδὲ μᾶλλον ἀδοξίαν οὐ Ῥωμαίοις οἶσον· ἐκεῖνοι γὰρ ἀεὶ γενναῖοι πρὸς τὰς μάχας, καὶ τόλμης καὶ εὐψυχίας οὐδὲν ἐλλείποντες, ἀλλὰ σοὶ τῷ στρατηγῷ, καὶ πάντες εὐθὺς τὸ Χαβρίου τοῦ τῶν Ἀθηναίων στρατηγοῦ ἐροῦσιν, ὡς φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον ἡγουμένου λέοντος, ἢ λεόντων ἡγουμένου ἐλάφου. Εἰ δὲ μένειν ἐν Θεσσαλονίκῃ διανοήσῃ, πρῶτον μὲν τὸ κέρδος οὐχ ὁρῶ τῆς διατριβῆς. Ἔπειτα μεγάλων ἀναλωμάτων χρείας πρὸς τοσαύτην στρατιὰν, καὶ ταῦτα ναυτικὴν, ἣν ἐκ τῶν δημοσίων τρέφεσθαι ἀνάγκη. Καὶ τῆς ἠπειρώτιδος δὲ στρατιᾶς τοὺς ἐκ Βυζαντίου καὶ τῆς ἄλλης Θράκης τρέφειν δήσει· μισθοφόρους τε οὐκ ὀλίγους ὄντας καὶ τοὺς ἄλλους, ἂν τῶν οἰκείων ἔξω χρόνον διατρίβωσι πολύν· ἢ κατεξαναστήσονταί σου ὡς ἐκόντι βουλομένου δαπανᾶν· ἢ τά γε δεύτερα, ἂν μέτρια δοκιμάζωσι

fama notissimis belli ducibus, novam quamdam et eximiam, tibique convenientem rationem commentus es, qua parvo labore victoriam de hostibus referas; quam si cognovissent Scipio Africanus, Pompeius Magnus, Sulla, et qui præterea e ducibus Romanis prædicantur, non adeo semet defatigassent: nec in magnis ac populosis gentibus subigendis, tot et tam periculosos labores exantlassent. Si enim hostium sensa ex ipsis licebit tibi percipere, et tu invictus semper eris, et Romani imperii terminos ac majestatem brevi tempore admirabiliter proferes augebisque, quemadmodum et nunc facis videlicet. Oportebat igitur ad istanc stultitiam tuam nec verbum respondere. Ego tamen pristinum tibi locum servans, et gratificans in omnibus, si rursum pro beneficio pares prioribus gratias exspectare debeo, cogitationes meas te non celabo. Equidem bello contra me, nihil abs te studiosius expeti, nihil tanti abs te fieri opinor. Cum porro tria sint, quæ facias, eorum nullum rationibus tuis conducere statuo. Aut enim Byzantium revelti necesse est, aut manere Thessalonicæ, aut mecum armis decertare. Eum igitur, qui tantam pecuniæ vim impenderit, qui tanta inflatus superbia tam juveniliter exsultarit, qui totum Romanum imperium permiscuerit atque conjuderit, tam prope ad hostes accessisse: deinde prioris jactantiæ velut oblitum, vacuis manibus recessisse, nec aspectum saltem hostium pertulisse, idque ducentem exercitum frequentem ac bellicosum, et hostili multo numerosiorem, nihil hoc magis ridendum; neque aliud nomini Romanorum tam ignominiosum fieri potest: quorum semper fuit ad pugnandum generosus, imperterritus et excelsus animus. Verum tibi tam egregio duci omnes statim illud Chabriæ Athenensium imperatoris occinent, formidabiliorem esse cervorum exercitum duce leone, quam leonum cervo duce (22). Sin apud Thessalonicam residere præoptabis, primum quidem quid ex ista commemoratione lucrifacias, non intelligo. Accedit impensarum ingentium, ad tantam multitudinem, eamque navalem alendam necessitas, **553** quam de publico ali oportebit. Item e Byzantio, et reliqua Thracia, continentis, quam, militibus mercenariis permultis, nec non aliis, sed diutius a sedibus suis abfuerint, de victu providendum erit: alioqui adversum te, ut eos perdere volentem insurgent, aut certe si mitius egerint, deserto te abibunt, sacculos inanes ostentantes, et egestatem præ se ferentes. Nec istuc solum, sed insuper Macedones et Thessalonicenses singuli stipendia, et donativa flagitabunt, quæ in militem distribuere Romani principatus gubernatorem æquum est. Ad Cralem insuper contra me concitandum multis muneribus et pecuniis indige-

Jacobi Pontani notæ.

(22) Hoc dicto quantum in virtute ducis situm videatur, præclare ostenditur. Leo fortitudinis, cervus timiditatis symbolum seu hieroglyphicum.

Digitized by Google Распознавание текста ABK/FR

στρατιάν, αὐτός τε ἐπανῆξειν μετ' ὀλίγον καταστησάμενος τὰ οἴκοι, καὶ μέχρι παντὸς αὐτῷ συνδιατρίψειν ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ, καὶ συνταξάμενος εὐθὺς ἀπέπλευσεν. Εἴσω δὲ τριῶν καὶ δέκα ἡμερῶν, ἣν ἐπηγγείλατο στρατιὰν, ἔπεμψε πρὸς βασιλέα. Τότε μὲν οὖν δυσχερείας ἔδοξε πολλῆς ἡ ἀναχώρησις Ἀμοὺρ αἰτία γεγονέναι βασιλεῖ. Ὕστερον μέντοι, τῆς περὶ αὐτὸν τοῦ Θεοῦ κηδεμονίας οὐ μικρὸν καὶ αὕτη δεῖγμα ἐφαίνετο γεγενημένη. Τριήρεις γὰρ τέτταρες καὶ εἴκοσι Λατινικαὶ ἔκ τε Ῥοδίων καί τινων ἑτέρων παρεσκευασμέναι, ἐπέπλευσαν τῇ Σμύρνῃ, καὶ τὸ πρὸς τῷ λιμένι φρούριον εἷλον, καὶ ναῦς ἐνέπρησαν οὐκ ὀλίγας Περσικάς. Ἀμοὺρ δὲ παρὼν καὶ ἀμυνόμενος, ὡς μάλιστα ἐνῆν, οὐκ ἴσχυσε περιγενέσθαι τῆς Λατινικῆς δυνάμεως. Ἄχρι γὰρ νυνὶ ὑπ' ἐκείνων ὁ Σμύρνης ἔχεται λιμήν. Ἔλεγε δὲ ὁ βασιλεὺς, ὡς εἰ συνέβαινεν Ἀμοὺρ κατὰ τὴν Θρᾴκην διατρίβοντος ἁλῶναι Σμύρναν, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι τῆς εἰς βασιλέα ἕνεκα εὐνοίας τὴν πόλιν Ἀμοὺρ ἀπολωλεκέναι ἂν ὑπώπτευσαν. Νυνὶ δὲ ἐκείνου μετὰ τῆς στρατιᾶς ἐκεῖ παρόντος, μηδεμίαν πρὸς αὐτὸν αἰτίαν εἶναι τῆς ἁλώσεως. Δι' ἃ πολλὰς ἀπεδίδου θεῷ εὐχαριστίας τῆς περὶ αὐτὸν κηδεμονίας, ὅτι καὶ ἃ δοκεῖ συμβαίνειν δυσχερῆ, πρὸς τὸ λυσιτελοῦν ὕστερον ἀποδείκνυται οἰκονομούμενα. Ἀλλὰ ταῦτα μὲν ὀλίγῳ ὕστερον. Τότε δὲ Ἀμοὺρ ἀναχωρήσαντος, εὐθὺς ὑπὸ πάντων τῶν περιοίκων πόλεμος δεινὸς βασιλέα περιΐστατο· ὃ τε γὰρ Κράλης, τὸ κράτιστον ἄγων τῆς οἰκείας στρατιᾶς, ἄχρι Ζιχνῶν ἀφῖκτο, γνώμην ἔχων, ὡς κατὰ Θρᾴκην ἐπιθησόμενος βασιλεῖ, καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἦκεν ἐπὶ Στίλπνον πανστρατιᾷ, Παλαιολόγῳ τῷ νέῳ συμμαχήσων βασιλεῖ, ὥσπερ ἦν ὑπεσχημένος. Πατριάρχης τε ἐκκλησίαν ἀπὸ πάντων Βυζαντίων ποιησάμενος, καὶ πολλὰ Καντακουζηνοῦ τοῦ βασιλέως καθαψάμενος, ὡς ἀδίκως καὶ παρανόμως τοῖς παισὶν ἐπιβουλεύοντος βασιλέως, οὗ πολλῶν ἀπέλαυσε καὶ μεγίστων εὐεργεσιῶν, ἔπειτα ἑαυτὸν πατέρα καὶ κηδεμόνα τοῦ νέου βασιλέως ἀνακηρύξας, καὶ ὡς διὰ τὴν ἐκείνου σωτηρίαν κινδύνοις καὶ μάχαις καὶ αὐτὸς ἔγνω παραβάλλεσθαι, καὶ καταλύειν τὸν κοινὸν πολέμιον, πάντας παρώρμησε πρὸς τὸν Καντακουζηνοῦ τοῦ βασιλέως πόλεμον, τοὺς μὲν ἑκόντας, ἔστι δ' οὓς καὶ δι' ἀνάγκην δείσαντας τὸ ὑποπτεύεσθαι. Καὶ πάντες κοινὴν ἐκστρατείαν ἐποιήσαντο πεζοί τε καὶ ἱππεῖς· παρῆσαν δὲ καὶ τῶν συγκλητικῶν, ὅσοι ἦσαν ἔτι ἄδετοι· τοὺς πλείους γὰρ αὐτῶν ὁ μέγας δοὺξ, τοὺς μὲν ἐν δεσμωτηρίοις εἶχεν ὑπὸ κλοιοῖς, ἐν οἷς καὶ Ἀνδρόνικος Ἀσάνης ὁ Καντακουζηνοῦ τοῦ βασιλέως ἐξητάζετο πενθερὸς, ἔστι δ' οὓς καὶ ἐν ταῖς οἰκίαις ἐφρούρει ἀπροΐτους. Αὐτὸς δὲ ἦν τῆς στρατιᾶς αὐτοκράτωρ στρατηγός. Οἱ καὶ βασιλέα τὸν νέον ἔχοντες Ἰωάννην, ἦκον εἰς Ἡράκλειαν τῆς Θρᾴκης· πέμψαντες δὲ καὶ πρὸς Μομιτζίλον, ὃς τῶν κατὰ Μερόπην φρουρίων καὶ τῶν ἄλλων νομάδων ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως ἐνεχειρίσθη τὴν ἀρχὴν, ἔπεισαν ὑποσχέσεσι πολλαῖς, πόλεμον πρὸς

Digitized by Google Распознавание текста ABBYY FR

ἐκεῖνον ἄρασθαι. Ἦν γὰρ ἤδη ἐν λόγῳ τινὶ ὁ Μομιτζίλος, καὶ δύναμιν περιβεβλημένος ἱκανήν. Οὕτω μὲν οὖν ὁ πόλεμος πανταχόθεν βασιλέα περιΐστατο, καὶ ὑποπτεύειν δεινὰ εἰσῄει. Αὐτὸς δὲ ὥσπερ εἴωθεν, ἀεὶ πρὸς τοὺς κινδύνους μεγαλοψυχῶν, καὶ τῶν δεινῶν τὰς ἐπιφορὰς ὁμαλῶς καὶ πράως διαφέρων, πρὸς μὲν Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα πρεσβείαν ἐποιεῖτο, καὶ παρῄνει ἡσυχίαν ἄγειν, ὡς οὐ πολλῷ ὕστερον ἐκείνῳ αἰτίου συμφορῶν πολλῶν τοῦ πρὸς αὐτὸν πολέμου γενησομένου. Αὐτὸς δὲ γενόμενος πρὸς τὴν Χαλκηδικὴν, τὴν Γρατιανοῦ πόλιν ἐπολιόρκει οὖσαν οὐ μεγάλην, ὀχυρωτάτην δὲ, ἔκ τε φύσεως τοῦ τόπου καὶ τῶν τειχῶν τῆς κατασκευῆς· ἄλλως δὲ εὐφυῶς πρὸς πάντα ἔχουσαν, καὶ ὥσπερ μητρόπολιν οὖσαν τῆς Χαλκηδικῆς. Πρὸς μὲν οὖν τειχομαχίαν οὐκ ἐπεχείρει· ἤδει γὰρ ἀνάλωτον ὅπλοις καὶ χειρῶν βίᾳ ἐσομένην· δεσμωτῶν δὲ οὐκ ὀλίγων ἐκ τῶν πολιτῶν ἐν τῇ ταύτης ἀκροπόλει φρουρουμένων διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν, πέμψας κρύφα, διελέγετο αὐτοῖς, εἰ δύναιντο, κρατήσαντες τῆς ἀκροπόλεως, παραδιδόναι τὴν πόλιν· καὶ ἐπηγγέλλοντο καὶ αὐτοὶ προθύμως ὑπελθεῖν τὴν ἐπιχείρησιν, καὶ σύνθημα τῆς ἐφόδου ἔδοσαν, νυκτὸς μὲν φρυκτὸν ἀνίσχειν, ἡμέρας δὲ καπνὸν δεικνύειν τῆς ἐπιχειρήσεως σημεῖον. Διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν ὁ βασιλεὺς, καίτοι περιῤῥεόμενος πανταχόθεν ὑπὸ τοῦ πολέμου, οὐκ ἀνίστατο ἐκ τῆς πολιορκίας, ἀλλ' ἐφιλονείκει πρὸς πάντα ἀντικαθίστασθαι ὁμοίως. Ὑφ' ὃν δὲ ταῦτα χρόνον ἐτελεῖτο, καὶ ἡ Λατινικὴ δύναμις ἣ ὀλίγῳ ὕστερον ἐπελθοῦσα ἐκράτησε τειχομαχίᾳ, ἐν τέσσαρσι καὶ εἴκοσι τριήρεσι περὶ Παλλήνην πεπυσμένοι πρός τινα λιμένα Λογγὸν ἐγχωρίως προσαγορευόμενον ναῦς ἑξήκοντα ἐφορμεῖν Περσικὰς, ἐπέθεντό τε καὶ ἐκράτησαν αὐτῶν κενῶν. Τὸ γὰρ Περσικὸν, μὴ δυνάμενον ἀντικαθίστασθαι πρὸς ναυμαχίαν, τὰς ναῦς καταλιπόντες, διεσώζοντο εἰς τὴν γῆν. Λατῖνοι δὲ ἀνελκύσαντες τὰς ναῦς καὶ πυρὶ παραδόντες, ἀνεχώρουν. Οἱ Πέρσαι δὲ ἀπολειφθέντες ἀπορίᾳ νεῶν, ἔγνωσαν δεῖν ἐπὶ Χερρόνησον τῆς Θρᾴκης διὰ τῆς ἠπείρου ἀναχωρεῖν, ὡς ἐκεῖθεν εἰς Ἀσίαν περαιωσόμενοι εὐπορήσαντες νεῶν.

A tione igitur temperabat, quod manu et armis inexpugnabilem sciret. In cujus arce cum multi cives, quod illi bene vellent, vincti tenerentur, per internuntium clam cum iis egit, ut si possent, arce potiti, urbem sibi traderent. Promittunt impigre se conaturos, et tesseram sive signum, unde et ipsos jam opus aggredi, et se accersiri nosset, noctu quidem sublatam facem (32), **586** interdiu autem fumum constituunt. Hac de causa imperator quanquam hostibus undique instantibus obsidionem continuat, et omnibus æque resistere contendit. Circa idem tempus, paulove post quo hæc fiebant, Latini Smyrnam quatuor et viginti triremibus invaserunt et expugnarunt. Et cum apud Pallenen, ad portum quemdam indigenis Longum B appellatum, naves Persicas sexaginta delatas rescissent, in eos cursu directo, vacuis potiti sunt. Persæ siquidem navali prælio imbelles, terræ se credentes, naves in solo destituerant, quibus Latini subductis et crematis recesserunt. Persæ navibus carentes, Cherronesum Thraciæ per continentem eundum, et inde navium facultate suppeditante, in Asiam sibi trajiciendum existimarunt.

CAPUT LXIX.

Persarum et Triballorum certamen. Persæ astu quodam vincunt, et pacta mercede Cantacuzeno serviunt. Gratianopolis capitur. Quomodo Angelitzes præfectus pecuniam suppeditarit non modicam. Obitus episcopi Didymotichensis. Alexander Mœsus Morrham ingressus, imperatoris adventu audito, trans Hebrum fugit. Legatis respondet

Κράλης δὲ ἐν Ζίχνῃ ἐστρατοπεδευμένος, ὥσπερ C ἔφημεν, ἐπὶ τῷ Καντακουζηνῷ τῷ βασιλεῖ πολεμεῖν, ἐπεὶ πύθοιτο τὸ περὶ τοὺς Πέρσας συμβὰν, καὶ ὡς διὰ τῆς αὐτῆς ὁδοῦ ἐπὶ Χερρόνησον μέλλουσιν ἰέναι, τὸ κράτιστον τῆς περὶ αὐτὸν ἀπολεξάμενος στρατιᾶς, καὶ στρατηγὸν αὐτοῖς ἐπιστήσας τὸν εὐψυχίᾳ καὶ τόλμῃ καὶ ἐμπειρίᾳ τῶν παρ' αὐτῷ δυνατῶν δοκοῦντα ὑπερέχειν Πρεάλιμπον ὠνομασμένον ἐκέλευσε συμπλέκεσθαι τοῖς βαρβάροις, οἵπερ ἂν συντύχωσι, καὶ πρός τινα τόπον Στεφανιανὰ λεγόμενον ἐπὶ τὴν ἱππασίμην ἐλθόντας, ἐκεῖ τὴν μάχην ποιεῖσθαι. Ὁ δὲ Πρεάλιμπος ἐπεὶ ἐγένετο ἐν τῷ τόπῳ, ἐπιστὰς τοῖς ἑπομένοις, ἐκέλευε τοὺς ἵππους ἀφεῖναι ἐπὶ τοὺς πολεμίους. Ἐπεὶ δὲ ἐκεῖνοι ἐπὶ πολὺ ἐφέροντο, καὶ οὐδαμοῦ ἐφαίνοντο, ἐκέλευσε τοὺς ἵππους ἀναστρέφειν. Καὶ ἐπεὶ ἐγένοντο ἐν τῷ τόπῳ, ἐν ᾧ ἐστρατοπεδεύοντο, ἐκέλευσ

mentes incursum, in montem vicinum et loca impedita secedunt. Triballi difficiles aditus cernentes, ratique, si per angustias penetrando sese impellerent et coarctarent, equos complures hinc inde sagittis confixos a barbaris perituros, seque nihil nisi vulnera reportaturos, de equis descendentes, pedibus per acclivia operose ac difficulter, armorum pondere retardati, in hostes ibant. Videntes Persæ Triballos adeo per invia eluctantes, quiddam curiosum magis quam generosum facere decernunt, et fuga simulata montis ulteriora petunt. Triballi fraudis ignari sequuntur. Qui postquam ab equis iisque non paucis destiterunt, Persæ denuo agglomerati, directe quidem **587** contra eos non contenderunt, sed ab altera parte circumventis, ad equos illorum cucurrerunt, et quia armis non gravabantur, antevertentes Triballos conscenderunt : qui equis spoliati ad cædem opportuni erant, ceciderunteque complures, nec pauci capti sunt, reliqui per montem huc illuc fugientes, ægre se morti subduxerunt. Crales de suorum clade accepto nuntio, etiam ipse recessit, propter calamitatem, belli in imperatorem immemor. Non tamen rem penitus negligebat, sed et domi sedens bellaturiebat. Persæ victores ad Cantacuzenum Gratianopolim obsidentem legatos mittunt, naves suas inflammatas, et Triballos ab se victos indicant, et se illius cupidos Chersonesum petere, ut inde in Asiam navigent. Orant etiam ne quid sibi per ejus regionem ambulaturis molestiarum exhibeatur. Quod si quid ipsis contra hostes egeret, promittere se promptam operam, si stipendia pacta numerentur : erant autem ter mille et centum. Imperatori subsidium hoc perquam opportunum, summopereque necessarium videri, cum hostes tam multi, tamque potentes incumberent : nondum enim Crales Zichnis domum discesserat. Pecunia autem non suppetente, haud parum cruciabatur. Attamen donatis legatis eos adduxit, ut in stipendium certum exercitus illius commilitium secum paciscerentur, usque ad dies quadraginta. Quod ne statim peterent, sed post lucem decimam quintam, ex quo ad se accessissent : volebat enim interea Didymoticho curare pecuniam. Sic igitur cum legatis pactione confecta, eos ad castra remisit, cumque iis unum de suis, qui illas copias celeriter adduceret. Postridie in arce Gratianopolitana vincti, custodibus meridie impetu facto jugulatis, imperatorem fumi signo ex composito advocant, quo viso confestim cum auxilio accurrens, arcem totamque urbem capit, et cætera lætatus quod urbem tam pulchram nullo labore periculoque obtinuisset, etiam grandem pecuniam, quam maxime indigebat, invenit. Angelitzes enim quidam, abjectus et obscurus civis, antea thesauri reperti suspicione laborabat, cui, re nondum certa, negotium nemo facessebat. At vero tempore hujus sævi belli rebus omnibus in contrarium mu-

A γόμενον περιτυχόντες, καθίσταντο πρὸς μάχην. Οἱ Πέρσαι δὲ ἐπεὶ πεδίον ἦν ἐφ' οὗ Τριβαλοῖς ἐμελλον ἰέναι ἐς τὰς χεῖρας, δείσαντες τὴν ἔφοδον τῶν ἱππέων, ἀνεχώρουν πρὸς τὸ ὄρος καὶ τὰς δυσχωρίας· ἦν γὰρ ἐγγύς. Ὁρῶντες δὲ οἱ Τριβαλοὶ δυσπρόσοδον τὸ χωρίον, καὶ νομίσαντες εἰ διὰ τῶν στενῶν εἰσωθοῖεν ἑαυτοὺς, ἵππους τε ἀπολεῖν πολλοὺς περιτρεπομένους ὑπὸ τῶν βαρβάρων, καὶ αὐτοὺς τραυματισθήσεσθαι, ἀποβάντες τῶν ἵππων, ἐβάδιζον πεζοὶ ἐπὶ τοὺς πολεμίους, δυσέργως καὶ μετὰ βίας ἐπὶ τὸ ἄναντες ἰόντες διὰ βαρύτητα τῶν ὅπλων. Οἱ Πέρσαι δὲ ἰδόντες οὕτω πεζοὺς ἐπὶ τὴν ἄνοδον βιαζομένους, περιεργότερόν τι μᾶλλον ἔγνωσαν, ἢ ἀνδρειότερον ποιεῖν· καὶ ὑποκρινάμενοι φυγὴν, μᾶλλον ἀνεχώρουν πρὸς τὸ ὄρος, οἱ δ' ἐφείποντο, μὴ

B συνιδόντες τὴν ἀπάτην. Ἐπεὶ δὲ ἀπέστησαν ἑκάτεροι τῶν ἵππων οὐκ ὀλίγον, οἱ Πέρσαι συστραφέντες, ἐναντίον μὲν οὐκ ἐχώρουν Τριβαλῶν, ἀλλ' ἐκπεριελθόντες ἑκατέρωθεν, ἔθεον ἐπὶ τοὺς ἵππους· ἄνοπλοι δὲ καὶ κοῦφοι ὄντες, φθάσαντες τοὺς Τριβαλοὺς, ἐκράτησαν τῶν ἵππων, καὶ ἐπέβησαν αὐτοί· Τριβαλοὶ δὲ τῶν ἵππων ἀφῃρημένων ἕτοιμοι ἦσαν πρὸς σφαγήν. Ἔπεσον γὰρ οἱ πλείους κτεινόμενοι ὑπὸ τῶν Περσῶν, ἐάλωσάν τε οὐκ ὀλίγοι· οἱ λοιποὶ δὲ μόλις διεσώθησαν πεζοὶ ἐπὶ τὸ ὄρος διασκεδασθέντες. Κράλης δὲ ἐπεὶ ἐπύθετο τὴν ἧττταν τῆς οἰκείας στρατιᾶς, δείσας, ἀνεχώρει καὶ αὐτὸς, τοῦ πρὸς βασιλέα πολέμου ἐπιλελησμένος διὰ τὴν συμβᾶσαν συμφοράν. Οὐ μὴν ἠμέλει γε, ἀλλὰ καὶ οἴκοι

C καθήμενος ἐπολέμει. Οἱ Πέρσαι δὲ μετὰ τὴν νίκην πυθόμενοι Καντακουζηνὸν τὸν βασιλέα τὴν Γρατιανοῦ πολιορκεῖν, πρεσβείαν πέμψαντες, τόν τε ἐμπρησμὸν τῶν νεῶν ἐδήλουν τῶν σφετέρων, καὶ τὴν ἧτταν Τριβαλῶν, καὶ ὡς αὐτοὶ φιλίως διακείμενοι πρὸς αὐτὸν, ἐπὶ Χερρόνησον ἐγνώκασι χωρεῖν, ἵν' ἐκεῖθεν περαιωθῶσιν εἰς Ἀσίαν· ἀξιοῦν τε μηδὲν αὐτοῖς παρενοχλεῖν μέλλουσι διὰ τῆς ἐκείνῳ ὑπηκόου διιέναι. Εἴ δέ τι δέοιτο αὐτῶν κατὰ τῶν πολεμίων προθύμους εἶναι συμμαχεῖν, εἰ χρήματα παράσχοιτο, ὅσα ἂν συμβῶσιν· ἦσαν δὲ τρισχίλιοι καὶ ἑκατόν. Βασιλεῖ μὲν οὖν ἐδόκει ἀναγκαιοτάτη εἶναι ἡ τῆς Περσικῆς συμμαχία στρατιᾶς, καὶ μάλιστα ἐπὶ καιροῦ γεγενημένη, τοσούτων πολεμίων ἐπιόντων πάντοθεν καὶ οὕτω δυνατῶν· οὐδέπω γὰρ ἤδει

D Κράλην πρὸς τὴν οἰκείαν ἐν Ζιχνῶν ἀνακεχωρηκότα· χρημάτων δὲ οὐκ εὐπορῶν, οὐ μετρίως ἠνιᾶτο· ὅμως τοῖς πρεσβεύσουσι δῶρα παρασχόμενος, ἔπεισε συνθέσθαι ἐπὶ χρήμασι ῥητοῖς συμμαχεῖν αὐτῷ τὴν στρατιὰν ἡμέρας τεσσαράκοντα, τὰ χρήματα δὲ μὴ αὐτίκα ἀπαιτεῖν, ἀλλὰ μετὰ πεντεκαιδεκάτην τῆς ἀφίξεως ἡμέραν· γνώμην δὲ εἶχεν ὡς ἐν ταύτῃ ἐκ Διδυμοτείχου μεταπερψόμενος. Οὕτω μὲν οὖν μετὰ τῶν πρέσβεων συμβάσεις θέμενος, ἔπεμπεν εἰς τὸ στρατόπεδον καὶ τῶν οἰκείων συνεκπέμψας ἕνα, ὥστε κατὰ τάχος ἀγαγεῖν πρὸς αὐτὸν τὴν στρατιάν· εἰς τὴν ὑστεραίαν δὲ μετὰ τῶν πρέσβεων τὴν ἐκ βασιλέως ἀναχώρησιν οἱ ἐν ἀκροπόλει τῆς Γρατιανοῦ δεσμῶται τοῖς φυλάττουσι μέσης ἡμέρας ἐπιθέμενοι καὶ κρατήσαντες ἐκάλουν βασιλέα καπνῷ

Digitized by Google Распознавание текста ABK/FR

ἐπιδεικνύντες, ὥσπερ ἦν συντεθειμένον. Βασιλεὺς δὲ ἐπεὶ τὸ σύνθημα εἶδεν, ὀξέως ἐπιβοηθήσας, εἶλε τὴν πόλιν ἐκ τῆς ἄκρας· καὶ τά τε ἄλλα ἤσθη, οὕτω πόλιν καλὴν ἀπονητὶ καὶ χωρὶς κινδύνων κατασχών, καὶ χρημάτων εὐπόρησεν οὐκ ὀλίγων, ὧν μάλιστα ἐδεῖτο. Ἀγγελίτζης γάρ τις ἐκ τῶν φαύλων καὶ ἀσήμων πολιτῶν, πρότερον ὑπωπτεύετο θησαυρὸν χρημάτων εὑρηκέναι· ἀδήλου δὲ ὄντος τοῦ πράγματος, οὐδεὶς ἠνώχλει· κατὰ δὲ τὸν χρόνον τούτου τοῦ δεινοῦ πολέμου, εἰς τοὐναντίον ἅπαν τῶν πραγμάτων περιτραπέντων, καὶ τῶν μὲν ἀρίστων ἐκβληθέντων καὶ εἰργομένων ἁπανταχοῦ, ἀρχόντων δὲ τῶν φαύλων, καὶ οὐδὲ ἄμεινον τῶν πολλῶν διακειμένων, καὶ ὁ Ἀγγελίτζης οὗτος ἄρχων ἀπεδείχθη τῆς Γρατιανοῦ διὰ τὸ πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἔθος. Καιροῦ δὲ τυχὼν, ἐχρῆτο τῷ πλούτῳ, καὶ φανερὸς ἦν ἔχων, ὥσπερ ὑπωπτεύετο τὸν θησαυρόν. Κατασχόντος δὲ τὴν πόλιν βασιλέως, ἐπεὶ μὴ ἐξῆν ἀρνεῖσθαι, τοῦ πράγματος οὕτω φανεροῦ γεγενημένου, μετὰ τὸ πάντα ὅσα ἦν ἐν τῇ οἰκίᾳ ἀφαιρεθῆναι ὄντα οὐκ ὀλίγα, καὶ περὶ τῶν κρυπτομένων ἠρευνᾶτο, καὶ παρέσχετο πολλά. Ἃ ἐξήρκεσε βασιλεῖ πρός τε ἄλλας δαπάνας ἀναγκαίας, καὶ πρὸς τὸ Πέρσαις τοῖς συμμάχοις ἀποδοῦναι ὃν ὑπέσχετο μισθόν. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον, καὶ ὁ Διδυμοτείχου ἐτεθνήκει ἀρχιερεύς. Πέμπτῃ δὲ ἡμέρᾳ μετὰ τὴν ἐκείνου τελευτὴν, καὶ Γραβᾶς ὁ Σκουτέριος ἐτεθνήκει, ὥσπερ ἦν ὁ ἀρχιερεὺς προειρηκὼς, ὃ μάλιστα ἐλύπησε τὸν βασιλέα. Ἦν γὰρ περὶ ἐκεῖνον πολλὴν τὴν αἰδῶ καὶ τὸ σέβας κεκτημένος. Ἀλέξανδρος δὲ ὁ Μυσῶν βασιλεὺς, ἐπεὶ οἱ Καντακουζηνοῦ τοῦ βασιλέως πρέσβεις ἦκον πρὸς αὐτὸν, καὶ ἀπήγγελλον τὰ τῆς πρεσβείας, λόγον μὲν οὐδένα ἐποιήσατο πρὸς τὰ εἰρημένα· στρατιὰν δὲ ἔχων, ἦλθεν ἄχρι Μόρρας, τὰ ἐκεῖ πολίχνια, εἰ δύναιτο, παραστησόμενος ὑπήκοα ὄντα βασιλεῖ. Ἓν δὲ αὐτῶν Ὑπερπυράκιον ὠνομασμένον, καὶ πρὶν ἐκεῖνον ἥκειν, ἄρχοντα εἰσεδέξαντο πεμφθέντα παρὰ Ἀλεξάνδρου, ἔμελλον δὲ καὶ φρουράν· ἃ παρὰ τῶν πρέσβεων μαθὼν ὁ βασιλεὺς, ἐπεὶ καὶ ἡ στρατιὰ παρῆν ἡ Περσικὴ, καὶ περὶ τοῦ Κράλη ἐπυνθάνετο, ὡς ἀναστρέψειεν εἰς τὴν οἰκείαν διὰ τὴν πλησὴν τῆς στρατιᾶς, εὔθυμος γενόμενος, καὶ Ματθαῖον τὸν υἱὸν ἄρχοντα τῆς τε Γρατιανοῦ καὶ τῶν ἄλλων, αἳ ὑπήκοοι ἦσαν ἐν τῇ Χαλκηδικῇ καταλιπὼν, ὡς εἶχε τάχους, πρὸς Μόρραν ἐπὶ τοὺς Μυσοὺς ἐχώρει. Αἰσθόμενος δὲ Ἀλέξανδρος, ἐπεὶ μὴ ἀντικαθίστασθαι ἠδύνατο πρὸς μάχην, σπουδῇ πολλῇ διέβαινε τὸν Ἕβρον ἀτάκτως καὶ πεφυρμένος, καὶ ἐστρατοπεδεύετο ἐκεῖ, ὡς τοῦ ποταμοῦ κωλύσοντος βασιλέα μὴ συμπλέκεσθαι αὐτοῖς. Ἀπώλοντο δὲ κατὰ τὸν πόρον, στρατιῶταί τε ὀλίγοι, καὶ ἵπποι πλεῖστοι, καὶ ἀποσκευαί· οὐ μόνον ὑπὸ τοῦ ῥείθρου, ἀλλ' ὅτι καὶ οἱ ἐν προτάκτοις ὑπὸ βασιλέως τεταγμένοι ἔτι τῶν Μυσῶν διαβαινόντων ἐπέκειντο αὐτοῖς. Ὑπερπυράκιον δὲ αὖθις ἀνεσώσατο ὁ βασιλεὺς, τοῦ παρὰ Ἀλεξάνδρου ἄρχοντος διαδρᾶναι δυνηθέντος ἅμα τῷ πυθέσθαι βασιλέα ἥκοντα. Ἀλέξανδρος δὲ τοῖς βασιλέως πρέσβεσιν αὐτίκα χρηματίσας, καὶ θέμενο, σπονδὰς, ἐξέπεμψε μηδὲν ἠδικηκέναι εἰρηκὼς, δι' ὃ δικαίως ἀμύνεῖται βασιλεὺς, καὶ ἀνέστρεφεν εἰς τὴν οἰκείαν.

A tatis, et optimatibus quidem ubique pulsis, in carceremque conjectis, **588** præfectis autem improbis ac nihil a vulgi conditione differentibus, etiam Angelitzes iste præfectus Gratianopolis, propter odium quod in Cantacuzenum gerebat, designatus est. Tum occasionem nactus, divitiis suis uti frui cœpit, et quod prius suspiciosum erat de thesauro, tunc plane verum apparuit. Imperatore autem urbe potito, quia rem adeo jam vulgatam negare non licebat, ablatis omnibus copiis ejus familiaribus, iisque non modicis, insuper de occultata pecunia examinatus, eam et multam quidem protulit : quæ imperatori, tum ad alias impensas necessarias, tum ad solvenda Persis promissa stipendia suffecit. Sub idem tempus episcopus Didy- B motichensis animam amisit, et die quinto post Glabas Scuterius, ut ille prædixerat. Ex obitu episcopi imperator magnum animo dolorem accepit, plurimum enim virum reverebatur et sancte venerabatur. Alexander Mœsorum rex, ut oratores Cantacuzeni quid venissent exposuerunt, nihil respondit : cum exercitu autem Morrham ingressus est, oppidula illic imperatori subjecta, si posset, subacturus. Unum porro de illis, Hyperpyracium nomine, etiam ante Alexandri adventum præfectum ab eo missum susceperat, et erat quoque præsidium susceplurum. Imperator, ut hoc ex legatis didicit, quia et Persicum subsidium habebat, et Cralem propter plagam acceptam in provinciam reversum audierat, hilaratus, Matthæo filio Gratia- C nopolis aliarumque urbium in Chalcidica sibi parentium præfecto relicto, in Morrham contra Mœsos quantum potuit, properavit. Eo intellecto Alexander, quoniam acie resistere nequibat, mira festinatione et incomposite atque confuse Hebro transito, castra fecit, tanquam flumine imperatorem impedituro scilicet, ne illos secum conserere manus compelleret. Submersi sunt in transitu milites aliquot et equi complures : sarcinæ item et impedimenta non in flumine modo, sed hac etiam de causa amissa, quod in principiis ab imperatore locati, Mœsos adhuc transeuntes, a tergo ipsis instantes perurgebant. Hyperpyracium autem, præfecto, quem Alexander instituerat, simul ac imperatoris adventum audivit fugæ, quia poterat, se D mandante, receptum est. Alexander porro legatos mox responso dato, factoque fœdere dimittens, addensque nihil se per injuriam commisisse, quod imperator merito ulciscatur, in regnum suum se recepit.

Digitized by Google Распознавание текста ABK/FR

589 CAPUT LXX.

Momitzilus tres naves Persicas exurit. Persæ reliqui socios, quos ab eodem occisos falso intellexerant, ulcisci ardent. Imperator de improviso superveniente Momitzilo, magnum adit periculum, et suis fugientibus, contra insequentes strenue se defendit. Lantzareti fidelitas erga dominum quam fideliter remuneratur imperator. Momitzilus despota ab imperatrice creatur, cui veniam petenti imperator ignoscit, et ejus dignitatem auget. Persæ ex pacto missionem petunt, et in Asiam revertuntur.

Imperator cum et Alexandrum submotum esse gauderet, Heracleenses, imperatoris adolescentis studiosos invadere parabat, cum Momitzilus a Byzantiis in eum irritatus, ut Didymotichum revenisse cognovit, Abderitas invasit, ubi quindecim naves ab Amurio ad imperatorem suppetias missæ stabant in littore, quas ducenti quinquaginta Persæ custodiebant, reliquis imperatorem sequentibus. Ex his Momitzilus illo impetu hostili tres incendit, nemo tamen Persarum interiit. Tum reliquis, qui apud imperatorem erant Persis, nescio quis nuntiavit, Momitzilum naves ad unam exussisse, et custodes ad unum obtruncasse, neminem effugere potuisse. Qui protinus arma capientes eum adoriri gestiebant, et imperatori contra venienti, dicentique post reditum ab Heraclea in eum qua par esset cura et studio pugnari posse, et expeditionem Heracleensem multis de causis magis videri necessariam ostendenti, illi contra respondebant nihil tam necessarium se putare quam suorum civium necem ulcisci. Perspiciens imperator eos cohiberi non posse, una manipulos Romanos mittit, simul ut regiunculam Momitzili velut aperti desertoris deprædarentur, simul quia barbaris metuebat, ne ab illo justum jam habenti exercitum, et ducibus illius ætatis audacia et animi celsitudine nihil concedente, delerentur. Momitzilus id quod evenit suspicione præcipiens, eam nimirum injuriam imperatorem inultam non passurum, sed manum contra se missurum, sparsos per regionem agrestes in oppida et castella contraxit, seseque ad præliandum instruxit. Verum ubi animadvertit ex Persis et Romanis constantem exercitum validiorem esse, quam ut ei se deberet cum periculo objicere, in præsentia cœptis supersedendum, eorumque direptioni indulgendum, recedentibus autem inhærendum, et si quo possit damno mactandos duxit. Cum suis porro copiis Peritheorium, **590** quæ adhuc in fide imperatoris manebat, illic hostium discessum exspectaturus concessit. Cæterum imperatori et ipsi Camutzenis reditum suorum præstolanti, visum aliquantum progrediendum, si forte quampiam de illis auditionem acciperet, et usque ad urbem antiquam Mesenen, jam olim dirutam, cum comitatu circiter sexaginta militum vectus est. Ibi cum ab equis descendissent, missis prius speculatoribus, qui procul observarent, somno obrepente dormivit aliquandiu, atque inter dormiendum hanc vocem audiit, « Expergiscere, qui dormis, et resurge a mortuis, et illuminabit te Christus. » Qua voce confusus animi, repente surrexit, et rem præsentibus indicavit. Adsunt item speculatores, narrantes exerci-

Βασιλεὺς δὲ ἀσμένως ἀποσκευασάμενος καὶ Ἀλέξανδρον, παρεσκευάζετο ὡς τοῖς εἰς Ἡράκλειαν ἐπιστρατεύσων ἅμα τῷ νέῳ συνοῦσι βασιλεῖ· Μομιτζίλος δὲ ὑπὸ τῶν ἐν Βυζαντίῳ πεπυσμένος πόλεμον ἄρασθαι πρὸς βασιλέα, ἐπεὶ εἰς Διδυμότειχον ἦσθετο ἀφιγμένον, Λύδηρίταις ἐπεστράτευσεν, ἐν οἷς ὡρμίζοντο αἱ πρότερον παρὰ Ἀμοὺρ πεντεκαίδεκα νῆες πρὸς βασιλέα κατὰ συμμαχίαν ἀφιγμέναι, ἃς ἐφύλαττον πεντήκοντα καὶ διακόσιοι Περσῶν· οἱ λοιποὶ δὲ συνῆσαν βασιλεῖ· ἐξ ὧν ὁ Μομιτζίλος κατὰ τὴν ἔφοδον ἐκείνην ἐνέπρησε τρεῖς, τῶν ἄλλων περισωθεισῶν, Περσῶν δὲ ἀπώλετο οὐδείς. Πρὸς δὲ τοὺς βασιλεῖ συνόντας τις ἐλθών, ὡς ναῦς τε συμπάσας ἐμπρήσειε Μομιτζίλος ἐπελθὼν καὶ τοὺς φύλακας ἀποκτείνειε, διαδράναι δυνηθέντος μηδενὸς ἀπήγγελλεν. Οἱ δ' ἦσαν ἐν τοῖς ὅπλοις εὐθὺς, καὶ ὥρμηντο Μομιτζίλῳ ἐπιέναι· βασιλέως δὲ κωλύειν πειρωμένου, ὡς μετὰ τὴν ἐξ Ἡρακλείας ἐπάνοδον ἐπιστρατεύσοντας ἐκείνῳ μετὰ τῆς προσηκούσης ἐπιμελείας καὶ σπουδῆς, καὶ ἀναγκαιοτέραν τὴν εἰς Ἡράκλειαν στρατείαν ἐκ πολλῶν ἀποδεικνύντος, οὐδὲ ἀναγκαιότερον ἔφασαν ἐκεῖνοι τοῦ ἀμύνεσθαι ὑπὲρ τοῦ φόνου τῶν ὁμοφύλων. Ὁρῶν δὲ ὁ βασιλεὺς, ὡς μὴ δύναιτο κατέχειν, καὶ τὴν Ῥωμαίων συνεξέπεμπε στρατιὰν, ἅμα μὲν κακώσουσαν τὰ Μομιτζίλου ἤδη φανερῶς ἀφεστηκότος, ἅμα δὲ καὶ περὶ τῶν βαρβάρων δεδοικὼς μὴ διαφθαρῶσιν ὑπ' ἐκείνου, ἀξιόμαχον στρατόπεδον ἤδη κεκτημένου καὶ πρὸς τόλμαν καὶ εὐψυχίαν οὐδενὸς τῶν τότε λειπομένου. Μομιτζίλος δὲ ὅπερ ἐγένετο ὑπωπτευκὼς, ὡς οὐκ ἂν ἀνάσχοιτο τὴν ὕβριν ὁ βασιλεὺς, ἀλλ' ἐπ' αὐτὸν πέμψοι στρατιὰν, τήν τε χώραν συνέστειλεν εἰς τὰς πόλεις, καὶ τὰ φρούρια καὶ αὐτὸς παρεσκεύαστο, ὡς ἐπὶ μάχην. Ὁρῶν δὲ τὴν Περσῶν καὶ Ῥωμαίων στρατιὰν δυνατωτέραν οὖσαν, ἢ ὥστε διακινδυνεύειν πρὸς αὐτὴν, τὸ νῦν μὲν ἔχον, ἔγνω ἡσυχάζειν, καὶ ἐπὶ λεηλασίαν τρέπεσθαι ἐᾷν, ἀναστρέφουσι δὲ ἐπιτίθεσθαι καὶ βλάπτειν, ἤν τι δύνηται· καὶ τὴν στρατιὰν ἔχων, κατὰ τὸ Περιθεώριον ὑπὸ βασιλίδι ἔτι τελοῦν διέτριβεν ἐλθών, καὶ τὴν ἀνάζευξιν περιέμενε τῆς στρατιᾶς. Βασιλεῖ δὲ τῷ Καντακουζηνῷ ἐν Κουμουζηνοῖ, τὴν ἐπάνοδον τῆς στρατιᾶς καὶ αὐτῷ ἐκδεχομένῳ ἐδόκει δεῖν προελθεῖν ἐπὶ μικρὸν, εἴ πως ἐγένοιτο παρὰ τουτὶ περὶ τῆς στρατιᾶς πυθέσθαι· καὶ προῆλθεν ἄχρι πόλεως Μεσήνης παλαιᾶς ἐκ πολλῶν ἐτῶν κατεσκαμμένης, ὅσον ἑξήκοντα ἔχων ἑπομένους στρατιώτας. Ἐκεῖ δὲ τοῦ ἵππου μετὰ τῶν συνόντων ἀποβὰς, σκοποὺς μὲν ἔπεμπε πρότερον φυλάττειν πόρρωθεν· νυσταγμῷ δὲ ληχθεὶς, ὑπνωττεν ἐπὶ μικρόν· ὑπνώττοντι δὲ ἠκούετο λέγουσα φωνή· « Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Ἀνέστη μὲν οὖν αὐτίκα, ὑπὸ τῆς φωνῆς θορυβηθεὶς, καὶ τοῖς παροῦσι διηγεῖτο. Ἅμα δὲ καὶ οἱ σκοποὶ

Digitized by Google Распознавание текста ABK/FR

ἀπήγγελλον ἐλθόντες, ὡς προσελαύνει στρατια· ἀκριβῶς δὲ οὐκ εἶχον εἰδέναι ὅθεν εἴη. Βασιλεὺς δὲ καὶ οἱ περὶ αὐτὸν ᾠήθησαν μὲν εἶναι τὴν οἰκείαν ὑποτρέφουσαν ἐκ τῆς λεηλασίας. Ὅμως ὑπὸ τῆς κατὰ τοὺς ὕπνους τεθορυβημένος φωνῆς, τούς τε νεμομένους ἵππους ἐκεῖ τῆς στρατιᾶς ἐκέλευε τοὺς νομέας ἀπάγειν εἰς Κουμουτζηνά, καὶ Μανουὴλ τὸν Ταρχα ειώτην ἐκ τῶν παρόντων ὀλίγους ἐκέλευεν ἀπολεξάμενον, εὐθὺ τῆς ἐρχομένης στρατιᾶς χωρεῖν, καὶ κατασκέπτεσθαι ὅθεν εἴη· αὐτὸς δὲ ἀνελάμβανε τὰ ὅπλα μετὰ τῶν συνόντων. Οὔπω δὲ ὡπλισμένων παντελῶς τεθορυβημένος ἐπανῆκεν ὁ Ταρχανειώτης, πολεμίους, εἶναι φάσκων τοὺς ἐπιόντας. Οὔπω δὲ πᾶν εἴρητο ἔπος, καὶ οἱ πολέμιοι παρῆσαν. Ἦν δὲ ὁ Μομιτζίλος, χιλίους ἄγων ἐπιλέκτους, παρά τινων κατασκόπων, οὓς ἔπεμψεν αὐτὸς περὶ βασιλέως πεπυσμένος, ὅτι ἐν Μεσήνῃ τὸ νῦν ἔχον διατρίβει. Ἦν γὰρ ὀλίγον ἐν ᾧ διεῖχε Περιθεώριον Μεσήνης. Βασιλεὺς μὲν οὖν τοὺς περὶ αὐτὸν συναγαγὼν, ἐβάδιζεν εὐτάκτως διὰ Μεσήνης τὴν ἄγουσαν εἰς Κουμουτζηνά. Ὁρῶν δὲ ὁ Μομιτζίλος οὐκ εὐθὺς ἐπὶ φυγὴν τραπέντας, ἀλλὰ βάδην καὶ τεταγμένως ἀπιόντας, ἔδεισε μή τινων ἐνεδρευόντων ἐν τοῖς ἐρειπίοις τῆς πόλεως τροπὴ γένηται περὶ αὐτὸν, ἀτάκτοις καὶ διεσκεδασμένοις ἀθρόον ἐπελθόντων, καὶ συνεῖχε καὶ αὐτὸς τὴν στρατιὰν σχολαίως πορευομένην ἐν λόγοις τρισίν. Ἐπεὶ δὲ βασιλεὺς καὶ οἱ περὶ αὐτὸν ἔξω τῶν ἐρειπίων ἦσαν, καὶ ἐνέδρας ὑποψία οὐδεμία ἦν, ἤλαυνον οἱ περὶ Μομιτζίλον ἐπ' ἐκείνους ἀκρατῶς. Τραπομένων δὲ ἁπάντων εἰς φυγὴν, ἐπεὶ οἱ προδραμόντες τῶν πολεμίων ἐγγὺς ἦσαν βασιλέως, τῶν ἄλλων γὰρ αὐτὸς τελευταῖος ὑπελείπετο, συστραφεὶς ἠμύνετο τοῖς πρώτως φθάσασι, καὶ ἔπιπτεν ὁ βασιλέως ἵππος τοῖς πολεμίοις συμβαλόντος. Τῶν οἰκετῶν δὲ εἷς παρὼν, Λαντζαρέτος ὄνομα, τοῦ ἵππου ἀποβὰς παρείχετο τὸν ἵππον βασιλεῖ· ἅμα δὲ καὶ συνήρατο ἐπιβῆναι. Ἐπιβαίνοντα δὲ ξίφει τις ἔπληξεν ἐπιστὰς κατὰ τῆς κεφαλῆς, ἔβλαπτε δὲ οὐδὲν, τοῦ κράνους πρὸς τὴν πληγὴν γενναίως ἀντισχόντος. Ἐξ ἐκείνου δὲ διὰ πάσης ἀμυνόμενος τῆς ὁδοῦ καὶ πληττόμενος (παρῆλθον γὰρ αὐτὸν πολλοὶ τῶν πολεμίων), ἦλθεν εἰς Κουμουτζηνὰ, παραδόξως διασωθείς. Λαντζαρέτον δὲ ξίφεσι καὶ δόρασι κατατραυματίσαντες καὶ νομίσαντες ἀπεκτονέναι (δεκάκις γὰρ ἐτραυμάτισαν πρὸς τοῖς ὀκτὼ), ἀπέλιπον ἐμπνέοντα. Βασιλεὺς μὲν οὖν οὕτως ἐκ τοῦ τοσούτου κινδύνου μηδενὸς ἂν προσδοκήσαντος διεσώζετο. Καὶ ὁ Μομιτζίλος οὐδὲ βραχὺ προσμείνας, ἀνεχώρει. Λατζαρέτον δὲ πέμψας ὁ βασιλεὺς, ἤγαγεν εἰς Κουμουτζηνὰ ἐμπνέοντα ἔτι· καὶ πολλῆς ἀξιωθεὶς ἐπιμελείας, ἐν ὀλίγῳ χρόνῳ ὑγιής τε καὶ σῶος αὖθις ἦν, μηδὲν τῶν μελῶν ὑπὸ τῶν πληγῶν ἀποβαλὼν, πολλῆς τε εὐμενείας καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλέως, καὶ μειζόνων ἢ ἐτύγχανε δοκῶν εἶναι ἀξιώτερος, διὰ τὴν ἐπιδεδειγμένην πρὸς ἐκεῖνον εὔνοιαν. Ἔπεσον δὲ καὶ τῶν ἄλλων τέτταρες, ὧν εἷς ὁ Βρυέννιος Μιχαὴλ ἦν, ᾧ πεσεῖν μαχόμενον ἔμπροσθεν βασιλέως ὁ Διδυμοτείχου ἀρχιερεὺς πολλῷ χρόνῳ πρότερον προεῖπεν· ἐάλωσαν δὲ καὶ ἕτεροι

A tum adventare, nec certo noscere potuisse undenam adventet. Imperator cum comitibus proprium esse, et a populatione redire censet: Verumtamen voce in somnis audita turbatus, et equos præsidiariorum illic pascentes reducere Cumutzena pastoribus mandavit, et Manuelem Tarchaniotam ex præsentibus paucos deligere, venientibus recta occurrere, unde venirent speculari jussit; ipse interim arma cum sociis induit. Sed necdum his plane armatis, Tarchaniota trepidus revertitur, hostes advenire ait. Vix finierat, et ecce adsunt. Ducebat autem Momitzilus selectos mille, per exploratores suos certior factus, imperatorem in præsentia ad Mesenen sedere, siquidem Peritheorio Mesene parvo intervallo aberat. Collectis igitur
B suis, ordinatoque agmine via per Mesenen ducente Cumutzena redit. Cernens Momitzilus non extemplo fugisse, sed gradatim et ordinatim discedere, timensque ne quibusdam inter rudera et parietinas urbis insidiose latentibus, densataque caterva in suos nec ordinatos et sparsos irruentibus fugā fieret, eos etiam ipse tripartito distributos, lento passu incedere fecit. Ast ubi insidiarum suspicio cessavit, impotenter se in recedentes intulerunt. Quibus omnibus in fugam se effundentibus, cum qui ex hostibus primi accurrebant, imperatori appropinquarent (ultimum enim agmen claudebat), agglomeratus cum paucis se tuebatur. Cumque sub eo equus confossus cecidisset, unus e famulis
C Lantzaretus vocabulo, suum præbuit, atque in eum sustulit. Ascendentem **591** quidam advolans ense in caput ferit, sed firmitate galeæ ictus inanis fuit. Inde toto itinere multis irruentibus et cædens et cæsus Cumutzena mirabiliter servatus venit. Lantzaretum vero gladiis et hastis occidendi causa consauciatum (octodecim enim vulnera ei inflixerunt) spirantem adhuc reliquerunt. Imperator itaque e tanto discrimine præter omnium exspectationem emersit, et Momitzilus sine mora discessit. Lantzaretum imperator seminecem Cumutzena vehendum curavit, qui brevi tempore sedulitate medicorum sospes et incolumis, nulla parte corporis amissa, est redditus, et majore etiam quam ob declaratum erga dominum amorem me-
D ruisse videbatur, apud eum gratia honoreque floruit. Ceciderunt autem quatuor, quorum unus Michael Bryennius, cui ante imperatoris pedes pugnantem occubiturum, multo ante Didymotichi episcopus prædixerat, totidem capti. Momitzilus paulo post quam manus illa prædatoria, de qua supra, discessit, duos de captivis, Apelmenem et Theodorum Caballarium ad Annam imperatricem legat, societatis et prælii cum ejus hoste commissi præmium petit. Quæ petitione libenter admissa, despotam illum creat. Ipse quoque misso ad imperatorem oratore, hujus stoliditatis suæ et male bene merito suo relatæ gratiæ veniam petit, ac de cætero meliora promittit. Imperator intelligens et vindicta punire Momitzilum quam es-

Digitized by Google Распознавание текста ABK/FR

set difficile, et hostem habere, qui obesse graviter posset, quam parum utile, tempus idoneum exspectans, se reconciliari passus est, et ignovit, audiensque ab imperatrice renuntiatum despotam, sebastocratoris honore ejus dignitatem cumulavit. Et visus est hujus quam imperatricis studiosior, bonique consulere, sub imperatorem redactum esse, sed non diu, ut mox dicetur. Elapso interea spatio, quo se barbari imperatori militaturos spoponderant, mentionem reditus fecerunt. Quibus imperator ut ultra manerent cum non persuaderet, operamque luderet, eos dimisit, et ita per Hellespontum in Asiam renavigarunt.

A τοσοῦτοι. Μομιτζίλος δὲ μετὰ μικρὸν τῆς αὐτῷ ἐπελθούσης στρατιᾶς ἀνακεχωρηκυίας, τῶν ἑαλωκότων δύο, τόν τε Ἀπελμενὲ, καὶ Θεόδωρον τὸν Καβαλλάριον πρὸς βασιλίδα τὴν Ἄνναν πέμψας, μισθοὺς ᾔτει τῆς συμμαχίας, καὶ τῆς πρὸς τὸν πολέμιον αὐτῷ γεγενημένης μάχης. Ἡ δὲ ἀσμένως τε ἐδέχετο τὴν αἴτησιν καὶ δεσπότην ἀπεδείκνυε. Πρεσβείαν δὲ καὶ πρὸς βασιλέα πέμψας ἐδεῖτο τυχεῖν συγγνώμης, ἀγνώμων οὕτω φανεὶς, καὶ κακῶς ἀμειψάμενος τὸν εὐεργέτην· ἐπηγγέλλετό τε μηδὲν ἀγνωμονήσειν ἔτι. Βασιλεὺς δὲ τό τε τιμωρεῖσθαι ὡς ἀμήχανον ὁρῶν, καὶ τὸ πολέμιον ἔχειν Μομιτζίλον

B βλάπτειν δυνάμενον ἤδη ἀλυσιτελὲς, διηλλάττετό τε καὶ παρείχετο συγγνώμην, προσήκοντα ὑπομένων τῷ καιρῷ, πεπυσμένος δὲ αὐτὸν καὶ παρὰ βασιλίδος δεσπότην γεγονέναι, τὴν σεβαστοκράτορος αὐτὸς παρείχετο ἀξίαν, καὶ ἔδοξε τὰ τούτου μᾶλλον ἢ τὰ βασιλίδος προελέσθαι, καὶ ἔστεργε τὸ ὑπὸ βασιλεῖ τετάχθαι δῆθεν ἐπ' ὀλίγον χρόνον. Τοῦ χρόνου δὲ ἐν τούτοις παρῳχηκότος, ὃν οἱ βάρβαροι ἐπηγγείλαντο συμμαχήσειν βασιλεῖ, ἐμέμνητο ἐπανόδου. Βασιλεὺς δὲ καὶ αὖθις ἐπεχείρει συνεῖναι πείθειν, μὴ πειθομένους δὲ ἀπέλυε, καὶ ἐπεραιοῦντο εἰς Ἀσίαν δι' Ἑλλησπόντου.

592 CAPUT LXXI.

Imperator Palæologus ægrotus Byzantium redit. Mœsus fœdifragus Apocaucho auxilium mittit. Empythium obsidetur frustra. Ab imperatore ut versipellis et mendax reprehenditur. Callidum imperatoris consilium. Gener Apocauchi in Hebro submergitur. Profectio ejusdem Didymotichum cum exercitu. Imperator ex composito cataphractus exspectat. Repelluntur qui oppugnatum venerant. Apocauchus Morrham vastat. Momitzilus ab imperatrice et imperatore deficit, ac proprium principatum molitur.

Per idem tempus imperator Palæologus Heracleæ morbo ancipiti laborabat, quem patriarcha et nonnulli proceres Byzantium reduxerunt. Apocauchus autem magnus dux cum exercitu summus ejusdem imperator relictus ad Didymotichenses oppugnandos sese comparabat, siquidem Persas Cantacuzenum deseruisse acceperat. Mœsorum item rex soluto fœdere auxilium ei pollicitus, non multo post misit. Imperator nihil horum nesciens, pro facultate se quoque ad hostem excipiendum præparabat, relictoque in Chalcidice Matthæo filio cum manu quantam rebatur satis esse, Joanne autem Asane uxoris fratre oppidulis in Morrha deditiis præfecto instituto cum præsidiis, ipse cum cæteris Didymotichum inivit. Magnus dux potens totius Romani exercitus, Heraclea excedens, Empythium castellum obsidione circumdedit, et muris tormenta machinasque admovit, in qua oppugnatione multos suorum amisit. Erat siquidem castellum illud murorum structura longe munitissimum. Videns igitur vi capi non posse (nam et victus obsessis abunde suppetebat), obsidionem solvit. Dum hæc geruntur, Momitzilus dignitatem, qua ab imperatrice insignitus fuerat, potiorem ducens, et despotam se nominans, instaurato adversus imperatorem bello, urbes in Chalcidica vexat pro viribus. Magnus autem dux Synadenum legatum ad imperatorem mittens, quem et antea Berrhœam ad eumdem miserat, significat, tametsi Empythium castellum obsidere et oppugnare cogitarit, positque si velit occupare facillime, tamen veteris adhuc benevolentiæ in illum memorem nolle. Nunc si etiam ipsi probetur, velle eum convenire, et **593** de quibusdam secretioribus neminique

C Καὶ βασιλεὺς ὁ νέος Παλαιολόγος ἐνόσησεν ἐν τούτῳ τῷ χρόνῳ κατὰ τὴν Ἡράκλειαν νόσημα δεινὸν, ὃν ἔχων ὁ πατριάρχης μετά τινων συγκλητικῶν, εἰς Βυζάντιον ἀνέστρεφεν. Ἀπόκαυχος δὲ ὁ μέγας δοὺξ μετὰ τῆς στρατιᾶς ὑπελείπετο αὐτοκράτωρ στρατηγός· καὶ παρεσκευάζετο ὡς εἰς Διδυμότειχον ἐμβαλών. Ἐπύθετο γὰρ Καντακουζηνοῦ τοῦ βασιλέως ἀποχωρῆσαν τὸ Περσικόν. Ἅμα δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς ὑπέσχετο συμμαχήσειν, τὰς πρὸς βασιλέα διαλύσας σπονδὰς, καὶ ἔπεμπε μετ' οὐ πολὺ τὴν συμμαχίαν. Βασιλεὺς δὲ τῶν γιγνομένων ἀγνοῶν οὐδὲν, ὡς ἐνῆν καὶ αὐτὸς πρὸς τὴν ἔφοδον παρεσκευάζετο, καὶ Ματθαῖον μὲν τὸν υἱὸν ἐπὶ τῆς Χαλκηδικῆς καταλιπὼν μετὰ στρατιᾶς ὅσης ᾤετο ἀρκέσειν, εἴ τινες αὐτῷ ἐπίοιεν, Ἰωάννην δὲ Ἀσάνην τὸν

D γυναικὸς ἀδελφὸν τοῖς ἐν Μόρρᾳ προσχωρήσασι πολιχνίοις ἄρχοντα ἐπιστήσας, καὶ φρουρὰς ἀφεὶς, αὐτὸς εἰς Διδυμότειχον μετὰ τῶν ἐπιλοίπων ἐπανῆκε. Δοὺξ δὲ ὁ μέγας, σύμπασαν ἔχων τὴν Ῥωμαίων στρατιὰν, ἐξ Ἡρακλείας εἰς Ἐμπυθίου τὸ φρούριον ἦκε, καὶ περιστρατοπεδευσαμένος, ἐπολιόρκει· καὶ τειχομαχίας ἐποιεῖτο, καὶ προσῆγε μηχανάς. Ἐν αἷς πολλοὶ τῶν ἔξωθεν μαχομένων ἔπιπτον· ἦν γὰρ καρτερώτατον τὸ φρούριον ἐκ τῶν τειχῶν τῆς κατασκευῆς. Ὁρῶν δὲ ὡς οὐκ ἂν εἴη βίᾳ ἁλωτὸν, ἀπεγίνωσκε καὶ τὴν πολιορκίαν. Τῶν γὰρ ἐπιτηδείων οἱ πολιορκούμενοι εὐπόρουν. Τούτων δὲ πραττομένων, καὶ ὁ Μομιτζίλος αὖθις ἐπολέμησε πρὸς βασιλέα, καὶ τὰς ἐν Χαλκηδικῇ ἑκάκου πόλεις, ὅσα δυνατὰ τὴν ἐκ βασιλίδος προελόμενος ἀξίαν, καὶ δεσπότην ἑαυτὸν προσαγορεύσας. Ὁ μέγας δὲ δοὺξ πέμψας πρὸς βασιλέα τὸν Συναδηνὸν πρεσβευτὴν, ὃς πρότερον καὶ Βερροίᾳ ἐνδιατρίβοντι ἐπέμφθη, ἐμήνυεν, ὡς εἰ καὶ δοκοίη πολιορκεῖν, καὶ τειχομαχίας ποιεῖ-

Digitized by Google Распознавание текста ABK/FR

σθαι πρὸς τὸ Ἐμπυθίου φρούριον· ἀλλ' οὐ βούλεσθαι λαβεῖν ἔτι τῆς ἀρχαίας εὐνοίας ἴχνη ἀποσώζων, βουλομένῳ γὰρ ῥᾷστα ἂν ἡλίσκετο. Νυνὶ δὲ βούλεσθαι αὐτῷ συγγίνεσθαι, καὶ περί τινων διαλέγεσθαι ἀπορρήτων, ὧν οὐκ ἔξεστι χρήσασθαι ἑτέροις μηνυταῖς, εἴγε καὶ αὐτῷ βέλτιον δοκοίη. Τὸ μὲν οὖν οὕτως ὡς ἔχει βασιλικῶς ἐσκευασμένῳ συντυχεῖν, οὐ ῥᾴδιον αὐτῷ· τὸ δ' αὖθις ἰδιωτικὴν μεταλαβεῖν ἐσθῆτα, οὐκ ἂν αὐτὸν οἴεσθαι βουλήσεσθαι. Περὶ ὧν σκέπτεσθαι ἐδήλου ὅπως ἑκάτερα ἔσται. Βασιλεὺς δὲ πρὸς τὰ τοιαῦτα πλάσματα ἀχθεσθεὶς, ἀντεμήνυεν, ὡς οὐ δέον πρὸς αὐτὸν ἐπιπλεῖον ψεύδεσι χρῆσθαι καὶ ἀπάταις· πεῖραν γὰρ αὐτοῦ ἤδη ἐσχηκέναι ἐν πολλοῖς, ὅθεν καὶ παντάπασιν ἀπιστεῖν. Ἀλλ' εἰ μᾶλλον δύναιτο ἐλεῖν τὸ φρούριον, μὴ ἀμελεῖν· οὐ γὰρ ἂν εἴη λυσιτελῶς βεβουλευμένος τῇ ἀρχῇ, εἰ, παρὸν τοὺς πολεμίους βλάπτειν, ἀπόσχοιτο ἐκών. Ἀλλ' οὐκ ἂν οἴεσθαι τοῖς συνοῦσι φίλον εἶναι τὸ τειχομαχεῖν, πολλοῖς ὀσημέραι ἀποθνήσκουσιν. Ὅτι δὲ βουλομένῳ συντυχεῖν οὐ ῥᾴδιόν ἐστι βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸν εἰδέναι μάλιστα· οὐδὲ γὰρ οὐδὲ τοῖς ὀφθαλμιῶσιν εὔκολον πρὸς ἥλιον ἀτενίζειν, ἀλλ' ὁ ζόφος ἤδὺ καὶ τὸ καμμύειν τοὺς ὀφθαλμοὺς ἀδυνάτως ἔχουσιν ὁρᾷν τὸ φῶς· τοῦ δὲ μάλιστα ἐν ἐπιθυμίᾳ εἶναι τῆς εἰρήνης ὁρῶντα τὰς περισχούσας τοὺς Ῥωμαίους συμφορὰς, οἴεσθαι δὲ μὴ πρὸς μηδὲν τὴν συντυχίαν φέρειν ἄλλο τὴν αὐτῶν, ἐπίνοιάν τινα ἐξευρήσειν, δι' ἧς αὐτός τε οὐκ ὄψεται αὐτὸν βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸς οὐδὲν ἧττον ἢ πρότερον ἔσται βασιλεύς. Ταύτην δὲ εἶναι τὸ καταφράκτους ἀλλήλοις συντυχεῖν, ὥστε τοῖς μὲν κνημῖδας περικεῖσθαι, κράνει δὲ τὴν κεφαλὴν περικαλύπτειν, καὶ τὸ ἄλλο εἶναι ὡπλισμένον σῶμα, ὥστε ἀγνοεῖσθαι εἴτε βασιλικὴν ἐσθῆτα ἔνδον ἔχει, ἢ ἰδιωτικήν. Ἐπῄνει μὲν οὖν ὁ μέγας δοὺξ τὴν γνώμην, καὶ ἐπηγγέλλετο ποιήσειν κατὰ τὰ συντεθειμένα. Ἐν τούτῳ δὲ τῷ χρόνῳ καὶ πρωτοστράτωρ ὁ γαμβρὸς ἀπεπνίγη πρὸς τῷ Ἔβρῳ πολιορκοῦσι τὸ Ἐμπυθίου φρούριον· κατὰ γὰρ μεσημβρίαν θέρους ἤδη λήγοντος, διανηχόμενος τὸν ποταμὸν ἐν παιδιαῖς, ἀπεπνίγη τῷ ῥεύματι συναρπασθείς. Μεγίστην μὲν οὖν ἐνόμισε συμφορὰν τοῦ γαμβροῦ τὴν τελευτὴν, καὶ ἐπένθησεν ἐφ' ἱκανόν. Ὀλίγῳ δὲ ὕστερον ἀναστήσας τὴν στρατιὰν, ἐπορεύετο εἰς Διδυμότειχον. Πρὶν δὲ ἐγγὺς εἶναι, τὸν Μάκρης ἀρχιερέα πρὸς βασιλέα πέμψας, ἐδήλου ὅτι ἀφίξοιτο μετὰ μικρὸν, οὐ μᾶλλον πολέμιος ἢ φίλος, καὶ διαλεξόμενος, περὶ ὧν πρότερον μηνύσειεν· ἔπεμπέ τε καὶ κηρὸν ἐσφραγισμένον τῷ βασιλέως δακτυλίῳ, ὃν εἶχεν ἀφελόμενος αὐτὸς μετὰ τῶν ἄλλων ἐν τῷ τοῦ πολέμου χρόνῳ· ὥσπερ τι ἐνέχυρον ἐκεχειρίας καὶ ἀνακωχῆς πολέμου. Βασιλεὺς δὲ ἀληθεύειν ἐκεῖνον οἰηθεὶς, ὡπλίσατο μὲν, ὥσπερ ἦν συντεθειμένον, καὶ περιέμενε τὴν ἐκείνου συντυχίαν, ὀλίγους τινὰς ἔξω καταλιπών, τῆς δ' ἄλλης στρατιᾶς μηδένα τειχῶν ἐκέλευεν ἔξω εἶναι, διδοὺς μὴ παρά τινός τι τῶν νεωτέρων τολμηθῇ, καὶ πρόφασις γένοιτο τοῦ μὴ τὸν πόλεμον καταλυθῆναι. Ὁ μέγας δὲ δοὺξ, πρὶν τῆς πόλεως ἐγγὺς ἐλθεῖν τῶν

committendis sermonem conferre. Verumtamen imperatorio schemate, ut erat, præditum convenire sibi esse difficile; cultum vero privati sumpturum non putare. Consideraret igitur utrumque. Imperator commentum istuc indigne ferens, contra illi renuntiari jubet, nihil esse, cur apud se fraudibus et mendaciis de cætero uteretur: jam enim multoties ingenium ejus cognovi se, quare nec tantillam ei fidem habere. Si castellum subigere possit, ne omittat; non enim melius imperio consulturum, si cum hostium lædendorum facultas sit, ipse illis sciens ac volens parcat. Sed putare se illam oppugnationem, militibus ejus compluribus quotidie intereuntibus, parum gratam esse. Porro illi secum colloqui volenti, difficile esse imperatoriis ornamentis nitentem aspicere, se quoque minime ignorare; neque enim facile esse lippientibus solem ac lucem obtueri, sed jucundum potius connivere, et in tenebris versari. Quoniam vero pacis conficiendæ desiderio incredibili captus sit, cum aspiciat, quæ calamitates Romanos inundent, opineturque ipsorum congressum non aliorsum, quam ad pacem spectare, excogitasse rationem, qua ab illo sine imperatorio ornatu conspiciatur, ipseque nihilo minus, ut ante, imperator maneat. Esse autem hanc, ut cataphracti conveniant, et pedes quidem ocreis ferreis, caput galea contegant, reliquumque corpus similiter communiant, ut nesciatur, imperatoriane an privata vestis intus geratur. Probato consilio magnus dux ita se ex compacto facturum promisit. Per idem tempus quo Empythium obsidebatur, etiam gener ejus protostrator in Hebro præfocatus est. Extrema namque æstate, dum meridie per ludum flumen tranat, undarum impetu abreptus interiit. Ob hanc generi mortem ut sibi vehementer calamitosam, ille diu in luctu et squalore fuit. Non multum effluxit temporis, cum exercitum Didymotichum adduxit. Priusquam autem ad oppidum appropinquaret, Macræ antistitem ad imperatorem mittit, qui doceat, ipsum brevi affuturum, non magis hostem quam amicum, et collocuturum, de quibus antea significarit. Mittebat insuper ceram annulo imperatoris impressam (quam inter alia belli tempore abstulerat), ceu pignus quoddam vacationis et inducliarum videlicet. **594** Imperator opinatus illum vera loqui, secundum conventa se ornabat, ejusque congressum exspectabat, militibusque paucis quibusdam foris relictis, ne quis cæterorum extra muros prodiret edicebat, metuens nimirum, ne quippiam rerum novarum designaretur ab aliquo, unde occasio belli nondum finiendi nasceretur. Porro magnus dux, antequam urbem attingeret, missis sagittariis aliquot et manipulis, Dydimotichi propugnatores adoriri jussit. Qui confertim instantes, tela crebra jaciebant. Præterea suburbana ædificia conjectis ignibus incendebant. Hunc in modum facto ab illis pugnandi initio, Didymotichenses erumpunt, multisque convulneratis a mœ-

Digitized by Google Распознавание текста ABK/FR

nibus eos frustratos repellunt. Imperator Macræ episcopo ad magnum ducem remisso, solennem illi calliditatem et mendacium exprobrat : qui cum fraude ac dolo nihil profecisset, secundum meridiem inde castra movens, non procul pernoctavit. Postridie cum equitatu et utriusque armaturæ militibus Morrham invadit, regionemque fœdissime devastans, omnia flammis implet. Oppidorum autem nullo subacto, quod singula imperator præsidiis impositis communiverat, Byzantium rediit. Momitzelus ex intestino Romanorum bello opibus auctus, et clarum nomen famamque consecutus, et arbitratus ad principatum separatim condendum sua sibi sufficere, a Cantacuzeno et Anna imperatrice (quanquam insignia despotæ, quibus illum donaverat, indutus incederet) pariter abhorrebat, et æque utrisque arma inferebat, urbesque et vicos occupabat. Præcipue tamen Matthæo imperatoris filio crebris excursionibus et direptionibus importunus atque molestus erat. Collegerat autem equitum paulo minus quatuor millia, omnes fortissimos, ac propter animi robur et quos possidebat locos natura munitissimos, insuperabilis habebatur.

A περὶ αὐτὸν τοξότας τινὰς πέμψας, εἶτα καὶ τὴν ἄλλην στρατιὰν, ἐκέλευε τοῖς κατὰ τὸ Διδυμότειχον ἐπιέναι. Οἱ δὲ ἐπέκειντο ἀθρόον, καὶ ἔβαλλον συχνοῖς τοῖς βέλεσιν, ἔπειτα καὶ πῦρ ἐνίεσαν ἐν ταῖς οἰκίαις ταῖς πρὸ τῆς πόλεως. Ἐπεὶ δὲ ἐκεῖνοι μάχης ἦρχον, καὶ οἱ ἐκ Διδυμοτείχου ἠμύνοντο ἐξελθόντες, καὶ τραυματίσαντες ἀποδείξαντες πολλοὺς, ἀπεσκευάσαντο μηδὲν πλέον δυνηθέντας. Βασιλεὺς δὲ τὸν Μάκρης ἀρχιερέα πρὸς τὸν μέγαν δοῦκα αὖθις πέμψας, ὠνείδιζεν αὐτῷ τὴν φίλου πανουργίαν καὶ τὸ ψεῦδος· ἐκεῖνος δὲ ἐπὶ τῇ ἀπάτῃ ἀπώνατο οὐδέν, μετὰ μέσην ἡμέραν ἐκεῖθεν ἀνεχώρει, καὶ ηὐλίσατο τὴν νύκτα οὐ μακράν· εἰς τὴν ὑστεραίαν δὲ τοὺς ἱππέας αὐτὸς ἔχων καὶ τὸ ὁπλιτικὸν καὶ τὸν ψιλὸν, ἐχώρει κατὰ Μόρβας, καὶ ἐκάκωσε τὰ μέγιστα τὴν χώραν, B πάντα πυρὶ παραδιδούς. Τῶν πολιχνίων δὲ ἴσχυσεν οὐδενὸς περιγενέσθαι, φρουροῖς ὑπὸ βασιλέως πάντων κατεχομένων, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἀνεχώρει. Μομιτζίλος δὲ ἐκ τοῦ πρὸς ἀλλήλους τῶν Ῥωμαίων πολέμου ηὐξημένος καὶ μέγας ἤδη γεγενημένος, καὶ νομίσας ἑαυτῷ ἀρκεῖν πρὸς τὸ συστήσασθαι ἡγεμονίαν ἰδίᾳ, ὁμοίως Καντακουζηνοῦ τε ἀφίστατο τοῦ βασιλέως, καὶ Ἄννης τῆς βασιλίδος· καί τοι τὰ παρ' ἐκείνης πεμφθέντα τοῦ δεσπότου ἐπίσημα ἠμφιεσμένος, καὶ ὁμοίως ἑκατέροις ἐπολέμει, καὶ πόλεις καὶ κώμας ὑπεποιεῖτο. Μάλιστα δὲ Ματθαίῳ λυπηρὸς ἦν τῷ βασιλέως υἱῷ, ἐπεκδρομὰς καὶ λεηλασίας ποιούμενος συχνάς. Ἤθροισε γὰρ ἱππέας τετρακισχιλίων ὀλίγῳ ἐλάσσους πάντας ἀριστίνδην ἐξειλεγμένους, καὶ ἀνυπόστατός τις ἐδόκει εἶναι διά τε εὐψυχίαν, καὶ τὴν αὐτοφυῆ τῶν χωρίων ὀχυρώτατα ὧν ἦρχεν.

CAPUT LXXII.

Præsides imperii statum illius miserum dolent, et imperatrici pacem suadent. Apocauchus Byzantium veniens, insalutata imperatrice in arcem suam concedit. Patriarchæ inconstantiam objicit, in quanto periculo sit, docet, secum ad implacabiles inimicitias in imperatorem hortatur. Quid in imperatricis et liberum gratiam fecerit, prædicat. Gabalam quoque objurgatum, ad suas partes reducit, et ei filium suam uxorem dat, eumque et socios archontas de impudentia reprehendit.

Verumenimvero Byzantii post magnum ducem Ephori seu inspectores **595** (33), cernentes ægram, et in sexcentas partes divulsam, distractamque Romanam rempublicam, urbesque complures et magnas Mœsorum ac Triballorum ditionis esse factas, adhæc Thraciam omnem a Persis in servitutem redactam, solis urbibus relictis, et illas tamen neutiquam mitiora, quam vici pertulerint, exspectare, tam ærumnoso statu indignati, ultra non ferendum existimabant. Ergo imperatrici pacis ac fœderis cum Cantacuzeno iciendi auctores sunt. Sive enim, inquiebant, illum vicerimus, quibus imperemus non habebimus, funditus amissis omnibus, sive victi fuerimus, cum aliis nosmet etiam perdemus; Amplexa est consilium imperatrix, ut justum et utile, eoque ipsam et alios præsertim magnus logotheta Gabalas impulit. At magnus dux, quoniam ista cum latere non poterant, posthabitis aliis omnibus, Byzantium festinavit. Ubi non prius more

C Οἱ ἐν Βυζαντίῳ δὲ μετὰ τὸν μέγαν δοῦκα τῶν πραγμάτων Ἔφοροι, ὁρῶντες ἤδη τῶν Ῥωμαίων κινδυνεύουσαν ἡγεμονίαν, καὶ διῃρημένην εἰς μυρία τμήματα, καὶ πόλεις μὲν μεγάλας, καὶ πολλὰς ὑπὸ Μυσοῖς καὶ Τριβαλοῖς γεγενημένας, Θράκην δὲ πᾶσαν ἀνδραποδισθεῖσαν ὑπὸ τῶν Περσῶν, καὶ πόλεις μόνας περιλειπομένας, καὶ αὐτὰς οὐδαμῶς ἐπιεικέστερα τῶν ἐν ταῖς κώμαις προσδοκώσας πείσεσθαι, καὶ ἐν δεινῷ τὴν τηλικαύτην συμφορὰν τιθέμενοι, οὐκέτι ἀνεκτὸν ἡγοῦντο. Ἀλλὰ βασιλίδι συνεβούλευον σπουδὰς τίθεσθαι, καὶ εἰρήνην πρὸς Καντακουζηνὸν τὸν βασιλέα. Ἂν τε γὰρ, ἔφασαν, ἐκείνου περιγενώμεθα, οὐχ ἕξομεν ὧν ἄρξομεν, πάντων ἀρδην ἀπολωλότων· ἄν τε ἡττηθῶμεν, πρὸς τοῖς ἄλλοις καὶ ἑαυτοὺς συναπολοῦμεν. Καὶ ἐδόκουν δίκαια καὶ λυσιτελῆ βουλεύεσθαι καὶ βασιλίδι· D μάλιστα δὲ πρὸς τοῦτο Γαβαλᾶς ὁ μέγας ἐνῆγε λογοθέτης, καὶ τοὺς ἄλλους ἔπειθεν. Ὁ μέγας δὲ δοὺξ, ἐπεὶ ταῦτα ἀγνοεῖν οὐκ ἦν, σπουδῇ πολλῇ

Jacobi Pontani notæ.

(33) Quos sæpius appellavit διοικοῦντας τὰ πράγματα, ἄρχοντας τῶν πραγμάτων, nunc a Lacedæmoniis sumpto vocabulo, Ephoros appellat. Ἐφόρους, inquit Suidas, ἐκάλουν διὰ τὸ ἐφορᾶν τὰ τῆς πόλεως πράγματα. *Ephoros vocabant, quod reipublicæ negotia inspicerent.* De hujus magistratus origine et qualitate, numero ac tempore, quo fine creati, quanta evaserit tandem eorum potentia, erudite disserit Nicolaus Cragus de Lacedæmoniorum republica libro II, cap. 4.

Digitized by Google Распознавание текста ABBYY FR

ἐχώρει πρὸς Βυζάντιον, τῶν ἄλλων ἁπάντων ἀμελήσας. Ἐπεὶ δὲ ἦν ἐντὸς, οὐ πρὸς βασιλίδα ἦκεν, ὥσπερ εἰῶθε προσαγορεύσων, ἀλλ' ἐν Ὁδηγητρίας τῆς θεομήτορος γενόμενος τῷ τεμένει καὶ προσκυνήσας, ἔπειτα εἰς τὸν ἐν Μαγγάνοις ἦκε πύργον, ὃν περιόντος μὲν Ἀνδρονίκου τοῦ βασιλέως εἶχε, τοῦ Βυζαντίου περιβόλου ὄντα ἕνα, ἐν δὲ τοῖς τοῦ ἐμφυλίου πολέμου χρόνοις ἐπισκευάσας, καὶ ὀχυρώτατον ἀπεργασάμενος, ὡς μάλιστα ἐνῆν, ὅπλα τε ἐνθέμενος καὶ τὰ ἄλλα ἐπιτήδεια, ὥστε δυνήσεσθαι καὶ πρὸς πολιορκίαν καὶ τειχομαχίας ἀντισχήσειν κατεῖχε φρουρὰν εἰσαγαγών· τότε δὲ εἰς ἐκεῖνον ἐλθὼν, διῆγαγε τὴν νύκτα. Εἰς τὴν ὑστεραίαν δὲ τοῦ πατριάρχου πρὸς αὐτὸν ἐλθόντος, πρῶτα μὲν ὠνείδιζε τὴν εὐκολίαν καὶ τὴν πρὸς αὐτὸν μεταβολήν. Οἴεσθαι γὰρ ἔφασκε τὰς ἀμφοτέρων συντακείσας ψυχὰς ἑκατέρων τὰ σώματα κινεῖν, καὶ ταυτὰ καὶ ἴσα ἀμφοτέρους καὶ βουλεύεσθαι καὶ αἱρεῖσθαι· νυνὶ δὲ τοὐναντίον ἅπαν πεφηνέναι· ἀκηκοέναι γὰρ πεπεῖσθαι καὶ αὐτὸν τοῖς περὶ τῆς πρὸς Καντακουζηνὸν εἰρήνης διαλεγομένοις, ἅπερ οὐκ ἐχρῆν ποιεῖν, εἰδέναι γὰρ σαφέστατα αὐτὸν, ὡς εἰ μὴ ἐκεῖνος τοῦ πρὸς Καντακουζηνὸν πολέμου ἤρχετο, πολλὰ πραγματευσάμενος, καὶ πᾶσαν μηχανὴν κεκινηκὼς, πάλαι ἂν ἐπεκάθητο Παλαμᾶς τοῖς πατριαρχικοῖς θρόνοις, αὐτοῦ ἐκβεβλημένου. Νυνὶ δὲ πρὸς τῷ τῆς Ἐκκλησίας ἄρχειν, καὶ τῶν πολιτικῶν πραγμάτων οὐδὲν ἧττόν ἐστι κύριος, περίβλεπτος ἐν πᾶσι Ῥωμαίοις γεγενημένος, καὶ πατὴρ καὶ κηδεμὼν βασιλέως προσαγορευόμενος, ἃ ἐχρῆν σκοπεῖν, καὶ μὴ προσδοκωμένης ἄλλων ὠφελείας, τὴν οἰκείαν προΐεσθαι σωτηρίαν. Πρὶν μὲν γὰρ τὸν πόλεμον κεκινῆσθαι, μέχρι καθαιρέσεως ἔστησεν ἂν τὴν ὀργὴν ὁ Καντακουζηνός. Νυνὶ δὲ μετὰ τὸ τοσαῦτα ἐκεῖνον ἐφύβριστα καὶ δεινὰ ὑπομεμενηκέναι, ὧν, ἔφασκεν, οὐδὲν ἧττον αἴτιος ἦσθα καὶ αὐτὸς, μὴ φιλάνθρωπόν τινα καὶ ἀνεκτὴν οἷου τῶν τοσούτων κακῶν ἔσεσθαι τὴν τιμωρίαν, ἀλλὰ θάνατόν τε ἐφύβριστον σαυτοῦ, καὶ τοῦ γένους ἐξώλειαν παντός. Οὕτω γὰρ ἀκηκόαμεν ἐκ πολλῶν τῶν ἐκεῖθεν ἀφιγμένων, ὡς μεγάλην καθ' ἡμῶν τῶν πεπολεμηκότων ἔχει τὴν ἀπέχθειαν. Δι' ἃ αὐτός τε ἔγνωκα μέχρι παντὸς ἐκείνῳ πολεμεῖν, καὶ σοὶ τὰ ἴσα συμβουλεύω, καὶ μὴ τὰ πόῤῥω καὶ μηδὲν ὀνήσοντα πολυπραγμονεῖν, ἀλλ' ἡμῶν αὐτῶν πρόνοιαν ποιεῖσθαι ὅπως σωθησόμεθα· τοῦτο δὲ κατ' οὐδένα τρόπον ἕτερον περιέσται, ἢ ἀεὶ σπουδάζουσι τὸν πρὸς ἐκεῖνον εἶναι πόλεμον. Τὴν γὰρ λεγομένην εἰρήνην, μηδὲν ἕτερον οἷου εἶναι, ἢ φανερὰν ἡμῶν τε αὐτῶν καὶ παίδων καὶ οἰκείων διαφθοράν. Τοιαῦτα μὲν ἔλεγε πρὸς πατριάρχην, καὶ ἔπειθεν, οὐδ' αὐτὸν πρὸς τὴν εἰρήνην πάνυ ὡρμημένον, ἀλλὰ λέγουσι τοῖς ἄλλοις ἀναγκαίως συνεπόμενον. Ἔπειτα ἐχρῆτο καὶ πρὸς βασιλίδα πρεσβευτῇ, ἐμήνυέ τε βασιλίδι δι' αὐτοῦ, ὡς ἀπορίᾳ ὅτου ἕνεκα αὐτὸς μὲν ὑπὲρ αὐτῆς καὶ παίδων ἕλοιτο πάντα κίνδυνον καὶ πόνον, αὐταῖς δὲ μὴ τὴν ἴσην ἔδοξε σπουδὴν ἐπιδείκνυσθαι περὶ ἑαυτῶν. Αὐτὸς γὰρ εὐθὺς μετὰ τὴν βασιλέως τελευτὴν,

A solito imperatricem salutatum accessit, sed in Hodegetriæ Deiparæ templo fusis precibus in propugnaculum seu castellum in Manganis (planities est extra Byzantium) quod superstite etiam Andronico imperatore habebat, durante autem bello hoc instaurarat, et magnis operibus communiverat, armaque et alia obsidioni sustinendæ idonea cum præsidio ibi collocarat. In hoc, inquam, castellum concessit, et illic noctem exegit. Postridie se visenti patriarchæ levitatem et inconstantiam ejus se vitio dat. Credidisse omnium animas utriusque corpus regere eademque ambas et moveri, et sequi; nunc contra prorsus evenisse. Sibi enim nuntiatum, ipsum quoque assensum iis, quæ de pace cum Cantacuzeno suscipienda disputata fuerint. Id quod non debuerit, cum indubitato sciat, nisi ipse bellum adversus Cantacuzenum, multis idcirco negotiis implicitus, et omnibus machinis tentatis introduxisset, jampridem eo ejecto, Palamam in ejus throno patriarchico collocandum fuisse. Nunc præterquam quod Ecclesiæ præsideat, etiam reipublicæ esse dominum spectatum inter Romanos omnes, patremque ac tutorem imperatoris appellatum, quæ perpendere, nec dum aliorum quæritur utilitas, salutem propriam in postremis numerare oportuerit. Nam ante bellum, inquit, usque ad exauctorationem tuam Cantacuzenus iram extendisset. Jam, quia tam **596** multa contumeliosa et gravia te quoque allaborante passus est, cave existimes, tantarum injuriarum humanam aliquam ac tolerabilem, quin potius tuam ipsius ignominiosam necem, et generis totius exsilium pœnam fore. Sic enim multi inde ad nos venientes narrant eum in nos, a quibus est bello lacessitus, immani odio flagrare. Quamobrem mihi sententia est illum oppugnare perpetuo, et te idem facere cupio moneoque, ne longe positis nihilque profuturis curiose te immisceas, sed quomodo nosmetipsi servemur provideas, quod quidem aliter non licebit, nisi bellum istuc continuum esse studuerimus. Nam pax ista quæ dicitur, mihi crede, nihil est aliud quam et nostra, et filiorum propinquorumque nostrorum certissima perditio. Hoc sermone patriarcham nec ipsum pacem valde suspirantem, sed aliorum placitis necessario suffragantem cepit. Deinde imperatricem quoque per legatum appellans, vehementer se mirari dixit, quid hoc esset, quod cum ipse pro illa et liberis ejus nullum periculum molestiamque detrectasset, non ipsis visum sit, pro se et patriarcha tutandis vicissim eniti. Se quippe statim ut observarit, Cantacuzenum imperatore mortuo, iniqua et violenta coquere consilia, velleque ipsam cum filiis non imperio tantum dejicere, sed vita quoque exuere, tametsi multis antea beneficiis ab eo affectum, atque ad gratiam quovis discrimine ejus causa subeundo referendam obligatum, maluisse pro ipsis periculose facere, quam primos apud illum honorés adipisci, exsecratum scilicet improborum communionem factorum,

Digitized by Google Распознавание текста ABK/FR

aliisque omnibus metu ac horrore ejus potentiæ deterritis, palam ei bellum indixisse, eoque angustiarum compulisse, ut prius Triballorum, nunc tandem Persarum auxilia implorarit. Se autem diligentia et solertia sua factum infectum illi, et pro sociis hostes reddidisse, jamque ad eas difficultates hominem adegisse, ut imperio se abiturum, privatamque vitam victurum promiserit. Quando autem ipse post tot labores, tantasque contentiones, et tanta discrimina conatus suos bono fine concluserit, tum ipsos incogitantia sua omnia evertisse. Nam ubi cognorit illos de pace et fœdere cum eo ineundo deliberare, ut imperator sit nihilo minus, abjectis omnibus huc advolasse, et domi jam futuras miserias secum commentari. Timuisse porro ad eam accedere, ne, quæ absente se verbis decreverint, **597** præsente re compleant, et quia dissentiat, ideo pereat. Quare si isthæc ut plurimum detrimentosa omiserint, bellumque ut a principio contra Cantacuzenum persequi voluerint (hoc enim utilissimum fore), et se paratum esse, fide ab illa data, nihil adversi passurum, cum aliis moliri quæcunque conducere judicarint. Si aliter animata sit pacemque multarum ipsis et insignium calamitatum futuram seminarium bello prætulerit, re discussa, se quoque utilitatibus suis minime defuturum: omnino enim se quoque, et facilius quam alios posse rebus suis bene consulere. Hæc ille per patriarcham ad imperatricem. Postea cum et magnus logotheta Gabalas eum viseret, mirifice in eo se deceptum dixit, arbitratus intelligendi acumine rerumque magnarum usu ipsum alios antecellere. Nam quod nunc opinetur, cum Cantacuzeno tantis meritis obstrictus, bellum eidem et insidias molitus sit, eique plurima et gravissima, si quisquam alius, incommoda creaverit, nunc facta pace mansuetum atque clementem experturum, et non potius seque suamque familiam inaudito quodam modo et ut factis illi contumeliis dignum est, perituram, parum sapere, neque bene ratiocinari; longe enim amplius bellum ipsis, quam pacem commodaturum. Nam si bellum gerant, salvos semper et imperaturos fore. Quod si ob id imperii imminutionem patiantur, non ideo salutem negligendam, quandoquidem satius sit imperare paucis, quam eo amplificato subesse aliis, et ingloria morte defungi. Etenim si pacem cum illo paciscantur, non esse quod illos a periculo tutos præstet et incolumes. Hortabatur itaque Gabalam se denuo secum conjungeret, bellum resuscitaret, et mutuum sacramentum renovaret; filiam ejus uxorem duceret; pariter ad bellum incumberent, et Romanum imperium administrarent. His verbis illum irretivit et concorditer bellum decreverunt. Jurabant autem, Gabalas quidem ad bellum magno duci opem laturum, et de pace nec se aliquo modo cogitaturum, nec aliis de ea disserentibus assensurum; Apocauchus vero, filiam ei uxorem daturum nulloque prætextu nuptias impeditum iri, quamvis sacer

Ἰδὼν τὸν Καντακουζηνὸν ἄδικα καὶ βίαια διανοούμενον, καὶ οὐ μόνον βασιλείας, ἀλλὰ καὶ ζωῆς αὐτῆς ἀποστερεῖν βουλόμενον αὐτὴν καὶ παῖδας, καίτοι πολλὰ πρότερον ὑπ' ἐκείνου εὐεργετηθείς, καὶ δίκαιος ὢν ὑπὲρ ἐκείνου πάντα κίνδυνον αἱρεῖσθαι, ἀμειβόμενος τῆς εὐποιΐας, ὁ δὲ μᾶλλον εἵλετο ὑπὲρ αὐτῶν διακινδυνεύειν, ἢ τιμὰς τὰς πρώτας καρποῦσθαι παρ' αὐτῷ, τῶν ἀτόπων ἔργων βδελυττόμενος τὴν κοινωνίαν· πόλεμόν τε ἤρατο πρὸς ἐκεῖνον φανερῶς, τῶν ἄλλων πάντων ἀποκνούντων καὶ τὴν δύναμιν πεφρικότων, καὶ ἐς τοσαύτην συνῆλασεν ἀπορίαν, ὥστε πρότερόν τε Τριβαλῶν πρὸς ἐπικουρίαν δεηθῆναι, καὶ τὰ τελευταῖα νῦν Περσῶν. Αὐτὸς δὲ σπουδῇ πολλῇ καὶ ἀγχινοίᾳ, εἰ τοὐναντίον αὐτῷ ἅπαντα περιτρέψαι, καὶ πολεμίους αὐτῷ ἀντὶ συμμάχων πάντας ἀποδεῖξαι, καὶ νῦν εἰς τοσοῦτον ἀπορίας ἀγαγεῖν, ὥστε ἐπαγγείλασθαι τὴν βασιλείαν ἀποθέμενον, βίον ἰδιώτου ζῆν. Ὅτε δὲ πολλὰ καμὼν καὶ ἀγωνισάμενος, καὶ κινδύνους τοσούτους ὑπομείνας ἦγαγεν εἰς τέλος ἀγαθὸν τὴν ἐπιχείρησιν, τότ' αὐτοὶ ὑπ' ἀβουλίας ἅπαντα ἀνέτρεψαν. Πυθόμενον γὰρ αὐτὸν, ὡς βουλεύσαιντο εἰρήνην τίθεσθαι πρὸς ἐκεῖνον καὶ σπονδὰς, ἐπὶ τῷ βασιλέα εἶναι, πάντα καταλιπόντα ἐνθάδε ἥκειν, καὶ οἴκοι γενόμενον τὸ μέλλον ἀποσκοπεῖν. Δεδιέναι γὰρ πρὸς αὐτὴν ἐλθεῖν, μὴ, ἃ αὐτοῦ ἀπόντος λόγοις ἐψηφίσαντο, ἔργοις παρόντος τελεσθῇ, καὶ ἀπόληται αὐτὸς, τὴν ἐναντίαν γνώμην ἔχων. Εἰ μὲν οὖν, ἔφασκε, τῶν τοιούτων ὡς ἀλυσιτελεστάτων ἀπόσχησθε καὶ αὐτοὶ, καὶ τὸν πόλεμον, ὥσπερ ἐξαρχῆς, ἕλοισθε πρὸς Καντακουζηνὸν (τοῦτο γὰρ ἡμῖν λυσιτελέστατόν ἐστι), καὶ αὐτὸν ἕτοιμον εἶναι πίστεις παρ' αὐτῆς δεξάμενον, ὡς οὐδὲν αὐτῷ ἀπαντήσει δυσχερὲς, πράττειν μετὰ τῶν ἄλλων ὅσα ἂν οἴωνται συμφέρειν. Εἰ δ' ἄρα ἄλλως ἔγνωκεν αὐτὴ, καὶ τὴν εἰρήνην αἱροῖτο μᾶλλον, ἢ πολλῶν ἡμῖν ἔσται καὶ μεγάλων αἰτία συμφορῶν, σκεψάμενον καὶ αὐτὸν, πράττειν ὅ τι ἂν δοκῇ λυσιτελεῖν· πάντως δὲ δύνασθαι καὶ αὐτὸν μᾶλλον τῶν ἄλλων εὖ διαθέσθαι τὰ καθ' ἑαυτόν. Τοιαῦτα μὲν καὶ πρὸς βασιλίδα διὰ τοῦ πατριάρχου ἐπρεσβεύετο. Παραγενομένου δὲ καὶ Γαβαλᾶ τοῦ μεγάλου λογοθέτου πρὸς αὐτὸν, τὰ μέγιστα ἔφασκεν ἐξηπατῆσθαι περὶ αὐτοῦ, νομίζων πολὺ τοὺς ἄλλους παρελαύνειν συνέσει τε καὶ τῇ περὶ τὸ πράγμασι μεγάλοις χρῆσθαι ἐμπειρίᾳ. Τὸ γὰρ αὐτὸν ὑπὸ Καντακουζηνοῦ τοσαῦτα εὐεργετηθέντα, ἔπειτα τὸν κατ' ἐκείνου πόλεμον συσκευασάμενον, καὶ τὴν ἐπιβουλὴν καὶ πολλῶν αὐτῷ, καὶ μεγάλων αἰτιώτατον συμφορῶν καὶ ὕβρεων γεγενημένον, ἔπειτα νῦν οἴεσθαι, εἰ γένοιτο εἰρήνη πρὸς αὐτὸν, ἡμέρου πειράσεσθαι καὶ προσηνοῦς, ἀλλὰ μὴ αὐτὸν καὶ γένος καινῷ τινι τρόπῳ καὶ ἀξίως τῆς πρὸς ἐκεῖνον ὕβρεως διαφθερεῖν, οὐ σωφρονοῦντος ἂν τις τιθείη, οὐδὲ ὁρῶ· τὰ πράγματα λογιζομένου. Πολὺ γὰρ μᾶλλον αὐτοῖς τὸν πόλεμον λυσιτελεῖν, ἢ τὴν εἰρήνην. Πολεμοῦσι μὲν γὰρ ἐξέσται διασώζεσθαι μέχρι παντὸς, καὶ ἄρχειν τῶν πραγμάτων. Ἂν δ' ἐλάσσω γίνωνται τῶν ὄντων, οὐ χρὴ διὰ τοῦτο τὴν οἰκείαν αὐτοὺς καταπροΐεσθαι

Digitized by Google Распознавание текста ABK/FR

σωτηρίαν. Βέλτιον γὰρ ὀλίγων ἄρχειν, ἢ ἐκείνων αὐξανομένων ὑπ' ἄλλοις εἶναι, αὐτοὺς δὲ ἀποθνήσκειν ἀκλεῶς. Εἰρήνην δὲ πρὸς ἐκεῖνον ποιουμένους, οὐκ ἔσθ' ὅ τι τῶν κινδύνων ἐξαιρήσεται. Συνεβούλευέ τε αὐτῷ προσθέμενον αὖθις τὸν πόλεμον ἀνακινεῖν, καὶ τοὺς ὅρκους ἀνανεοῦν τοὺς πρὸς ἀλλήλους· λαμβάνειν τε τὴν αὐτοῦ θυγατέρα πρὸς γάμον, κοινῇ τόν τε πόλεμον ἀναδέχεσθαι, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἰδύνειν. Ἐπὶ τούτοις ἔπειθε, καὶ ἐψηφίσαντο κοινῇ τὸν πόλεμον. Ὤμνυόν τε τοὺς ὅρκους, ὥστε Γαβαλᾶν μὲν πρὸς τὸν πόλεμον τῷ μεγάλῳ συναίρεσθαι δουκὶ, καὶ μηδέποτε περὶ εἰρήνης μήτ' αὐτὸν βουλεύσεσθαι, μήθ' ἑτέρῳ λέγοντι πεισθήσεσθαι. Ἐκεῖνον δὲ αὐτῷ ἐκδοῦναι τὴν θυγατέρα, καὶ κατὰ μηδεμίαν πρόφασιν τὸν γάμον κωλυθῆναι· ἀλλὰ κἂν ὑπὸ τῆς ἱερᾶς νόσου τὰ μέλη διαλωβηθῇ. κἂν ἐπιληψία ἢ μελαγχολία, ἢ ὁποιαδήποτε νόσος ἐπιγένηται αὐτῷ, μηδὲν εἶναι τῶν τοιούτων κώλυμα τῷ γάμῳ.

A morbus membra depasceretur (34), aut epilepsia, aut insania, aut qualecunque demum invalétudinis genus se invaderet.

598 CAPUT LXXIII.

Legatio Apocauchi ad imperatricem, qua in Cantacuzenum de integro inflammatur. Apocauchus iterum dominatur, quanquam modestius, et legationem suadet, quo sibi consulat. Mittitur legatio cum binis epistolis, quæ recitantur. Continent autem lætitiam de abdicatione Cantacuzeni, quam eum meditari, Apocauchus mentitus fuerat. Legati cum conditione se venturos præsignificant. Imperatoris æquanimitas.

Ἐπεὶ δὲ καὶ τὰ κατὰ Γαβαλᾶν διῴκει ᾗ μάλιστα ἐβούλετο, συστήσας τῷ πατριάρχῃ, ἔπεμπε πρὸς βασιλίδα. Οἱ δὲ ἐλθόντες, πρῶτα μὲν ἀπήγγελλον τοὺς ἐκείνου λόγους βασιλίδι· ἔπειτα συνεβούλευον ὡς δικαία εἴη ἡ ἀξίωσις, καὶ ὁ πόλεμος μᾶλλον αἱρετέος. Καντακουζηνῷ δὲ οὐδένα ἕτερον δυνήσεσθαι ἀντιστήσεσθαι ἢ τὸν μέγαν δοῦκα, ὡς ἐκ τῶν πραγμάτων γέγονε καταφανές. Ὅθεν δίκαιον ἐκεῖνον εὐνοοῦντα ἑαυτῇ καὶ συναιρόμενον ἔχειν πρὸς τὸν πόλεμον. Τοῦτο δ' οὐκ ἂν γένοιτο ἑτέρως, εἰ μὴ ὁ πόλεμος αὖθις ἐπιψηφισθείη. Ἀσυμβάτως γὰρ ἐκεῖνον πρὸς Καντακουζηνὸν ἔχειν διαβεβαιοῦσθαι. Εἰ μὲν οὖν πείθοιτο καὶ αὐτὴ, εὖ ἂν ἔχοι· εἰ δὲ μὴ, σκεπτέον μὴ ἀθρόον ἔνδον Βυζαντίου ὁ Καντακουζηνὸς ἀναφανῇ ὑπὸ μεγάλου δουκὸς προσκεκλημένος. Τοῦτο γὰρ ἂν εἴη μόνον ἀντίῤῥοπον τῶν πρὸς ἐκεῖνον ὕβρεων, καὶ τῶν ἄλλων κακῶν, ὧν κατὰ τὸν τοῦ πολέμου χρόνον πρὸς ἐκεῖνον ἐνεδείξατο. Ἡ βασιλὶς δὲ καὶ πρότερον μὲν ἐκ πολλῶν τῶν ἀνδρῶν στοχαζομένη τὴν κακοβουλίαν, καὶ τὴν μεγάλου δουκὸς κακοτεχνίαν, καὶ τὸ περὶ μηδενὸς ἐκείνῳ μέλειν, ἢ ὅπως αὐτὸς ἄρχῃ τῶν πραγμάτων, τότε δὲ καὶ μάλιστα τὴν ἀτοπίαν ἐκ τῶν λόγων συνιδοῦσα (μὴ ἔχουσα δὲ ὁτιστισιν ἑτέροις χρήσαιτο, οἱ γὰρ ἄλλοι τῶν εὐγενῶν καὶ καθ' αἷμα προσηκόντων βασιλεῖ δεσμωτηρίοις πάντες, ἢ ἐν ταῖς οἰκίαις ἦσαν κατακεκειρμένοι, οἷς αὐτὴ οὐκ ἐθάῤῥει εὐνοήσειν, εἰ ἀπολυθεῖεν τῶν δεσμῶν, συνετίθετο καὶ αὖθις καὶ ἄκουσα πρὸς τὸν πόλεμον. Μάλιστα δὲ ἀκούσασα Καντακουζηνὸν ἠναγκάσθαι παρὰ μεγάλου δουκὸς ἀποθέσθαι τὴν βασιλείαν, καὶ ἰδιώτου σχῆμα ἀναλαβεῖν, ἠρέμα ἐθέλγετο, καὶ πρὸς τὸ ἐξαπατᾶσθαι μάλιστα ἐνήγετο. Ἐπιψηφίζεται δὴ καὶ αὖθις ὁ πρὸς βασιλέα πόλεμος, καὶ ὁ μέγας δοὺξ ἥπτετο πάλιν τῶν πραγμάτων· οὐ μὴν ὥσπερ πρότερον μοναρχικῶς, ἀλλὰ μετριώτερόν πως. Ἐδεδίει γὰρ ἤδη τοῖς συνάρχουσι

B Ut cum Gabala quoque res ei ad voluntatem successit, eum patriarchæ commendat, ambosque ad imperatricem mittit. Qui primum verba Apocauchi referunt; mox rem justam ab eodem peti, et bellum paci anteponendum docent. Cantacuzeno etenim extra magnum ducem, quod experientia constiterit, neminem posse resistere. Proinde æquum videri, ut illum sibi amicum, et belli adjutorem habeat. At istuc aliter non futurum, quam si arma de integro decernantur. Confirmasse enim illum, sibi cum Cantacuzeno pacem nunquam intercessuram. Quapropter si ipsa etiam obsequatur, bene habiturum. Sin autem, videndum ne Cantacuzenus cum totis copiis suis intra Byzantium accersitu magni C ducis appareat. Hac enim via tantummodo contumelias, et incommoda, quibus eum per belli tempus vexaverit pensaturum. Cæterum imperatrix, quæ jam ante multis indiciis hominum istorum perversitatem, et malas artes magni ducis conjectasset, nihilque aliud illum curare, quam ut solus in republica dominaretur, ex his autem verbis ejus insolentiam clarissime perspiceret, cum non haberet quibuscum sensa sua communicaret (alii enim nobiles, et consanguinei Cantacuzeni imperatoris carceribus omnes, aut domibus suis inclusi tenebantur, quos e vinculis emissos, benevolos sibi fore non confidebat), rursus bello, quamvis invita, subscripsit. Potissimum autem, quod Cantacuzenum D a magno duce imperio se abdicare, et privati habitum resumere coactum audierat, sensim annuebat, et in fraudem maxime illiciebatur. Ergo rursus bellum sumitur, et magnus dux iterum gubernacula capessit; non tamen monarchæ instar, ut antea, sed aliquanto moderatius. Timebat enim jam collegas offendere, videns illis paulatim res submitti, et Cantacuzenum crescere, ne, si asperius

Jacobi Pontani notæ.

(34) Sacer ignis est, quem vulgus Italicum *il foco del sant Antonio* vocat, de quo diximus in symbolis nostris in ultimum versum 5 *Georg.*, nempe in hunc,

—— *contractos artus sacer ignis edebat.*

Digitized by Google Распознавание текста ABK/FR

imperaret, in odium caderet, et illi imperatori quam sibi subesse præoptarent. Porro cum de pristina auctoritate non parum se amisisse cerneret, **599** et se in posterum aut pace conciliata, aut aliis suo loco imperantibus damnatum, funditus periturum formidaret, imperatrici, patriarchæ, et aliis persuadere constituit uti legationem ad imperatorem super imperio deponendo (quod videlicet ipsi promisisset) mitterent; quo interea temporis, tanquam in induciis cum quibusdam pro imperatore vinctis ageret de conditionibus, ut si post legationem rursus summa rerum ei, et una bellum committeretur (norat enim nihil se sanum dixisse), nihil moveretur eorum quæ constituta essent, sed bello ut ab initio daret operam; sin autem ludibrium fieret, et administratione imperii spoliaretur, imperatori studeret. Tali consilio dicta confirmabat, et imperatricem ac proceres ad legationem inflectebat. Delecti legati ab iisdem Georgius Pepagomenus, et Syradenus, qui antea item Didymotichum a magno duce ad Cantacuzenum missus fuerat: ab Ecclesia autem et patriarcha metropolitanus Philippopolis, et sacellii curator Cabasilas (35), scripseruntque separatim quæ vellent collegæ et magnus dux, separatim patriarcha, et ad eas epistolas in extremo fidei causa sua nomina subscripserunt. Archontum quidem concepta erat in hæc verba: Posteaquam temetipsum damnavisti, et recte quidem, quod ita impossibilia, et nefanda aggressus sis, pestisque tua opera Romanis comparatæ magnitudinem reputans, petisti imperium deponere, et privati habitum resumere, ut nobis magnus dux optimo et sacratissimo imperatori nostro charissimus et fidelissimus indicavit, rem justam, et cum tibimetipsi, tum aliis fructuosam te propositam habere existimantes, de tam bono consilio te commendavimus, et hanc legationem misimus, ut quod ipse petivisti, id fiat. Ne autem post privati conditionem repetitam, molestum aut triste aliquid tibi eventurum suspicere, hasce litteras mittimus; quibus, quo rata essent, et tu securum te fore confidere posses, nomina nostra subscripsimus. Deinde et pensiones notarunt, quas ipse cum filiis, et propinquis de publicis vectigalibus caperet. Atque ista Archontum litteris continebantur. Patriarchæ epistola hoc exemplo conscripta erat: Benedictus Deus, qui non vult mortem peccatoris, sed ut magis convertatur, et vivat. Quam male de te, aliisque merueris, bello in hac una eademque gente excitato, violando juramentum imperatori mortuo datum, **600** et amiA προσκρούειν ὁρῶν αὐτοῖς τὰ πράγματα ὑπενδιδόντα; καὶ Καντακουζηνὸν αὐξανόμενον τὸν βασιλέα, μὴ τραχύτερον χρώμενος τῇ ἀρχῇ, ἐπαχθὴς εἴη, καὶ βουληθεῖεν ὑπὸ βασιλέως μᾶλλον ἄρχεσθαι ἢ αὐτοῦ. Ἐκεῖνος δὲ ἐπεὶ ὥρα οὐκ ὀλίγου τῆς πρὸν ἀφῃρημένος ἐξουσίας, καὶ περὶ τῶν μελλόντων δεδιὼς μὴ παντάπασι καταγνωσθεὶς ἀπόληται, ἢ εἰρήνης πρὸς βασιλέα γενομένης, ἢ ἑτέρων ἀντ' αὐτοῦ ἀρχόντων, ἐσκέψατο βασιλίδα καὶ πατριάρχην πείθειν, καὶ τοὺς ἄλλους πρεσβείαν ποιεῖσθαι πρὸς βασιλέα περὶ τοῦ ἀποθέσθαι τὴν βασιλείαν, ὥσπερ δῆθεν πρὸς αὐτὸν ὑπέσχετο, ὡς ἐν τῷ μεταξὺ τῆς πρεσβείας χρόνῳ, ὥσπερ τινὸς ἐκεχειρίας οὔσης, τισὶ τῶν ὑπὲρ βασιλέως δεδεμένων περὶ συμB βάσεων διαλεχθῇ, ὡς ἦν μὲν μετὰ τὴν πρεσβείαν πάλιν αὐτῷ τὰ πράγματα ἐγχειρισθῇ, καὶ ὁ πρὸς βασιλέα πόλεμος (ᾔδει γὰρ οὐδὲν ὑγιὲς εἰπών), μηδὲν κινοίη τῶν δεδογμένων, ἀλλ' ἔχοιτο τοῦ πολέμου ὥσπερ ἐξαρχῆς· ἦν δὲ προπηλακίζηται καὶ ἀφαιρῆται τὴν ἀρχὴν, τὰ βασιλέως πράττοι. Τοιαύτῃ μὲν δὴ γνώμῃ ἐβεβαίου τὰ εἰρημένα, καὶ ἔπειθε βασιλίδα καὶ τοὺς ἄλλους πρεσβείαν ποιεῖσθαι πρὸς τὸν βασιλέα. Καὶ ἡροῦντο πρέσβεις ἐκ βασιλίδος μὲν καὶ τῆς συγκλήτου Γεώργιός τε ὁ Πεπαγωμένος καὶ ὁ Συναδηνὸς, ὃς καὶ πρότερον πρὸς Διδυμότειχον εἰς βασιλέα ἦκε παρὰ τοῦ μεγάλου δουκὸς πεμφθείς· παρὰ δὲ τῆς Ἐκκλησίας καὶ πατριάρχου ὁ τῆς Φιλίππου μητροπολίτης, καὶ ὁ σακελλίου Καβάσιλας. Ἔγραφόν τε καὶ τὰ πρεσβευόμενα ἐνC γράμμασιν ἰδίᾳ μὲν συνάρχοντες μετὰ τοῦ μεγάλου δουκὸς, ἰδίᾳ δὲ ὁ πατριάρχης. Καὶ ὑπεσημήναντο οἰκείαις ὑπογραφαῖς τὰ γράμματα, ἵν' ᾖ πιστά. Ἦσαν δὲ τὰ μὲν τῶν ἀρχόντων οὕτως ἔχοντα· Ὡς ἐπεὶ καλῶς ποιῶν αὐτὸς, ὡς ἀδυνάτοις ἐπιχειροῦντος καὶ ἀθεμίτοις, κατέγνως σεαυτοῦ καὶ τῆς γεγενημένης διὰ σὲ φθορᾶς ἐν τοῖς Ῥωμαίοις ἐννοῶν τὸ μέγεθος, ᾔτησας τὴν βασιλείαν ἀποθέσθαι, καὶ εἰς ἰδιώτου σχῆμα μεταβάλλειν, ὥσπερ ἡμῖν ἐγνώρισε σαφῶς ὁ περιπόθητος καὶ γνησιώτατος τῷ κρατίστῳ καὶ ἁγίῳ βασιλεῖ ἡμῶν ὁ μέγας δοὺξ, δίκαιά τε ὁμοῦ καὶ συμφέροντα καὶ σαυτῷ καὶ τοῖς ἄλλοις βεβουλεῦσθαι κρίναντες, ἐπῃνέσαμέν τε τῆς εὐβουλίας, καὶ τὴν πρεσβείαν πεD ποιήμεθα ταύτην· ἵν' ὅπερ ᾔτησας αὐτὸς, τὸ πέρας λάβῃ. Ἵνα δὲ μηδεμίαν ἔχῃς ὑποψίαν, ὡς τι μετὰ τὴν ἰδιωτείαν ἀπαντήσει δυσχερὲς, ἢ δυνάμενον λυπεῖν, τὰ γράμματα ταῦτα ἀπεστάλκαμεν, καὶ ταῖς ἡμετέραις ὑπογραφαῖς ἐπὶ βεβαιωθέντα ἀσφαλείας ἕνεκα· καὶ τοῦ θαρρεῖν αὐτοῖς ὡς ἀκίνητα μενεῖ. Ἔπειτα, καὶ συντάξεις ἐκ τῶν δημοσίων ἔγραφον, οἷς χρήσεται αὐτὸς καὶ παῖδες, καὶ οἰκεῖοι.

Jacobi Pontani notæ.

(35) Curator sacellii est, qui præest curando sacellio, quo verbo res sacræ, et loca sacra, ut domus, et templa, et monasteria intelliguntur, diciturque ὁ τοῦ σακελλίου, sine adjectione, quæ tamen subauditur, et Latine sacellarius. Vocatur eodem nomine qui sacris, et Deo dicatis hominibus præfectus est. In codice Augustano Pachymerii historiam continente ita scriptum est: Σακελλάριος ὁ παιδεύων τοὺς ἀτακτοῦντας τῶν μοναχῶν, καὶ ἱερέων καὶ ἐπιστατῶν μοναστηρίοις τοῖς ἀνδρῴοις, καὶ γυναικείοις. *Sacellarius, qui compescit petulantes monachos, et sacerdotes, et præest monasteriis utriusque sexus.*

Digitized by Google Распознавание текста ABBYY FR

Τοιαῦτα μὲν τὰ τῶν ἀρχόντων περιεῖχε γράμματα. Τοῦ πατριάρχου δὲ ἦσαν οὕτως· Εὐλογητὸς ὁ Θεὸς ὁ μὴ θέλων θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Ὅτι μὲν γὰρ κακῶς σεαυτῷ ὁμοίως καὶ τοῖς ἄλλοις ἐβουλεύσω τὸν ἐμφύλιον πόλεμον κεκινηκώς, ἀθετήσας μὲν ὅρκους τοὺς πρὸς βασιλέα, καὶ τὴν φιλίαν ἐκείνην τὴν θαυμαστήν, ὑφ' ἧς παρ' ὅλον τὸν ἐκείνου βίον πολλῶν ἀπέλαυσας καὶ μεγάλων ἀγαθῶν, καὶ τοῖς παισὶν ἐπιβουλεύσας περὶ τῆς ἀρχῆς, τοῖς Ῥωμαίοις δὲ πολλῶν καὶ μεγάλων αἴτιος κατέστης συμφορῶν, ὧν διὰ μέγεθος οὐδ' οἱ ἐν ἐσχατιαῖς οἰκοῦντες γῆς ἀνήκοοί εἰσιν, οὐδ' αὐτὸς ἀγνοεῖς. Ἐπειδὴ δὲ τῶν τετολμημένων εἰς συναίσθησιν ἐλθὼν, καὶ τῶν ἀτόπων ἐπιχειρήσεων σεαυτοῦ κατεγνωκὼς μετεμελήθης, καὶ ὑποστρέφεις καλῶς, ὅθεν ἐξῆλθες κακῶς τὴν βασιλείαν αἰτῶν ἀποσκευάσασθαι, καὶ εἰς ἰδιώτου σχῆμα μεταβαλεῖν, ὥσπερ ἀκριβῶς ἐξεγένετο μαθεῖν παρὰ τοῦ περιπυθήτου καὶ γνησιωτάτου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι τοῦ μεγάλου δουκὸς, αὐτός τε ἡδονῆς ἐπλήσθην, ὅσης ἐπὶ τοῖς τοιούτοις εἰκὸς, καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία τὰς ἀγκάλας αὐτῆς διανοίξασα, δέχεταί σε μετὰ πάσης πνευματικῆς ἀγάπης καὶ ἡδονῆς, καὶ ὅσον οὔπω ἥξειν καὶ σὲ προσδοκῶμεν εἰς ἡμᾶς, ἵν' ὁμοῦ τε ἡ τοῦ ἐπιτιμίου λύσις γένηται ᾧ καθυπεβλήθης, καὶ ἀλλήλοις συνησθῶμεν κατὰ τὸ ἀρχαῖον ἔθος ὁμιλήσαντες. Τοιαῦτα μὲν ἔγραφε καὶ ὁ πατριάρχης. Οἱ πρέσβεις δὲ ἐπὶ Παμφύλου ἄχρι ἦλθον, πέμψαντες ἐδήλουν βασιλεῖ, ὡς ἥκοιεν μὲν ἐπὶ πρεσβείᾳ, προσταχθεῖεν δὲ παρὰ τῶν πεπομφότων, μὴ βασιλέα προσαγορεύειν ἐν ταῖς διαλέξεσιν αὐτῶν. Εἰ μὲν οὖν τὸ τοιοῦτον ἀνεκτὸν αὐτῷ, δῆλον ποιεῖν, ἵν' ἐλθόντες ἀπαγγέλλωσι τὰ τῆς πρεσβείας· εἰ δὲ μέλλοι διὰ τὴν ὑπεροψίαν ἀπελαύνειν πρὸς ὀργὴν, μηδὲ τὴν ἀρχὴν ἀφικνεῖσθαι πρὸς αὐτὸν, ἀλλ' ἀναστρέφειν ἐκ Παμφίλου. Ὁ βασιλεὺς δὲ ποιούμενος περὶ πλείστου τὸ ἐκ Βυζαντίου τισὶν ἀξιολόγοις συντυχεῖν καὶ διαλεχθῆναι περὶ τῶν κατ' αὐτὸν ἁπάντων, ὅτι τε ὑπὸ συκοφαντῶν διαβληθείη, καὶ οὐδεμίαν πρόφασιν αὐτὸς παράσχοι τῷ πολέμῳ, ἀλλ' ἐκ πρώτης ἡμέρας ἄχρι νῦν ἀναγκαίως ὑπὲρ σωτηρίας αὐτοῦ τε ἀμύνεται καὶ τῶν συνόντων, ἅμα δὲ καὶ ἐλπίσας εἰρήνης ἕνεκα ἥκειν, ἐκέλευεν ἀφικέσθαι πρὸς αὐτὸν, ὡς οὐδένα λόγον τῆς προσηγορίας ποιησόμενος. Τοῦ γὰρ κοινῇ λυσιτελοῦντος ἕνεκα οὐ τοιαῦτα μόνον ἕτοιμος εἶναι ὑπομένειν, ἀλλὰ καὶ λοιδορίας, καὶ εἴ τι χαλεπώτερον ἕτερον δοκεῖ. Εἰ μὲν γὰρ ἀπὸ τῶν τοιούτων ὄφελός τι γένοιτο Ῥωμαίοις, καὶ πολλὴν αὐτοῖς εἰδήσειν χάριν ὑπὲρ τούτων· εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικᾷη καὶ ἀσύμβατοι ἀναχωρῶσιν, οὐδ' οὕτως αὐτῷ τινα ἀδοξίαν ἀπὸ τῆς προσηγορίας ἀπολείψειν. Ἦκον μὲν οὖν οἱ πρέσβεις ἐπὶ τούτοις, καὶ ἀπήγγελλον τὰ κατὰ τὴν πρεσβείαν· ἅμα δὲ καὶ τὰ γράμματα παρεῖχον, παρετήρουν τε τὸ μὴ βασιλέα ἐν ταῖς διαλέξεσι προσαγορεύειν.

Citia illa prorsus singulari (unde quoad ille vixit, multis magnisque bonis auctus es) ac filiis ejus per insidias imperium conando eripere : quamque Romanos multis, et diris calamitatibus involveris, quarum gravitatem etiam ultimi terrarum fines audiverunt, non te fugit. Ast ubi facinorum tuorum conscientia perstrictus, damnatisque ausibus a ratione alienis ad pœnitentiam te dedisti, et unde male exivisti, eodem bene reverteris, imperio te abdicare cupiens, ac de cætero vitam privatam exigere, quemadmodum perspicue cognovi a magno duce, qui optimo et sacratissimo imperatori nostro amabilissimus ac fidelissimus est, et ipse expletus sum tanto gaudio, quanto me in negotio hujuscemodi expleri decuit, et Dei Ecclesia obviis ulnis cum omni charitate, et jucunditate spirituali te complectitur; tuumque adventum ad nos in dies exspectamus, quo et inflicta pœna leveris, et vicissitudine sermonum pro veteri consuetudine nos oblectemus. Hæc patriarcha. Legati Pamphilo imperatorem Cantacuzenum super adventu suo certiorem faciunt, adduntque sibi mandatum ne ipsum in congressu imperatorem appellent. Hoc si pati queat, faciat ut sciant quo illum adeuntes munere suo perfungantur. Sin eos superbe et iracunde repulsurus sit, neutiquam accessuros, et Pamphilo donum reversuros. Imperator etiam atque etiam desiderans, cum viris honoratis e Byzantio de rebus suis omnibus colloqui, et eos docere, se a criminatoribus traduci, nec ullam bello ansam dedisse, sed a primo die usque nunc pro sua suorumque salute propugnationem suscipere necesse habuisse; ac simul sperans eos pacificationis ergo venire, neglecto imperatoris nomine adeundi sui copiam facit. Nam si id e republica futurum sit. non talia duntaxat, sed et convicia, et si quid odiosius conviciis, æquo animo ab ipsis perpessurum. Imo si id Romanis commodet, etiam gratias non vulgares acturum. Sin deteriora vincant, et infecta pace discedant, nec sic aliquod sibi dedecus ex simplicitate appellationis relicturos. Hac conditione legati veniunt, legationem exponunt, litteras reddunt, caventque ne imperatorem vocent.

601 CAPUT LXXIV.

In acta imperatoris inquiritur, et bene gessisse rempublicam ostenditur : adversarii confutantur. Responsum imperatoris ad legatos. Exprobrat principibus ignobilitatem et imprudentiam ; statum reipublicæ deplorat. Apocauchum exagitat, et objecta sibi crimina diluit, cum recriminatione in patriarcham. Repetuntur quæ inter ipsum et imperatricem super imperio deponendo, ac recipiendo eodem patriarcha internuntio acta sint. Item quæ inter ipsum et patriarcham, ut ejus perfidia pateat. Queritur etiam de legatis suis Constantinopoli injuriosissime habitis, et de iniquitate in se demonstrata. Separatim Apocauchum insectatur. Patriarcham cum suis auctorem esse calamitatis bello acceptæ probat, et quam multiplex ea fuerit, docet. Rejicit etiam quod patriarcha scripserat, abdicanti se, et pœnitenti viscera Ecclesiæ aperta esse

Digitized by Google Распознавание текста ABK/FR

et pœnam condonandum. Item de vi excommunicationis disserit. Concludit eos malorum omnium causam exstitisse, et imperium ambire, pacisque summum desiderium denuo significat.

Auditis legatorum verbis, perlectisque litteris, ad nugas illic positas in risum solutus imperator, tum quidem eos ad corpus cibo, ac somno in diversorio reficiendum dimittit. Die altero concilio e præsentibus suis coacto, legatos etiam advocat, ac priusquam eis respondet, causam suam, ad quæstionem de ea exercendam in medium proponit. Inquiritur in acta ejus omnia, post Andronici imperatoris obitum : et legatis ostenditur, probe, juste, et cum summa tum filiorum imperatoris, tum Romanorum omnium utilitate reipublicæ præfuisse. Jubet item eos intrepide proferre, si quid haberent reprehendere, ut rationem omnium redditurus. Illis quædam horum ut injusta accusantibus, ad singula respondet. In ista actione sex deinceps dies contriti sunt ; pluribusque argumentis et probationibus demonstratum injurias imperatorem accepisse longe indignissimas, et magnum ducem, aliosque belli satores non sycophantas solum, et in eum vehementer ingratos, et quantum dici non potest scelleratos ; sed cædium quoque, et servitutis, et ærumnarum ingentium, quæ belli tempore Romanos obruerunt, primariam causam exstitisse. Post diem sextum legatis responsum dare instituens, ita orsus est. Nulla res et urbem populari utentem potestate, et regnum, seu monarchiam in primis tam facile evertit, quam a prudentibus, et opportune consulentibus solitudo. Etenim si talibus aut civibus civitas, aut præfectis regnum abundaverit, quamvis casu quodam offenderint, parvo negotio ad pristinam felicitatem revocari poterunt. Sin autem tales viros semel amiserint, **602** nihil profecto celerem, et extremam eorum miseriam remorabitur. Quocirca Romanum imperium ego maximopere lugeo, quod multis antea viris admirabilibus abundans, modo omnia conficiens, et consumens vetustas eo redegit, ut summam ejus teneant, quos e medio imperitæ plebeculæ prodiisse dicas. Nam super talibus legationem mittere, et ad me mittere, qui ipsis diu jam imperavi, et cujus (absit verbo invidia) vel placidiore aspectu dignati, in cœlo sibi esse videbantur : deinde nihil neque anquirentes, neque circumspicientes, adeo inconsulto, et confidenter quidquid in buccam venit scribere, non tam illis, quod se dignum est facientibus, quispiam reprehenderit, quam illustre prius, et beatum Romanorum imperium nunc ab hujusmodi, proh Deum immortalem, mancipiis gubernatum defleverit. Sed de illis nihil dicam amplius, quos talis conditio, et pejor etiam decet : Apocauchi præfecti cubiculi non improbitatem modo, mentiendique libidinem, sed temeritatem quoque et impudentiam admiror ; qui, quamvis non paucis et apertissimis exemplis mendaciorum convinci possit, tamen ne frustra ac sine causa bellum commovisse, neque inaniter laborare videatur, fluxam gloriam dedecore in om-

A Βασιλεὺς δὲ ἐπεὶ τῶν τε λόγων ἤκουε, καὶ τὰ γράμματα ἀνέγνω, πρὸς τοὺς ἐγγεγραμμένους λήρους διαχυθείς, νῦν μὲν ἀπέλυε τοὺς πρέσβεις ἀναπαύλης τινὸς τυχεῖν ἐφ' ᾗς ἐξενίζοντο οἰκίαις· εἰς τὴν ὑστεραίαν δὲ ἐκκλησίαν ἐκ τῶν παρόντων ποιησάμενος, μετεκαλεῖτο καὶ τοὺς πρέσβεις. Καὶ πρὶν ἀπολογίαν τινὰ περὶ ὧν ἐπρέσβευον ποιήσασθαι, τὰ κατ' αὐτὸν εἰς μέσον προὐτίθει ἐρευνᾶν. Καὶ πάντα ἐξητάζετο μετὰ τὴν βασιλέως τελευτὴν, ἐφ' οἷς ἀπεδείκνυεν αὐτὸν ἐπὶ τῶν πρέσβεων ὀρθῶς καὶ δικαίως, καὶ τοῖς τε βασιλέως παισὶ, καὶ τοῖς ἄλλοις ἅπασι Ῥωμαίοις μάλιστα λυσιτελῶς πεπολιτευμένον. Ἐκέλευέ τε καὶ τοὺς πρέσβεις ἀδεῶς λέγειν, εἴ τι ἔχοιεν κατηγορεῖν, ὡς λόγον ὑπὲρ πάντων ποιησόμενος. Καὶ ἐπ' ἐνίοις ἀντιλεγόντων καὶ ἐγκαλούντων, ἃ ἐνόμιζον ἀδικεῖν, ὑπὲρ πάντων ἐποιεῖτο λόγον. Τοῦτο μὲν οὖν εἰς ἕκτην ἐφεξῆς ἡμέραν ἐτελεῖτο, καὶ διὰ πολλῶν τῶν ἀποδείξεων τὰ ἔσχατα B ἠδικημένος ἀπεδείκνυτο ὁ βασιλεύς. Δοὺξ δὲ ὁ μέγας, καὶ οἱ ἄλλοι οἱ τὸν πόλεμον κεκινηκότες οὐ συκοφάνται μόνον καὶ ἀγνώμονες δεινῶς περὶ αὐτὸν, καὶ μοχθηρίας ὑπερβολὴν ἐλλελοιπότες οὐδεμίαν, ἀλλὰ καὶ τῶν φόνων καὶ τῶν ἀνδραποδισμῶν, καὶ τῶν μεγάλων συμφορῶν, αἳ Ῥωμαίους κατέσχον ἐπὶ τῶν χρόνων τοῦ πολέμου μάλιστα αἰτιώτατοι γεγενημένοι. Μετὰ δὲ τὴν ἕκτην πρὸς τὴν ἀπολογίαν καθίστατο τὴν περὶ τῆς πρεσβείας, καὶ εἶπε τοιάδε· Οὐδὲν οὕτω καὶ πόλιν δημοκρατουμένην καὶ βασιλείαν μάλιστ' ἂν ῥᾳδίως καταλύειν δύναιτο, ὡς ἀνδρῶν ἀπουσία συνετῶν καὶ τὰ δέοντα βουλευομέ- C νων. Εἰ μὲν γὰρ τοιούτων ἡ πολιτῶν ἡ πόλις, ἢ ἀρχόντων ἡ βασιλεία εὐπορεῖ, κἂν τύχῃ τινὶ σφαλῶσι, ῥᾳδίως δύναιντ' ἂν ἐπανασώζειν τὴν πρότερον τύχην· ἂν δ' ἅπαξ ἀποστερηθῶσι τῶν τοιούτων, οὐδὲν ἔσται κώλυμα μὴ εἰς ἔσχατον κακοπραγίας τάχιστα ἀφῖχθαι. Ὃ οὖν ἐγὼ τὴν Ῥωμαίων μάλιστα ὀδύρομαι ἡγεμονίαν, ὅτι πολλῶν καὶ θαυμασίων ἀνδρῶν πρότερον εὐπορουῦσαν, νῦν εἰς τοῦτο περιέστησεν ὁ πάντα καταλύων χρόνος, ὥστε ἡγεμόνας τῶν πραγμάτων ἔχειν μηδὲν ἄμεινον τῶν πολλῶν διακειμένους. Τὸ γὰρ ὑπὲρ τηλικούτων πρεσβείαν ποιουμένους, καὶ πρὸς ἐμὲ τὸν πολὺν ἤδη χρόνον ἄρξαντα αὐτῶν, καὶ οὗ εἰ μὴ ἐπίῴθονον εἰπεῖν, καὶ βλέμματος ἀπολαύειν προσηνοῦς ἐν μεγίστῃ ἦγον D εὐτυχίας μέρει, ἔπειτα μηδὲν μήτε ἐρευνήσαντας, μήτε σκεψαμένους οὕτως ἀπερισκέπτως καὶ θρασέως τὰ ἐπελθόντα γράφειν, οὐκ ἐκείνων μάλιστ' ἂν τις κατηγορήσειε προσήκοντα εἰργασμένων ἑαυτοῖς, ἢ ὅσῳ τὴν περιφανῆ πρότερον καὶ εὐτυχῆ Ῥωμαίων θρηνήσειν ἡγεμονίαν, ὑπὸ τοιούτοις, φεῦ, ἀνδραπόδοις ἀγομένην. Περὶ μὲν οὖν ἐκείνων ὀλίγος ἐμοὶ λόγος γένοιτ' ἄν, τοιαῦτα καὶ φαυλότερα πράττειν οὖσιν ἀξίοις· Ἀποκαύχου δὲ τοῦ παρακοιμωμένου, οὐ τὴν μοχθηρίαν μόνον, ἀλλὰ καὶ τὴν ἰταμότητα καὶ τὴν ἀναισχυντίαν ἔπεισι θαυμάζειν, ὅτι καίτοι μέλλων ἐπὶ τοσούτων ἐλέγχεσθαι σαφέστατα ψευδόμενος, ὅμως ἐπὶ τῷ μὴ δοκεῖν εἰκῇ καὶ μάτην

Digitized by Google Распознавание текста ABK/FR

τὸν πόλεμον κεκινηκέναι, μηδ' ἀνήνυτα πονεῖν, εἵλετο τῆς ἐπ' ὀλίγον εὐδοξίας τὴν δι' ἀβίου αἰσχύνην ἀνταλλάττεσθαι. Δέον μέντοι μηδὲ τὸ ἐκείνου πάνυ θαυμαστὸν ἡγεῖσθαι. Ὧ γὰρ ὁ βίος ὅλος πανουργία καὶ ἐπιορκία καὶ ἀπάτη, καὶ ῥᾷον ἂν ἀναπνεύσειε χωρὶς ἀέρος, ἢ τούτων, οὐδὲν θαυμαστὸν εἰ Θεὸν ψευδόμενος διηνεκῶς, εἵλετο καὶ πρὸς ἀνθρώπους τῷ ψεύδει χρῆσθαι. Ἐμοὶ δ' ἐξαρχῆς τε ἠρημένῳ τὴν ἀλήθειαν, καὶ εἰς τόδε χρόνου περὶ πλείστου ποιουμένῳ, καὶ πάσης ἄλλης ἀνθρωπίνης εὐημερίας προτιμῶντι, ἰτἀληθὲς εἰρήσεται. Συμμαρτυρήσει δὲ καὶ Συναδηνὸς οὗτος, ὃς ἐμοὶ τοὺς λόγους σύνοιδεν, ἀξιόχρεως ὢν πρὸς πίστιν, παρ' ἐκείνου γὰρ ἀφῖκτο. Τὸ γὰρ Ἐμπυθίου φρούριον πολιορκῶν, πρεσβείαν τε πρός με διὰ τούτου ἐποιεῖτο, καὶ βούλεσθαι ἔλεγε συντυχεῖν περί τινων διαλεξόμενος, κακούργως καὶ ταῦτα καὶ ἀξίως ἑαυτοῦ ὑποκρινόμενος, ὡς ἐδείκνυτο σαφῶς ἀπὸ τῶν πραττομένων. Συνθεμένου δὲ ἐμοῦ (ᾠήθην γὰρ αὐτὸν περὶ εἰρήνης ἐθέλειν διαλέγεσθαι, ἧς ἐγὼ μάλιστα ἐπιθυμῶ καὶ τῶν περὶ ἐκείνης λόγων, κἂν ὡσι πρὸς ἀπάτην συνεσκευασμένοι, ὀλίγα πολυπραγμονῶν ἐξέχομαι) μὴ δύνασθαι αὐτὸς ἔλεγε βασιλικῶς ἐσκευασμένῳ συντυγχάνειν· ἀδυνατώτερον δὲ εἶναι πάλιν τὴν βασιλικὴν σκευὴν ἀποτίθεσθαι ἐμέ· πρὸς ἃ ἐπίνοιάν τινα ἐδεῖτο ἐξευρίσκειν. Ἐγὼ δ' ὅπερ ἔφην τῆς εἰρήνης τῆς ἐπιθυμίας ἕνεκα, Ἀλλὰ τὴν ἀπορίαν, εἶπον, ῥᾷστα ἰασαίμην ἂν ἐγώ. Ὡπλισμένοι γὰρ συμμίξομεν ἀλλήλοις ἀγνοούμενοι εἰ βασιλικὰς ἢ ἰδιωτικὰς ἔνδον ἔχομεν ἐσθῆτας. Εἰ οὖν τοῦτο συνθήκη τοῦ τὴν βασιλείαν ἐστὶν ἀποθέμενον ἰδιωτικῶς ζῆν, ὥσπερ ἐκεῖνος καταψεύδεται, κρίνατε ὑμεῖς. Εἰ δ' ἑτέρως ἢ ὥσπερ αὐτὸς εἰρήκειν ἔχει, ὁ Συναδηνὸς παρὼν ἐξελεγχέτω· ἀλλ' οὐκ ἂν δύναιτο. Πρὸς μὲν οὖν τοὺς ὀνομαζομένους ἄρχοντας, οἳ δικαιότερον ἂν μᾶλλον ἀνδράποδα καὶ δοῦλοι καλοῖντο, καὶ τὴν παρακοιμωμένου ψευδολογίαν, ἀρκέσει καὶ τὰ εἰρημένα τήν τε ἄνοιαν ἐκείνων καὶ φαυλότητα, καὶ τὴν ἐκείνου μοχθηρίαν ἀπελέγχειν. Πρὸς δὲ τὴν πρὸς πατριάρχην ἀπολογίαν ἤδη τρέψομαι. Ἂν δ' ὑπὸ τῶν λόγων ἀπελέγχηται ψευδόμενος καὶ ἐπιορκῶν αὐτὸς, καὶ τῶν αἱμάτων καὶ τῶν φόνων αἴτιος καὶ τῶν μυρίων κακῶν, ἃ τοὺς ταλαιπώρους Ῥωμαίους τοσοῦτον ἤδη κατέχει χρόνον, ὧν αὐτὸς ἐν τοῖς γράμμασιν αἴτιον ἐμὲ γεγενῆσθαι λέγει ἐπιθυμήσαντα τῆς βασιλείας, μὴ ἐμοὶ τὸν ἔλεγχον προσλογίζεσθαι καὶ τὴν αἰσχύνην τὴν ἀπὸ τῶν λόγων, ἀλλ' ἐκείνῳ τῷ πρὸς τούτους καταστήσαντι. Λέγει τοίνυν, ὡς ἐγὼ τοὺς πρὸς βασιλέα ὅρκους παραβάς, καὶ τὴν θαυμαστὴν ἐκείνην φιλίαν ἀθετήσας, ὑφ' ἧς παρὰ πάντα τὸν ἐκείνου βίον πολλῶν ἀπέλαυσα καὶ μεγάλων ἀγαθῶν, ἐπεβούλευσα τοῖς παισὶ καὶ βασιλίδι τῇ γαμετῇ μετὰ τὴν τελευτήν. Εἰ μὲν οὖν ἀκολασίαν κατηγόρει, ἢ ἀσυνεσίαν, ἢ δειλίαν, ἤ τι τῶν ὅσα πρὸς καιρὸν ἔχει τὴν μέμψιν, καὶ ἡ ὕβρις εἰς τὸ σῶμα διαβαίνει, ἠνεγκα ἂν σιγῇ τὴν κατηγορίαν αἰδοῖ τῇ πρὸς αὐτόν· εἰ δ' ἐπιορκίας δώκει, ἢ οὐδὲν ἀσεβείας διενήνοχεν (ἐπιορκία γὰρ,

nem vitam duraturo redimere voluit. Verum neque hoc illius facinus tam valde mirandum censeo. Cujus enim vita omnis nihil est, nisi vafrities, perjurium, impostura, quique facilius sine aspiratione aeris, quam sine his spiritum duxerit, haud mirum si Deo mentiens assidue, apud homines quoque vanitatem usurpare statuerit. Ego vero a puero veritatis amans, et usque hodie tanti eam faciens, ut nullam ei humanam prosperitatem anteponam, quod verum est eloquar. Testimonium mihi dicet etiam Synadenus hic, meorum verborum conscius, et testis fide dignus, qui ab illo ad me venit. Nam dum castellum Empythium obsideret, legatum hunc ad me misit : et affirmavit se colloquendi gratia me conventum cupere, nequiter et istuc, atque ut suis moribus dignum erat simulans, quod facto clare patuit. Annuente autem me (cogitabam enim de pace mecum acturum, cujus me cupidissimum, et sermonum de ea licet ad fraudem compositorum parum curiosum scrutatorem fuisse confiteor) atque in lætitiam effuso, ipse me alloqui in veste imperiali posse negavit; mihi autem fore multo difficilius ornatum hunc deponere **603** ideoque rationem aliquam novam inveniri desiderabat, qua congrederemur. Tum ego cupiditate pacis inflammatus, ut dicebam, atqui hanc difficultatem, inquam, non difficile sustulero : armati enim conveniemus, ut imperatorione, an privato vestitu intus tecti simus, ignoretur. Utrum igitur hoc pactum sit aliquod, imperio deposito privatorum more vivendi, ut ille mentitur, vos judicatote. Si aliter est ac dico, Synadenus hic præsens me refellat, quod non poterit. Ad eos igitur, qui archontes vocantur (melius mancipia, et servi nominarentur) et ad mendaciloquum præfectum cubiculi, ad illorum, inquam, stoliditatem, et inscitiam, et hujus perversitatem coarguendam, satis dictum est. Sequitur ut patriarchæ respondeam : quem si mendacem, ac perjurum, cædiumque, et effusi sanguinis, et mille malorum, quæ infelices Romanos tandiu opprimunt (quorum me propter imperii cupidinem causam fuisse in litteris autumat), reum probavero, ne ob eam probationem, ignominiamque ad se ex verbis meis redundantem mihi, sed illi a quo huc deductus est, irascatur. Ait igitur, me juramento Andronico imperatori concepto deficientem, et memorabilem illam amicitiam, ex qua quoad ille superstes fuit, complura, et singularia bona sim adeptus, dissuentem, post obitum uxori, et liberis ejus insidias paravisse. Si me intemperantiæ, stuporis, timiditatis, aut alicujus eorum, quæ temporariam habent reprehensionem, et quorum contumelia ad corpus transit, accusaret, ego accusationem reverentia illius tulissem tacitus. Quia vero perjurii insimulat, quæ nihil ab impietate differt (perjurium enim, inquit, est negatio Dei [36]), quid restat, nisi

Jacobi Pontani notæ.

(36) Est in sententiis Nazianzeni tetrastichis tetrametris :

Ὅρκον δὲ ψεῦγε πάντα· πῶς οὖν πείσομεν ;

Digitized by Google Распознавание текста ABK/FR

ut objecta crimina refellam libere, ipsumque tantum esse perjurio implicitum, quantum me ab eo sejunctum demonstrem? Quod igitur attinet ad beatæ memoriæ imperatorem illum, omnium mihi charissimum, et ipsa anima mea pretiosiorem (quem et viventem complectebar, et quemvis pro eo laborem delicias reputabam, cujusque defuncti indelebilem memoriam circumfero) neque jurasse me illi dixerim, neque pejerasse; siquidem ne quid de me sinistrum suspicaretur, juramentis meis nunquam indiguit, cum quotidianæ actiones meæ ad fidem, et germanum amorem meum erga illum prodendum, mille juramentis antecellerent. Etenim non eos, a quibus grave nil timemus, sed **604** quibus maxime diffidimus ad jurandum cogere consuevimus. Non tamen propterea criminibus me absolvi volo, si interim illius filiis post ejus e vita discessum insidiatus videar. Peræque enim injustitiæ culpa tenetur, si quis injuratus, ut si juratus injuste egerit. Sed hoc quale sit, post refutationem objecti juramenti considerabimus: nunc hoc ipsum patriarcham calumniose mentiri aio, quod me datum imperatori juramentum habuisse irritum asserit. Si juramenta intelligit, quæ imperatrici et imperatori filio juraverim, primum quidem nec ipsis juravi, cum id nulla necessitas requireret, et ad me defendendum eamdem orationem valere oportere dico, qua de imperatore usus sum: quod nempe etiam sine juramento nec illis quispiam insidiari queat, neque imperio eos movere, nisi manifestum scelus designare voluerit. Sin de juramentis loquitur, quæ ipsi postea (patriarchæ inquam) dederim, equidem hominem reveritus, nullum super iis verbum edere cogitaveram. Quia vero ipse ea in examen cogit deducere, si magis inde ipsum pejerasse docuero, in bonam partem accipiat. Ego namque recenti imperatoris obitu, cum viderem eum ad rempublicam tractandam se ingerere, et ambitione atque imperandi gloria prurire; nec ignorarem, quam nihil prodesset hujusmodi appetitioni indulgere (multam enim inde discordiarum ac seditionum materiam exorituram præsentiebam), palam autem ejus conatum infringere invidiosum, ac tyrannicæ cujusdam affectationis videri, istiusmodi incertis ac dubiis cogitationibus diu luctatus, tandem si non reipublicæ, at certe mihimet prospiciendum, et vitam meam a publicorum negotiorum strepitu remotam, otio honesto, tranquillitatique mandare decrevi, ne Romanis teterrimorum incommodorum caput, et origo exstitisse putarer. Quare eodem usus legato ad Augustam, imperii procuratione me abdicavi. Quæ auditione improvisa obstupefacta, abdicationemque meam communem interpretata miseriam, in omnia se vertens,

A φησὶν, ἄρνησις Θεοῦ), τί λοιπὸν, ἢ μετὰ παῤῥησίας ἀπολύεσθαι τὰ ἐγκλήματα, καὶ αὐτὸν ἀποδεικνύναι τοσοῦτον τῇ ἐπιορκίᾳ ἐνεχόμενον, ἢ ὅσον ἐμαυτὸν μάλιστα ἀφεστηκότα; Πρὸς μὲν οὖν βασιλέα τὸν μακάριον ἐκεῖνον τὸν πάντ' ἐμοὶ φίλτατον καὶ κεφαλῆς τιμιώτερον αὐτῆς, οὗ καὶ ζῶντος μάλιστα περιειχόμην, καὶ πάντα πόνον ὑπὲρ ἐκείνου τρυφὴν ἡγούμην, καὶ μετὰ τὴν τελευτὴν ἀνεπίληστον τὴν μνήμην περιφέρω, οὔτ' ὀμωμοκέναι φαίην ἄν, οὔτ' ἐπιωρκηκέναι· οὐδὲ γὰρ ὅρκων ἐδεήθη ποτὲ, τοῦ μηδὲν φαῦλον ὑποπτεύειν ἕνεκα περὶ ἐμοῦ. Αἱ γὰρ καθημέραν πράξεις μυρίων ὅρκων ἦσαν ἰσχυρότεραι, τὴν πρὸς ἐκεῖνον ἐμοῦ πίστιν καὶ φιλίαν καθαρὰν ἀποδεικνῦσαι. Τοὺς γὰρ ὅρκους, οὐ παρ' ὧν δυσχερὲς ὑποπτεύομεν οὐδὲν, ἀλλ' οἷς μάλιστα ἀπιστοῦμεν

B εἰώθαμεν ποιεῖσθαι προσαναγκάζειν. Οὐ μὴν διὰ τοῦτο ἐγκλημάτων ἀπολύεσθαι δικαιῶ, ἂν τοῖς ἐκείνου φαίνωμαι παισὶ μετὰ τὴν τελευτὴν ἐπιβεβουλευκώς. Ὁμοίως γὰρ ἄν τις ἐνέχοιτο τοῖς ἐγκλήμασι τῆς ἀδικίας ἄν τ' ὀμωμοκὼς, ἄν τε χωρὶς ὅρκων ἀδικοίη. Τοῦτο μὲν οὖν μετὰ τῶν ὅρκων τὴν ἀπόδειξιν ἐξετάσομεν. Νυνὶ δ' αὐτὸ τοῦτο ψεύδεσθαι καὶ συκοφαντεῖν τὸν πατριάρχην φαίην ἂν φάσκοντα ἠθετηκέναι τοὺς πρὸς βασιλέα ὅρκους. Εἰ δὲ τοὺς πρὸς βασιλίδα λέγει καὶ βασιλέα τὸν υἱὸν, πρῶτον μὲν οὐδ' αὐτοῖς πρότερον ὀμώμοκα. Οὐδὲ γὰρ ἐκάλει χρεία τις. Τὸν ἴσον δὲ λόγον καὶ περὶ αὐτῶν ὥσπερ καὶ περὶ βασιλέως φημὶ δίκαιον εἶναι σώζεσθαι, τὸ καὶ χωρὶς ὅρκων τινὰ μηδὲ αὐτοῖς ἐξεῖναι ἐπιβουλεύειν, μηδὲ παραιρεῖσθαι τὴν ἀρχὴν, εἰ μὴ φανερῶς αἱροῖτο ἀδικεῖν. Εἰ δὲ τοὺς ὕστερον ἐπ' αὐτοῦ γεγενημένους λέγει, ἐγὼ μὲν οὐδένα περὶ ἐκείνων ποιεῖσθαι λόγον ἐβουλόμην αἰδοῖ τῇ πρὸς αὐτόν· εἰ δ' ἐκεῖνος ἀναγκάζει τῶν τοιούτων τὴν ἐξέτασιν εἰ μᾶλλον ἐκεῖνος ἀπὸ τῶν τοιούτων φαίνοιτο ἐπιορκῶν, στέργειν δίκαιον. Ἐγὼ γὰρ μετὰ τὴν βασιλέως τελευτὴν ὀλίγῳ ὕστερον, ὁρῶν αὐτὸν τῶν πολιτικῶν πραγμάτων ἄρχειν ἐπιχειροῦντα, καὶ

C ὑποκνιζόμενον εἰς φιλοτιμίαν καὶ δόξαν ἀρχικὴν, τό τε ἐνδιδόναι πρὸς τὴν ἔφεσιν ὡς ἀλυσιτελὲς ὁρῶν (ὑπώπτευον γὰρ ἐκ τούτου πολλὰς ἀναφυήσεσθαι διχοστασίας, καὶ στάσεως ἀφορμὰς) τό τε κωλύειν φανερῶς τὴν ἐπιχείρησιν φθονερὸν καὶ μοναρχικὴν δοκοῦν, καὶ τοιούτοις ἀμφιβόλοις λογισμοῖς ἐπιπολὺ

D παλαίσας, τέλος ἔδοξα μᾶλλον εἰ καὶ μὴ τοῖς πράγμασιν, ἀλλ' ἐμαυτῷ λυσιτελεῖν, ἀποσχέσθαι τῶν πραγμάτων τῆς ἀρχῆς, καὶ διάγειν κατ' ἐμαυτὸν, καὶ μὴ τοῖς Ῥωμαίοις αἴτιος κακῶν ὀφθῆναι ἀνηκέστων. Καὶ αὐτῷ χρησάμενος πρεσβευτῇ πρὸς βασιλίδα, ἀπεπάμην τὴν ἀρχήν. Ἡ δὲ, τῷ ἀδοκήτῳ τὴν ἀκοὴν καταπλαγεῖσα, καὶ τῆς κατεχούσης συμφορᾶς οὐκ ἀποδέουσαν νομίσασα τὴν ἐμοῦ ἐκ τῶν πραγμάτων ἀναχώρησιν, παντοίᾳ ἦν δεομένη, ὀνειδίζουσα, παρακαλοῦσα, πάντα κινοῦσα κάλων, ὥστε

Jacobi Pontani notæ.

Λόγῳ τρόπῳ τε τὸν λόγον πιστουμένῳ,
Ἄρνησίς ἐστι τοῦ Θεοῦ ψευδορκία.

Cantacuzenus ἐπιορκία posuit pro ψευδορκία, secus quam versus requirebat; et idem est.

Digitized by Google Распознавание текста ABK/FR

πείθειν τῶν πραγμάτων αὐθις ἔχεσθαι. Καὶ τῶν τοιούτων πάντων αὐτὸς ἦν παρ' ἀμφοτέρων πρεσβευτής. Ἐπεὶ δὲ ὑπὸ τῶν πολλῶν ἐκείνης λόγων ἐπικλασθείς, καὶ πρὸς τὴν ὀρφανίαν τῶν παίδων βασιλέως ἀπιδών, καὶ χηρείαν τὴν ἐκείνης, καὶ ὡς μάλιστα πολλῆς δέονται τῆς προστασίας ἣν ἐμὲ δίκαιον ἐπιδείκνυσθαι ἀξίας βασιλεῖ τῆς φιλίας χάριτας τὴν εἰς τοὺς παῖδας ἀποδιδόντα κηδεμονίαν, κἂν εἰ μέλλοιμι κινδύνοις περιπίπτειν, ἐπειθόμην μέν· οὐ μὴν οὕτως ἀπερισκέπτως, ὥσθ' ὕστερον τινὰ καταγινώσκειν ἔχειν ἀβουλίαν. Ἀλλὰ καὶ πατριάρχου συμπαρόντος, πολλὰ πρότερον διειλέχθην βασιλίδι περὶ τοῦ μὴ δεῖν προσέχειν συκοφάνταις, οἳ πολλοὶ φυήσονται διαβολὰς καὶ συκοφαντίας κατ' ἐμοῦ συρράπτοντες. Οὐ γὰρ ἐάσει γε ὁ φθόνος ἠρεμεῖν, ἀλλ' εἰ μέν τι τοιοῦτον κατηγοροῖεν, ὁποῖον ἂν καὶ αὐτὴν ἐκ τῶν λεγομένων τὸ ψεῦδος συνιδεῖν, ἀποπέμπεσθαι πρὸς ὀργὴν, καὶ μισεῖν τοὺς συκοφάντας. Ἂν δ' ἐφάπτηται τῆς ψυχῆς καὶ ἀμφιβολίαν ἐμποιῇ, μὴ ἄρα ἀληθῆ τὰ κατηγορημένα εἴη, μὴ καταψηφίζεσθαι αὐτίκα, μηδὲ πρὸς τὸ ἀμύνεσθαι χωρεῖν, ἀλλὰ καλεῖν ἐπὶ τὴν δίκην, καὶ καιρὸν παρέχειν πρὸς ἀπολογίαν. Κἂν μὲν ἀδικῶν καὶ ἐπιορκῶν ἐλέγχωμαι, διδόναι δίκας· ἂν δ' ἀπολύωμαι τὰ ἐγκλήματα, τοὺς κατηγόρους τοῦτ' ὄπερ εἰσὶν ἡγεῖσθαι συκοφάντας. Ἡ βασιλὶς μὲν οὖν πρὸς τοὺς λόγους οὐκ ἐπείθετο, οὐδὲ δικῶν ἔφασκε καὶ ἐλέγχων πρὸς ἐμὲ δεήσεσθαι, ἀλλ' ἀνυπεύθυνον παρείχετο τὴν ἀρχήν. Ἐμοῦ δὲ οὐκ ἀνιέντος, ἀλλὰ βιαζομένου τὴν περὶ τῆς δίκης ἐπαγγελίαν, ἐπείθετο ἀναγκασθεῖσα, καὶ ὅρκους ἀλλήλοις παρειχόμεθα ἐπὶ τοῦ πατριάρχου, τὴν μὲν μηδεμίαν κατ' ἐμοῦ ἀπόφασιν ἐξενεγκεῖν ποτε πεισθεῖσαν συκοφάνταις, ἀλλ' ἐπὶ τὴν δίκην καλεῖν, καὶ ἐλέγχους ποιεῖσθαι τῶν ἀδικημάτων· ἐμὲ δὲ μηδέποτε περὶ αὐτὴν ἀγνωμονήσειν, μηδ' ἐπιβουλεύσειν αὐτῇ καὶ τοῖς παισὶ πρὸς τὴν ἀρχήν· ἀλλὰ πᾶν ὁτιοῦν ὑπέρ τε αὐτῶν καὶ τῆς κοινῆ Ῥωμαίων ὠφελείας πράττειν. Ἐγὼ δὲ καὶ τούτων οὕτω κατεσκευασμένων, ἔτι τὴν γυναικείαν δεδιὼς ἀσθένειαν, μὴ οὐχ οἵα τε ᾖ οὕτω μεγαλοφροσύνην καὶ λογισμῶν ἐπιδείκνυσθαι περιουσίαν, ἀλλ' ἀπατηλοῖς καὶ περιέργοις λόγοις, καὶ συκοφαντίαις παραχθεῖσα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον ὁρμηθῇ ἡ βασιλὶς, τὸν πατριάρχην μόνον παραλαβὼν, καὶ πολλῶν ὑπομνήσας εὐεργετημάτων ὑπηργμένων παρ' ἐμοῦ, ἔπειτα ἐδεόμην τῶν ὑπὲρ ἐμοῦ δικαίων ἔχεσθαι· καὶ βασιλίδι παραινεῖν, ἐπεὶ συνεῖναι τὸν πάντα χρόνον μέλλει Βυζαντίῳ ἐνδιατρίβων, μὴ πείθεσθαι τοῖς συκοφάνταις, μηδὲ πρὸ δίκης ἐμοῦ καταψηφίζεσθαι, ὡς τῆς ἐκ τούτου ὠφελείας οὐκ εἰς μόνον ἐμὲ διαβαινούσης, ἀλλ' εἰς ἅπαντας κοινῆ Ῥωμαίους. Ὧν δίκαιον αὐτὸν ἁπάντων προνοεῖν, ποιμένα καὶ κηδεμόνα καὶ διδάσκαλον ὑπὸ Θεοῦ κεχειροτονημένον. Ὁ δ' αὐτίκα ὤμνυεν ἀναστὰς, ὡς οὐδὲν ἧττον ἢ πατὴρ παιδὸς προνοήσειε γνησίου· καὶ τῶν ὑπὲρ ἐμοῦ δικαίων οὕτως ἀνθέξεται, ὥσπερ ἂν εἰ αὐτὸς παρῆν, καὶ τοὺς συκοφάντας, εἴ τινες ἀφθείεν, μάλιστα μὲν ἀπελέγξειν ψευδομένους, καὶ παντὶ σθένει τῆς ἐκ τούτων βλάβης ἀπείρατον διατηρήσειν. Εἰ δ' οὖν,

nunc rogare, nunc exprobrare, et ut brevis sim, omnem rudentem movere, quo me ad imperii moderamen revocaret. Atque istarum rerum omnium ipse erat internuntius. Postremo multis sermonibus ejus expugnatus, filiorumque orbitate, et illius viduitate considerata, quibus utrisque curator, et patronus magnopere esset necessarius, quem me illis præstare æquum foret, **605** si vellem sollicitudinem, et curam istam erga filios, amicitiæ gratias imperatori mortuo persolvere: quanquam cernerem quibus me periculis objectarem, manus dedi, etsi non ita improvide ut quisquam postea inconsiderantiæ me argyere posset. Quin et audiente patriarcha verbis pluribus imperatricem monui ne calumniatoribus, qui non pauci essent emersuri, et mendacia contra me consuturi (quia videlicet invidia non eos sineret quiescere) aures daret. Sed si quid ejusmodi in me accusarent, quod et illa dictu falsum intelligeret, cum stomacho accusationem rejiceret, ac sycophantas odisset. Sin autem penetraret ejus animum, et dubitationem haberet, an verum esset, quod deferretur, ne illico damnaret, neu ad ultionem progrederetur; sed judicio arcesseret, tempusque ad defensionem præscriberet. Ac si quidem improbus, ac perjurus invenirer, pœnas darem; sin criminationes dissolverem, accusatores id quod essent, sycophantæ nimirum, haberentur. Imperatrix hac oratione nihil mota, haud judicio et probationibus adversum me opus esse dixit; et imperii gubernationem ita reddidit, ut a referendis rationibus penitus me absolveret. Me vero perseverante et urgente, ut judicium promitteret, nolens annuit; et vicissim præsente patriarcha juravimus, ipsa quidem, nunquam impulsu sycophantarum contra me sententiam pronuntiaturam, sed probationes criminum requisituram, et judicibus rem integram reservaturam; ego autem nunquam ei iniquum futurum, neque ipsi et liberis ejus propter imperium insidias moliturum; sed quidvis, quod ex ejus usu, et republica sit, suscepturum. His ita gestis, adhuc mulierem illius infirmitatem veritus, ne scilicet parum præstans excelsitate animi, et maturitate consilii, fallacibus et artificiosis calumniatorum delusa sermonibus, ad bellum contra me insurgeret, cum patriarcha seorsum egi; meritorum a me ultro illi præstitorum memoriam ei renovans, et orans uti causam meam tueretur; et Augustam, qua cum Byzantii semper esset victurus, admoneret ne sycophantis crederet, neve ante judicium me condemnaret, quando id non mihi soli, sed Romanorum universitati quoque profuturum esset; quibus omnibus ille u' pastor, et tutor, et magister a Deo electus, providere atque consulere deberet. Ille e throno surgens, mox vicissim jurabat non minus quam parentem pro germano filio sollicitum fo e, **606** et jus meum ita defensurum, ut si ipse adessem, melius non possem; sycophantasque, si qui prodirent, ut mendaces manife tarios egregie confuta-

Digitized by Google Распознавание текста ABK/FR

turum. Si id non possit, hoc quidem plane obtenturum, ne indicta causa condemnarer. Cumque de iisdem etiam secundum, et tertium inter nos necessario colloqueremur, toties idem, non solum ut sacerdos, sed ut profanus quoque jurabat. Hic igitur suspiciendus justitiæ patronus, et custos, priusquam dies decem post meum Byzantio discessum effluerent, a præfecto cubiculi persuasus me ipsum de throno deturbare velle, et Palamam subintroducere; quanquam luculenter sciret esse meram calumniam, bello huic principium attulit. Ut autem meam in se, quam putabat, iniquitatem puniretur, imperatricem quoque (id quod alius nemo potuisset) decepit, et arma suscitavit, proh dolor, is, qui aliis pacem curat, pacifici et mansueti magistri discipulus; neque jusjurandum toties nuperrime juratum reveritus, neque Romanorum calamitatem, quam bello perpessuri essent secum cogitans; sed unum hoc duntaxat sibi proponens, ut me innoxium e medio tolleret: nec usque hodie insidiarum et obtrectationum satietas illum capit, quin post tantam effusionem sanguinis, post miseros Romanos in servitutem abstractos, post direptiones, ac populationes, communeque et ultimum, prope dixerim, exitium non ad commiserationem flexus est; non aliquam humanitatis significationem erga perditos dedit, sed omnia illi, quam pax mecum, tolerabiliora fuerunt. Atqui dicet fortasse (quemadmodum dicere illum audio, ut imperatrici ad bellum calcar addat) se quandiu recta, et justa cogitantem, et filiis imperatoris studentem viderit, mihi favisse, et jurata factitasse. Ab officii autem semita detorto me, et in scelus abeunte, jure ac merito imperatoris filios contra me defendere. Verum, o bone vir, quonam istuc argumento? Si enim sufficit tantum affirmare, et hoc ad rem demonstrandam satis esse existimari debet, næ tu homo insignis, longeque felicissimus es, qui adeo citra laborem hostibus tuis evadas superior. At enim quotidiana figmenta tua, et perversæ actiones, in quibus deprehensus es, apud multos hanc te habere opinionem non sinent. Sin autem istuc non solum loqui, sed et putare insanorum est, relinquitur, ut probationes afferendæ sint. Quare si quidpiam hujuscemodi de me novit, palam me redarguat: **607** sin ab alio se accepisse dicat, testes producat, quod non poterit: nisi rursum non argumentari, sed sycophantari tantummodo velit. Ego vero ex ipsa re firmamentum petam evidentissimum. Neque enim antequam bellum illi excitarunt, neque statim ut excitarunt, vel meditatum esse, vel fecisse quidquam insidiarum filiis imperatoris ostendi potest: sed post matris meæ filiique carcerem; post mearum fortunarum despoliationem; post amicorum, cognatorumque proscriptionem, non ad ulcisdendum sum aggressus, sed aspiciens, quo malorum bellum mutuum evaderet, dolui quidem ab initio natum esse, et illud quasi flammam irritantes graviter peccare duxi: ipse vero, quantum in me fuit

A ἀλλὰ τοῦτό γε πάντως ἐμοὶ φυλάξειν, τὸ μὴ πρὸ δίκης καταψηφισθῆναι. Δεῆσαν δὲ καὶ δὶς καὶ τρὶς περὶ τῶν αὐτῶν διαλεχθῆναι, τοσαυτάκις ὤμνυε τὰ ἴσα οὐχ ἱερεῦσι μόνον πρέποντα, ἀλλὰ καὶ ἰδιώταις ὅρκων. Ὁ οὖν θαυμαστὸς οὗτος κηδεμὼν καὶ τοῦ δικαίου φύλαξ, πρὶν δέκα ἐξήκειν ἡμέρας, μετὰ τὴν ἐμὴν ἐκ Βυζαντίου ἀναχώρησιν τῷ παρακοιμωμένῳ πεισθεὶς συκοφαντήσαντι, ὅτι βούλομαι κατάγειν αὐτὸν τοῦ θρόνου, καὶ ἀντεισάγειν Παλαμᾶν, ἐκίνει τὸν ἐμφύλιον πόλεμον αὐτός· σαφέστατα εἰδὼς ὡς συκοφαντεῖ. Ἀμυνόμενος δὲ ἐμὲ τῆς εἰς αὐτὸν, ὡς ᾤετο, ἀγνωμοσύνης, καὶ βασιλίδα ἐξηπάτα ὑπ' οὐδενὸς ἑτέρου δυναμένην τοῦτο πάσχειν, καὶ τὸν πόλεμον ἐκίνει, φεῦ, ὁ τὴν εἰρήνην τοῖς ἄλλοις παρέχων, καὶ τοῦ εἰρηνικοῦ καὶ πράου μαθητής·

B μήτε ὅρκους αἰδεσθείς, οὓς χθὲς καὶ πρώην ὀμωμόκει, μήτε τῆς Ῥωμαίων συμφορᾶς, ἧς ἐμελλον διὰ τὸν πόλεμον πειράσεσθαι εἰς ἔννοιαν ἐλθών· ἀλλὰ πρὸς ἓν μόνον βλέπων, ὅπως ἐμὲ ἀνέλῃ τὸν οὐδὲν ἠδικηκότα. Καὶ οὐδὲ μέχρι νῦν κόρον ἔσχηκε τῶν ἐπιβουλῶν καὶ συκοφαντιῶν, ἀλλὰ καὶ μετὰ τὴν τοσαύτην τῶν αἱμάτων χύσιν, καὶ τὴν αἰχμαλωσίαν τῶν δυστυχῶν Ῥωμαίων, καὶ τὰς διαρπαγὰς, καὶ τὰς λεηλασίας, καὶ τὴν κοινὴν πανωλεθρίαν, ὡς εἰπεῖν, οὐ πρὸς ἔλεον κατεκάμφθη· οὐδὲ οἶκτον ἔλαβε τινὰ τῶν ἀτυχούντων, ἀλλὰ πάντα μᾶλλον φορητότερα αὐτῷ, ἢ ἡ πρὸς ἐμὲ εἰρήνη. Ἀλλ' ἴσως ἐρεῖ ὥσπερ δῆτα πυνθάνομαι καὶ λέγειν βουλόμενος βασιλίδα μᾶλλον ἐρεθίζειν πρὸς τὸν πόλεμον, ὡς ἕως μὲν ὀρθοῖς ἑώρα

C καὶ δικαίοις ἐμὲ χρώμενον λογισμοῖς, καὶ τὰ συνοίσοντα τοῖς βασιλέως βουλευόμενον παισὶν, εὔνους ἦν καὶ αὐτὸς καὶ ἐνέμενε τοῖς ὅρκοις· ἐπειδ' ἐξετράπην τῶν δεόντων καὶ εἰλόμην ἀδικεῖν, δίκαια ποιῶν αὐτὸς ἀμύνεται ὑπὲρ τῶν βασιλέως παίδων. Καὶ τίς τούτων ἡ ἀπόδειξις, ὦ 'γαθέ; Εἰ μὲν γὰρ ἀρκεῖ μόνον εἰπεῖν, καὶ τοῦτ' ἀρκεῖν ἡγεῖσθαι πρὸς ἀπόδειξιν τοῦ πράγματος, ὡς λαμπρὸς εἶ, καὶ τὰ μέγιστα εὐτύχηκας, οὕτως ἀπόνως τῶν ἐχθρῶν περιγινόμενος. Ἀλλ' οὐ συγχωρήσουσι τὰ καθημέραν πλάσματα, καὶ τὸ πρὸς τὰ φαῦλα κατάφωρον τῶν ἔργων τοιαύτην ἔχειν δόξαν

D παρὰ τοῖς πολλοῖς. Εἰ δὲ τοῦτο μὲν μελαγχολῶντος οὐχ ὅτι λέγειν, ἀλλὰ καὶ οἴεσθαι, λοιπὸν τοίνυν χωρεῖν πρὸς τοὺς ἐλέγχους. Εἰ μὲν οὖν ἐμοί τι σύνοιδεν αὐτὸς τοιοῦτον, ἐξελεγχέτω φανερῶς· εἰ δ' ἑτέρων φησὶν ἀκηκοέναι, παραγέτω τοὺς μάρτυρας· ἀλλ' οὐκ ἂν ἔχοι, εἰ μὴ συκοφαντεῖν αὖθις ἀνεξέλεγκτα ἐθέλοι. Ἐγὼ δὲ τὴν ἀπὸ τῶν ἔργων παρέξομαι ἐναργεστάτην μαρτυρίαν. Οὔτε γὰρ πρὶν τὸν πόλεμον κινηθῆναι παρ' αὐτῶν, οὔτε βεβουλευμένος, οὔτε πράξας τι πρὸς ἐπιβουλὴν τῶν βασιλέως παίδων ἂν φανείην, οὔτ' εὐθὺς ἠργμένου· ἀλλὰ μετὰ τὴν τῆς μητρὸς καὶ τοῦ υἱοῦ εἱρκτὴν, καὶ τὴν ἀποστέρησιν τῶν ὄντων, καὶ τὴν δήμευσιν τῶν φίλων, καὶ τῶν συγγενῶν, οὐ πρὸς τὸ ἀμύνεσθαι ἐτρεπόμην, ἀλλ' ὁρῶν οἱ κακῶν ὁ πρὸς ἀλλήλους τελευτήσει πόλεμος, ἠχθόμην μὲν κινουμένου, καὶ τοὺς παροξύνοντας ἐν αἰτίαις ἦγον· αὐτὸς δὲ ὡς εἶχον μάλιστα ἐσπούδαζον καταλύειν, καὶ πρεσβείαν ὑπὲρ τῆς εἰρήνης ἐποιούμην. Καὶ τὴν δίκην ἀπῄτουν,

Digitized by Google Распознавание текста ABK/FR

καὶ οὐ παρητούμην τὸ μὴ διδόναι δίκας, ἂν ἐλέγχωμαι ἐπιορκῶν. Αὐτοῖς δὲ τοσοῦτον ἐμέλησε τοῦ τὰ δίκαια ποιεῖν, ἢ πρόνοιάν τινα ποιεῖσθαι τοῦ καταλύεσθαι τὸν πόλεμον, ὥστε ἐπὶ τοῖς πρότερον γεγενημένοις ἐμὲ πολλὰ περιυβρίσαντες, καὶ λοιδορησάμενοι ἐπ' ἐκκλησίας, ἔπειτα ἐρεσχελήσαντες, καὶ τοὺς πρέσβεις κακώσαντες, ὡς μάλιστα ἀπέπεμψαν ἀπράκτους. Μετὰ τοῦτο δὲ ὥσπερ ἔργοις αὐτοῖς βουλόμενοι καταφανὲς ποιεῖν, ὅτι τοῦ δικαίου μὲν οὐδένα ποιοῦνται λόγον, οὐδὲ προφάσεως τινὸς ἕνεκα εὐπροσώπου εἵλοντο τὸν πόλεμον, ἀλλ' ἐμὲ ἀποκτείνειν ἐκ παντὸς τρόπου ᾐρημένοι, πρόσχημα τοῦ πολέμου τὸν ὑπὲρ βασιλίδος ποιοῦνται ζῆλον, θεσπίσματα πεπόμφασι πανταχῆ τῶν πόλεων πᾶσαν εἴσοδον ἐμοὶ πρὸς αὐτὰς ἀπαγορεύοντα, καὶ κοινὸν πολέμιον ἀποδεικνύντα. Καὶ οὐ μέχρι τούτου ἔστησαν τὴν ἀτοπίαν, ἀλλὰ καὶ ἐνθάδε διατρίβοντι, ἐκέλευον τῆς πύλης μὴ προβαίνειν· ἀλλὰ οἴκοι καθήμενον, τὴν ἀναιρουμένην ψῆφον περιμένειν. Τί οὖν με πρὸς ταῦτα ποιεῖν ἐχρῆν πρὸς αὐτῆς τῆς ἀληθείας; συγκαλυψάμενον περιμένειν τὴν σφαγήν; Ἀλλ' οὐκ ἂν ἔδοξα σωφρονοῦντος χρῆσθαι λογισμοῖς οὕτως ἀκλεῶς καὶ ἀτίμως ἀποθνήσκων· ἀλλὰ καταπλαγέντα πρὸς τὴν ἀθρόαν τῶν πραγμάτων μεταβολὴν, δοῦλα φρονεῖν καὶ ἀνελεύθερα, καὶ παραδιδόναι παρακοιμωμένῳ ἐμαυτὸν, ὥστ' ἐπ' ἐξουσίας ἔχειν κακῶς ποιεῖν, καὶ εἰς δεσμωτήρια ἄγειν, ὥσπερ τὰ ἀνδράποδα ἐκεῖνα, οἱ σφᾶς αὐτοὺς ἐκείνῳ παραδεδωκότες, οἱ μὲν οἰκοῦσι δεσμωτήρια δημεύσεις πρότερον ὑπομείναντες, καὶ ἄλλων πεῖραν δυσχερῶν πολλῶν· οἱ δ' ἐν Καρὸς μοίρᾳ ἄγονται καὶ φέρονται, πᾶν τὸ προσταττόμενον ὑπ' ἐκείνου ποιεῖν ἔχοντες ἀνάγκην. Καὶ ποίων οὐ θανάτων ἀντάξια μυρίων ταῦτα; ἢ πότε ἂν ὁ ἥλιος ἐπεῖδε μείζονα καὶ παραδοξοτέραν ἀτοπίαν, ὥστε τὸν ἐκ κοπρίας, ὅ φασιν, ἄνθρωπον ὑπ' ἐμοῦ γεγενημένον, καὶ μέγα σεμνυνόμενον, ἂν καὶ βλέμματος ἐτύγχανε προσηνοῦς, ἢ λόγου τινὸς δοκοῦντος εὐμενῶς εἰρῆσθαι, τοῦτον ὑβρίζειν ἔχειν εἰς ἐμὲ, καὶ τῇ αὐθαδείᾳ, καὶ κακοτροπίᾳ χρῆσθαι; Δι' ἃ δὴ πάντα σώζειν ἐμαυτὸν εἱλόμην, καὶ τοὺς συνόντας· καὶ ὁ πολλάκις ὁ μακάριος τῷ ὄντι βασιλεὺς ἐκεῖνος ἠνάγκαζε ποιεῖν, ὥσπερ πάντες ἴσασι σαφῶς, τοῦτ' ἔπραττον ὑπ' ἐκείνων μάλιστα εἰς τοιαύτην ἀνάγκην συνενηνεγμένος, τῆς κοινῆς ἐμαυτοῦ τε καὶ τῶν ὅλων σωτηρίας ἕνεκα. Καὶ ἐξ ἐκείνου ἄχρι νῦν οὐδέποτε ἐπαυσάμην περὶ εἰρήνης δεόμενος αὐτῶν. Ἀλλ' ἀνθέρικον δοκῶ θερίζειν· πάντα γὰρ αὐτοῖς μᾶλλον ἢ ἡ εἰρήνη ἀνεκτά. Σκεψώμεθα δὴ πότερος ἀδικῶν φαίνεται καὶ ἐπιορκῶν· ὁ τήν τε ἀρχὴν τοῖς ὅρκοις ἐπιμείνας ἄχρις οὗ κατὰ κράτος κατελύθησαν ὑπὸ τῶν πολεμούντων, καὶ μέχρι νῦν δεόμενος περὶ εἰρήνης, καὶ τὸν πόλεμον ἐθέλων καταθέσθαι, ἢ ὁ

A id exstinguere laboravi, et legationem de pace misi; et judicium petivi, nec pœnas, si perjurii convincerer, deprecatus sum. At ipsis adeo curæ non fuit servire justitiæ, aut cogitationem aliquam belli comprimendi suscipere, ut supra priores injurias, et maledicta, multo majoribus in conventu me onerarint, et legatos sc ommatis illusos insigniterque vexatos, sine responso dimiserint. Ad hæc velut opere ipso volentes declarare se contemnere justitiam, ne colorem tum quidem, seu velamentum belli honestum quæsiverunt, sed ut me quoquo modo jugularent, ardens imperatricis tuendæ studium simulantes, edicta circumquaque per urbes missitarunt, quibus et commune bellum significarent, et omni ad eas B aditu mihi interdicerent. Neque intra hos limites se continuit eorum improbitas: quin etiam hic (Didymotichi) versanti mihi imperarunt, ne pedem extra portam urbis efferrem, sed domi sedens, sententiam capitalem exspectarem. Quid (per ipsam veritatem quæso vos) hic me facere oportuit? intra parietes latere, et necem exspectare? Quis me non fatuum numeraret, si sic, nulla cum laude, quin potius cum dedecore morerer? An perculsum tam repentina rerum conversione illiberalem, ac servilem gerere animum, tradereque me præfecto cubiculi, qui jure suo mihi facere male posset et in carcerem trudere, ut alia mancipia, quæ ultro se illi tradiderunt, quorum quidam quidam bonis suis ante sub præconis vocem subjectis, et variis acerbitaC tibus afflictati, carceres incolunt, alii non secus quam Cares aguntur, raptanturque necesse habentes exsequi quodcunque ille mandaverit. Et quibus tandem, ac mille mortibus hæc æquiparanda non sunt? **608** aut quando sol hac insolentia quidquam vidit insolentius atque insuitatius, ut ex stercore, quod aiunt, homo servus meus, qui multum gloriaretur, si a me placido vultu dignatus, aut verbo amiciore appellatus esset, nunc petulanter in me insultare, suumque fastum et malignitatem expromere possit? Ob hasce causas me, meosque servare volui: et quod sæpenumero vere beatus ille imperator urgebat, quodque omnes norunt, inimicis potissimum eo necessitatis me adigentibus, facere, et ita meam privatam incoD lumitatem cum totius reipublicæ salute incolumitateque conjungere. Atque ex illo usque nunc pacem eos poscere nunquam destiti. Sed anthericum metere videor (37): omnia enim illis facilia sunt, ferrique possunt, pacem solam pati non possunt. Introspiciamus igitur uter læsisse ac pejerasse videatur; isne qui a principio jurata servavit, donec hostes per vim fidem fregerunt, et adhuc pacem petit, paratus arma ponere; an quem nec

Jacobi Pontani notæ.

(37) Proverbium, de eo quod fieri non potest, seu quod inaniter, inutiliter fit, de labore sterili. Ἀνθέρικον quidam fructum asphodeli, quidam caulem tantum esse scribit. Hesychius ἀνθέρικον et asphodeli fructum, et herbæ quoddam genus esse vult, fortasse illud, quod aiunt quidam meti non posse, sed ut linum, manibus velli debere, et hinc factum proverbium ἀνθέρικον θερίζειν.

Digitized by Google Распознавание текста ABK/FR

ante nec post quidquam probabile actitasse constat. Et quoniam patriarcha mihi cladem belli adscribit, et hoc me crimine aspergit, age, uter e duobus istius cladis potius auctor sit, consideremus. Primum enim opinor, unumquemque culpam incommodorum belli in eum transferre, a quo bellum profectum est : nam salutis causa sese tuenti, nemo adhuc dicam scripsit. Deinde sigillatim inquiramus, a quibus bonorum publicationes, cædes, exsilia, carceres, eculei. Nonne ab ipsis? nonne lacrymis, nonne cruoribus universas civitates repleverunt? Nonne ceu communes Romanorum hostes impune vohtantes, ubique optimates contrucidarunt? nonne publicam, privatamque Romanorum pecuniam in res nihili profuderunt? Mitto enim dicere nostram, adeo immanem, quam nisi ipsi bello commoto dissipassent (Deum inspectorem occultorum, abditorumque omnium testem laudo) in communi utilitate collocare statueram. Nonne urbes, alias quidem Mœsis tradiderunt, alias libentes Triballis permiserunt? Nonne Barbaros ipsi primi Romanis induxerunt, Macedoniamque incursarunt, et in servitutem plurimos abduxerunt? Nonne Thraciam totam crebris expeditionibus velut hostium provinciam vastam, ac desertam reddiderunt? Nonne recentissime Morrham, ut a me stantem, deformarunt? Nonne communia vectigalia omnia sustulerunt? Nonne exercitus partem quidem ut adversariam ipsi contriverunt, **609** partem ut suspectam reliquerunt : quæ autem adhuc restat, ea et numero, et genere infirma est? Quid ego simile? nisi quod Mœsos et Triballos invadentes repello : cumque istas Romanorum reliquias eorum copiis non possim opponere, necessario Barbaros, illorum imitatus exemplum, socios mihi adjungo. Utri igitur populationum istarum, ac pestis causa exstiterunt : vel potius utri populatores fuerunt, ac pestem ipsimet dederunt? Nonne ipsi? quibus perinde contingit, ut si quis in cœlum jaculans, postea telis in se decidentibus vulneratus, non sibi, sed cœlo causam plagarum tribueret. Eos igitur Romanis oppidatim, quanta verbis explicari nequit, calamitatem invexisse, totque captivorum, tamque direptæ regionis maxime reos esse, pacem auribus respuentes, tantum ut me perderent, ex his liquet. Subit autem patriarchæ nequitiam magis (sic enim magis vocanda est) quam incuriositatem in negotiis admirari, quod cum sæpe ac multum pacem rogaverim, et ipsum præsertim ut præsidem ac patronum pacis, et quotidie pacem apprecantem omnibus, tum quidem precibus nunquam cesserit, neque viscera Ecclesiam aperire dixerit, sed erant duriora chalybe, nunc ubi commenta et mendacia præfecti cubiculi audivit, quibus ipsi nihil est jucundius, repente mitis ac mansuetus apparuerit. Tametsi interrogarem libenter, quamnam hanc Ecclesiam dicat. Si enim universam episcoporum fraternitatem, sciat illam nunquam viscera clausisse, sed aperta hucusque a

A μήτε πρότερον, μήθ' ὕστερον τῶν δεόντων μηδὲν φαινόμενος ποιεῖν. Ἐπεὶ δέ μοι καὶ τὴν γεγενημένην φθορὰν ὑπὸ τοῦ πολέμου προστρίβεται ὁ πατριάρχης, σκεψώμεθα τίς αἴτιος αὐτῆς. Πρῶτον μὲν γὰρ οἶμαι πάντα ὀντινοῦν τῷ ἄρχοντι πολέμου τὴν αἰτίαν τῶν γινομένων ἀναθήσειν· ἀμυνομένῳ γὰρ οὐδέποτε οὐδεὶς ἐνεκάλεσεν, ὅτι διασώζει ἑαυτόν· ἔπειτα ἐξετάσωμεν καὶ τὰ κατὰ μέρος, παρὰ τίνων δημεύσει; καὶ σφαγαί, καὶ ἐξορίαι, καὶ δεσμωτήρια, καὶ στρεβλώσεις. Οὐχὶ παρ' αὐτῶν; οὐ δακρύων ἐνέπλησαν τὰς πόλεις πάσας, οὐχ αἱμάτων; οὐχ ὥσπερ κοινοὶ τῶν Ῥωμαίων πολέμιοι περιόντες τοὺς ἑκασταχοῦ ἀρίστους διαφθείρουσιν; οὐ τά τε κοινὰ καὶ τὰ ἴδια τῶν Ῥωμαίων χρήματα ἀνάλωσαν, εἰς οὐδὲν δέον; Ἐῶ γὰρ λέγειν τὰ ἡμέτερα

B τοσαῦτα ὄντα, ἃ εἰ μὴ αὐτοὶ διέφθειρον τὸν πόλεμον κεκινηκότες, ὑπὲρ τῆς κοινῆς ὠφελείας ἂν ἀνάλωτο, ὥσπερ παρεσκευαζόμην, ἴστω Θεὸς ὁ πάντων τῶν ἀδήλων καὶ κρυφίων γνώστης. Οὐ πόλεις, τὰς μὲν αὐτοὶ παραδεδώκασι Μυσοῖς, τὰς δ' ἑκοντὶ προεῖντο Τριβαλλοῖς; Οὐ βαρβάρους αὐτοὶ πρῶτοι τοῖς Ῥωμαίοις ἐπήγαγον Μακεδονίαν κατατρέχοντες, καὶ ἐξανδραποδιζόμενοι ὡς πολεμίαν; Οὐ Θράκην πᾶσαν ταῖς συχναῖς αὐτοὶ στρατείαις ἀοίκητον ἀπέδειξαν; Οὐ χθὲς καὶ πρώην Μόρραν διέφθειρον, ὡς ὑπ' ἐμοὶ τελοῦσαν; οὐ τὰς κοινὰς προσόδους πάσας ἐποίησαν ἀπολιπεῖν; Οὐ τῆς στρατιᾶς τὸ μὲν ὡς πολέμιον αὐτοὶ διέφθειραν, τοῦ δὲ ἠμέλησαν ὡς ὑπόπτου· ὀλίγον δὲ ἔτι τὸ λειπόμενον καὶ φαῦλον; Ἐμοὶ δὲ τί

C τοιοῦτον εἴργασται; πλὴν ὅτι ἀμύνομαι ἐπιόντας καὶ Μυσοὺς καὶ Τριβαλούς· καὶ τὴν Ῥωμαίων ὑπολειπομένην ἐπάγουσι δύναμιν μὴ δυνάμενος ἀντικαθίστασθαι, ἐξ ἀνάγκης βαρβάρους συμμάχους προσκαλοῦμαι, ὥσπερ ἐδιδάχθην ὑπ' αὐτῶν. Ὁπότερος οὖν τῆς φθορᾶς καὶ τῆς λεηλασίας αἴτιος, μᾶλλον δὲ αὐτουργός; Οὐχ οὗτοι; Συμβαίνει δὲ αὐτοῖς ὥσπερ ἂν εἴ τις εἰς οὐρανὸν τοξεύων, ἔπειτα περιπειρόμενος ὑπὸ κατιόντων τῶν βελῶν, οὐχ ἑαυτῷ, ἀλλ' οὐρανῷ προσλογίζοιτο τὴν αἰτίαν τῆς πληγῆς. Ὅτι μὲν οὖν τήν τε κατὰ τὰς πόλεις ἀμύθητον Ῥωμαίων δυστυχίαν αὐτοὶ εἰργάσαντο, καὶ τοῦ ἀνδραποδισμοῦ, καὶ τῆς λεηλασίας τῆς ἄλλης χώρας

D αἰτιώτατοι αὐτοί, μηδ' ἄκροις ὠσὶ παραδεχόμενοι τὴν εἰρήνην, ἵν' ἐμὲ ἀνέλωσι μόνον, ἐκ τούτων δῆλον. Ἔπεισι δέ μοι τοῦ πατριάρχου, εἰ δεῖ μὴ μᾶλλον τὴν πονηρίαν ἢ ἀπραγμοσύνην λέγειν, θαυμάζειν, ὅτι πολλὰ πολλάκις ἐμοῦ περὶ εἰρήνης δεηθέντος, καὶ μάλιστα αὐτοῦ οἷα δὴ προστάτου τῆς εἰρήνης, καὶ καθημέραν εἰρήνην πᾶσιν ἐπιλέγοντος, τότε μὲν οὐδέποτε ἐκάμφθη, οὐδὲ τὰ σπλάγχνα ἔφασκεν ἀνοιγνύναι τὴν Ἐκκλησίαν, ἀλλ' ἦσαν σκληρότερα χαλκοῦ, νυνὶ δ' ὅτε τῶν πλασμάτων καὶ ψευδολογιῶν ἀκήκοε παρακοιμωμένου, ὅτι καθ' ἡδονὴν μάλιστά εἰσιν αὐτῷ, ἐξαίφνης πρᾶος καὶ ἥμερος ἀνεφάνη. Καίτοι γε ἐροίμην αὐτὸν ὁποίαν τινὰ λέγει τὴν Ἐκκλησίαν ταύτην. Εἰ μὲν γὰρ τὴν καθόλου τῶν ἐπισκόπων ἀδελφότητα, ἴστω μηδέποτε ἐμοὶ τὰ σπλάγχνα κλείσασαν ἐκείνην, ἀλλ' ἀνεῳγμένα μοι εἰς τόδε ἐξαρχῆς διατηροῦσαν· οἱ πλείους;

Digitized by Google Распознавание текста ABK/FR

γὰρ ἐμοὶ φρονοῦσιν ἴσα, καὶ πολλὴν αὐτῶν ὠμότητα καταγινώσκουσι τῶν πολέμων καὶ τῶν φόνων ἕνεκα· εἰ δ' αὐτὸν καὶ τοὺς συνόντας τινὰς λέγει, πρῶτα μὲν οὐδ' αὐτοὶ τοῖς γινομένοις πάντες ἥδονται· ἀλλὰ τῆς ἀπάτης καὶ τῆς εἰς τὰ φαῦλα συναρπαγῆς θρηνοῦσιν ἑαυτούς· ἔπειτα, οὐδ' Ἐκκλησία εἰσὶν οὗτοι· ἀλλὰ τὸ κοινὸν τῶν πεπιστευκότων ἄθροισμα Ἐκκλησία προσηγόρευται· ὧν ὥσπερ ἐξαίρετα οἵ τε ἐπίσκοποί εἰσι καὶ τῶν μοναζόντων οἱ λογάδες. Ὧν μάλιστα τὸ ἄριστον καὶ τῶν ὀρθῶν ἐχόμενον λογισμῶν ἐμοὶ προσέχουσιν, ὡς δίκαια καὶ λυσιτελοῦντα τῶν Χριστιανῶν τῇ Ἐκκλησίᾳ καὶ προῃρημένῳ ἐξαρχῆς καὶ πράττοντι. Οὔτε γοῦν μοι πρότερον κέκλεικε τὰ σπλάγχνα ἡ Ἐκκλησία, οὔτε νῦν ἀνοίγνυσιν, ἀλλ' αὐτὸς ἐπιορκήσας καὶ συκοφαντήσας, καὶ τὸν πόλεμον κεκινηκὼς, ἃ πρότερον οὐκ ἠδυνήθη διὰ τῶν πολλῶν αἱμάτων καὶ τῶν ἀνηκέστων καταπράξασθαι κακῶν, τὸ ἐμὲ διαφθεῖραι, ταῦτα νῦν ἐπίσης ἐκ τῶν ψευδολογιῶν τοῦ φίλου, ἠνοιξεν, ὥς φησι, τὰ σπλάγχνα, οὐχ ἵνα φιλανθρώπως δέξηται (τοῦτο γὰρ ἐκ πολλοῦ δεόμενος αὐτὸς οὐκ εἰσακούομαι), ἀλλ' ἵνα καταπίῃ. Ταῦτα μὲν οὖν, εἰ καὶ τραχύτερόν πως δοκεῖ εἰρῆσθαι, συγγνώμη τῷ πάθει. Ψυχὴ γὰρ ὑπὸ πολλῶν ἀδικημάτων πιεσθεῖσα καὶ κατώδυνος τοιαῦτα ἂν ἐξενέγκοι καὶ πολλῷ τραχύτερα. Πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸ ἐπιτίμιον φησὶν ἐμοὶ λύσειν χαριζόμενος. Εἰ μὲν οὖν εἰδὼς ἃ δεῖ περὶ τῶν ἐπιτιμίων τοιαῦτα πλάττεται, καὶ οἴεται ἐξαπατᾷν, συγγνώμη πολλὴ τὸ εἰωθὸς ποιοῦντι· εἰ δ' ἀγνοεῖ τὴν δύναμιν ἣν ἔχει περὶ τὰ τοιαῦτα, ὅπερ οἶμαι καὶ μάλιστα, ἐγὼ διδάξω. Τῶν ἀνθρώπων, οἱ μὲν ὀρθῶς βιοῦσι, καὶ νόμοις προσέχουσι Θεοῦ, καὶ περὶ τὴν πίστιν ἀσφαλεῖς εἰσιν· οἱ δὲ τοὐναντίον ἅπαν. Ὅσοις οὖν ἡ ἐπιορκίαι ἢ φόνοι ἢ τι τῶν ἀπηγορευμένων ἕτερον τολμᾶται, ἢ περὶ τὴν πίστιν σφάλλονται δόγμασι προσέχοντες πονηροῖς καὶ διεφθαρμένοις, οὗτοι τῆς μερίδος ἑαυτοὺς ἠλλοτριώκασι τοῦ Χριστοῦ. Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. Οἱ ἀρχιερεῖς δὲ τῶν θείων θελημάτων εἰσὶν ἐκφάντορες καὶ διδακτικοὶ καὶ προνοητικοὶ τῶν ἄλλων. Πρῶτοι οὖν ἐκεῖνοι παρὰ τοῦ Πνεύματος διδασκόμενοι, τοὺς ἀπὸ Θεοῦ κεχωρισμένους διὰ τὴν περὶ τὰ φαῦλα ἐπιμονὴν διδάσκουσι τοὺς ἄλλους μὴ αὐτοῖς συναναμίγνυσθαι, μηδὲ συνεσθίειν, μηδὲ συνεύχεσθαι, ὡς ἀπὸ Θεοῦ κεχωρισμένοις· ἵν' ἃ ἐκεῖνοι ἐπιστρέφωσιν ἀπὸ τῶν φαύλων αἰσχυνόμενοι τὸν χωρισμὸν, ἃ οὗτοι μὴ βλάπτωνται ἐκ τῆς ἐκείνων συνδιαγωγῆς. Ῥᾷον γὰρ ἂν τις μεταλάβοι κακίας, ἢ μεταδῷ τῆς ἀρετῆς. Εἰ δ' ἐκεῖνο προβάλλεται, τί οὖν ὁ Χριστὸς εἶπε· « Πάντα ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ; » ἀλλ' αὐτοῦ τοῦ μακαρίου Πέτρου ἀκουέτω, πρὸς ὃν ἡ ἐξουσία δέδοται, Κλή-

A principio tenuisse : plures quippe eorum mecum sentiunt, eosque propter bella et cædes multæ crudelitatis condemnant. Sin autem se et satellites suos, primum quidem nec ipsi omnes approbant quæ fiunt, sed sese circumventos, et eodem scelere implicatos deplorant. Deinde non conficiunt ipsi Ecclesiam ; verum tota fidelium frequentia Ecclesia vocatur : cujus velut præcipuæ, et eximiæ partes sunt episcopi, et monachorum cœtus lectissimi ; quorum ut quisque est optimus, et rectissime sentiens, ita maxime idem quod ego sentit, ut qui Ecclesiæ Christianæ inde ab initio æquum, et utilem me voluntate, et opere exhibeam. Non igitur mihi prius viscera clausit Ecclesia, neque nunc reserat ; sed ipse perjurus et
B calumniator, et belli incentor, quod antea per multas cædes et injurias atrocissimas efficere nequivit, ut me **610** interimeret, id nunc ex mendaciis amici se assecuturum confisus, viscera aperit, ut ait, non ut humaniter me accipiat (hoc enim pridem ipse obsecrans non exaudior), sed ut me devoret. Hæc si aliquanto aculeatius dicta videantur, affectus meretur veniam. Animus enim pluribus pressus, et exulceratus injuriis, talia et multo etiam asperiora solet edere. Præter cætera etiam pœnam anathematis mihi condonaturum pollicetur. Si igitur de pœnis rem tenens, ut debet, hæc fingit et me decepturum sperat, volens antiquum obtinenti ignosco. Sin autem quid sibi in
C his liceat ignorat, ut equidem reor, ego ipsum doceo. Homines quidam vitam sancte, et divinis legibus convenienter instituunt, atque in religione firmi, ac stabiles sunt : quidam prorsus contraria via gradiuntur. Quotcunque igitur aut libidine, aut perjurio, aut homicidio, aut alio quopiam interdictorum se contaminant, aut in fidei doctrina errore aliquo ducuntur, hi sese a Christi parte abalienarunt : nulla quippe societas luci ad tenebras. Episcopi autem divinæ voluntatis interpretes et doctores sunt. Itaque illi primi a Spiritu docti, quinam propter pertinaciam in malo a Deo præcisi sint, alios docent ; ne cum ipsis commisceantur, neque cibum simul capiant, neque ipsis, ut a Deo separatis, adhæreant : quo separatione ista pudefacti aut resipiscant, aut alii ex eorum consuetu-
D dine nihil detrimenti accipiant : proclivius enim est a vitio quam a virtute similitudinem trahere (38). Quod si objiciat, quorsum igitur Christus dixit, « Omnia quæcunque ligaveritis super terram, erunt ligata et in cœlis [1] ? » at sanctum Petrum ipsum audiat, cujus gratia potestas data sit. Is Clementi successori suo perspicue ita præcipit : Solves, et ligabis, quæ fas est (39). Ut

[1] Matth. XVIII, 18.

Jacobi Pontani notæ.

(38) *Vitia etiam sine magistro discuntur*, inquit Seneca. At virtus institutionem, præcepta, laborem, exercitationeque desiderat. *Sensus enim, e cogitatio humani cordis in malum prona sunt ab adolescentia sua.* Genesis 8.

(39) Hæc verba Cantacuzenus legit apud sanctum Clementem epistola 1, ad Jacobum fratrem Domini, non procul a principio. Rufini translatio sic habet

Digitized by Google Распознавание текста ABBYY FR

Christus quidem Petro absolute mandet, utpote sciens, neminem immerentem ligaturum : Petrus autem postea, a magistro ipso instinctus, certos terminos constituat. Timuit, ut videtur, ne olim morbus talis irreperet, putarentque episcopi, propter privatas querimonias, et animorum suorum perturbationes auctoritatem se habere a Deo separandi quos luberet : quod in præsens isti usum potestatis suæ nescienti accidit. Patet itaque, si quis a divina communione secludatur commeruerit, etiam antequam id episcopi aliis palam faciant, a Deo abjectum, et seclusum esse : quemadmodum **611** divo Petro Alexandrino pontifici de Ario contra Christum furente (40) prius etiam quam a sacra synodo præscinderetur, a reliquo Ecclesiæ corpore a Deo amputatum, et gehenna, inferorumque suppliciis dignum esse, divinitus demonstratum est. Si vero nihil tale fecisse certum sit, sed cum divinis parere præceptis, quæ maxime efficiunt, ut in membris Christi numeremur, non utique ab illo separabitur, si motu aliquo turbido, et a ratione averso, episcopi illum fidelium communitate prohibuerint. Magnum enim orbis terrarum lumen, Joannes ille oris aurei, per nefas a grege suo episcoporum sententia inique depulsus, ac pluribus miseriis opertus, et anathemate percussus, de gloria sua nec hilum amisit. Verum is quidem cum Christo semper vivit, et cum eodem honoratur : qui autem illum communione multarunt, magis semetipsos a Dei gloria alienarunt, invidia, sycophantia, obtrectatione, et aliis vitiosis motionibus, quibus se subjecerant vel trecentis. Ergo si ipse quidpiam hujusmodi mihi potest objicere, quod me a Deo jure separet, proferat, ostendat, et pœnam modice feram, atque ad emendationem peccatorum meorum omnem diligentiam adhibebo. Si autem sua ipsius dementia, invidia et sycophantia incitatus, quia me illi jugulandum tradere nolui, a Deo separare me statuit, videat ne in se potius quam in me gladium defixerit. Nam

A μεντι τῶν διαδόχῳ παραγγέλλοντος διαρρήδην, ὅτι Λύσεις ἃ προσῆκον, ὁμοίως καὶ δήσεις· ὡς τὸν μὲν Χριστὸν πρὸς ἐκεῖνον ἀπολύτως εἰπεῖν τὸν λόγον, εἰδότα ἀκριβῶς ὡς οὐδὲν δήσει τῶν ἀξίων μὴ δεδέσθαι · Πέτρον δὲ αὖθις παρ' αὐτοῦ τοῦ διδασκάλου ἐμπνεόμενον, καὶ τὸν διορισμὸν προσθεῖναι τοῦ ὅσα δεῖ, δείσαντα, ὡς ἔοικε, μὴ ὕστερόν ποτε ἡ τοιαύτη ἐπεισέλθῃ νόσος, καὶ νομίσωσιν οἱ ἀρχιερεῖς ἐξουσίαν ἔχειν χωρίζειν οὓς ἂν ἐθέλωσιν ἀπὸ Θεοῦ ἰδίων ἕνεκα ἐγκλημάτων καὶ παθῶν · ὃ νῦν πέπονθε καὶ οὗτος τὴν οἰκείαν ἀγνοήσας δύναμιν. Δῆλον οὖν ὡς, ἂν τις ἄξια ποιῇ χωρισμοῦ Θεοῦ, καὶ πρὶν τοὺς ἀρχιερέας φανερὸν ποιεῖν τοῖς ἄλλοις, ἐκεῖνος ἀπὸ Θεοῦ κεχώρισται, ὥσπερ τῷ τῆς Ἀλεξανδρέων ἡγουμένῳ Ἐκκλησίας Πέτρῳ B τῷ μακαρίῳ Ἄρειος ὁ κατὰ Χριστοῦ μανεὶς καὶ πρὸ τῆς συνόδου τῆς ἱερᾶς καὶ τῆς ἐκτομῆς τοῦ λοιποῦ τῆς Ἐκκλησίας σώματος ἐκτετμημένος παρὰ Θεοῦ ἀπεκαλύφθη, καὶ γεέννης ἄξιος καὶ τῆς ἐν ᾅδου καταδίκης · ἂν τε μηδὲν τοιοῦτον εἰργασμένος φαίνηται, ἀλλὰ νόμοις Θεοῦ προσέχων καὶ ταῖς ἐντολαῖς, αἳ μάλιστα μέλος εἶναι Χριστοῦ ποιοῦσιν, οὐκ ἂν ἀπ' ἐκείνου χωρισθείη, ἂν πάθους ἕνεκα ἰδίου ἀρχιερεῖς χωρίζωσιν. Ὁ γὰρ μέγας λαμπτὴρ τῆς οἰκουμένης Ἰωάννης ὁ χρυσοῦς τὴν γλῶτταν, τῆς πολλοῖς κακοῖς προσομιλήσας, καὶ ἀφορισμῷ καὶ ἀναθέματι ὑποβληθείς, οὐδὲν ἀπέβαλε τῆς δόξης · ἀλλ' ἐκεῖνος μὲν εἰς ἀεὶ Χριστῷ σύνεστι συνδοξαζόμενος · οἱ ἐκτεμόντες δὲ μᾶλλον ἑαυτοὺς τῆς δόξης C ἠλλοτρίωσαν τοῦ Θεοῦ, φθόνῳ, καὶ συκοφαντίᾳ, καὶ διαβολῇ, καὶ μυρίοις ἄλλοις πάθεσιν ἐκδότους ἑαυτοὺς πεποιηκότες. Εἰ μὲν οὖν τι καὶ αὐτὸς ἐμοῦ τοιοῦτον ἔχει κατηγορεῖν οἷον εἶναι ἄξιον ἀπὸ Θεοῦ χωρίζειν, λεγέτω, καὶ δεικνύτω· καὶ τὴν τε ἐπιτίμησιν οἵαν πράως, καὶ πρὸς τῶν ἡμαρτημένων τὴν ἐπανόρθωσιν πᾶσαν ἐπιδείξομαι σπουδήν· εἰ δ' οἰκείας ἀδουλίας ἕνεκα καὶ φθόνου, καὶ συκοφαντίας, ὅτι μὴ παρέσχον κατασφάττειν ἐμαυτὸν, ἀπὸ Θεοῦ χωρίζειν ἔγνω, σκοπείτω μὴ οὐ δι' ἐμοῦ μᾶλλον ἢ ἑαυ-

Jacobi Pontani notæ.

(narrat autem Clemens, quibus verbis ipsum sanctus Petrus sub mortem, seu martyrium suum Ecclesiæ astanti pro successore commendarit) : *Propter quod ipsi trado a Domino mihi traditam potestatem ligandi et solvendi, ut de omnibus quibuscunque decreverit in terris, hoc decretum sit et in cœlis. Ligabit enim quod oportet ligari, et solvet, quod expedit solvi, tanquam qui ad liquidum Ecclesiæ regulam noverit.*

(40) Historia legitur apud Surium, tomo VI, in martyrio ejusdem sancti Petri Alexandrini episcopi, de quo scripserunt Eusebius libro IX *Historiæ ecclesiasticæ*, auctores tripartitæ historiæ, et alii. In additionibus autem Joannis Molani ad Martyrologium Usuardi sic est ad verbum : *Adversus eum* (Petrum Alexandriæ episcopum) *cognita Maximini sententia, Arius infelix, qui ab ipso excommunicatus, et degradatus propter dogma erroris habebatur, festine pervenit ad ecclesiam, obsecrans ut pro eo clerus et populus apud episcopum intercederet, putans quod post decessum ejus ipse levaretur episcopus. Quibus sanctus episcopus cum magno suspirio*

D *respondit, quia jam Arius Deo mortuus, a facie Dei projectus esset. Et apprehendens duos presbyteros de turba seorsum, ait illis : Ego, etsi peccator sum, tamen scio me cœlesti vocatione ad agonem martyrii vocatum. Vos post martyrium meum sedem et episcopatum meum consecuturi estis. Et tu quidem prior Achilla, post te vero Alexander. In hac enim hora noctis, ut vobis totum de Ario aperiam, cum solemni consuetudine Deo sacrificium orationum consummassem, ecce subito apparuit mihi Christus Dominus, indutus colobio candido, quod conscissum a summo usque deorsum, conjungebat circa pectus, quodammodo cooperiens nuditatem suam. Quem ut vidi, aio : Quid est, Domine, quod video tunicam tuam scissam a summo usque deorsum ? Qui dixit, Arius hoc fecit, qui separavit a me populum hæreditatis meæ, comparatum sanguine meo. Præcipio nunc, et moneo, ne eum recipias in communionem, nec rogantibus his qui venturi sunt ad te, quos ille direxerit. Hæc quæ tibi manifestavi, duobus presbyteris tu nota facies, ut ipsi post te eum anathematizando abjiciant, ne populus illius errore decipiatur.*

Digitized by Google Распознавание текста ABBYY FR

τοῦ τὸ ξίφος ὥθησεν. Οὐ γὰρ Διονύσιος ὁ μέγας ἔπεσθαι φησὶ τὸ θεῖον ταῖς παραλόγοις τῶν ἀρχιερέων ὁρμαῖς. Εἰ δέ τις δέον εἶναι λέγοι, κἂν ὅπως ποτὲ εἶχε τὰ τοῦ πράγματος, φροντίδος ἀξίαν ἡγήσασθαι τὴν ἐπιτίμησιν, καὶ περὶ τὴν διάλυσιν σπουδὴν πολλὴν εἰσενεγκεῖν, ἀλλ' ἐμοὶ κἂν τούτῳ τῶν δεόντων παραλέλειπται οὐδέν· ἀλλὰ πολλὰ πολλάκις περὶ τῶν τοιούτων δεηθέντι, οὐδὲν οὐδέπω οὔτε πρότερον οὔτε νῦν ἐπιεικὲς ἐλέχθη. Ὡς μὲν οὖν εὐθὺς ἐξαρχῆς ἐγώ τε τὰ δίκαια εἱλόμην, καὶ τὰ κοινῇ λυσιτελοῦντα ἔπραττον, καὶ οὗτοι πολλὰς συκοφαντίας καὶ διαβολὰς πλασάμενοι τὸν πόλεμον κεκινήκασι, καὶ πολλὰ Ῥωμαίους εἰργάσαντο κακά, μᾶλλον δὲ συμπάντων αἴτιοι κατέστησαν, τὰ μὲν αὐτοχειρίᾳ πεποιηκότες αὐτοί, τὰ δ' ἐμὲ ἀναγκάζοντες οὐκ ἐθέλοντα, μάλιστ' ἄν τις ἐκ τῶν εἰρημένων σαφέστατα κατίδοι. Ὅτι δὲ καὶ νῦν οὐ τὴν εἰρήνην ἠρημένοι, οὐδ' ἔλεόν τινα λαβόντες τῶν πιπτόντων καθημέραν, ἀλλ' ἐμὲ πρὸς τοῖς ἄλλοις ὑποχείριον λαβεῖν βουλόμενοι, καὶ τὴν σύμπασαν αὐτοὶ Ῥωμαίων ἀρχὴν ἔχειν (τοῦτο γὰρ αὐτοῖς σπουδάζεται περὶ πλείστου, ἕτερον δὲ οὐδέν), τὴν πρεσβείαν ταυτηνὶ πεποίηνται, ἐκ τῶν πρεσβευομένων αὐτῶν δῆλον. Εἰ γάρ τι ἐπιεικὲς καὶ λυσιτελὲς ἐνενόουν τῷ κοινῷ, οὐκ ἂν οὕτως ἐκείνῳ τῷ συκοφάντῃ καὶ ἀεὶ καταψευδομένῳ ῥᾷστα πειθόμενοι ὑπάγειν ἐπεχείρουν ἑαυτοῖς, καὶ καταδουλοῦν ἐμέ· ὃς εἰ μή τι ἄλλο, διὰ τὸ γοῦν ἐπὶ τοσοῦτον χρόνον τὰ Ῥωμαίων διοικεῖν, βέλτιον ἂν τοῖς πράγμασι χρησαίμην καὶ λυσιτελέστερον αὐτῶν. Πατριάρχῃ μὲν οὖν καὶ τοῖς ἄλλοις οὐδενὸς ἐμέλησεν ἑτέρου, ἢ ὃ προὔθεντο ἐξαρχῆς εὐθύς, τὸ διαφθείρειν ἐμὲ καὶ ποιεῖν ἐκ μέσου, ἵν' ἄρχειν ἀδεῶς ἔχοιεν αὐτοί. Ἐγὼ δὲ τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα ὥσπερ καὶ ἀεὶ καὶ βούλομαί τε καὶ περὶ πλείστου ἄγω τὴν εἰρήνην, εἴ γε βούλοιντο καὶ αὐτοὶ τῶν πλασμάτων καὶ ψευδολογιῶν ἀποστάντες παρακοιμωμένου διαλύσεις τίθεσθαι. Εἰ δ' αὖθις αὐτοὶ τὸν πόλεμον κινοῖεν, μὴ ἐμοὶ τὰ ἐσόμενα κακὰ ἐκ τοῦ πολέμου προσλογίζεσθαι, ἀλλ' ἑαυτοῖς, πολλῷ τῶν προὐπηργμένων δεινότερα, ὡς ὁρῶ, ἐσόμενα. Ἐκεῖνοι μὲν γὰρ Μυσοῖς καὶ Τριβαλλοῖς πόλεις καὶ χώρας καταπροϊέμενοι συμμάχους ἐποιήσαντο, οἷς ἐπ' ἐμὲ διανοοῦνται χρῆσθαι· οἷς ἀνθίστασθαι οὐκ ἂν δυναίμην μετὰ Ῥωμαίων τῶν παρόντων· λείπεται δὴ κἀμὲ συμμαχίαν ἑαυτῷ πορίζειν, ἢ τοῖς πολεμοῦσιν ἀντιστήσεται καὶ διαφθερεῖ. Οὐ γὰρ ἐκὼν εἶναι προήσομαι τὴν ἐμαυτοῦ καὶ τῶν συνόντων σωτηρίαν. Αὕτη δὲ οὐδαμόθεν ἄλλοθεν παρέσται ἢ ἐξ Ἀσίας Περσική· οἱ Βάρβαροί τε ὄντες καὶ ἀπεναντίας ἡμῖν περὶ τὸ σέβας διακείμενοι, οὐδεμίαν φειδὼ ποιήσονται τῶν ἐμπιπτόντων ταῖς χερσὶν, ἀλλὰ τοὺς μὲν ἀποκτενοῦσι, τοὺς δὲ ἐπὶ δουλείᾳ ἀποδώσονται. Εἰ μέν τινα τῶν μελλόντων διαφθείρεσθαι ἔλεον λαβόντες πρὸς τὴν εἰρήνην ἐθέλωσι χωρεῖν, κἀγὼ μάλιστα βουλοίμην ἄν, καὶ ἐν ἡμέραις πεντεκαίδεκα πεμπέτωσαν τοὺς ἐροῦντας, ὅτι διαλύεσθαι συνέθεντο, ὡς ἂν πέμψας κἀγὼ κωλύσω τοὺς Βαρβάρους μὴ περαιοῦσθαι πρὸς τὴν Θρᾴκην· παρεσκευασμένοι γάρ εἰσιν. Ὕστερον δὲ ἐφ'

ut præclare scriptum exstat apud magnum Dionysium, divinum numen cum ratione pugnantes episcoporum affectiones non sequitur. Si quis occurrat, ut ut se res habeat, non esse parvi pendendam illam pœnam ecclesiasticam, sed ut ea solvare, multum in eo studii ponendum, aio, etiam in hoc mearum partium nihil prætermisisse : sed sæpe, et impense id orantem, nullum unquam hucusque responsum ex æquo et bono impetrasse. Quemadmodum igitur ego inde usque a principio a justitia non deflexerim, et quæ ad commune emolumentum spectarent fecerim, isti vero sycophantiis, et obtrectationibus tam crebris bellum conflaverint, Romanosque malis plurimis involverint, imo vero malorum omnium fontes, et radices fuerint, et alia quidem per se intulerint, alia me inferre coegerint, ex dictis perspicere facillimum est. Quod autem nunc quoque haud pacem cupiant, nec quotidie percuntium misericordia tangantur : sed me præter cæteras injurias in potestatem redigere desiderent ut ipsi in totum imperium Romanum dominentur (hoc enim **612** etiam atque etiam contendunt : nec alia de causa hanc legationem instituerunt) ex iis quæ postulant planum evadit. Nam si quid moderatum, et reipublicæ fructuosum meditarentur, non tam prompte illi vanissimo criminatori obsequentes, me sibi subjicere, atque ut servum subjugare tentavissent : qui si non aliud, certe quidem quod tandiu rem Romanam administravi, melius, et utilius quam ipsi hoc munus obirem. Patriarchæ igitur, et sociis nihil aliud in studio fuit, quam quod sibi a principio proposuerunt, me nimirum hac luce privare, quo ipsi securius imperare queant. Ast ego boni communis gratia, quod spectavi semper, pacis sum percupidus, eamque facio maximi : si modo et ipsa a figmentis, et mendaciis præfecti cubiculi recedentes, eam complecti velint. Si bellum instaurarint, ne mihi emersura inde mala præcedentibus, ut augurior, longe graviora, sed sibi tribuant : quando ipsi Mœsis et Triballis urbes et regiones quasi prædam objecerunt, et adversum me auxiliares asciverunt : quibus quia resistere cum Romanis quos duco non valeo, superest ut et mihi auxilia ad hostes meos debellandos firma comparem ; nolo quippe meam, meorumque salutem prodere. Ea vero auxilia non aliunde quam Persarum ex Asia suppeditabunt : qui et Barbari, et sacrorum cultu nobis dissimiles, obviis non parcent, sed alios quidem trucidabunt, alios in servitutem vendent. Quare si periturorum miseratione commoti, ad pacem dare se volent, id ego quoque summopere, vehementerque velim, et diebus quindecim mittant, qui me de consensu illorum super hac re certiorem faciat : ut ipse similiter mittam, Barbarosque jam paratos, in Thraciam transmittere ne sinam. De conditionibus postea inter nos conveniet. Sin renovare bellum mavolent, ac nihil respondebunt, equidem post diem præstitutum,

Digitized by Google Распознавание текста ABK/FR

quod in rem meam siet, nihil omittam : Deum hominesque testatus, me ad arma ingratiis redire, et imminentium cladium, quod ad me attinet, nullius causam esse : ipsi vero saltem urbibus suis caveant, ne a Barbaris penitus conquassentur, quarum calamitas non minus quam mearum mihi curæ ac sollicitudini est. Hæc ubi imperator legatis super criminationibus patriarchæ respondit, ad eumdem, et alios de iisdem rebus litteras dedit, ac Joannem Chrysobergem una cum legatis ad imperatricem misit.

A οἷς τισιν ἡ εἰρήνη ἔσται, θησόμεθα συμβάσεις πρὸς ἀλλήλους. Εἰ δ' αὖθις ψηφισάμενοι πολεμεῖν μηδὲν ἀποκρινοῦνται πλέον, ἐγὼ μὲν μετὰ τὴν προθεσμίαν οὐδενὸς ὧν ἔγνωκα λυσιτελεῖν ἐμαυτῷ ἀφέξομαι, καὶ Θεὸν μαρτυρόμενος καὶ ἀνθρώπους, ὡς ἄκων εἰς τὸν πόλεμον χωρῶ, καὶ τῶν ἐσομένων κακῶν οὐδενὸς τόγε εἰς ἐμὲ ἥκον αἴτιός εἰμι· αὐτοὶ δ' εἰ μή τι ἄλλο, τῶν γοῦν πόλεων πρόνοιάν τινα ποιείσθωσαν τῶν αὐτοῖς προσεχουσῶν, ἵνα μὴ παντάπασι διαφθαρῶσιν ὑπὸ τῶν Βαρβάρων· τὴν γὰρ ἐκείνων συμφορὰν ἐν τοσαύτῃ φροντίδι τίθεμαι, ὅσην καὶ τῶν ὑπ' ἐμέ. Τοιαύτην ὁ βασιλεὺς πρὸς τοὺς πρέσβεις ὑπὲρ ὧν ὁ πατριάρχης κατηγόρει τὴν ἀπολογίαν θέμενος. Ἔπειτα γράψας καὶ τὰ ἴσα πρός τε πατριάρχην καὶ τοὺς ἄλλους, καὶ Χρυσοβέργην τὸν Ἰωάννην συνεξέπεμπεν αὐτοῖς εἰς βασιλίδα πρεσβευτήν.

CAPUT LXXV.

613 *Legati Pheræi veniam et opem flagitant, consilio Triballorum principum. Documentum inconstantis fortunæ Pheræi. Legatos recreat imperator humanissimus. Byzantinos legatos illorum exemplo terret, imperium defendi non posse per inductionem docet. Contra legatorum affirmationem imperatricem sui juris non esse ostenditur. Bona cum spe dimittuntur Pheræi et a Momtzili militibus spoliantur. Chrysobergis legati constantia in arcanis reticendis. Garella deditur. Iterum pax per ministrum imperatricis rogatur.*

Legati Didymoticho nondum excesserant, cum alii Pheris superveniunt, qui ante omnia veniam sceleris sui imperatorem rogant, quod non solum meliora consulenti non paruissent, sed insuper legatum ejus mactavissent. Deinde miserias, in quas stultitia sua præcipitassent, tragice commemorant : opem flagitant, quam nisi ab ipso consequantur, funditus perituros. Etenim postquam inde discesserit, Cralem ipsos cinxisse, regionemque ferro, et igni hostiliter devastasse : urbem continenti, ac longinqua obsidione ad eam alimentorum penuriam redegisse, ut jam periculum sit, ne fame ad extremum consumpti intereant (41). Ita Pheræi medio jam in discrimine vix tandem quid expediret videbant : malo enim accepto stultus sapit (42). Et scitum fecerant, ut in Cantacuzeni ditionem se conferrent : utpote Crale ob amicitiam, qua cum illo devinctus esset, obsidionem laxaturo; id quod est factum. Nam ut ei tanquam imperatori faustum acclamarunt, ejusque in sacris meminerunt, Crales inducias aliquantas fecit, et nonnihil ab urbe recedens, castra posuit. Quicunque vero de Triballis proceribus imperatori bene volebant, Pheræos monebant, ut quam citissime eum adirent, præfectumque ab eo acciperent : sic namque Cralem omnimodis obsidionem soluturum. Veniunt Pheræi, et flentes imperatorem obsecrant, ut præfecto dato, periculo eos liberet. Imperator humanæ

B Ἔτι δ' ἐν Διδυμοτείχῳ τῶν πρέσβεων διατριβόντων, ἦκον ἐκ Φερῶν πρὸς βασιλέα πρεσβευταί, πρῶτα μὲν παραιτούμενοι ἐφ' οἷς πρὸς αὐτὸν ἠγνωμονήκασι, μὴ μόνον οὐ πειθόμενοι τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ καὶ τὸν ἥκοντα παρ' αὐτοῦ πρεσβευτὴν ἀπεκτονότες· ἔπειτα δὲ καὶ τὰς συμφορὰς ἐξετραγῴδουν αἷς περιπεπτώκασιν ἐξ ἀβουλίας· καὶ ἐδέοντο σφίσι βοηθεῖν, ὡς εἰ μὴ παρ' αὐτοῦ τινος ἐπικουρίας τύχοιεν, ἄρδην ἀπολούμενοι. Μετὰ γὰρ τὴν βασιλέως ἐκεῖθεν ἀναχώρησιν, περιστρατοπεδευσάμενος ὁ Κράλης, τὴν μὲν χώραν ἔτεμε καὶ ἐδήωσε κατὰ κράτος· τὴν πόλιν δὲ εἰς τοσοῦτον ἤγαγεν ἀπορίας πολιορκῶν ἐπὶ συχνόν τινα χρόνον ἐφεξῆς, ὡς κινδυνεύειν ἤδη παρανάλωμα λιμοῦ γενέσθαι. Φεραῖοι δὲ ἐν χρῷ κινδύνου ἤδη καθεστῶτες, μόλις τὰ λυσιτελοῦντα συνεώρων. Παθὼν γὰρ νήπιος ἔγνω, καὶ ἐπεψηφίσαντο Καντακουζηνῷ τῷ βασιλεῖ προσχωρεῖν, ὡς τῆς εἰς ἐκεῖνον φιλίας ἀνήσοντα Κράλην τὴν πολιορκίαν· ὅπερ καὶ ἐγίνετο. Μετὰ γὰρ τὴν βασιλέως εὐφημίαν καὶ τὴν μνήμην τὴν ἐν τοῖς ἱεροῖς ἀνακωχήν τινα παρέσχετο ὁ Κράλης τοῦ πολέμου, καὶ οὐ πολὺ τῆς πόλεως ἄπωθεν ἐστρατοπεδεύετο ἐλθών. Ὅσοι δὲ βασιλέως ἦσαν φίλοι τῶν ἐν τέλει Τριβαλῶν, συνεβούλευον Φεραίοις τάχιστα ἐλθόντας πρὸς ἐκεῖνον ἄρχοντα τῇ πόλει δέχεσθαι, ὡς ἀφεξομένου παντάπασι τοῦ Κράλη, εἰ τοιαῦτα γένοιτο. Τούτου μὲν οὖν ἕνεκα ἦκον οἱ Φεραῖοι, καὶ ἐδέοντο βασιλέως δεδακρυμένοι πέμπειν σφίσιν ἄρχοντα, καὶ ἀπαλλάττειν τοῦ κινδύνου. Βασιλεὺς δὲ

C

Jacobi Pontani notæ.

(41) Præterquam quod sumptum supervacaneum, et inutilem impensum significat παρανάλωμα, exponitur etiam a Budæo *additamentum, et velut appendix impensæ destinatæ*, citaturque illud Basilii, τάχος ποδῶν, καὶ σώματος εὐμορφία, νόσων παραναλώματα, quæ obiter a morbis consumuntur, quæ alios effectus habent. Febris enim hominem torrens una etiam decorem et colorem delet. Sensus igitur Græcorum verborum, et loci totius est, periculum esse, ne ad mala vastationis etiam fa-

D mes, tanquam additamentum accedat : et quidem tanta, ut ea penitus contabescant, et intereant. Ne fames quoque mortem eorum corporibus, ut reliquis malis appendicem adjiciat.

(42) Παθὼν δέ τε νήπιος ἔγνω, ex Hesiodo. Homerus pene iisdem verbis, ῥεχθὲν δέ τε νήπιος ἔγνω. Vide Chiliad. *Factum stultus cognoscit;* et quod continenter sequitur, *malo accepto stultus sapit.*

Digitized by Google Распознавание текста ABK/FR

τό τε ἄστατον τῆς τῶν ἀνθρώπων τύχης συνορῶν (οἱ γὰρ πρὶν μεγάλα φυσῶντες, καὶ οὐδ' ἄκροις ὠσὶ δεχόμενοι τὴν ὑπὸ βασιλεῖ δουλείαν, ἀλλὰ καὶ τὸν πρεσβευτὴν ὠμῶς καὶ ἀπανθρώπως κατατεμόντες, καὶ πολλὴν ἐπιδειξάμενοι αὐθάδειαν καὶ θρασύτητα, νῦν ἥκουσι ταπεινοὶ καὶ δεδακρυμένοι ὑπὸ μεγάλων πιεσθέντες συμφορῶν καὶ δεόμενοι ἐκεῖνα, ἃ εἰ τότε αὐτοῦ συμβουλεύοντος ἐπείθοντο, οὐκ ἂν εἰς τοιαύτας κατέστησαν ἀνάγκας)· ἔπειτα ἐννοῶν καὶ οἵας πόλεως πάντα ἀρίστης ἡ Ῥωμαίων ἡγεμονία ἀποστερεῖσθαι μέλλει, ἐδάκρυσε μὲν ἐπὶ μικρόν· εἶτα ἐχρημάτισε τοῖς πρέσβεσι, καὶ τῶν τε ἡμαρτημένων παρείχετο συγγνώμην, καὶ χρηστότερα ἐλπίζειν ὑπετίθει, ὡς πᾶν ὁτιοῦν ὑπὲρ αὐτῶν ποιήσων. Ἐκείνους μὲν οὖν οὕτως ἐψυχαγώγει λόγοις ἐκ τῆς πολλῆς ἀθυμίας ἀνακτώμενος. Τοὺς ἐκ Βυζαντίου δὲ αὖθις πρέσβεις μετακαλεσάμενος, Ὁρᾶτε, εἶπεν, οἵων συμφορῶν αἴτιος Ῥωμαίοις ὁ πόλεμος κατέστη; τὰς γὰρ ἑσπερίους ἤδη πάσας πόλεις ἐποιήσαντο ὑφ' ἑαυτοῖς οἱ Τριβαλοί. Δέδοικα δὲ μὴ τούτου μηκυνομένου, καὶ Μακεδονίας ἄρξωσι παντάπασιν. Ἤδη γὰρ οὐκ ὀλίγας ἔχουσι. Φεραῖοι δὲ, ὥσπερ ἠκούσατε παρὰ τῶν πρέσβεων, εἰ μή τινος παρ' ἡμῶν ἐπικουρίας τύχωσιν, οὐκ ἂν ἔτι πρὸς τὸν πόλεμον ἀντέχειν δύναιντο, λιμῷ καὶ πολιορκίᾳ πιεσθέντες. Ἔξεστιν οὖν ὑμῖν ἤδη τὸ τοῦ πολέμου κέρδος συνορᾶν. Ἐγὼ δὲ ὑμῶν θαυμάζω, ὅθεν οἴεσθε δύνασθαι βασιλείαν ἔχειν, τῶν συνεχόντων αὐτὴν εὐπορούντες οὐδενός. Οὔτε γάρ ἐστιν ἐν ὑμῖν, ὃς ἂν τῶν ἄλλων ἄρχειν δύναιτο, καὶ πρόνοιαν ποιεῖσθαι τῶν κοινῶν, εἰ μή πού γε φαίητε παρακοιμώμενον. Οὔτε γὰρ βασιλεὺς διὰ τὴν ἡλικίαν τὴν Ῥωμαίων ἄγειν δύναται ἀρχήν, ἥ τε βασιλὶς ἡ τούτου μήτηρ οὐ διὰ τὴν γυναικείαν ἀσθένειαν μόνον, οὐ γὰρ ἂν ἐξαρκοίη πρὸς τοσοῦτον πραγμάτων ὄγκον, ἀλλὰ καὶ τὸ τὴν ἐξουσίαν ὑπὸ τῶν ἀρχόντων περιῃρῆσθαι, ὥσπερ ἐν φρουρᾷ διάγει τοῖς βασιλείοις, ὀλίγον ἀποδέουσα τῶν ἐν δεσμωτηρίῳ διαγόντων. Τί γὰρ ἐκείνων διενήνοχεν, εἰ μηδὲν μήτε βουλεύσασθαι, μήτε πρᾶξαι τῶν δεόντων δύναται, ἀλλὰ τοῖς ἐψηφισμένοις ὑπὸ τῶν ἀρχόντων ἕπεσθαι ἀνάγκην ἔχει; Τάς τε πόλεις ἀπολωλέκατε, τὰς μὲν αὐτοῖς Μυσοῖς παραδεδωκότες, ἵν' ἔχοι τε συμμάχους ἐπ' ἐμὲ, τῶν δ' ὑπὸ Τριβαλοῖς δεδουλωμένων. Καὶ αἱ λειπόμεναι δὲ, ἔτι πρὸς ἐμέ τε καὶ ὑμᾶς διῃρημέναι, τὰ μὲν αὐταὶ ἐφ' ἑαυταῖς στασιάζουσαι καὶ διαφθειρόμεναι, τὰ δ' ὑφ' ἡμῶν ἔξωθεν πολιορκούμεναι καὶ ἐξανδραποδιζόμεναι, καὶ τὰ δεινότατα ὑπομένουσαι, εἰς ἐσχάτην ἀπορίαν ἦλασαν, καὶ ὀλίγου ἀποδέουσι τῶν ὑπὸ πολεμίοις γενομένων. Χρημάτων τε πόρος οὐδαμόθεν· τά τε γὰρ ἀποκείμενα ἀνάλωται, καὶ τὰ κειμήλια ἀποδέδοται βασιλικὰ εἰς τοὺς καλοὺς ἀποστόλους, ὅθεν ὕνησις οὐδεμία περιγίνεται (ἐῶ γὰρ

fortunæ mutabilitatem perpendens (qui enim prius superbia inflati, nec verbum audire de subjectione sustinuerant, quin etiam legatum crudeliter, immaniterque dissecuerant, et se perquam contumaces, ac præfidentes ostenderant, **614** ii nunc humiles, et perfusi lacrymis, pressi calamitatibus veniebant, et illa petebant, in quibus si tunc utiliter suadenti obtemperassent, in tam acerbos casus nunquam incidissent), deinde considerans qualem urbem, nempe modis omnibus præstantissimam, Romanum imperium amitteret, continere lacrymas non potuit. Tum legatis respondens, veniam commissorum dedit, bonoque animo esse jussit, se eorum causa facturum omnia. Istiusmodi verbis eos deliniebat, et ex magnis angoribus ac desperatione recreabat; iterumque Byzantinos legatos accersens: Videtis, inquiebat, quas ærumnas Romanis bellum hoc generarit? occidentales enim urbes universas suæ ditionis ac potestatis Triballi fecerunt; timeo, ne etiam tota Macedonia potiantur, cujus oppida in præsens non pauca obtinent. At Pheræi, quod ex ore legatorum percepistis, a fame et hoste simul obsessi, nisi a nobis succurratur, diutius se tueri non poterunt. Licet igitur jam, quantum lucri e bello factum sit, discere. Equidem miror unde putetis posse vos imperium retinere, cum qui ipsum defendat, et conservet, habeatis neminem; neque enim inter vos est, qui præesse aliis, et communi providere sciat, nisi fortasse præfectum cubiculi nominetis. Nam nec imperator, propter impuberem ætatem Romanum principatum rexerit· et Augusta ejus mater non solum propter femineam imbecillitatem tantæ rerum moli sustinendæ impar est, sed etiam potestate ab archontibus spoliata, in palatio non secus atque in custodia manet, parumque ab iis differt, qui in carcere vinctitant. Quid enim differat, amabo, si ei nihil neque consultare, neque agere quod opus sit conceditur, sed illorum decreta probare et sequi cogitur? Urbes autem perdidistis; nam alias ipsi Mœsis pretium societatis contra me dedistis, alias Triballi subegerunt, reliquis inter me vosque divisis, earum partim intestinis agitantur discordiis, et sibimet exitio sunt: partim a nobis foris obsessæ, jugum accipere coactæ, gravissimisque attritæ incommodis, in extremas difficultates conjectæ sunt: nec alia fere conditione sunt, quam si ab hostibus subjugatæ forent. Pecuniæ facultas nulla. Nam et ærarium est exinanitum: et thesauri absumpti, ornamentaque imperatoria divendita (43), et in egregias istas classes, unde nulla rediit utilitas, impensa sunt (de nostra enim tam immensa pecunia taceo) **615** et

Jacobi Pontani notæ.

(43) Κειμήλια βασιλικά, quæ ab imperatoribus in thesauris reponuntur, peculiaria quædam, ut sunt gemmæ, et quæ Germanico-latini vocant clenodia. Dicuntur item ἐπίσημα vel σύμβολα. Sic Græciæ prætor, quem Leunclavius sæpe producit, ait, recepta Constantinopoli venisse in manus Græcorum imperatoria Balduini II symbola, quæ quidem hæc fuerint: Calyptra, formæ Latinis usitatæ, et unionibus distincta, cum lapillo rubri coloris in vertice capitis; calceamenta cocco tincta; gladius, vagina de coccinei coloris serico facta, vestitus.

Digitized by Google Распознавание текста ABK/FR

publica vectigalia vastata regione defecerunt. Adde nunc, quod opulenti, et imperatoris defuncti in gubernando administri, alii quod mihi vellent, pecuniis spoliati, et variis antea vexati modis, nunc carceres incolunt : alii quoniam cernentes quantam vim incommodorum hoc bellum esset paritu-rum (quanquam ejusdem primarii auctores iidem ipsi fuissent) pacis mentionem intulissent, domi nunc, jussu præfecti cubiculi sedent, quod et protostratori modo contigisse intelligo; et pars exercitus, quæ mihi favere visa est, periit; altera pars, ut suspecta, contemnitur ; quæ restat, modica est. Unde igitur, quæso, imperium constituetis ac firmabitis, cum quod vos tueri ac servare possit nihil habeatis? Quæ omnia et vos ponderare, et imperatrici, ac patriarchæ, cæterisque nuntiare, communiterque pacem decernere, nec insano consilio etiam parvas istas principatus Romani reliquias disperdere oportet. Cum legati in uno tantum contradixissent, affirmassentque, imperatricem non ut ei renuntiatum esset, ab archontum judicio ac sententia pendere : sed per se esse rerum dominam, quæque sibi viderentur, ea facere, omnibus ei accurate obedientibus : At ego, inquit, nisi liquidissime scivissem quid dicerem, nihil frustra temereque protulissem. Quod si vos ignoratis, rei periculum faciam. Chrysobergi enim legato meo committam, quæ solus soli imperatrici indicet, quod et alias consuevi. Si ea facere ab ipsis archontibus permitteter, certum erit, licere ei quæ velit. Sin ad se referri jusserint, non alia probatio requiretur, qua me verum de illa dixisse cognoscatis. Hæc locutus, simul cum illis Chrysobergem mittit, diebus quindecim ad deliberandum præfinitis; dein Pheris præfectum designat, et Cralem per oratores fœderis juramentorumque admonet; se ea servare docet, ipse ne violet, rogat : sed a Pheræorum jam sibi deditorum oppugnatione desinat, et bello attenuatis, pro eo ac possit, opituletur : Pheræos spe bona implet, dum se brevi ad eos venturum, et quatenus indigeant, iis consulturum spondet. Atque cum hac sponsione et illos legatos dimittit. Momitzili autem milites abeuntibus occurrentes, partem eorum ceperunt, ac rebus ablatis postea nudos dimiserunt : pars altera omnibus relictis impedimentis, cum vix effugisset, ad imperatorem reversa est. **616** Qui majorem in modum irascens, quod urbis periculum videbat, quomodo injuriam maximam a Momitzilo persequeretur quærebat. Byzantini legati ad Augustam reversi, archontibus legationem renuntiarunt, atque etiam litteras patriarchæ reddiderunt. Qui se felici quem sperabant successu frustratos doluerunt. Chrysobergem porro advocatum interrogarunt, si quos nuntios ferret. Respondit ille, de communi eorum legatione non plus habere se quod nuntiaret, quam in litteris positum esset : separatim habere, quæ imperatrici dicat, quæ jussus sit soli, nemine alio præsente dicere. Illi instant, ut sibi ea arcana delegat : et

A τὰ ἡμέτερα τοσαῦτα ὄντα λέγειν, καὶ αἱ πρόσοδοι ἐκλελοίπασι τῶν κοινῶν τῆς χώρας διεφθαρμένης. Πρὸς τούτοις δὲ καὶ οἱ μέγα δυνάμενοι καὶ βασιλεῖ συμπράττοντες πρὸς τὴν ἀρχὴν, οἱ μὲν, διὰ τὴν εἰς ἐμὲ εὔνοιαν χρημάτων ἀποστερηθέντες, καὶ πρὸς πεῖραν πολλῶν πρότερον κακῶν ἐλθόντες, νῦν οἰκοῦσι δεσμωτήρια· οἱ δ' ὅτι ἐμνήσθησαν εἰρήνης, ὁρῶντες οἷ κακῶν ὁ πόλεμος χωρήσει, καίτοι γε κἀκεῖνοι τούτου αἰτιώτατοι γεγενημένοι, ἄπρακτοι κάθηνται ἐν ταῖς οἰκίαις, οὕτω πρυστεταγμένον ὑπὸ πιρακοιμωμένου· ὥσπερ ἀκούω καὶ πρωτοστράτορα τὸν Συναδηνὸν πεπονθέναι νῦν. Καὶ ἡ στρατιὰ δὲ, ἡ μὲν διέφθαρτο δοκοῦσα εὐνοεῖν ἐμοὶ, ἡ δὲ ὑποπτευομένη ἀμελεῖται. Τὸ λειπόμενον δὲ ὀλίγον. Πόθεν οὖν οἴεσθε τὴν ἀρχὴν συστήσεσθαι ὑμῖν μηδὲν ἔχοντες τῶν σώ-

B ζειν δυναμένων; Ἃ πάντα χρὴ καὶ ὑμᾶς σκεψαμένους, καὶ βασιλίδι, καὶ πατριάρχῃ, καὶ τοῖς ἄλλοις ἀπαγγέλλαντας, τὴν εἰρήνην ψηφίσασθαι κοινῇ, καὶ μὴ διὰ κακοβουλίαν καὶ τὰ μικρὰ λείψανα ταῦτα, ἃ τῆς Ῥωμαίων ὑπολέλειπται ἡγεμονίας, διαφθεῖραι. Τῶν πρέσβεων δὲ, πρὸς οὐδὲν ἕτερον ἀντειπόντων τῶν εἰρημένων, ἢ ὅτι ἡ βασιλὶς οὐχ ὥσπερ ἤγγελτο αὐτῷ, τοῖς βουλεύμασι τῶν ἀρχόντων ἕπεσθαι ἀνάγκην ἔχει, ἀλλ' αὐτὴ τῶν πραγμάτων οὖσα κυρία, τὰ δοκοῦντα πράττει, πάντων δουλευόντων ἀκριβῶς, Οὐδὲν ἂν, εἶπεν εἰκῇ καὶ μάτην ἐξενήνεκτο παρ' ἐμοῦ, εἰ μὴ σαφέστατα ᾔδειν ὥσπερ ἔχει εἰρησόμενον. Εἰ δ' αὐτοὶ

C ἀγνοεῖτε, πεῖραν ἐγὼ ποιήσομαι τοῦ πράγματος, ἐξ ἧς ἔσται καὶ ὑμῖν καταφανὲς εἰρημένον ὥσπερ ἔχει. Χρυσοβέργῃ γὰρ τῷ παρ' ἐμοῦ πρεσβεύοντι λόγους ἀναθήσω τινάς, ὥστ' αὐτοὺς μόνος μόνῃ βασιλίδι ἀπαγγέλλειν, ὥσπερ εἴωθα καὶ πρότερον ποιεῖν. Εἰ μὲν οὖν ὑπὸ τῶν ἀρχόντων τοῦτο πράττειν συγχωρηθῇ, εὔδηλον ὡς ἔξεστιν αὐτῇ πράττειν ἅτα ἂν ἐθέλῃ· ἂν δ' ἐπ' αὐτῶν κελεύωσι τοὺς λόγους ἀπαγγέλλειν, μηδεμίαν ἑτέραν ἀπόδειξιν ζητεῖν τοῦ τἀληθῆ περὶ αὐτῆς εἰρῆσθαι. Τοιαῦτα εἰπὼν, συνεξέπεμπεν αὐτοῖς ἅμα καὶ τὸν Χρυσοβέργην, πεντεκαίδεκα προθεσμίαν ἡμερῶν πρὸς διάσκεψιν δοὺς. Ἐκεῖνος δὲ Φεραίοις τε ἄρχοντα ἐφίστη, καὶ πρεσβείαν ἔπεμπε πρὸς Κράλην, καὶ ὑπεμίμνησκε τῶν ὅρκων καὶ τῶν συνθηκῶν τῶν πρὸς αὐτόν. Οἷς αὐτὸς ἐμμένων, ἐξεῖναι κἀκεῖνον μὴ διαλύειν, ἀλλ' ἀφίστασθαι Φεραίων αὐτῷ προσχωρησάντων, καὶ μήτε πολεμεῖν, ἀλλὰ καὶ ὅσα

D δυνατὰ συναίρεσθαι πολλὰ κεκακωμένοις ὑπὸ τοῦ πολέμου· αὐτοῖς τε Φεραίοις ἐλπίδας ὑπετίθει χρηστοτέρας, ὡς τάχιστα ἀφιξόμενος παρ' αὐτοὺς, καὶ προνοίας τῆς δεούσης ἀξιώσων. Τοιαῦτα μὲν ἐπαγγειλάμενος ἐξέπεμπε κἀκείνους. Οἱ ἐκ τοῦ Μομτζίλου δὲ ἀπισῦσι συντυχόντες, τοὺς μὲν καὶ συνέλαβον αὐτῶν, οὓς ὕστερον ἀπέλυσαν γυμνούς· οἱ δὲ, μόλις διαφῦναι δυνηθέντες, αὖθις πρὸς βασιλέα ἐπανῆκον, πᾶσαν ἀπολέσαντες ἀποσκευὴν, ἐφ' οἷς ἄγαν ἤχθετο ὁ βασιλεὺς ὁρῶν τὴν πόλιν κινδυνεύουσαν, καὶ ἐζήτει ὅπως ἀμύνοιτο Μομτζίλον βλάπτοντα τὰ μέγιστα. Οἱ ἐκ Βυζαντίου δὲ πρεσβευταὶ, ἐπεὶ πρὸς βασιλίδα ἐπανῆκον, ἀπήγγελλόν τε τοῖς ἄρχουσι τὰ περὶ τῆς πρεσβείας, καὶ τὰ πρὸς πατριάρχην γράμματα παρεῖχοντο. Οἱ δὲ ἦχθοντο ἀποτυχόντες ὧν ἐνόμιζον

Digitized by Google Распознавание текста ABK/FR

κατωρθωκέναι. Μεταπεμψάμενοι δὲ καὶ Χρυσοβέργην ἠρώτων, εἴ τι ἀπαγγέλλειν ἔχει. Ὁ δὲ, περὶ μὲν τῆς κοινῆς ἕφη πρεσβείας οὐδὲν ἔχειν πλέον τῶν τοῖς γράμμασιν ἐγγεγραμμένων ἀπαγγέλλειν. Ἰδίᾳ μέντοι πρὸς βασιλίδα λόγους τινὰς ἔχειν, οὓς ἐκελεύσθη μηδενὸς ἑτέρου παρόντος, πρὸς μόνην ἐκείνην λέγειν. Οἱ δ' ἐκέλευον, λέγειν πρὸς αὐτοὺς, καὶ μὴ λήρειν, ἀδύνατα ἀξιοῦντα. Τοῦ δὲ μηδὲν τῷ ἑτέρῳ ἐξειπεῖν ἂν διϊσχυριζομένου, ἠπείλουν μαστιγοῦν, καὶ ἔκφορα τὰ ἀπόῤῥητα ποιεῖν προσαναγκάσειν. Ὡς δὲ οὐδὲν ἐνεδίδου πρὸς τὰς ἀπειλὰς, καὶ τὰς πληγὰς ἐπῆγον. Ὁ δ' οὐδὲν ἧττον ἔφασκεν ἀποκρύψειν ἂν καὶ δεινότερα τολμῶσιν. Εἰδότα γὰρ οἷα πρὸς Βρουλᾶν τῆς εἰρήνης ἕνεκα πρότερον τετόλμηται ἐλθόντα, οὕτως ἥκειν παρεσκευασμένον, ὡς πᾶσαν οἴσοντα κάκωσιν καὶ παροινίαν. Ὁ μὲν οὖν οὕτως ἀπτόητος ὡρᾶτο, καὶ πρὸς καρτερίαν παρεσκευασμένος τῶν δεινῶν. Οἱ δ' ἐπεὶ ἐώρων ἀδυνάτους ἐπιχειροῦντες, πολλὰ εἰς αὐτὸν καὶ τὸν πέμψαντα ὑβρίσαντες, ἔπειτα ἐξήλαυνον τῆς πόλεως, αὐθημερὸν μηδένα περὶ τῆς πρεσβείας λόγον ποιησάμενοι. Ὁ δὲ πρὸς βασιλέα τὰ γεγενημένα ἀπήγγελλεν ἐλθών. Κἀκεῖνος ἤδη τὴν εἰρήνην ἀπογνοὺς, ἐστράτευσεν ἐπὶ Γαρέλλαν. Κοντοστέφανος δὲ ὁ ταύτης ἄρχων, προσεχώρησεν ἑκὼν τῷ βασιλεῖ, καὶ παρέδωκε τὴν πόλιν· ἐν ᾗ καὶ Καταβοληνὸς Ἰωάννης πρὸς βασιλέα ἦλθε, τῶν οἰκετῶν τῆς βασιλίδος ὤν. Ὃν ἐπεμπεν εἰς Βυζάντιον αὐτίκα, μηδενὸς ὧν εἶχεν ἀποστερηθέντα, ἠξίου τε αὖθις καταλύεσθαι τὸν πόλεμον, καὶ μὴ διὰ τὴν πρὸς ἀλλήλους αὐτῶν φιλονεικίαν τὰ ἀνήκεστα δεινὰ Ῥωμαίους ὑπομένειν. Πατριάρχης δὲ καὶ οἱ λοιποὶ οὐδὲν ἧττον ἢ πρότερον ἠροῦντο πολεμεῖν.

A ne inepte conetur, quod obtineri non possit. Eo asseverante, nulli alteri enuntiaturum, flagellis secreta illa expressuros interminantur. Cum ad minas staret imperterritus, plagas incutiunt. Is nihilominus, quamvis acerbiora auderent, se arcana celaturum affirmabat : scientemque probe quæ in Brulam de pace legatum antea designassent, ad qualemcunque eorum vexationem petulantiamque sufferendam promptum et alacrem venire. Chrysoberges adeo intrepidus et ad horribilia quæque excipienda paratus erat. Archontes ut in aere se piscari viderunt, ipsum, et a quo veniebat, multis probris consciderunt : homineque eodem die civitate pulso, de eo legato apud imperatricem ne mutiverunt quidem. Ille ad imperatorem reversus, quid sibi B accidisset narravit. Qui pacis spe projecta, Garellam cum copiis abiit, cujus præfectus Contostephanus non illibenter ei se cum oppido tradidit, in quo et Joannes Cantabolenus unus e domesticis Augustæ ministris adductus est. Quem subito, nulla re spoliatum, Byzantium mittens, rursum rogat bellum sedari, et ne per mutuam eorum contentionem Romani damnis mactentur irreparabilibus. Cæterum patriarcha et reliqui bellum, ut semper, malebant.

CAPUT LXXVI.

Castella dedita. Causa defectionis et deditionis Batatzæ. Remuneratio illius et cognatorum. Sultani satrapæ beneficentia. Consuetudo diliculo prandendi. Chores cives terræ motu ob maledicentiam puniuntur. Ignoscitur iis ab imperatore. Muri Choræ reædificantur. Studiosi imperatoris exterminantur, et ad imperatricem reditur.

Βασιλεὺς δὲ καὶ τὴν μεγάλην εἶλε Καρύαν φρούριόν τι ὁμολογίᾳ. Ἔνθα διατρίβοντι καὶ πρωτοκυνηγὸς ὁ Βατάτζης προσεχώρησε μετὰ τῶν συγγενῶν ὄντων οὐκ ὀλίγων· καὶ τότε Πολύβοτον πόλιν Θρᾳκικὴν ὑπὸ τῶν συγγενῶν κατεχομένην προσῆγε βασιλεῖ, καὶ Τηρίστασιν τὸ φρούριον ὃ πρότερον αὐτὸς, ἔτι βασιλέως Ἀνδρονίκου περιόντος, οἰκείοις ἀναλώμασιν ἐτείχισεν· ἔφασκέ τε ὡς ἐν μὲν ταῖς ἀρχαῖς τοῦ πολέμου μάλιστα, νομίσας περὶ βασιλέα ἠγνωμονηκέναι, καὶ τοῖς ἐκείνου παισὶν ἀδίκως ἐπιβουλεύειν, καὶ παραιρεῖσθαι τὴν ἀρχὴν, ἀποστῆναί τε αὐτοῦ διὰ τῶν νομιζομένων ἀδικίαν, καὶ πολεμεῖν ἁπάσῃ δυνάμει· τοῦ χρόνου δὲ τριβομένου καὶ τῶν Ῥωμαίων ἀπολλυμένων ἀκλεῶς ὑπὸ τοῦ πολέμου, ὁρῶν ὡς βασιλεῖ μὲν τά τε Ῥωμαίοις κοινῇ συνοίσοντα, καὶ τοῖς βασιλέως σπουδάζεται παισὶ, παρακοιμωμένῳ δὲ καὶ τοῖς ἄλλοις τοῖς ἄγουσι τῶν Ῥωμαίων τὴν ἡγεμονίαν, οὐδέν ἐστι προῦργου, ἢ πάντας διαφθείραντας ἐκείνους ἄρχειν, βασιλέως δὲ τοῦ παιδὸς ὀλίγα, ἢ οὐδὲν φροντίζοντας, καὶ τῆς τῶν ἄλλων σωτηρίας, συνιδών τε ἐκ τῶν γενομένων, ὡς ἐκείνοι ἀδικοῖεν καὶ διαφθείροιεν φαυλότητι τρόπων τὴν ἀρχὴν Ῥωμαίων, ἀποστῆναί τε ἐκείνων, καὶ προσχωρῆσαι βασιλεῖ· καίτοι γε

derat, et suam magni ducis filio conjunxerat. Sed quamvis affinitate et necessitudine cum iis ita copulatus esset, tamen mores eorum detestatum, facere ab imperatore malle. Imperator virum libenter accipit, et tum de oratione hac, tum de judicio gratias agit, eumque pro isto erga se animo, et quod ad suas partes accessisset, remunerans, magnum stratopedarcham creat; cognatis aliis cuique pro portione honores et annuas mercedes attribuit. Post cum illo Teristasin veniens, castellum eo tradente occupat. Finitima quoque castella et oppidula se dedunt. Calliopolis et Hexamilium, qualemcunque potius obsidionem sustinendam, quam deditionem ei faciendam arbitrantia, resistunt. Adhuc in Chersoneso manebat, cum Sulimanus unus ex Asiæ satrapis, qui in eam peninsulam cum exercitu trajecerat, Ægospotami in colloquium veniens, equos, arma et non exiguam militum manum ad auxilium ei donavit. A quo vicissim comiter acceptus, in Asiam rediit. Imperator reliqua oppida in potestatem adduxit, et Myriophyti in amplis ædibus, duas contignationes habentibus pernoctavit. Consueverat autem propter brevitatem diei (ut hibernis mensibus) et quod necesse erat usque ad noctem equo insidere **618** (non enim inveniebant, ubi descendentes prandierent, tota Thracia in solitudinem, præter urbes, bello redacta), mox ipso diluculo prandere, et sic diem traducere. Comitibus itaque ad observandam consuetudinem impellentibus, non paruit, cibo se quidem indigere affirmans, a semetipso autem ad discessum urgeri: statimque jussi equos conscenderunt, et ad oppidulum aliud, Choram dictum, Myriophyto non procul remotum, quod nondum se dedidcrat, venerunt. Imperator per caduceatorem cives salutat, eosque ad deditionem hortatur. Illi pro eo, ut resalutarent, malo fato ipsum advenisse aiunt: si eos oppugnet, a muris impigerrime se defensuros. Caduceatori eos reprehendenti, quod imprudenter atque confidenter imperatori salutanti respondcrent, alium se habere imperatorem inquiunt, Cantacuzenum nullo loco ducere: moxque contumelias in illum ingeminant. Quas cum adhuc funderent, terra tremit horribiliter: quo tremore mœnia oppidi procubuerunt, domorumque amplius duæ partes, et sepulti ruina ædium ac mœnium plures trecentis. Qui salvi restabant, extra oppidum accurrere obtestarique ne se cum liberis in servitutem a Barbaris abripiendos deserat. Eadem hora, eodem terræ motu ædes in quibus pernoctarat, a fundamentis corruerunt, divinaque providentia circa imperatorem eluxit, quæ certo periculo ipsum liberavit. Si enim comites hortantes audiens, illic cibo corpus refecisset, cum non paucis de suis procul dubio obtritus periisset; adeo breve tempus intercesserat. Jam vero cum miles oppidum Choram ut hostile vellet diripere, et Persæ quod reliquum erat civium captivum ducere aggrederentur, imperator superveniens vetuit, oppidumque intactum servavit.

γάλας ἀφορμὰς ἔχων τῆς πρὸς αὐτοὺς εὐνοίας· τῷ τε γὰρ υἱῷ συνῴκισε τοῦ πατριάρχου θυγατέρα, καὶ τὴν αὐτοῦ τῷ μεγάλου δουκὸς υἱῷ ἐξέδωκε πρὸς γάμον, ἀλλὰ καὶ οὕτως ἔχων συγγενείας πρὸς αὐτοὺς καὶ οἰκειότητος, βδελύξασθαί τε τοὺς τρόπους, καὶ τὴν παρὰ βασιλεῖ διατριβὴν ἐλέσθαι μᾶλλον. Βασιλεὺς δὲ ἀσμένως τε ἐδέξατο, καὶ τῶν τε λόγων καὶ τῆς κρίσεως χάριν ὡμολόγει· καὶ τῆς εἰς αὐτὸν εὐνοίας καὶ τοῦ προσκεχωρηκέναι ἀμειβόμενος, αὐτῷ μὲν τὴν μεγάλου στρατοπεδάρχου παρείχετο ἀξίαν· τοῖς ἄλλοις δὲ τῶν συγγενῶν, ἑκάστῳ ἀναλόγως καὶ τιμὰς παρείχετο, καὶ προσόδους ἐτησίους. εἶτα σὺν ἐκείνῳ εἰς Τηρίστασιν ἐλθών, ἐκείνην τε παρελάμβανεν, ἐκείνου παραδιδόντος, καὶ τὰ περὶ αὐτὴν πολίχνια καὶ τὰ φρούρια προσεχώρουν. Καλλιούπολις δὲ καὶ Ἑξαμίλιον ἀντεῖχον, καὶ πᾶσαν δεῖν ᾤοντο μᾶλλον ὑπομένειν πολιορκίαν, ἢ προσχωρεῖν τῷ βασιλεῖ. Ἔτι δὲ αὐτῷ περὶ Χερρόνησον διατρίβοντι, Σουλιμὰν τῶν κατὰ τὴν Ἀσίαν σατραπῶν εἷς, εἰς Χερρόνησον μετὰ στρατιᾶς περαιωθείς, συνιγίνετο τῷ βασιλεῖ ἐν Αἰγὸς ποταμοῖς, καὶ ἵππους τε παρείχετο, καὶ ὅπλα δῶρα καὶ στρατιὰν οὐκ ὀλίγην συμμαχεῖν· φιλοφρονηθεὶς δὲ ὑπὸ βασιλέως καὶ αὐτὸς, ἀνέστρεφεν εἰς τὴν Ἀσίαν. Βασιλεὺς δὲ τὰ μήπω προσχωρήσαντα πολίχνια ἐπῄει, καὶ κατεδουλοῦτο, καὶ πρὸς Μυριόφυτον ἐλθὼν, ηὐλίσατο τὴν νύκτα ἐν οἰκίᾳ μεγάλῃ διωρόφῳ· εἴθιστο δὲ διά τε τὴν βραχύτητα τῆς ἡμέρας, χειμὼν γὰρ ἦν, καὶ τὸ ἀνάγκην ἔχειν ἄχρι νυκτὸς ἔφιππον εἶναι, οὐ γὰρ ἦν ὅποι τῶν ἵππων ἀποβάντας ἄριστον αἱρεῖσθαι, τῆς Θρᾴκης ἁπάσης ὑπὸ τοῦ πολέμου ἀοικήτου γενομένης πλὴν τῶν πόλεων, ἀρχομένης εὐθὺς ἡμέρας ἀριστᾷν, καὶ οὕτω διημερεύειν· οἱ περὶ αὐτὸν δὲ κατὰ τὸ ἔθος ἀναγκάζοντες ποιεῖν, οὐκ ἠθέλησε· δεῖσθαι μὲν τροφῆς εἰπὼν, ἀναχωρεῖν δὲ ἐπείγεσθαι οὕτως αὐτομάτως· αὐτίκα τε ἐπέβησαν τῶν ἵππων κελεύσαντος ἐκείνου, καὶ πρὸς ἑτέραν πολίχνην οὐ πολὺ διέχουσαν Μυριοφύτου, Χώραν προσαγορευομένην ἦλθον ἔτι μήπω προσχωρήσασαν· πέμψας τε ὁ βασιλεὺς, προσηγόρευε τοὺς πολίτας, καὶ παρῄνει προσχωρεῖν· οἱ δ' ἀντὶ προσηγορίας, κακῶς ἤκειν ἔφασαν αὐτόν· αὐτοὺς δὲ ἀμυνεῖσθαι προθυμότατα ἂν ἐπίῃ ἀπὸ τῶν τειχῶν. Τοῦ πρεσβευομένου δὲ κατηγοροῦντος, ὅτι ἀνοήτως καὶ θρασέως ἀποκρίνοιντο βασιλεῖ προαγορεύοντι, ἕτερον ἔφασαν ἐκεῖνοι βασιλέα ἔχειν, αὐτὸν δὲ ἐν οὐδένων ἄγειν μοίρᾳ, καὶ ὕβρεις αὐτίκα κατέχεον αὐτοῦ πολλάς. Ἔτι δὲ περὶ τὰς ὕβρεις ἐκείνων ὄντων, σεισμὸς ἐγίνετο ἐξαίσιος οἷος, καὶ τά τε τείχη κατέπιπτε τῆς πόλεως, καὶ τῶν οἰκιῶν ὑπὲρ τὰς δύο μοίρας, καὶ κατεχώσθησαν ὑπό τε τῶν τειχῶν καὶ τῶν οἰκιῶν ὑπὲρ τριακοσίους. Ὅσοι δὲ διέφυγον τὸν κίνδυνον, βασιλεῖ προσέδραμον ἐξελθόντες, καὶ ἐδέοντο μὴ σφᾶς καὶ τέκνα περιϊδεῖν ὑπὸ τῶν βαρβάρων ἀνδραποδισθέντας ἄν. Τῆς αὐτῆς δὲ ὥρας, ὑπὸ τοῦ σεισμοῦ ἐκείνου καὶ ἡ οἰκία εἰς ἣν ηὐλίσατο ὁ βασιλεὺς τὴν νύκτα, κατέπεσεν ἐκ θεμελίων, καὶ ἡ περὶ βασιλέα τοῦ Θεοῦ πρόνοια ἐγίνετο καταφανής, οὕτως ἐκ προδήλου κινδύνου ῥυσαμένου· εἰ γὰρ ὅσπερ οἱ περὶ αὐτὸν πορῄουν, ἄριστόν

Digitized by Google Распознавание текста ABK/FR

ἐπεῖθετο ἐκεῖ, οὐδὲν ἂν ἐκώλυε μὴ αὐτόν τε καὶ τῶν A vit, et duplicatas Deo gratias egit, tum quod a lapsu
συνόντων οὐκ ὀλίγους ὑπὸ τῆς οἰκίας καταχωσθῆ- domus ipsum cum suis asseruisset, tum quod Cho-
ναι· οὕτως ἦν βραχὺς ὁ μεταξὺ χρόνος παρεληλυθώς. ram ita direptioni expositam ab ea servare potuis-
Τῆς δὲ περὶ αὐτὸν στρατιᾶς ὡρμημένης τὴν πολί- set. Posthæc conviciis ignovit, et ædilibus desig-
χνην ὡς πολεμίαν διαρπάζειν, καὶ τῶν Περσῶν τοὺς na- tis, qui muros reædificarent, ad alias urbes inde
ὑπολειπομένους ἀνδραποδίζειν ἐπιχειρούντων, ἐκώ- progressus est. Porro fabri cementarii, pro mandato
λυσεν ὁ βασιλεὺς ἐλθών, καὶ περιέσωσε τὴν πολίχνην· imperatoris impigre laborantes, brevi spatio melio-
καὶ διπλᾶς ἀπεδίδου τὰς εὐχαριστίας τῷ Θεῷ, τοῦ τε res ac validiores prioribus exstruxerunt : quibus
ἀπὸ τῆς καταπεσούσης οἰκίας αὐτὸν καὶ τοὺς συν- extrema jam manu imposita, incolæ comparatis in-
όντας περισωθῆναι, καὶ τοῦ τὴν Χώραν οὕτως sidiis, **619** imperatoris factionem rursum expule-
ἑτοίμην προκειμένην ἐπὶ τὴν διαρπαγὴν περισῶσαι runt, et ad partes Augustæ defecerunt, atque in
δυνηθῆναι. Ἔπειτα αὐτοῖς τῶν εἰς ἐκεῖνον ὕβρεων multas difficultates et infortunia adducti, donec im-
συγγνώμην παρασχόμενος, καὶ ἄρχοντας ἐπιστήσας, perator Byzantium occupavit, obsidionem vicina-
οἳ τὰ τείχη ἀναστήσουσιν, ἀπῆρεν ἐκεῖθεν πρὸς τὰς rumque urbium injurias perpessi sunt.
ἄλλας πόλεις. Οἱ δὲ ἐπιτεταγμένοι πρὸς τὸν τειχισμὸν κατὰ τὸ βασιλέως πρόσταγμα πολλὴν εἰσενεγ-
κάμενοι σπουδὴν, ἐν ὀλίγῳ χρόνῳ τῶν προτέρων ἀνέστησαν βελτίω καὶ ἐῤῥωμενέστερα. Ἐπεὶ δὲ οὐδε-
νὸς ἀνέδει πρὸς ὁπαρτισμὸν αὐτοῖς, ἐπιβουλεύσαντες οἱ κατὰ τὴν πολίχνην, ἐξήλασαν τοὺς βασιλέως
αὖθις, καὶ βασιλίδι προσεχώρησαν· καὶ πρὸς πολλῶν δυσχερῶν ἐλθόντες πεῖραν ἄχρις οὗ καὶ Βυζαν-
τίου βασιλεὺς ἐκράτησε, διέμειναν πολιορκούμενοι, καὶ κακῶς πάσχοντες ὑπὸ τῶν περιοικίδων πό-
λεων.

CAPUT LXXVII.

Magnus aux cur iterum exercitui præfectus. Per insidias Cantacuzenum conatur occidere. Minaces ad eum litteras dat. Respondet acriter, eique sua merita ut ingratissimo, et summam improbitatem objicit. In voce οἰκία argutatur; Apocauchum ut senem imbellem irridet. Heracleam venit, inde alio procedit. Persæ auxiliares loca circa Byzantium devastant. Fastus Apocauchi intolerabilis. Thraciæ urbes se imperatori dedunt; ejus in præfectis dimittendis humanitas. Comparatio imperatoris cum conjuratis, et ex horum vituperatione illius laus eximia.

Βασιλὶς δὲ ἡ Ἄννα καὶ ὁ πατριάρχης, ηὐξημένον B Cæterum Anna imperatrix et patriarcha Canta-
ὁρῶντες ἤδη Καντακουζηνὸν τὸν βασιλέα, καὶ πό- cuzeni opes plurium oppidorum copiarumque ac-
λεις τε ὑποποιησάμενον πολλὰς, καὶ στρατιὰν οὐκ cessione crevisse animadvertentes, cum ideo fa-
ὀλίγην ἔχοντα, νομίσαντες ἀπορίᾳ τοῦ κωλύσοντος ctum arbitrarentur, quia defuisset, qui ejus incre-
αὐτὸν ηὐξῆσθαι, τὸν μέγαν δοῦκα στρατηγὸν αὖθις menta impediret, magnum ducem exercitui de
ἐψηφίσαντο, καὶ ἐπέτρεψαν τὸν πρὸς ἐκεῖνον πόλε- integro præficiunt, eique belli rationes commit-
μον. Ὁ δ' εὐθὺς τὴν στρατιὰν ὅση ἦν παραλαβὼν, tunt. Is nil cunctatus, cum totis copiis Heracleam
ἦλθεν εἰς Ἡράκλειαν· πυθόμενος δὲ περὶ βασιλέως contendit. Audiens autem imperatorem esse Cha-
ὡς Χαριουπόλει ἐνδιατρίβει ὀλίγῳ πρότερον προσ- riopoli (44), quæ se nuper illi tradidisset, Longino
χωρησάσῃ, Λογγῖνόν τινα τοῦ δεσμωτηρίου ἐξαγα- quodam e carcere (quo, ut Cantacuzeno amicus,
γὼν, ὃς τῆς εἰς βασιλέα ἕνεκα ἐδέδετο εὐνοίας, καὶ conjectus fuerat) educto, multisque promissis erecto, si posset illi vitam adimere, honesti prætextus
μετεωρίσας πολλαῖς ἐπαγγελίαις, εἰ δυνηθείη βασι- gratia litteras quoque eidem ad eumdem perferendas dedit. Earum hæc erat sententia : Se alias,
λέα ἀνελεῖν, ἔπειτα προφάσεως ἕνεκα εὐπροσώπου, cum in illum Didymotichi degentem moveret,
καὶ γράμματα παρέσχετο πρὸς βασιλέα. Ἐδήλου δὲ C collocutionem cum eo pepigisse, quam quia tem-
τὰ γράμματα τοιαῦτα· ὡς πρότερον μὲν αὐτῷ pus negaret, domum revertisse. Ipsum interea
Διδυμοτείχῳ ἐνδιατρίβοντι ἐπιστρατεύσας, συντεθείη opportunitate arrepta, urbes imperatori Joanni
συγγενέσθαι· τοῦ καιροῦ δὲ κωλύσαντος τὴν συντυ- subjectas, armis per nefas invasisse. Unde quan-
χίαν, ἐκεῖνον μὲν οἴκαδε ἐπανελθεῖν· αὐτὸν δὲ καιρο- quam cæteroqui manere domi voluerit, cum
ῦ λαβόμενον ταῖς ὑπὸ βασιλέα τελούσαις πόλεσιν agmine militari Heracleam proficisci debuisse.
ἐπιστρατεῦσαι, ἃ οὐκ ἐχρῆν ποιεῖν· ὑφ' ὧν ἀναγκα- Quamobrem si sibi obsecutus, domum redeat,
σθέντα καὶ αὐτὸν, καίτοι βουλόμενον οἴκοι διατρί- rectissime facturum, et se quoque cessaturum mi-
βειν, εἰς Ἡράκλειαν ἐλθεῖν μετὰ τῆς στρατιᾶς. Εἰ lites suos inutilibus delassare laboribus. Si aliter
μὲν οὖν αὐτῷ πειθόμενος εἰς τὴν οἰκίαν ἐπανέλθοι, censeat, nihil se dicturum amplius, ipsum satis
κάλλιστ' ἂν ἔχοι· παύσαιτο γὰρ ἂν καὶ αὐτὸς τὴν scire, cui se statuat opponere; eumdem enim esse,
στρατιὰν ἀνονήτοις πόνοις κατατείνων· εἰ δ' ἑτέρως
ἔγνωκε, πλέον μὲν οὐδὲν ἐρεῖν· αὐτὸν δὲ εἰδέναι

Jacobi Pontani notæ.

(44) Turcæ vocant hodie Cherepolin. Ab Atheniensi Charia dicta fuit. Nam præpotens mari populus Atheniensis ante bellum Peloponnesiacum, propter amplitudinem classis et usum rerum navalium, Cherronesum cum majori parte maritimæ Thraciæ ac Macedoniæ, cum Perintho (nunc Arachlea, quod idem est cum Heraclea), cum Selybria, cum ipso Byzantio possidebat : in eaque loca semel occupata, colonias deducebat, Thucydide. Xenophonte, atque aliis testibus, etc. (Leunclavius).

Digitized by Google Распознавание текста ABK/FR

quem pridem expertus fuerit. Imperator lecta epistola præfectum Apriorum, qui forte urbe jam dedita aderat, ad illum mittit, cum litteris hujusmodi: Legi quæ scripsisti, præfecte cubiculi, et elucentem ex iis ostentationem atque arrogantiam tuam magnopere admiratus sum; valde **620** enim ætatem tuam dedecoras. Nam ut senex, de audacia pugnandi et spiritibus debebas remittere; tu vero juvenis timidior lepore, nunc ævi maturus velut aper furentes ac violentos habes impetus. Nisi hoc dicas, te juvenem militem, etiam juvenili, ut conveniebat, fastu et confidentia fuisse. Macte virtute ob veritatem. Etenim cum tota vita mentiri consueveris, et sis concretus ex mendacio, nunc, cum dixisti me nosse qui tu sis, veritatem tam clare elocutus es, ut nihil supra. Scio enim optime, ex quali te conditione extulerim, et quod majora multo quam decuit in te merita contulerim. Cum vero imperator ob nequitiam tuam et mores vitiosos in carcerem te iratus conclusisset, ego te venia impetrata exemi, et in pristina fortuna collocavi: nec semel postea, sed frequenter, cum ille debita sceleribus tuis supplicia irrogare vellet, ego illa, ejus ira mitigata a capite tuo averti, teque compluribus nec vulgaribus ornamentis auxi. Et cum me toties offenderes imperatore vivo atque mortuo (quod nec te oblitum, puto) omnes offensiones floccipendi, et sicut animali dossuario ad onera tantum portanda te usus, in reliquis, si quid perversitatis adhiberes, non curavi. Te autem adeo insigniter improbum futurum, hoc solum explorate non scivi. Existimabam enim, si occasio data foret, recordantem beneficiorum tam multorum magnorumque, ne corpori quidem tuo mea causa parsurum. At tu omnimodis contrariam institisti viam, et hominibus pravis ac perniciosis, sermonibus fraudulentis et callide meditatis obrependo, et pollicitationibus eos maximis circumducendo, hoc bellum non minus in commune Romanorum, quam in meum unius exitium induxisti: quos ut eorum vecordia, et tua in amicos infidelitate dignissimum fuit, tenebris nimirum, quas merebantur, damnatis omnibus remuneratus es. Te igitur novi, ut ais, et ita quidem novi, ut nemo melius. Tu contra parum me videris nosse. Si enim scires qui ego sim, non adeo te mihi iniquum præberes. Et quoniam inter alia etiam hortaris, ut domum revertar, propter veterem amicitiam tibi obtemperare certum est, nec prius quiescere, quam intra domum sim. Qui autem divino jussu Romanorum est imperator, eum nulla domus magis quam Romanorum imperium decet; quam ut ingrediar, sicut amicus tu bene mones, toto pectore contendam, **621** captusque multa pœnitudine, quod te effractum senio tam laboriose feci Heracleam petere, levandum te laboribus censeo, et die abhinc quarto ipse ad te veniam. Tum, si tibi placuerit post longiusculam quietem mecum confligere, neque hanc tibi gratiam tardabo

A ὅτῳ ἔγνωκεν ἀντιχθίστασθαι· τὸν αὐτὸν γὰρ εἶναι ὃν πάλαι οἶδε. Βασιλεὺς δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, τὸν ἄρχοντα Ἀπρίων, ὃς παρ' αὐτῷ ἦν τῆς πόλεως προσχωρησάσης, ἔπεμπε πρὸς αὐτὸν, τοιαῦτα ἀντεπιστείλας· Ἀνέγνων σου τὰ γράμματα, παρακοιμώμενε· καὶ τὴν μὲν ἐγκειμένην μεγαλαυχίαν καὶ τὸν τύφον θαυμάζειν μάλιστα ἐπῆλθε· πάνυ γὰρ ἀνάρμοστα τῇ ἡλικίᾳ πράττεις· δέον γὰρ, διὰ τὸ γῆρας, τοῦ τολμήματος καὶ τῆς εἰς τὰς μάχας εὐψυχίας ὑφιέναι, σὺ δ' ἐν ἥβῃ μὲν ἦσθα δειλότερος λαγῶ, νυνὶ δ' ἐν βαθεῖ γήρᾳ οὐδενὸς τῶν ἐν ἡλικίᾳ δοκεῖς ἀμβλυτέραν ἔχειν τὴν ὁρμήν· εἰ μὴ τοῦτο φαίης, ὡς νέος στρατιώτης ὤν, ὥσπερ εἰκὸς ἐκτήσω καὶ νέον τύφον. Τῆς ἀληθείας δέ σε καὶ πάνυ ἐπαινῶ· ἀεὶ γὰρ εἰωθὼς παρὰ τὸν βίον κατα-
B ψεύδεσθαι καὶ αὐτοφεῦδος ὤν, νῦν με μάλιστα εἰδέναι σε εἶπὼν, πάνυ μάλιστα ἐφθέγξω τἀληθές· οἶδα γὰρ σαφῶς ἐξ οἵας τύχης ἀνειλόμην, καὶ ὡς ἠξίωσα μειζόνων ἢ προσῆκε· βασιλέως δὲ διὰ τὴν προσοῦσαν μοχθηρίαν καὶ τῶν τρόπων τὴν φαυλότητα, δεσμωτηρίῳ κατακλείσαντος πρὸς ὀργὴν, αὐτὸς ἐξήγαγον παραιτησάμενος, καὶ πρὸς τὴν προτέραν τύχην ἐπανήγαγον· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ὕστερον βουλομένου τοῦ βασιλέως τῆς πονηρίας κολάζεσθαι ἀξίως, αὐτὸς παρῃτούμην, διαλύων τὴν ὀργὴν, καὶ πολλῶν καὶ μεγάλων ἠξίουν ἀγαθῶν. Καὶ πολλάκις, καὶ βασιλέως περιόντος, καὶ μετὰ τὴν τελευτὴν προσκεκρουκότος, ὧν οὐδὲ σὲ οἶμαι ἐπιλελῆσθαι, οὐδένα τῶν προσκρούσεων λόγον ἐποιούμην,
C οἷόν τινι ζώῳ τῶν ἀχθοφόρων πρὸς μὲν τὸ ἀχθοφορεῖν κεχρημένος; μόνον, τῶν δ' ἄλλων εἴ τι πρόσεστι δυστροπίας ἀμελῶν. Ὅτι δὲ εἰς τοσοῦτον ἐμελλες ἀτοπίας ἐκπεσεῖσθαι, τοῦτο μόνον σαφῶς οὐκ ᾔδειν· ᾤμην γάρ σε οὐδὲ σαρκῶν φείσεσθαι, καιροῦ καλοῦντος, ὑπὲρ ἐμοῦ, τὸ πλῆθος μεμνημένον καὶ τὸ μέγεθος τῶν εὐεργεσιῶν· σὺ δ' ἀντὶ τούτων ἐχθρῶν τοῖς ἐναντιωτάτοις, καὶ μοχθηροὺς ἀνθρώπους καὶ τὰς γνώμας διεστραμμένους ἀπατηλοῖς καὶ περιέργοις λόγοις ὑπελθὼν, καὶ ταῖς τῶν μεγίστων ἐπαγγελίαις ἐξαπατήσας τουτονὶ τὸν πόλεμον, οὐδὲν ἧττον κοινῇ κατὰ Ῥωμαίων, ἢ κατ' ἐμοῦ κεκίνηκας, οὓς ἀξιώτατα ἡμείψω τῆς τε ἐκείνων ἀβελτηρίας, καὶ τῆς σοι προσούσης πρὸς τοὺς φίλους ἀπιστίας, ζόφον πάντων καταψηφισάμενος, ὥσπερ ἦσαν ἄξιοι.
D Σὲ μὲν οὖν, ὥσπερ ἔφης, πάντων μάλιστα ἐγὼ γινώσκω· σὺ δ' ἐμὲ πάνυ μοι δοκεῖς ἠγνοηκέναι· εἰ γὰρ ὅστις ἦδεις ἐγὼ, οὐκ ἂν οὕτως ἠγνωμόνεις. Ἐπεὶ δὲ μετὰ τῶν ἄλλων καὶ οἰκαδε παραινεῖς ἐπανελθεῖν, δοκῶ μοι διὰ τὴν ἀρχαίαν φιλίαν σοι πειθήσεσθαι, καὶ μὴ πρὶν παύσεσθαι πρὶν ἐντὸς γενέσθαι τῆς οἰκίας. Ῥωμαίων δὲ ὄντι βασιλεῖ κελεύσματι Θεοῦ οὐδεμία μᾶλλον ἑτέρα, ἢ ἡ Ῥωμαίων ἡγεμονία οἰκία πρεπωδεστέρα· ἣν εἰσελθεῖν πᾶσαν ἐπιδείξομαι σπουδὴν, ἧς αὐτὸς τῶν φίλων ὢν παραινεῖς· πολλὰ δὲ μεταμεληθεὶς, ὅτι σε ὄντα γέροντα παρεσκεύακα τοσοῦτον πόνον ὑπομεῖναι, καὶ πρὸς Ἡράκλειαν ἐλθεῖν, ἔγνων δεῖν τε τῶν πόνων ἀναπαύειν, καὶ εἰς τετάρτην ἡμέραν αὐτὸς ἀφίξομαι πρὸς σέ. Καὶ εἴ σοι βέλτιον δοκεῖ διαγωνίσασθαι πολλῆς

Digitized by Google Распознавание текста ABK/FR

ἀναπαύλης ἀπολαύσαντι, οὐδὲ ταύτην σοι τὴν χάριν ἀποκνήσω καταθεῖναι. Τοιαῦτα μὲν ἀντέγραφε καὶ βασιλεύς· μετὰ δὲ τετάρτην ἐξ ἐκείνης ἦλθεν εἰς Ἡράκλειαν, καὶ περιέμεινε πρὸ τῶν πυλῶν ἑστὼς ἐφ' ἱκανόν· ἐπεὶ δὲ οὐδείς ἀντεπεξῆει, τὸ λοιπὸν ὁδεύσας τῆς ἡμέρας, τὴν νύκτα παρὰ ποταμὸν προσαγορευόμενον Ἅλμυρὸν, μεταξὺ Σηλυμβρίας καὶ Ἡρακλείας. Εἰς τὴν ὑστεραίαν δὲ ἑστρατοπέδευσαν παρὰ τὸ Δαφνίδιον λεγόμενον, ἔνθα βασιλεὺς μὲν ἔμεινε παρὰ τὸ στρατόπεδον ἅμα ὀλίγοις τῶν Ῥωμαίων· ἡ λοιπὴ δὲ στρατιὰ μετὰ τῆς Περσικῆς τὰ περὶ Βυζάντιον κατέδραμον πάντα ἄχρι Προποντίδος, καὶ ἐκάκωσαν ἐς τὰ μάλιστα. Ἀπέκτειναν τε γὰρ οἱ βάρβαροι πλείστους καὶ ἠνδραποδίσαντο. Φεύγοντές τε πρὸς τὴν θάλασσαν καὶ πλείους ἐμπίπτοντες ἐν τοῖς λέμβοις, ἢ ὅσους φέρειν ἦσαν δυνατοί, ἄλλως τε καὶ ὑπὸ τοῦ θορύβου ἀτακτοῦντες, ἀπεπνίγοντο ἀνατρεπόμενοι· καὶ παντοῖος ἦν ὁ ὄλεθρος κατὰ τὴν ἔφοδον ἐκείνην· βοσκημάτων τε γὰρ ἤλασαν πλῆθος οὐκ ὀλίγον καὶ ἀνθρώπους αἰχμαλώτους τὸ βαρβαρικόν· καὶ τὰς πλείστας τῶν κωμῶν ἐνέπρησαν. Αἰτία δὲ μάλιστα τῆς τοσαύτης φθορᾶς ἐγένετο ὁ μέγας δούξ. Πολλὰ γὰρ μεγαλαυχήσας καὶ φυσήσας ὅτε ἐξήλαυνε Βυζαντίου, καὶ θαῤῥεῖν κελεύσας, ὡς οὐδεὶς ἀντιστήσεται τῶν πολεμίων, ἀλλὰ πάντας ἄρδην ἐπιφανεὶς διαφθερεῖ, ἐπεὶ ἐναντίως, ἢ αὐτὸς ἐπηγγέλλετο ἀπέβαινε, καὶ τειχήρης κατὰ τὴν Ἡράκλειαν ἐγένετο, καίτοι δυνάμενος τὴν προσήκουσαν περὶ τὴν χώραν πρόνοιαν ποιεῖσθαι τὴν ἔφοδον ἀπαγγέλλων, ὁ δ' οὐδὲν ἐποίει τῶν δεόντων, ὥσπερ δεδοικὼς μὴ τῶν πολεμίων ἥττων γεγονέναι ὑποπτεύοιτο· καὶ διὰ τὴν τοιαύτην ἄνοιαν πολλοῖς αἴτιος ἐγένετο μεγάλων συμφορῶν. Ἐκεῖνος δὲ τὴν μὲν εἰς Βυζάντιον αὐτοῦ ἐπάνοδον νομίζων ἀναγκαίαν εἶναι, ὑποπτεύων δὲ τὴν ἤπειρον, ὡς μεστὴν κινδύνων διὰ τὸ ἐπικρατεῖν τοὺς πολεμίους, διὰ τῆς θαλάσσης ἀνέστρεφε τριήρει, τὴν στρατιὰν ἐκεῖ καταλιπών· καὶ αἰσχίστη ἔδοξεν ἡ ἀναχώρησις, καὶ ἀποδέουσα πολλῷ τῶν ἀπειλῶν. Βασιλεὺς δὲ ὀκτὼ ἡμέρας περὶ τὸ Βυζάντιον διατρίψας, καὶ κακώσας ἐς τὰ μάλιστα, ἀνέστρεφεν εἰς Θρᾴκην, καὶ πᾶσαι πόλεις αὐτίκα προσεχώρουν, τὴν ἐκ Βυζαντίου βοήθειαν ἀπογινώσκουσαι, πλὴν Αἴνου καὶ Ἐξαμιλίου καὶ Καλλίου πόλεως. Τοὺς ἐν ἁπάσαις δὲ ἄρχοντας συναγαγών, οἳ παρὰ βασιλίδος ἦσαν ἐπιτετραμμένοι τὰς ἀρχὰς, καὶ πολλὴν περὶ αὐτοὺς ἐπιείκειαν καὶ ἡμερότητα ἐπιδειξάμενος, κελεύσας τε μηδενὸς ἀποστερηθῆναι τῶν ἐνόντων, ἐνίοις δὲ καὶ ἀναλώματα καὶ ἵππους παρασχόμενος ὅσοι μὴ εὐπόρουν εἰς Βυζάντιον ἀπέπεμπε, περὶ τῆς εἰρήνης αὖθις οὐ βασιλίδος μόνον, ἀλλὰ καὶ πατριάρχου καὶ ἄλλων δεόμενος ἀρχόντων, τἀναντιώτατα τοῖς ἐκεῖσε ἄρχουσι διὰ σπουδῆς πολλῆς τιθέμενος ποιεῖν. Ἐκείνων γὰρ οὐ μόνον τοὺς φανερῶς τἀκείνου ῥηθέντας, ἀλλὰ καὶ εἴ τις ἦθος ὑποφαίνοι πρὸς τὰ πραττόμενα ἀγανακτοῦντος, πικρῶς καὶ ἀπανθρώπως κολαζόντων, οὗτος τοῖς συλλαμβανομένοις ἐκ τῶν προσκειμένων βασιλίδι, παρείχετο καὶ δῶρα, καὶ πρὸς ὕβρεις αἰσχρὰς καὶ ἀνε-

præstare. Hæc rescripsit, et quarta luce Heracleæ ante portas constitit, ibique diu hostem exspectavit. Nemine ad pugnam prodeunte, reliquum diei in itinere ponens, nocte ad fluvium Halmyrum, Selybriam inter et Heracleam consedit. Postridie in loco Daphnidium appellato tetendit, ubi ipse cum paucis Romanis se castris continuit : reliquus exercitus ex Persis auxiliaribus loca omnia Byzantio finitima usque ad Propontidem cum extremis cladibus incursavit. Occiderunt enim et captivos rapuerunt illi Barbari mortales quam plurimos : pecoris quoque vim ingentem abegerunt, et vicos magno numero exusserunt. Qui ad mare fugiebant, cum in lembos insilirent plures, quam ferri poterant, ad hæc etiam præ tumultu ac trepidatione ordinem nullum tenerent, illis eversis submergebantur, licebatque ea incursione aspicere variam sævissimæ calamitatis imaginem. Hujus tantæ perditionis culpa penes magnum ducem fuit. Cum enim Byzantio egrediens, superbia tumidus Thrasonica verba jactaret, juberetque confidere nullum hostium se oppositurum, sed suo tantum conspectu omnes se ad unum perditurum, postquam secus evenit, quam promiserat, et Heracleæ muris se texit (quamvis posset convenienter regioni providere, et hostilem adventum denuntiare) nihilque ex officio suo fecit (utpote timens, ne hostibus inferior videretur), et per eam amentiam plurimos reddidit miserrimos. Cum judicaret autem, reversionem suam Byzantium esse necessariam, et continentem ut infestissimam propter hostes metueret, copiis ibi relictis, per mare triremi rediit : visaque reditio turpissima, et minarum illarum terroribus longe dissimilis. Imperator octo diebus prope Byzantium consumptis, et detrimentis immanibus illatis, in Thraciam regressus, continuo omnes urbes, auxiliis e Byzantio desperatis, præter Ænum et Hexamilium et Calliopolim se subjicientes accepit. Convocatis porro omnium præfectis **622** ab Augusta institutis, multaque lenitate ac mansuetudine exceptis, mandatoque ne quam rerum suarum jacturam paterentur, quibusdam item tenuioribus viatico et equis suppeditatis, Byzantium eos dimisit, etiam tum pacem rogans non imperatricem solum, sed et patriarcham et archontas alios, ex diametro diversa ab illis facere maximopere enitens. Nam cum illi non modo eos qui aperte Cantacuzeno faverent, sed si quis vel affectum tantummodo ob illa quæ flebant dolentis subostendisset, indignantes atrociter illum et inhumaniter punirent : hic captis qui ab imperatrice starent, etiam dona largiebatur. Cumque illi ad fœda et illiberalia convicia et ipsi converterentur, et alios omnes incitarent : hunc, si quis aut in patriarcham aut in magnum ducem, aut alium de archontibus contumeliosius quidpiam dixisset, severissimum experiebatur. Imperatricem quoque et ejus filium imperatorem, ipso jubente, semper honorificentis-

Digitized by Google Распознавание текста ABK/FR

sime appellabant, veluti si non contra illos, sed pro illis in eorum exercitu militarent.

A λευθέρους; οὐ μόνον ἐκείνων τετραμμένων, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐκκαλουμένων, οὗτος πᾶσαν αὐστηρίαν ἐπεδείκνυτο, εἴ τις πατριάρχῃ ἢ μεγάλῳ δουκὶ, ἢ ἑτέρῳ τῶν ἀρχόντων ὕβριν ἐπενέγκοι. Βασιλίδα γὰρ ἀεὶ καὶ βασιλέα τὸν υἱὸν διὰ πάσης ἦγον εὐφημίας αὐτοῦ κελεύοντος, ὥσπερ ἂν εἰ μὴ πρὸς ἐκείνους ἐπολέμουν, ἀλλ' ὑπ' ἐκείνους ἦσαν τεταγμένοι.

CAPUT LXXVIII.

Urbes ad Pontum incursantur ab imperatore. Accersitur ab amicis Adrianopolim. Eorum contra velitum temeritas. Imperatricis pars urbem recuperat. Manuel Apocauchi filius, præfectus urbis ad Cantacuzenum deficit, humaniter accipitur et honoratur. Apud Byziam quid actum, et qua arte eos ad deditionem permovere conatus sit imperator.

Imperator Thraciæ urbibus præter paucas sub ditionem redactis, versus Adrianopolim, et Byziam, quæque ad Pontum pertinent profectus, quotquot se dedere nollent prædabundus incursabat. Præmissis vero occulte internuntiis, cum amicis B negotium suum agebat, quorum et antea Adrianopoli non pauci erant, et tum, quod imperium Romanum ad illum inclinare animadvertebant, plures exstiterunt. Quin imo accersebant eum, ut qui possent, si modo appareret, una portarum occupata et aperta, illum in civitatem introducere. Imperator prædicata eorum propensa voluntate, actisque gratiis, hortatur, ne quid prius inceptent, quam ipsum ad mœnia conspiciant. Formidabat namque ne deprehensi seque negotiumque perderent; et simul de die convenit, quo et ipse adesset, et qui de urbe capienda secum agebant, ad opus aggrediendum parati essent. **623** Verum enim vero, antequam imperator adveniret, illi turmatim obambulantes, postquam eorum quidam in C Branum forte inciderunt, cui urbis custodia statim ab initio propter optimates trucidatos ab imperatrice credita fuerat: is enim seditionis princeps plebem in eos concitaverat: cum igitur accedentem aspicerent, et impetum cohibere non possent (etenim ob injurias et cædes factitatas cane et angue pejus illum oderant), neglecta hortatione imperatoris in hominem invadunt. Proditione jam manifesta, reliqui item timore periculi jungunt operas. Cum frequentes essent, et plebs conniveret (quod bello premebatur), hostibus prævalentes, alios comprehendunt, alii fuga clandestina libentes se periculo subduxerant. Manuel Apocauchus magni ducis filius, urbis præfectus, ut imperatoris fautores victoriam consecutos vidit, D urbe relicta, in castellum non procul situm, nomine Bucellum confugit. Branus captivus claves urbis porrigere, ac supplicare ne occideretur. Illi civitatis jam sine controversia compotes ad direptionem converti, et cum Brani tum aliorum domos expilare. Deinde ob adeptam victoriam compotare, et poculis inter se invitare. Victi ebrios et gressu vacillantes cum intuerentur, redeunte virtute in præcordia, armis eos adorti, facillime vincunt; multos orco demittunt; quosdam urbe pellunt; reliquos in carcerem collariis injectis contrudunt; rursumque Brano et Augustæ studiosis urbem obtinentibus. Apocauchus præfectus Bucello reducitur. Hæc ut accepit imperator,

Βασιλεὺς δὲ ἐπεὶ τὰς κατὰ τὴν κάτω Θρᾴκην πόλεις πλὴν ὀλίγων ὑπεποιήσατο ἁπάσας, ἐπὶ τὴν Ἀδριανοῦ ἐχώρει, καὶ Βιζύην, καὶ τὰς μέχρι Πόντου καὶ ἑκάκου κατατρέχων, καὶ λῃζόμενος μὴ προσχωρούσας· προπέμπων δὲ καὶ κρύφα, διελέγετο τοῖς οὖσι φίλοις, ἐν τῇ Ἀδριανοῦ δὲ πρότερόν τε ἦσαν οὐκ ὀλίγοι, καὶ τότε ἐπεγένοντο ὁρῶντες ἤδη τὴν Ῥωμαίων ἡγεμονίαν πρὸς ἐκεῖνον ἀποκλίνασαν, οἳ καὶ πέμψαντες ἐκάλουν, ὡς δυνάμενοι, εἰ μόνον ὀφθείη, μιᾶς τῶν πυλῶν κρατήσαντες, εἰσάγειν εἰς τὴν πόλιν. Βασιλεὺς δὲ αὐτοὺς τῆς προθυμίας ἐπαινέσας, καὶ τῆς εὐνοίας τῆς περὶ αὐτὸν, ἐκέλευε μὴ πρότερον ἐπιχειρεῖν, πρὶν ἐκεῖνον ἴδωσι τοῖς τείχεσιν ἐφεστηκότα. Ἐδεδίει γὰρ μὴ κατάφωροι γεγενημένοι, σφᾶς τε αὐτοὺς καὶ τὴν πρᾶξιν ἀπολέσωσιν. Ἅμα δὲ καὶ ἡμέραν συνετίθετο ἐν ᾗ αὐτόν τε παρεῖναι ἔδει, καὶ τοὺς πράττοντας τὴν ἅλωσιν πρὸς τὸ ἔργον εἶναι παρεσκευασμένους. Ἐκεῖνοι δὲ πρὶν βασιλέα ἥκειν, κατὰ συστήματα περιῖόντες, ἐπεί τισιν αὐτῶν συνέβη Βράνῳ περιτυχεῖν, ὃς τὴν φυλακὴν τῆς πόλεως εὐθὺς ἐξαρχῆς διὰ τῶν ἀρίστων τὴν φθορὰν παρὰ βασιλίδος ἐπιστεύθη, ἐκεῖνος γὰρ τῆς στάσεως ἦρξε τὸν δῆμον τοῖς ἀρίστοις ἐπαγαγών· τοῦτον οὖν ἰδόντες παριόντα καὶ κατασχεῖν μὴ δυνηθέντες τὴν ὀργὴν, ἄκρατον γὰρ ἐκείνῳ τὴν ὀργὴν ἐφύλαττον διὰ τὴν πρὸς αὐτοὺς γεγενημένην ὕβριν καὶ φθορὰν, ἀμελήσαντες τῶν βασιλέως παραινέσεων ἐπέθεντο, ἤδη δὲ τῆς προδοσίας φανερᾶς γεγενημένης, καὶ οἱ λοιποὶ προσεβοήθουν δείσαντες τὸν κίνδυνον. Πολλοὶ δὲ ὄντες ἅμα καὶ τοῦ δήμου ἐνδιδόντος, ἐπιέζοντο γὰρ ὑπὸ τοῦ πολέμου, κραταιῶς περιεγένοντο τῶν πολεμίων, καὶ τοὺς μὲν συνελάμβανον αὐτῶν, οἱ δὲ ἦσαν ἀφανεῖς, ἅσμενοι τὸν κίνδυνον διαφυγόντες. Ἀπόκαυχος δὲ Μανουὴλ ὁ τοῦ μεγάλου δουκὸς υἱὸς, τῆς πόλεως ἔχων τὴν ἀρχὴν, ὡς εἶδε τοὺς τὰ βασιλέως πράττοντας περιγενομένους, ἐκλιπὼν τὴν πόλιν, ἦλθεν εἰς Βουκέλου φρούριόν τι οὐ μακρὰν ἐκείνης ὠχισμένον. Ὁ Βράνος δὲ συλληφθεὶς, τά τε κλεῖθρα παρείχετο τῆς πόλεως, καὶ ἐδεῖτο μὴ ἀποθανεῖν. Οἱ δὲ, ὡς ἤδη καθαρῶς τῆς πόλεως ἦσαν ἐγκρατεῖς, ἐτράποντο ἐφ' ἁρπαγὴν, καὶ τήν τε Βράνου, καὶ τὰς ἄλλων διήρπαζον οἰκίας. Ἔπειτα καὶ πρὸς πότους καὶ φιλοτησίας διὰ τὴν νίκην ἑαυτοὺς ἐξέδωκαν. Οἱ νενικημένοι δὲ μεθύοντας καὶ παραφερομένους αὐτοὺς ὁρῶντες, ἀναθαρσήσαντες καὶ ἐπιθέμενοι ἀόπλοις καὶ μεθύουσιν, ἐκράτησάν τε ῥᾷστα, καὶ ἀπέκτειναν αὐτῶν πολλοὺς, ἐνίους δὲ ἐξήλασαν τῆς πόλεως, τοὺς δὲ λοιποὺς ἤγαγον εἰς δεσμωτήρια ὑπὸ κλοιοῖς· καὶ ἡ πόλις αὖθις

Digitized by Google Распознавание текста ABK/FR

ὑπὸ Βράνῳ ἦν, καὶ τοῖς πράττουσι τὰ βασιλίδος. Καὶ Ἀπόκαυχον τὸν σφῶν ἄρχοντα πέμψαντες ἤγαγον ἐκ Βουκέλου. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ γεγενημένα, οὐ μετρίως ἤχθετο, οὐ μόνον τῆς πόλεως ἀποτυχών, ἀλλὰ καὶ τῶν φίλων ἀπολλυμένων ἐκ τῆς ἀβουλίας. Ἀπόκαυχος δὲ Μανουὴλ ὁ τοῦ μεγάλου δουκὸς υἱὸς, πρὸς βασιλέα κρύφα πέμψας, πρῶτον μὲν ἔφασκε καὶ αὐτὸν ἀκούοντα παρά τε τῶν ἄλλων καὶ τοῦ πατρὸς αὐτοῦ πολλὰ καὶ δεινὰ κατηγορούντων, πείθεσθαι καὶ αὐτὸν, καὶ νομίζειν ἐκείνους ἀληθεύειν· χρόνῳ δὲ πρότερον πολλῷ, ἀκριβῶς τῶν γινομένων τὰς αἰτίας ἐξετάζοντα, τοῦτον μὲν ἀδίκως πολεμούμενον εὑρίσκειν, ἐκείνους δὲ τὰ ἔσχατα ἀδικοῦντας οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ σύμπαντας Ῥωμαίους οὕτως ἐξανδραποδιζομένους καὶ ἀπολλυμένους ἄρδην δίκ τὴν ἐκείνων φιλαρχίαν καὶ ἀγνωμοσύνην· ὅθεν καὶ ἀγανακτεῖν οὐκ ἀνεκτῶς πρὸς τῶν πραττομένων τὴν ἀτοπίαν. Ἐλπίζων δέ τινα ταχέως λύσιν τῶν κακῶν γενήσεσθαι, φέρειν τὴν μετ' ἐκείνων διατριβήν. Νυνὶ δὲ ἐκείνων μὲν ὁρῶντα τὴν ἀπόνοιαν, καὶ ὡς οὐδὲ τῶν κακῶν ἤδη περιστάντων τὰ δέοντα περί τε σφῶν αὐτῶν καὶ τῶν ἄλλων ἔγνωσαν βουλεύεσθαι, ἀλλ' ἀπωθοῦνται τὴν εἰρήνην, μάλιστα ὑπ' αὐτοῦ παρακαλούμενοι τοῦ τοσαῦτα καὶ πρότερον καὶ μέχρι νῦν ἀδικουμένου, καὶ τῶν εἰς αὐτὸν τοσούτων καὶ τηλικούτων δεινῶν γεγενημένων παρεχομένου ἀμνηστίαν, τήν τε ἐκείνων βδελυξάμενον ἀγνωμοσύνην, καὶ τὴν αὐτοῦ θαυμάσαντα μεγαλοψυχίαν καὶ καρτερίαν, καὶ τὸ οὕτω τῆς κοινῆς ὠφελείας ἕνεκα τὰ καθ' ἑαυτὸν προΐεσθαι ἑτοίμως, μὴ ἐκείνοις ἐπιπλέον δύνασθαι συνεῖναι· ἀλλὰ τὰ αὐτοῦ ἥρῆσθαι μᾶλλον, καὶ ἐξ αὐτῆς τὰ αὐτοῦ πράττειν, καὶ προκινδυνεύειν αὐτοῦ μάλιστα βούλεσθαι καὶ τοῦ δικαίου. Τοιαῦτα μὲν Ἀπόκαυχος ὁ τοῦ μεγάλου δουκὸς υἱὸς πρὸς βασιλέα κρύφα διελέγετο. Βασιλεὺς δὲ ὁμοίως ἐπῄνει τε τῆς αἱρέσεως τοῦ ἀγαθοῦ, καὶ χάριτας τῆς εἰς αὐτὸν εὐνοίας ὡμολόγει, καὶ ἀφορμὰς παρείχετο τοῦ πράττειν ὅ τι δύναιτο ὑπὲρ αὐτοῦ προθύμως. Μετ' οὐ πολλὰς δὲ ἡμέρας, ἀποστάντα πρὸς αὐτὸν, ἐπεὶ μὴ καὶ τὴν πόλιν ἠδύνατο προσάγειν, τοὺς συναιρομένους οὐκ ἔχων πρὸς τὸ ἔργον, πρότερον γὰρ ὀλίγῳ ἅπαντες οἱ βασιλέως φίλοι ὑπ' ἀνοίας διεφθάρησαν, ἀσμένως τε ἐδέξατο ὁ βασιλεὺς, καὶ τιμῆς ἠξίωσε καὶ εὐμενείας πλείστης. Μετὰ τοῦτο δὲ ἐπεὶ ἡ Ἀδριανοῦ ἀνεπιχείρητος ἐδόκει, Βιζύῃ ἐπεστράτευσεν ὁ βασιλεὺς, καὶ ἐπόρθει τὴν χώραν· πρεσβείαν δὲ ἔπεμπε πρὸς τὴν πόλιν, παραινῶν αὐτῷ παραδιδόναι, καὶ μὴ κενῆς ἐλπίδος ἕνεκα τοσαύτην ζημίαν ὑπομένειν διαφθειρομένων τῶν ἀγρῶν· μετὰ γὰρ τῶν κακῶν τὴν ἐπιφορὰν, παραδώσουσιν ἀνάγκῃ πιεσθέντες. Βιζύοι δὲ, οὔτε ἐπηγγέλλοντο σφᾶς αὐτοὺς καὶ τὴν πόλιν παραδιδόναι, οὔτε πρὸς τὴν εἰωθυῖαν ἀναισχυντίαν ἐτράποντο καὶ τὰς ὕβρεις· ἀλλ' εὐφήμως καὶ σωφρόνως ἀπείπαντο τὴν πρεσβείαν. Νομίσας δὲ ὁ βασιλεὺς ἀρχὴν προσχωρήσεως εἶναι τὴν εὐγνωμοσύνην, συνεώρα γὰρ ὑπενδιδόντας πρὸς τὰς συνεχεῖς ἐφόδους καὶ τὴν κάκωσιν, ἔγνω δεῖν τὴν στρατιὰν ἀπάγειν τὴν ταχίστην, ἵνα μήτε ἡ χώρα διαφθείροιτο, μέλλουσα γίνεσθαι μετ' ὀλίγον ὑπ' αὐτὸν, αὐτοί τε τυχόντες ἀδείας, τὰ δέοντα βουλεύσαιντο περὶ σφῶν, καὶ ἀνέστρεφεν εἰς Ἀπρῶν.

A non solum propter frustrationem civitatis, sed etiam propter amicos ipsorummet stultitia perditos summopere doluit. Ad quem Manuel Apocauchus misit, qui ei suis verbis diceret, se quoque tum patrem ipsum, tum alios multum et graviter illum accusantes audientem credidisse, ac vera illos loqui putavisse. Cæterum jampridem causis rerum accurate discussis, invenisse ipsum nulla sua culpa bello lacessi : illos autem longe iniquissimos, ob amorem dominandi, et improbitatem suam non ipsum modo, sed Romanos omnes in servitutem et extremum exitium conari præcipitare. Ex quo tam nefario eorum conatu sibi stomachum moveri vehementissime. **624** Quia vero confidisset, cito malis finem futurum, in eorum sodalitio perseverasse. Nunc quia eorum vecordiam perspiciat, qui neque malis jam supra caput astantibus sibi aliisque consulendum statuerint, sed pacem repudient, ab eo potissimum invitati, qui tam multas et graves injurias hucusque sibi impositas perpetua oblivione deleturum promittat, et eorum scelus exsecratum, et ejus excelsum animum ac tolerantiam admiratum, et quod boni communis gratia res suas adeo non invite projiciat, non posse de cætero imperatrici favere, sed ejus partes amplexum potius, ab hac ipsa hora illi opera inserviturum, proque illo et justitia nullum discrimen recusaturum. Hæc ille clanculum. Cui imperator et de mutato consilio laudem impertivit, et de animo erga se tam egregio gratias egit, et quod posset pro se impigre faciendi occasionem præstitit. Diebus aliquot intermissis, cum ad eum transiret, simul autem urbem tradere nequiret, quod administris hujus operis careret (nuper siquidem omnes imperatoris amici per insipientiam interierant), libenter illum accepit, summoque honore et gratia dignatus est. Deinde quoniam Adrianopolis invadenda non videbatur, Bizyam movit, agrumque vastavit. Legatione porro ad cives missa, hortatus est eos, uti sese dederent, neve propter inanem spem tanta agris detrimenta inferri sustinerent : eo enim compulsum iri, ut etiam post vastationem se dederent. Bizyenses neque se urbem dedituros spondere, neque ad solemnem impudentiam et contumelias confugere, sed legationem honeste modesteque rejicere. Ratus autem imperator agnitionem beneficii principium deditionis fore (observabat enim propter assiduitatem incursionum vexationumque paulatim eos de pertinacia remittere ac cedere), exercitum quam celerrime removendum censuit, ut neque regio vastaretur, paulo post in suam ditionem ventura, et ipsi securitatem adepti, salubria sibi meditarentur, et Apros revertit.

Digitized by Google Распознавание текста ABK/FR

625 CAPUT LXXIX.

Amzas Persa socium ad imperatorem occidendum subornatum prodit. Eum occidi imperator vetat, liberumque dimittit. Bizyenses habita consultatione se dedunt. Acclamatur Annæ imperatrici et filio, deinde Cantacuzeno et uxori. Deditio plurium oppidorum. Manuel Asanes fit præfectus Bizyæ. Miserabilis exitus protostratoris, et aliorum amicorum Apocauchi. Ejusdem astus, quo ignaviæ opinionem effugeret; et ejus non insulsa irrisio, gravisque reprehensio.

Apris degentem Amzas quidam adiens, se cum quodam Scarano appellato paulo ante Byzantio profugisse nuntiat. Ac se quidem citra dolum et calliditatem advenire, Scaranum non item, sed multis pollicitationibus ac muneribus a magno duce illectum, si ipsum imperatorem occidisset. Eumdem Scaranum sperantem ipsum sibi ad cædem intrepide obeundam, propter generis communionem (erat enim Amzas quoque Persa), adjutorem fore, arcanum aperuisse. Se, quod insidias contra imperatorem intentatas habere tacitas periculosum judicaret, hominem et machinationem ejus indicare voluisse. Scaranus imperatoris jussu extemplo comprehenditur : qui cum duceretur, qui astabant ad eum trucidandum prosiliunt. Tum imperator interfectorem hostis sui loco habiturum minatur, id enim argumento fore communicati cum eo consilii, et propterea miserum occidere, ne ab eo prodatur. Illi timore minarum hominem missum faciunt : ita Scaranus mortem effugit. Productum porro in medium imperator interrogavit, verane essent, quæ Amzas detulisset. Reus promissis ac donis plurimis se ad ipsum occidendum a magno duce male impulsum confitetur, et hujus ergo advenatasse. Erat enim animo nobili ac militari, et viribus robustissimis. Mandat eum custodiri imperator, ut diligentius postridie inquisiturus. Noctu interim ministris fidelissimis dat negotium, ut illum e castris eductum dimittant : Amzam ob insidias patefactas honorifice donat. Rursus Bizyam expeditione parata, visum incolas ante per legatos appellare : per quos hortatur uti sponte se dedant, necessitatem ne operiantur; tum enim non ipsis, sed necessitati subactionis gratiam habiturum. Nam et prius cum sibi oppugnaturo bonis verbis respondissent, mox recessisse, tempusque ad salutare consilium capiendum indulsisse : et nunc si se volentes dedant, agrum eorum nihil incommodi passurum; **626** si adhuc insipienter detrectaverint, ne suam postmodum, quam sensuri sint, calamitatem sibi ascribant. Bizyenses auditis oratoribus in cœtum coeunt, quid agant, deliberant. Una est omnium et concors sententia ad imperatorem transeundum, qui præter jus et fas armis appetitus, et Romano imperio pulsus esset, quique adversariis suis nocere posset. Georgium Palæologum præfectum, nisi sequatur, cum tota re familiari Byzantium remigrare jubent. Is imperatori se submittere nolens, humanitatem istam multa gratiarum actione prosecutus, discedit, cui se metropolita, patriarcham timens, adjungit. Bizyenses duos de optimatibus, totidem de populo et ecclesiasticis, omnes numero sex deligunt, quos ad

A Ἔνθα διατρίβοντι Ἀμζᾶς τις ὄνομα προσελθών, ἐμήνυεν ὡς ἅμα τινὶ ἑτέρῳ Σκαράνῳ προσαγορευομένῳ ὀλίγῳ πρότερον ἐκ Βυζαντίου προσέλθοιεν φυγάδες. Αὐτὸν μὲν οὖν ἀδόλως προσελθεῖν καὶ ἀπανούργως, Σκαράνον δὲ οὐχ ὁμοίως, ἀλλὰ πολλαῖς ὑποσχέσεσι καὶ δωρεαῖς παρὰ μεγάλου δουκὸς πεισθέντα, εἰ αὐτὸν ἀνέλοι· νομίσαντα δὲ Σκαράνον ξυλλήψεσθαι αὐτῷ διὰ τοῦ γένους τὴν πρὸς τὰς σφαγὰς καὶ τοὺς φόνους ἑτοιμότητα, ἐκ Περσῶν γὰρ Ἀμζᾶς τὸ γένος ἦν, ἐκκαλύψαι τὸ ἀπόῤῥητον. Τὸν δὲ, ἡγησάμενον δεινὸν τὴν κατὰ βασιλέως συγκρύπτειν ἐπιβουλὴν, τόν τε ἄνθρωπον μηνύειν καὶ τὴν γνώμην. Σκαράνος μὲν οὖν αὐτίκα συνελαμβάνετο κελεύσαντος βασιλέως· ἀγόμενον δὲ οἱ περὶ βασιλέα ὥρμηντο ἀνελεῖν. Βασιλεὺς δὲ ἠπείλησεν, ἀπιστίας B εἰς αὐτὸν τὸν φονεύσοντα κρινεῖν· ἀπόδειξις γὰρ ἂν εἴη τοῦ ἑαυτῷ τὴν πρᾶξιν συνειδέναι τὸ τοῦτον ἀνελεῖν, ἵνα διαφύγῃ τοὺς ἐλέγχους. Οἱ μὲν οὖν οὕτως ἀνεχώρουν, δείσαντες τὴν ἀπειλήν. Σκαράνος δὲ ὅμως ἐῤῥύετο τοῦ θανάτου. Παραστησάμενος δὲ ὁ βασιλεὺς ἠρώτα εἰ εἴη ἀληθῆ, ὅσα Ἀμζᾶς αὐτοῦ κατηγορήσειε. Ὁ δὲ συνωμολόγει, πολλαῖς ὑποσχέσεσι καὶ δωρεαῖς ὑπὸ μεγάλου δουκὸς παραπεπεῖσθαι πρὸς τὸ ἀνελεῖν αὐτὸν, καὶ ἐπὶ τούτῳ ἥκειν· ἦν γὰρ γενναῖός τε τὴν ψυχὴν καὶ πολεμικὸς, καὶ τὴν ῥώμην τοὺς ἄλλους ὑπερέχων. Τὸν μὲν οὖν ἐκέλευεν ὁ βασιλεὺς φυλάττεσθαι, ὡς ἐς τὴν ὑστεραίαν πλείω ποιησόμενος ἐξέτασιν περὶ αὐτοῦ. Νυκτὸς δὲ ἐκέλευε τῶν οἰκετῶν τοῖς πιστοτάτοις τοῦ στρατοπέδου ἐξαγαγόντας ἀπο- C λύειν· Ἀμζᾶν δὲ φιλοτίμως ἠμείψατο ὁ βασιλεὺς τῆς μηνύσεως τῆς ἐπιβουλῆς. Παρασκευαζομένῳ δὲ αὖθις Βιζύῃ ἐπιστρατεύειν, ἐδόκει δεῖν πρότερον πρεσβείαν ποιεῖσθαι πρὸς αὐτοὺς, καὶ παρῄνει ἑκουσίως προσχωρεῖν, καὶ μὴ τὴν ἀνάγκην περιμένειν· τότε γὰρ οὐκ αὐτοῖς, τῇ ἀνάγκῃ δὲ τὴν χάριν εἰδήσειν τῆς αὐτῶν καταδουλώσεως. Καὶ πρότερον γὰρ ἐπιστρατεύσας, ὅτι σωφρόνως ἀπεκρίναντο, ταχέως ἀπεχώρησε, καιρὸν αὐτοῖς παρέχων τοῦ τὰ δέοντα συμβουλεύσασθαι ὑπὲρ αὐτῶν· καὶ νῦν εἰ προσχωροῖεν ἑκουσίως, οὐδεμίαν ὑποστήσεται κάκωσιν ἡ χώρα· εἰ δ' ἀγνωμονοῖεν ἔτι, τὴν ἐπαγωγὴν αὐτῷ μὴ προσλογίζεσθαι τῶν κακῶν. Βιζύιοι δὲ ἐπεὶ ἐδέξαντο τὴν πρεσβείαν, ἐκκλησίαν συναθροίσαντες, ἐβουλεύοντο ὅ τι δέοι πράττειν. Καὶ ἐδόκει πᾶσι D ψήφῳ κοινῇ προσχωρεῖν τῷ βασιλεῖ, ἀδίκως τε πολεμουμένῳ, καὶ ἀπελαυνομένῳ τῶν Ῥωμαίων τῆς ἀρχῆς καὶ δυναμένῳ βλάπτειν· καὶ Παλαιολόγον Γεώργιον τὸν ἄρχοντα αὐτῶν ἐκέλευον, εἰ μὴ βούλοιτο σὺν αὐτοῖς προσιέναι βασιλεῖ, πᾶσαν ἔχοντα τὴν ἀποσκευὴν εἰς Βυζάντιον ἀποχωρεῖν. Κἀκεῖνος αὐτοῖς πολλὴν ὁμολογήσας τῆς εὐγνωμοσύνης χάριν, ἀπεχώρει, μὴ βουλόμενος προσιέναι βασιλεῖ, συνείπετο δὲ καὶ ὁ μητροπολίτης, δείσας πατριάρχην. Βιζύιοι δὲ

Digitized by Google Распознавание текста ABK/FR

δύο τε τῶν ἀρίστων ἀπολεξάμενοι, καὶ τοῦ δήμου καὶ τῆς Ἐκκλησίας τοσούτους ἑτέρους, πρὸς βασιλέα πρέσβεις ἔπεμπον, καὶ τὴν πόλιν παρεδίδουν· ἔφασαν δὲ καὶ αὐτοὶ πρότερον μὲν ὑπὸ τῶν ἀρχόντων ἐξηπατημένοι, ἀγνωμοσύνην τε αὐτοῦ κατηγορεῖν, καὶ ἐπιβουλὴν καὶ προδοσίαν ἐγκαλεῖν τῶν βασιλέως παίδων. Ἐπεὶ δὲ τοῦ χρόνου τριβομένου, ἐκεῖνοι συκοφαντοῦντες ἀπεδείκνυντο καὶ τὰ μέγιστα ἠδικηκότες, αὐτὸς δὲ ἀδικούμενος καὶ ἐπιβουλευόμενος, καὶ οὐδὲν ἐπιεικὲς ἀκούων, ἔπειτα καὶ τὴν κοινὴν ἐρῶντες πανωλεθρίαν, ἢ ὀλίγου δεῖν Ῥωμαίους ἅπαντας διέφθειρεν, ἀκούοντές τε καὶ αὐτὸν ἀεὶ δέομενον περὶ εἰρήνης, ἐκείνους δὲ αἱρουμένους τὸν τοσούτων αἴτιον πόλεμον κακῶν, δεινὰ μὲν ἡγεῖσθαι τὰ πραττόμενα, καὶ προθυμεῖσθαι, εἴ τις δύναμις ἐνῆν, λύσιν τινὰ ἐξευρίσκειν τῶν κακῶν. Ἐπεὶ δ' αὐτοῖς τοῦτο οὐκ ἐν ἐφικτῷ, τοὺς μὲν ἄλλους ἅπαντας τῆς συμφορᾶς οἰκτείρειν, αὐτοὺς δὲ τὰ λυσιτελῆ βουλευομένους ἑαυτοῖς, ψήφισμα ποιήσασθαι προσχωρεῖν ἐκόντας, καὶ τὴν πόλιν παραδιδόναι, καὶ μὴ τῆς ἑτέρων ἀνοίας ἀποτίνειν αὐτοὺς δίκας. Τοιαῦτα μὲν οἱ Βιζύῃοι ἐπρέσβευον. Βασιλεὺς δὲ τῆς εὐβουλίας ἐπαινέσας, τοῖς τε πρέσβεσι δῶρα παρασχών, ἦλθε πρὸς τὴν πόλιν, ἑπομένους ἔχων καὶ τοὺς πρέσβεις, καὶ ὁ δῆμος ἅπας μετὰ τῶν ἀρίστων ἐξῆλθεν ὑπαντήσων. Ἔπεσι δὲ ἐγένετο ἐγγὺς πυλῶν, πρῶτα μὲν ἐκέλευεν Ἄνναν τὴν βασιλίδα εὐφημεῖν, καὶ μετ' ἐκείνην βασιλέα τὸν υἱὸν, τρίτους δὲ μετ' ἐκείνους, αὐτόν τε καὶ Εἰρήνην βασιλίδα τὴν γυναῖκα· καὶ ἐτελεῖτο ἡ εὐφημία κατὰ τὰ κεκελευσμένα. Τὸν ἴσον δὲ τρόπον κἀν ταῖς ἄλλαις πόλεσιν ἐποίει· καὶ μετὰ τὰς ἱερὰς μυσταγωγίας ὁμοίως τὴν τῶν βασιλέων μνήμην ἐκέλευε ποιεῖσθαι. Εὐθὺς μὲν οὖν προσεχώρουν καὶ τὰ περὶ Βιζύην πολίχνια ὄντα οὐκ ὀλίγα, καὶ πᾶσιν ὁ βασιλεὺς ἐφίστη ἡγεμόνα καὶ διῴκει, ᾗ αὐτῷ ἐδόκει ἄριστα. Βιζύης δὴ ἄρχοντα κατέστησε τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Μανουήλ. Ἦν γάρ τινα καὶ οἰκειότητα πρὸς τὴν πόλιν ἀρχαίαν ἔχων. Πρωτοστράτωρ γὰρ ὁ τούτου πενθερὸς ἐκεῖ τὴν οἰκίαν ἔχων ἐξαρχῆς, κτήσεις τε πλείστας καὶ μεγάλας εἶχεν ἐν αὐτῇ, καὶ τῶν συγγενῶν, καὶ τῶν οἰκείων ἐκεῖ πολλοὶ κατῴκουν, ὑφ' ὧν ἤγετο σχεδὸν ἡ πόλις. Διὰ ταύτην δὴ τὴν οἰκειότητα πρὸς πρωτοστράτορα, τὸν γαμβρὸν αὐτοῖς ἐπίστησεν ἄρχειν Ἀσάνην τὸν Μανουήλ. Πρωτοστράτωρ γὰρ μετὰ τὴν ἐν Γυναικοκάστρῳ τοῦ βασιλέως ἀναχώρησιν ὑπὸ μεγάλου δουκὸς πολλὰ φενακισθεὶς, καὶ εἰς τοὺς πρώτους τῶν φίλων τεταγμένος, πρωτοβεστιάριός τε ὀλίγῳ ὕστερον ἀναδειχθεὶς, ἔπειτα εἰς τὴν οἰκίαν κατεκλείσθη, καὶ ζόφον κατεκρίθη τοῖς ἄλλοις ὁμοίως φίλοις, καὶ χρόνον οὕτω συχνὸν διανύσας φρουρούμενος ἐν τῇ οἰκίᾳ, ὕστερον ἐτελεύτησε, πένης καὶ ἄτιμος ἐξ εὐπόρου καὶ περιφανοῦς γεγενημένος. Πατριάρχῃ δὲ τῷ Ἱεροσολύμων ἄρτι τότε ἐκ Βυζαντίου διαδράντι, ὑποπτευομένῳ καὶ πάσχειν μέλλοντι κακῶς, καὶ ἀφιγμένῳ πρὸς αὐτὸν, ὁ βασιλεὺς τὴν Βιζύης ἐνεχείρησεν Ἐκκλησίαν, ὥστε τὰ τοῖς ἱεροῖς κανόσιν ἐνδεδομένα πράττειν, ἐπεὶ ταύτης ὁ ἀρχιερεὺς ἀπεχώρει· τὴν βασιλέως ἀποστολὴν

imperatorem mittunt, et urbem tradunt : fatenturque et ipsi, se prius a præfectis illum pro improbo, et insidiatore, et imperatoris filiorum proditore accusantibus delusos esse. At postquam tempore procedente illos calumniatores fuisse iniquissimos, ipsumque injuriose et insidiose tractatum et maledictis confixum apparuisset, cumque vidissent communem pestem, qua Romani pene omnes interierint, et audissent ipsum pacem sine intermissione flagitare, illos contra bellum tot malorum causam paci præferre, graviter tulisse, paratosque ad remedium tantis ærumnis afferendum fuisse, si modo ullum invenire potuissent. Sed quoniam non ea esset ipsorum facultas, aliorum omnium ita afflictorum misericordia commoveri : et ut sibimet prospicerent, decrevisse in ejus se potestatem ultro cum urbe tradere, ne alienæ amentiæ pœnas luant. Hæc Bizyenses. Imperator probato tam laudabili consilio legatos muneratur, et iis prosequentibus ad urbem fertur : cui plebs universa cum optimatibus se obviam effundit. Ubi ad portas fuit, primum quidem Annæ imperatrici, deinde filio ejus imperatori, postremo sibi et uxori suæ Irenæ faustum acclamari jussit, quod fecerunt. Eodem modo per alias urbes fieri, et inter sacrificandum similiter imperatorum mentionem celebrari voluit. Statim igitur non pauca in circuitu oppida accesserunt, quibus singulis imperator præfectos dedit, earumque statum quæ optima visa est ratione formavit. Byziæ Manuelem Asanem, uxoris suæ fratrem præfectum delegit, cui vetus quædam cum civibus illis conjunctio consuetudinis intercedebat. **627** Protostrator quippe ejus socer illic domicilium ab initio, multasque et amplas possessiones habebat. Præterea cognatorum et familiarium ejus complures ibi incolebant, a quibus ferme civitas administrabatur. Ob hanc igitur familiaritatem conjugis suæ germanum Manuelem Asanem præfectum ipsis, ut dicebamus, constituit. Nam protostrator post secessionem ab imperatore apud Gynæcocastrum a magno duce egregie ludificatus, et inter principes amicorum cooptatus, pauloque post protovestiarius declaratus, postea domi suæ inclusus, et tenebris similiter ut alii ejusdem ducis amici damnatus, ita perdiu in ædibus suis custoditus, tandem egens et infamis ex copioso et illustri mortuus est. Patriarchæ autem Hierosolymorum, qui suspectus et pœnas daturus recens Byzantio ad se confugerat, imperator Bizyensem Ecclesiam sacrorum canonum concessu regendam commendavit : quandoquidem ejus episcopus, adventum ipsius aversatus, aufugerat. Toto orbis statu composito, Chariopolim se recepit, et oppida restantia ad deditionem partim armis coegit, partim oratione ad persuadendum accommodata invitavit. Jam vero magnus dux captus intra urbem latendi fastidio (aliæ siquidem Cantacuzeno se permiserant, aliæ obsessæ et quotidianis populationibus divexatæ nutabant, cum subsidium ab illo nullum, quam-

Digitized by Google Распознавание текста ABK/FR

vis crebro et cum lamentatione suarum ærumnarum expetitum consequerentur) ne, ut in turbulenta tempestate relicto imperii clavo otiosus sedere, ac salutem desperare vulgo videretur, quiddam singulare instituit, ut quibusdam Byzantio necessariis distineri crederetur. Et qui ante id tempus bonum et justum nunquam pili fecerat, justum et rectum in causis et litibus observandum, præconis voce promulgavit : sedensque in monasterio Christi Servatoris et benefici, toto die forum agebat, in contractibus et privatis controversiis occupatus. Nec erat Rhadamantho inferior, qui quod fuisset in vita justissimus, apud inferos arbitria facere dictus est : ignorans miser, nihil esse tam ignavum tamque ridiculum, quam ducem, tanto bello urgente, disceptandis vacare litibus, et dum prodesse vult privatis singulis, omittere communia.

A νος ἐπιδημίαν. Ἐπεὶ δὲ πάντα διῴκητο τὰ κατὰ τὴν πόλιν βασιλεῖ, αὖθις ἀνέστρεφεν εἰς Χαριούπολιν, καὶ τὰς μήπω προσχωρησάσας πόλεις τοῖς τε ὅπλοις ἐβιάζετο, καὶ λόγοις πιθανοῖς ἐπεχείρει πείθειν προσχωρεῖν αὐτῷ. Δοὺξ δὲ ὁ μέγας, ἐπεὶ τὸ διατρίβειν τειχῶν ἔξω ἀπηγόρευεν· αἱ μὲν γὰρ τῶν πόλεων Καντακουζηνῷ προσεχώρησαν τῷ βασιλεῖ, αἱ δὲ, πολιορκούμεναι καὶ κακῶς πάσχουσαι ταῖς καθημεριναῖς ἐφόδοις, ἀμφίβολοι ἤδη ἦσαν, ἐπικουρίας γὰρ οὐδεμιᾶς παρ' αὐτοῦ ἐτύγχανον, συχνὰς ποιούμενοι τὰς πρεσβείας, καὶ τὴν κακοπραγίαν ὀδυρόμενοι, ἵνα μὴ δοκοίη, ὥσπερ ἐν μεγάλῳ κλύδωνι τοὺς οἴακας τῆς ἀρχῆς καταλιπὼν, ἀργὸς καθῆσθαι πρὸς τὸ διασώζειν ἀπειπών, ἐσκέψατό τι περιεργότερον, ἵνα τοῖς πολλοῖς δοκοίη ἀναγκαίων τινῶν πέρι Βυζαντίῳ ἐν-

B διατρίβειν· καὶ ὃς οὐδέπω πρότερον οὐδένα τοῦ ἀγαθοῦ καὶ δικαίου λόγον ἐποιήσατο, δικαιοσύνην ἐκή-

ρυξε καὶ εὐθύτητα περὶ τὰς δίκας· καὶ καθήμενος ἐν τῇ μονῇ Χριστοῦ τοῦ Σωτῆρος καὶ εὐεργέτου, ἐδίκαζε διὰ πάσης τῆς ἡμέρας, περὶ συμβόλαια, καὶ ἰδιωτικὰς ἀμφισβητήσεις ἀσχολούμενος. Ἔφρόνει δὲ Ῥαδαμάνθυος οὐδὲν ἧττον ἐπὶ τούτοις, ξῦς καὶ τὴν νεκρῶν δίκην ἐλέγετο ἐπιτετράφθαι διὰ τὴν δικαιοσύνην· ἀγνοῶν ὡς οὐδὲν ἀγενέστερον καὶ καταγελαστότερον στρατηγοῦ ὑπὸ πολέμου τοσούτου περιῤῥεομένου, καὶ συμβολαίοις σχολάζοντος, ἵνα τοὺς καθ' ἕκαστον ἰδιώτας ὠφελοίη, τῶν κοινῶν καταμελῶν.

628 CAPUT LXXX.

Lepide et nequiter deceptus Gabalas homo corpulentus et obesus, super ducenda Apocauchi filia. Et quomodo Apocauchus eum conatus sit vita privare, imposturis admirabilibus et simulationibus vaferrimis. Notandum hoc exemplum, si ullum aliud hujus generis.

Gabalas autem logotheta, quoniam tempus longum jam abierat, cum magnus dux filiam suam C
secus quam jurarat, nuptum sibi non daret, moram valde indignatus, de matrimonio eum appellat, orans ut quod jurasset aliquando re præstaret. Respondet ille, se quoque id percupere, nec ei rei quidquam prævertendum ducere, sed sponsam et matrem ejus ab eo ut nimium corpulento atque obeso abhorrere. Proinde medicamentis utendum, si forte contractis visceribus gracilior, et sponsæ suæ amabilis redderetur : propter vastitatem enim illam, et proportionem non bene respondentem, nihil esse eo deformius atque injucundius. Gabalas hoc merum esse figmentum et astutam dissimulationem suspicabatur. Quia vero amori puellæ penitus succubuerat (45), quæ quis vel paulum prudens non ignorasset, ipse nescire volebat, et ejus causa D
etiam risu dignissima sibi experiunda censebat.

Γαβάλας δὲ ὁ μέγας λογοθέτης τοῦ χρόνου τριβέ-
μένου, ἐπεὶ τὸν γάμον τῆς θυγατρὸς ὁ μέγας δοὺξ κατὰ τοὺς ὅρκους οὐκ ἀπεδίδου, ἐδυσχέρανέ τε οὐ μετρίως τὴν τριβὴν, καὶ μεγάλῳ δουκὶ περὶ τοῦ γάμου διελέγετο, ἀξιῶν ποιεῖν κατὰ τοὺς ὅρκους. Ὁ δ' ἔφασκε, καὶ αὐτῷ διὰ σπουδῆς εἶναι, καὶ προῦργου παντὸς, τὴν νύμφην ὃε καὶ τὴν μητέρα ἀπαναίνεσθαι διὰ τὴν πολυσαρκίαν. Συνεβούλευέ τε φαρμακείαις χρήσασθαί τισιν, εἴ πως γένοιτο τῶν ἐγκάτων συνεσταλμένων, λεπτότερον φανῆναι, καὶ ἐπέρασιον τῇ νύμφῃ· πάνυ γὰρ ἔχειν ἀηδῶς πρὸς τὴν ἀσυμμετρίαν τῶν σαρκῶν. Ὁ δ' ὑπώπτευε μὲν σκήψεις εἶναι καὶ προφάσεις τὰ τοιαῦτα, καὶ εἰρωνείαν ἀκριβῶς· τῷ δὲ κατάκρας ἠττῆσθαι τῷ τῆς κόρης ἔρωτι, ἃ καὶ ὀλίγα φρενῶν μετέχων συνῆκεν ἄν τις, αὐτὸς ἐβούλετο ἀγνοεῖν· καὶ ἐδόκει δεῖν τοῖς καταγελαστοτάτοις ἐπιχειρητέα εἶναι διὰ τὴν κόρην· διαλεχθεὶς δέ τινι ἰατρῷ ἐξ Ἰταλίας ἀφιγμένῳ περὶ τῆς πολυ-

Jacobi Pontani notæ.

(45) O miserum Gabalam, ut se excarnificari frustra sinit! Mira sunt, quæ quidam ob amorem mulierum puellarumve leguntur fecisse, seu honestum et licitum, quod eas uxores cuperent, seu turpe et vetitum. Caput est apud Jovianum Pontanum libro priore *De fortitudine*, quo docet, qui ob amorem pugnent, fortes non esse : *Sed nec in ordine fortium collocandi videntur*, inquit, *qui ob libidinem amoresque vel adoriuntur periculosa, vel perpetiuntur tristia. Nam et amantes multa audent, plura etiam, quamvis gravia, æquo animo ferunt : in eo tamen peccant, quod vel aggrediuntur, quæ aggredienda non sunt, vel tolerant, quæ tolerari nullo modo debent, nec quam ob causam debent; quippe quibus proposita sit voluptas ea quæ homini cum belluis est communis, indignum sane pretium. Mox subjicit exemplum de quodam Galeatio Mantuano, qui Papiæ in ponte puellam, quam unice amabat, obviam habuit. Ea ut per blandam aliquam jocandi speciem amantem ad colloquium invitaret, Quin tu, inquit, bellissime amator, qui tantum tibi armatus in acie places e ponte in amnem amoris gratia desilis? Hoc ille audito, concitato repente equo sese demisit in fluvium, quo exanimato, vix Ticino natabundus emersit. An hic tibi magnus videbitur? cui nihil aliud tanto fuerit quæsitum periculo, quam ut mulierculæ, et quidem jocanti satisfaceret, quæ sese, ne id aspiceret, avertisse dicitur.*

Digitized by Google Распознавание текста ABBYY FR

σαρκίας, ἔπειθε μεγάλοις μισθοῖς ἐπαγγελλόμενον καὶ αὐτὸν, εὐσταλὲς τὸ σῶμα καὶ σύμμετρόν τισι ποιήσειν φαρμακείαις, καὶ δὴ τἆλλα πάντα δεύτερα ἡγούμενος, λουτροῖς ἐσχόλαζε καὶ ἐμέτοις καὶ κενώσεσι γαστρὸς ᾗ τῷ ἰατρῷ ἐδόκει, ὀλιγοσιτίᾳ τε προσεῖχε, καὶ τἆλλα πάντα ἐπετήδευεν, ὅσα πρὸς λεπτότητα συναίρεται. Ἐξ ὧν ἠτόνει μὲν καὶ ἀδρανὴς ἦν, καὶ παρελύετο τὴν ῥώμην, ἡ γαστὴρ δὲ ὀλίγα πρὸς τὸν ὄγκον ἐνεδίδου. Ὑποπτεύσας δὲ ὁ μέγας δοὺξ, ὡς ὕστερόν ποτε ἀπαγορεύσας πρὸς τὰς φαρμακείας εἶσεται σαφῶς τὴν εἰρωνείαν, καὶ δείσας μὴ διὰ τὸ περιορᾶσθαι πρὸς τὸν κατ' αὐτοῦ πόλεμον αὖθις ἐκτραπῇ καὶ πείσῃ βασιλίδα τίθεσθαι σπονδὰς πρὸς Καντακουζηνὸν τὸν βασιλέα περὶ εἰρήνης, ὃ τῶν κινδύνων αὐτῷ ὁ φοβερώτατος ἐδόκει, ἐσκέψατο τρόπῳ δή τινι διαφθείρειν καὶ αὐτόν· καὶ τῶν συνειδότων τὰ ἀπόῤῥητα αὐτῷ τινας προσέπεμπε μηνύοντας· δι' εὔνοιαν δῆθεν τῷ μεγάλῳ λογοθέτῃ, ὅτι βασιλεῖ μάλιστα ὀργίζοιτο αὐτῷ, τὴν δὲ αἰτίαν ἀγνοεῖν· οἳ καὶ τοιαῦτα προσαγγέλλοντες ἐξεφόβουν. Ἔπειτα καὶ ὅρκους ᾐτοῦντο δῆθεν ὑπὲρ τοῦ μηθενὶ καταδήλους ποιεῖν τοὺς τὰ ἀπόῤῥητα μηνύσαντας. Οὕτω μὲν οὖν ἐκεῖνοι ἐκακούργουν τὴν πεπλασμένην δήλωσιν τῶν ἀποῤῥήτων. Γαβαλᾶς δὲ οἰόμενος εἶναι ἀληθῆ τὰ εἰρημένα, πανταχόθεν ἐκυμαίνετο καὶ περιηντλεῖτο λογισμοῖς, καὶ σύννους καὶ ὠχρὸς ἐφαίνετο, καὶ ταῖς φροντίσι συντετηκώς. Δοὺξ δὲ ὁ μέγας, τῶν πραττομένων ἄγνοιαν ὑποκρινόμενος, ἠρώτα τὴν αἰτίαν τῆς συννοίας καὶ τῆς ὠχριάσεως. Ὁ δὲ, οὐδὲν ὑπωπτευκὼς περὶ ἐκείνου φαῦλον, οἷα δὴ κηδεστῇ καὶ ἀλγήσαντι ὑπὲρ ἐκείνου, πᾶν τὸ ἀπόῤῥητον ἐξέφαινε, καὶ ἐπικουρίας τυχεῖν τινος ἐδεῖτο, καὶ γνώμην εἰσηγεῖσθαι, ᾗ χρησάμενος ἔξω ἔσται τῶν κινδύνων. Οὐδὲν γὰρ ἦν τὸ μέσον τοῦ ὑποπτευθῆναι τότε καὶ διαφθαρῆναι. Δοὺξ δὲ ὁ μέγας ἔφασκε μὲν τοιαῦτα καὶ αὐτὸς ἀκηκοέναι περὶ αὐτοῦ, ἡγεῖσθαι δὲ μὴ ἀληθῆ, ὅμως ὑπετίθει τὴν οὐσίαν παρὰ τοῖς φίλοις ἐκτιθέναι. Τὴν γὰρ πολιτευομένην νυνὶ παρὰ Ῥωμαίοις ἔφασκε συκοφαντίαν καὶ διαβολὴν, πάντα ὀντινοῦν φυλάττεσθαι χρεών. Καὶ γὰρ αὐτὸς τῶν κοινῶν ἀπάντων ἄρχων, καὶ τῆς πρώτης παρὰ Ῥωμαίοις ἀπολαύων τιμῆς καὶ εὐπραγίας, οὐ μάλιστα αὐτοῖς θαῤῥεῖν, ἀλλὰ τὰ πλείω καὶ πολυτελέστερα τῶν ὄντων, ἔν τε Ἐπιβάταις τῷ φρουρίῳ, καὶ πρὸς τῷ ἐν Μαγκάνοις πύργῳ ἔχειν. Αὐτὸν δὲ ἐπεὶ μὴ συμβαίη φρούριόν τι ἔχειν, ᾧ χρήσαιτο πρὸς τοιαύτας τῶν πραγμάτων μεταβολὰς, ἑτέρῳ τρόπῳ τινὶ τῆς οὐσίας προνοεῖν, ἵν' εἴ τι συμβαίη δυσχερὲς, οὐ γὰρ μάτην παρὰ βασιλίδος ὑποπτεύεσθαι, τὴν γοῦν οὐσίαν ἔχῃ, καὶ μὴ ἀμφοτέρων οὐσίας τε ἅμα καὶ ἀρχῆς τῶν πραγμάτων ἀποστερηθῇ. Ὁ μὲν οὖν τοιαῦτα συνεβούλευε. Λογοθέτης δὲ ὁ μέγας τὴν ἐπιβουλὴν μὴ συνιδὼν, ἐπείθετό τε, καὶ τὰ ὄντα πρὸς τοὺς φίλους ἐξετίθει. Ὁ δ' αὐτίκα προσέπεμπε τοὺς βασιλίδι τὰ πραττόμενα μηνύσοντας, ὡς αὐτοῦ μὴ συνειδότος. Παρῆνουν τε οἱ προσαγγέλλοντες, μὴ τοιαῦτα περιορᾷν· οὐ γὰρ ἐπ' ἀγαθῷ τὴν οὐσίαν τὸν μέγαν λογοθέτην ἐκτιθέναι· ἀλλ' ἢ στάσιν βουλεύεσθαι ποιεῖν ἐπὶ τῷ Καντακουζηνῷ βασιλέα δέχε-

A Collocutus igitur cum quodam medico, qui ex Italia nuper venerat, de ista corpulentia, ingenti mercede eum demulsit, et is se corpus ejus quibusdam medicinis ad decorem et gracilitatem traducturum spopondit. Mox posthabitis omnibus, ad præscriptum medici balneis, vomitionibus, crebris alvi ductionibus dat operam, parum cibi et potionis adhibet, cæteraque omnia ad corporis extenuationem valentia sedulo usurpat. Ex quibus languor, imbecillitas, nervorumque dissolutio exsistebat, at ventris moles parum imminuebatur. Veritus autem magnus dux, ne tandem pharmacis defatigatus, technam perspiceret : et timens ne, quia contemptus esset, rursus arma contra ipsum ferret, atque imperatricem ad fœdus cum Cantacuzeno patrandum impelleret, quo nullum periculum impensius metuebat, illius quoque interficiendi rationem excogitavit. Nam quosdam sibi a secretis misit, qui, ut magno logothetæ, benevolo animo indicarent, Augustam ei iratam esse vehementer : causam se nescire. Talibus nuntiis hominem exterrebant. Deinde et juramentum exigebant, horum arcanorum indices nemini prodituros. Sic **629** illi in commentitiis secretis significandis se malitiose gerebant. Gabalas mendacium minime olfaciens, undique cogitationum fluctibus jactabatur, meditabundus, pallidus et præ sollicitudinibus contabescens. Magnus autem dux, rei gestæ ignorationem præ se ferens, tristitiæ et palloris hujus causam exquirebat. Tum Gabalas candide, tanquam socero et vicem suam dolituro, arcanum, ut erat, reserat, ejusque opem aliquam et consilium implorat, quo usus discrimen evadat; nam tunc inter suspectum esse et jugulari nihil erat medium. Hic magnus dux, se quoque hæc de illo audivisse; putare tamen vera non esse. Nihilominus uti facultates suas amicis concrederet, monere. Quæ enim nunc apud Romanos regnum tenerent sycophantia et calumnia, eas cavere unumquemque oportere. Nam et se, totius reipublicæ caput ac principem, honoribusque ac felicitate inter Romanos præcipuum, neutiquam illis fidere, sed majorem ac pretiosiorem partem rerum suarum Epibatis in castello, et arce in Manganis recondidisse. Ipse vero quoniam castello careret, quo in istiusmodi rerum commutationibus uteretur, alio quodammodo facultates suas tuendas : ut si quid adversum accidat (non enim frustra apud imperatricem in suspicionem cecidisse), saltem sua retineat, ne simul illis tamque amplo magistratu privetur. Magnus logotheta non intellectis insidiis paret, et fortunas suas apud amicos collocat. Quid multa? Subito magnus dux mittit, qui, quod agebatur, imperatrici, quasi se minime conscio, patefacerent : et hortabantur qui nuntiabant, ne rem istam negligeret; non enim magnum logothetam sincero fine res suas apud amicos deposuisse, sed aut seditionem ad Cantacuzenum recipiendum machinari, aut ad illum cogitare deficere. Imperatrix dicta examinans, ut a

Digitized by Google Распознавание текста ABK/FR

multis vera esse audivit (clam siquidem a consciis magni ducis, eo id struente, in multos secretum disseminatum fuerat), acerbe tulit, manifestamque defectionem rata, quid pœnarum in eum statueret, deliberabat. Cum insidiæ processissent, et magnus logotheta Gabalas facultatibus alibi depositis sederet, carceremque exspectaret, et Augusta ut perfido irasceretur, magnus dux simulata necessitate quadam publica, Hierum, quod est oppidum ad ostia Ponti, **630** triremi conscensa navigavit, quique primum logothetæ iram imperatricis indicarant, eos ad finem negotio imponendum reliquit. Rursum igitur accedentes illi, perfusique lacrymis, et dejectis humi vultibus, certiorem faciunt, illa nocte in summo discrimine futurum, imperatrice scilicet iracundia effervescente : et hortantur, ut sibi provideat. Subornarant interim ex alia conspiratione, qui eadem hora ad ejus ædes venirent, et sine nomine, num ipse esset intus sciscitarentur, velut his verbis horribile quiddam præsignificantibus; non enim alias sic tractare illum Romani, sed multa cum observantia et assentatione consueverant. Gabalas omnibus indiciis necem sibi in foribus esse conjiciens, et formidans ne quibusdam ex odio in se irruentibus male periret, cum tremore ac pavore magno in templum Sophiæ, tanquam ad asylum facta fuga, quoniam ne sic quidem se salvum fore credebat, et producere vitam non mediocriter cupiebat, monachi habitum induit, vix etiam hac ratione se servatum iri sperans; adeo minis attonitus et concussus erat medullitus. Magnus dux totum maleficium ex sententia evenisse postquam intellexit, Hiero reversus, ilicet ædem Sophiæ petit, inventoque ibi logotheta cum vestitu monastico, plangit mirum in modum, et viduitatem filiæ lamentatur (46), doletque dolorem inconsolabilem. Logotheta ejus luctum levare multis verbis nititur, aitque, nihil contigisse novi, si humanis rebus semper aliter et aliter volventibus et inconstantibus, nunc quidem meliora, nunc deteriora et ipse expertus esset. Et apparebat Apocauchum ad hæc aliquantum acquiescere. Paulo post magnus logotheta imperatricis jussu ad monasterium sanctissimæ Virginis abiit. In fuga autem, abjecto monachi cultu, adornanda deprehensus, in carcerem datur. Sic igitur et hunc ex medio magnus dux removit, qui bellum contra Cantacuzenum non vulgariter promoverat : condignam nimirum mercedem pro pestiferis cladibus eo bello invectis ei rependens.

A σθαι, ἢ ἀφίστασθαι διανοεῖσθαι πρὸς ἐκεῖνον. Ἡ βασιλὶς δὲ τὰ περὶ μεγάλου λογοθέτου εἰρημένα ἐξετάζουσα, ὡς ἐπυνθάνετο παρὰ πολλῶν εἶναι ἀληθῆ, κρύφα γὰρ παρὰ τῶν συνειδότων πρὸς πολλοὺς διεδόθη τὸ ἀπόῤῥητον, τοῦ μεγάλου δουκὸς οὕτω φυσκευάσαντος, ἠγανάκτει, καὶ ἀποστασίαν εἶναι· ᾤετο τὸ πρᾶγμα φανερῶς· καὶ ἐδουλεύετο ὅ τι δέοι χρῆσθαι τῷ μεγάλῳ λογοθέτῃ. Ἐπεὶ δὲ ἤδη πέρας εἶχεν ἡ ἐπιβουλὴ, καὶ λογοθέτης τε ὁ μέγας πᾶσαν ἐκθέμενος τὴν οὐσίαν, ἐκάθητο δεσμωτήριον περιμένων, καὶ ἡ βασιλὶς ὠργίζετο πρὸς τὴν ἀποστασίαν, πλασάμενος ὁ μέγας δούξ τινα τῶν δημοσίων χρείαν, εἰς Ἱερὸν τὸ πρὸς ἐμβολὰς τοῦ Πόντου ἀπέπλεε τριήρει, τοὺς δὴ πρῶτον τὴν βασιλίδος δῆθεν ὀργὴν μηνύσαντας, τῷ μεγάλῳ λογοθέτῃ κατέλιπεν ἐπιθεῖναι τέλος

B τῇ ἐπιβουλῇ· προσελθόντες γὰρ ἐκεῖνοι αὖθις δεδακρυμένοι καὶ κατηφεῖς, ἐμήνυον ὡς ἐκείνῃ τῇ νυκτὶ πρὸς ἔσχατον κινδύνου ἥξει, βασιλίδος μάλιστα ἐξοργισμένης, καὶ πρόνοιάν τινα αὐτοῦ ἐκέλευον ποιεῖσθαι· τῆς αὐτῆς δὲ ὥρας καὶ ἑτέρους ἐκ συνθήματος παρεσκεύαζον ἀφικνουμένους παρὰ τὴν οἰκίαν τὴν ἐκείνου, ἀνωνύμως οὕτως εἰ αὐτὸς αὐτόθι εἴη ἐρωτᾷν, ὥς τι δεινὸν τοῦ λόγου προσημαίνοντος. Οὐ γὰρ εἰώθεσαν ἐκείνῳ πρότερον οὕτω προσφέρεσθαι Ῥωμαῖοι, ἀλλὰ πολλὴν τὴν θεραπείαν προσῆγον καὶ τὴν κολακείαν. Γαβαλᾶς δὲ ἤδη τὸν ὅλεθρον ἐκ πάντων τεκμαιρόμενος, καὶ δείσας μὴ καὶ παραπόλοιτο, τινῶν πρὸς ἔχθραν ἐπελθόντων, ὑπότρομος καὶ περιδεὴς εἰς τὸν τῆς Θεοῦ Σοφίας γενόμενος νεὼν, οὐδ' οὕτω

C σώζεσθαι ἐπείθετο· ἀλλὰ φιλοψυχῶν πολλὰ, τὴν ἐσθῆτα ἀποδὺς, σχῆμα μοναχῶν περιεβάλετο, οὕτως οἰόμενος μόλις ἑαυτῷ τὴν σωτηρίαν ἐκπορίσειν· τοσοῦτον ἐξεπέπληκτο ταῖς ἀπειλαῖς καὶ τὰς φρένας κατεσείσθη. Ὁ μέγας δὲ δοὺξ ἐπεὶ πύθοιτο πᾶσαν κατὰ νοῦν κακουργίαν ἀποδᾶσαν, ἐκ τοῦ Ἱεροῦ ἐπανελθὼν, αὐτίκα πρὸς τῆς τοῦ Θεοῦ Σοφίας τὸν νεὼν ἀφίκτο, καὶ τὸν μέγαν λογοθέτην εὑρηκὼς τὰ μοναχῶν ἠμφιεσμένον, ἐκόπτετο πολλὰ, καὶ τὴν χηρείαν ἀπωδύρετο τῆς θυγατρὸς, καὶ ἀπαραμύθητα ἐπένθει. Λογοθέτης δὲ ὁ μέγας πολλοῖς παρεμυθεῖτο λόγοις, οὐδὲν καινὸν συμβεβηκέναι φάσκων, εἰ τῶν ἀνθρωπίνων ἀεὶ πραγμάτων ἄλλοτε ἄλλως φερομένων καὶ ἀστατούντων, νῦν μὲν βελτιόνων, νῦν δὲ χειρόνων ἐπειράθη καὶ αὐτός· καὶ

D ἐδόκει τὸ πολὺ τῆς λύπης διὰ τὴν ἐκείνου παραμυθίαν ἀποτίθεσθαι. Ὕστερον δὲ ὀλίγῳ πρὸς τὴν τῆς παμμακαρίστου μονὴν ὁ μέγας ἀφίκτο λογοθέτης, τῆς βασιλίδος κελευούσης· φωραθεὶς δὲ διαδιδράσκειν μέλλων, καὶ τὰ μοναχῶν ἀπαμφιέννυσθαι, εἰς δεσμωτήριον ἐνεβλήθη. Οὕτω μὲν οὖν καὶ τοῦτον ἀπεσκευάσατο ὁ μέγας δοὺξ, μεγάλα μὲν πρὸς τὸν Καντακουζηνοῦ συναράμενον τοῦ βασιλέως πόλεμον, ἀξίων δὲ ἀπολελαυκότα παρ' ἐκείνου ἀμοιβῶν, ἧς ἐπήγαγεν ἀμυθήτου φθορᾶς ὁ πόλεμος Ῥωμαίοις.

Jacobi Pontani notæ.

(46) Cur viduitatem, cum non esset vidua? nec enim cum quoquam nupta fuerat. Sed jureconsulti etiam nondum nuptam appellare solent viduam. Quoniam scilicet vidua dicta sit ut vecors, vesanus qui sine corde, sine sanitate esset : et illa sine duitate.

Digitized by Google Распознавание текста ABK/FR

631 CAPUT LXXXI.

Orchanis Persæ societatem præ imperatrice Cantacuzenus obtinet. Capta ab eo oppida ad Pontum. Mirabile somnium Manuelis ejus filii. Imperator ad portas Byzantii venit. Apocauchus cum paucis earessus refugit. Romani et Persæ agrum, imperatore et Romanis commiserantibus, depopulantur.

Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς πυθόμενος, ὡς βασιλὶς πρεσβείαν ποιοῖτο πρὸς Ὀρχάνην ἐπὶ συμμαχίᾳ, πέμψας καὶ αὐτὸς ἔπραττεν, ὅπως αὐτῷ μᾶλλον, καὶ μὴ Βυζαντίοις πρόσθοιτο. Καὶ εἵλετο Ὀρχάνης τὴν πρὸς Καντακουζηνὸν τὸν βασιλέα μᾶλλον συμμαχίαν. Καὶ πέμψας Χατζὴν τὸν εὐνοῦχον, ἐτέλει τὰς σπονδάς. Ὄντος δὲ οὐ μακρὰν αὐτοῦ, ἀλλὰ τῆς ἐκ Παφλαγονίας ἄχρι Φρυγίας παραλίου ἄρχοντος, ῥᾳδίως μετεπέμπετο Καντακουζηνὸς ὁ βασιλεὺς τὴν συμμαχίαν ἡνίκα ἔδει· ὃ καὶ μάλιστα ἐκάκωσε τὰ πράγματα Ῥωμαίων· ὡς ἐπιπλεῖον γὰρ καὶ βασιλέως μὴ δεομένου περαιούμενοι οἱ Πέρσαι, τὰς μήπω βασιλεῖ προσχωρησάσας πόλεις ἐκάκουν, ὡς πολεμίας. Τότε δὲ ἐκ τῆς Ὀρχάνη στρατιᾶς ἔχων συμμαχίαν, ταῖς πρὸς τὸν Πόντον πόλεσιν ἐπεστράτευσε, καὶ εἷλε πάσας πλὴν Σωζοπόλεως. Εἷλε δὲ καὶ τὴν ἐν τῇ Δέρκῃ τῇ λίμνῃ πόλιν· καὶ φρούριόν τι ἕτερον οὐ μακρὰν Βυζαντίου, Ἐμπυρίτην προσαγορευόμενον· εἶτα ἀνέστρεφεν εἰς τὴν οἰκείαν. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ Μανουὴλ ὁ νεώτερος τῶν βασιλέως υἱῶν Βερροίᾳ ἐνδιατρίβων, ὄναρ ἔγραφεν ἰδεῖν τοιοῦτον. Ἐδόκει ἐπὶ κλίνης αὐτὸς ἑστάναι· βασιλέα δὲ τὸν πατέρα τήβεννον ἔχοντα καὶ χιτῶνα περιπόρφυρα, καὶ ἱερατικὸν ἐπιτραχήλιον χρυσοῦν, πρὸς αὐτὸν ἐλθεῖν, δύο δὲ ἑτέρους ἑκατέρωθεν αὐτῷ παρέπεσθαι, ὧν ἄτερος μὲν οὐ γνώριμος ἦν, εἶχε δὲ τὸ προφήτου Ἡσαΐου βιβλίον ἀνεῳγμένον· Λαντζαρέτος δὲ ὁ δεύτερος τὸ βασιλέως ξίφος εἶχεν ἐν χερσί. Βασιλέα δὲ κηρὸν αὐτῷ παρεσχημένον, καὶ σφραγῖδα, ἄμφω ἐρυθρὰ, Σφράγισον, πρὸς τὸν υἱὸν εἰπεῖν. Τοῦ δὲ σφραγίσαντος, ζῶντα λέοντα ἐντυπωθῆναι τῷ κηρῷ, ἄστρον λαμπρότατον τῷ δεξιῷ κατέχοντα ποδὶ, καὶ πρὸς τῷ ὤμῳ ἕτερον μικρὸν ἔχοντα ἐγκεκολαμμένον ἄστρον. Βασιλέα δὲ εἰπεῖν, Ἀνάστησον αὐτόν· ἀναστήσαντος δὲ τοῦ υἱοῦ, τὸν τὸ βιβλίον Ἡσαΐου κατέχοντα εἰπεῖν, « Ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξαν μονοκέρωτος αὐτοῦ, ἐδεσθαι ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτῶν κατατοξεύσει, καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ. Ἀνακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; Οἱ εὐλογοῦντές σε εὐλογημένοι, καὶ οἱ καταρώμενοί σε κεκατήρανται. » Ταῦτα δὲ ἐδόκει τῷ βιβλίῳ ὄντα ἐγγεγραμμένα ἀναγινώσκειν. Βασιλεὺς δὲ αὖθις τῷ υἱῷ προσέταττε σφραγίσαι. Σφραγίσαντος δὲ πάρδαλις ἐξῆλθε ζῶσα, καὶ χάρτην εἶχε θατέρῳ τῶν ποδῶν, ᾧ ἐνεγέγραπτο, Ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις· καὶ ἐξουσία ἐδόθη αὐτῷ. » Κελεύσαντος δὲ βασιλέως

A Imperator ut rescivit imperatricem missa legatione Orchanis societatem expetere, missis et ipse oratoribus id egit, ut ad se, non ad Byzantios auxilia mitteret. Qui legato Chatze eunucho fœdus cum Cantacuzeno iniit. Cumque non longe distaret, sed a Paphlagonia maritima usque in Phrygiam imperitaret, facile Cantacuzenus quoties indigebat Persarum manum accersebat, qui Romanas regiones infestabant plurimum; nam sæpius, imperatore etiam non rogante, trajicientes, quæ nondum se dediderant urbes, ut hostiles direptionibus affligebant. Tunc vero ab Orchanis exercitu habens subsidium, contra oppida ad oram Ponti sita profectus, omnia præter Sozopolim subegit. Cepit item oppidum in Derce palude, et castellum B quoddam non procul Byzantio, Empyriten vocabulo : deinde in provinciam rediit. Sub idem tempus Manuel junior filius ejus Berrhœæ manens, tale visum per somnum sibi oblatum scripsit. Videbatur sibi sedere super lectulo (47), patrem autem togam et tunicam purpura prætextas indutum, gestantemque a collo pendens monile sacerdotale aureum accedere, dextra lævaque stipatum duobus, quorum alter ignotus prophetæ Isaiæ volumen apertum tenebat; alter Lantzaretus gladium imperatoris manu portabat; et ipsum imperatorem ceram et sigillum, ambo rubra, porrigentem dicentemque : Signa. Cum signasset, vivum leonem in cera impressum apparere, dextro C pede stellam tenentem lucidissimam, et juxta armum aliam stellam modicam, velut insculptam habentem. Tum imperatorem dicere, Excita ipsum. Quod cum faceret, qui librum Isaiæ tenebat, hæc inde videbatur recitare, « Dominus dux ejus fuit ex Ægypto, ut gloriam unicornis ejus, ut comedat gentes inimicorum ejus, et jaculis eorum jaculabitur, et crassitiem eorum emedullabit. Recubuit et quievit ut leo, et ut catulus leonis, quis excitabit illum? Qui benedicunt tibi, sunt benedicti, et qui maledicunt, maledicti[1]. » **632** Hæc ille libro inscripta recitare videbatur. Imperator rursus filium signare jussit. Cum signasset, expressa est viva pardalis, altero pede chartam sustinens cum hac inscriptione : « Ecce fera altera ut pardus, et potestas ei data est[2]. » Cumque imperator ei qui librum tenebat præcepisset, ut feræ prophetiam D legeret, eadem legebat. Tertium signare jussit. Cumque signasset, felis etiam viva exivit, quæ

[1] Num. XXIV, 8, 9. [2] Dan VII, 6.

Jacobi Pontani notæ.

(47) De hoc somnio viderit lector quid sentiat, et quomodo verum sit, quod ait postea sic evenisse. Commista sunt autem verba Scripturæ sanctæ, et consarcinata aliquoties, ut nescias quid ex quo loco adducatur.

Digitized by Google Распознавание текста ABK/FR

lingua extra dentes ejecta, terram lambere videbatur. Quam cum filius in sublime extulisset, lingua felis extendi, et terram similiter circumlingere visa est. Tum qui librum ferebat, jussu imperatoris prophetiam legit : « Ecce fera altera, et dixerunt ei : Ascende, comede carnes multas[3]. » Posthæc imperator sigillum aliud viride filio dans, in ceram imprimere jussit, cumque impressisset, exivit viva ciconia, scyphum vitreum pede sustentans, in quo acetum inesse apparebat. Tenens autem librum legebat : « Dederunt in escam meam fel, et in siti mea potaverunt me aceto[4]. Videbunt in quem transfixerunt. » Adhuc jussus signavit, et hippocentaurus exivit, dextra manu hastam gestans. Qui autem vaticinia legebat : « Ecce, inquit, aliud animal præcellens, et validum vehementer[5]. » Ad extremum imperator : Benedictus Deus noster, ait, omni tempore, nunc et semper, et in sæcula sæculorum. Amen. Gloria tibi Domine, quia vivi adhuc vidimus vaticinia hæc evenisse (48). Videbatur porro mandare filio, ut occultaret animalia, quæ mox in cerea sigilla convertebantur : quæ manibus ut poterat occultans, cum patre, deposito monili sacro, exivit, et in eo articulo somno solutus est. Talis species filio imperatoris dormienti obtigit. Ad quem autem pertinuerit, usque hodie latet. Et hæc is secundum quietem se vidisse (*j*), ad patrem scripsit. Imperator paulum Didymotichi hærens, collectis omnibus quas habebat copiis Romanis, paucisque Persarum adjunctis, rursum in Byzantii fines irrupit, et ad portam Gyrolymnes bonam diei partem constitit. Ex urbe egressus est nemo ; verumtamen in mœnibus instructi visebantur, qui hostem accedentem repellerent. Magnus dux solus cum paucis exiens, pro portis stetit. Imperator, ut ipsum esse cognovit, caduceatores misit. Ille se cognitum intelligens, in urbem retro cessit, et qui missi fuerant, inanes reverterunt. **633** Imperator, quoniam advesperascebat, ad portam Cameli castra fecit ; postridieque exiguo numero secum in castris manente, major pars Romani Persæque prædatum discurrerunt. Et Romani quidem pecora et alia agebant ferebantque ; Persæ etiam homines captivos ducebant. Nec solum ipsis patientibus ea res acerbissimum lu-

A τῷ κατέχοντι τὸ βιβλίον τοῦ θηρίου τὴν προφητείαν λέγειν, τὰ ἴσα εἶπε. Βασιλεὺς δὲ καὶ τρίτον ἐκέλευε σφραγίσαι τῷ υἱῷ. Καὶ σφραγίσαντος, ἐξῆλθε γαλῆ ζῶσα καὶ αὐτή. Τὴν γλῶτταν δὲ τῶν ὀδόντων προβεβλημένη, ἐδόκει λείχειν τὴν γῆν· τοῦ βασιλέως δὲ υἱοῦ εἰς ὕψος αἴροντος, ἡ γλῶσσα τῆς γαλῆς μηκύνεσθαι ἐδόκει, καὶ τὴν γῆν ὡσαύτως περιλείχειν. Ὁ τὸ βιβλίον δὲ κατέχων, βασιλέως κελεύοντος, τὴν προφητείαν λέγειν· « Ἰδοὺ θηρίον, εἰπεῖν, ἕτερον, καὶ εἶπον αὐτῷ· Ἀνάβηθι, φάγε σάρκας πολλάς. » Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς, σφραγῖδα πράσινον ἑτέραν παρεῖχε τῷ υἱῷ, καὶ ἐκέλευε ταύτῃ σφραγίζειν τὸν κηρὸν, καὶ σφραγίσαντος, ἐξῆλθε πελαργὸς ζῶν, σκύφον ἔχων ὑέλινον τῷ ποδί. Ἐδόκει δὲ ὁ σκύφος ὄξος ἔχειν· ὁ τὸ βιβλίον δὲ κατέχων, εἶπεν· « Ἔδωκαν

B εἰς τὸ βρῶμα μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότησάν με ὄξος· ὄψονται εἰς ὃν ἐξεκέντησαν. » Αὖθις δὲ ὁ τοῦ βασιλέως υἱὸς ἐσφράγισε κελευσθείς· καὶ ἱπποκένταυρος ἐξῆλθε, τῇ δεξιᾷ χειρὶ δόρυ κατέχων. Ὁ δὲ τὰς προφητείας λέγων, « Ἰδοὺ καὶ ἕτερον θηρίον, εἶπεν, ἔχθαμβον καὶ περισσῶς ἰσχυρόν. » Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς, Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶπε, πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Δόξα σοι ὁ Θεὸς, ὅτι ζῶντες εἴδομεν τὰς προφητείας ἀποβάσας. Ἐδόκει δὲ κελεύειν τῷ υἱῷ συγκρύπτειν τὰ ζῶα. Τὰ δὲ εὐθὺς ἐδόκουν σφραγῖδες γεγενῆσθαι ἐκ κηροῦ, ἃς ὡς ἐνῆν συγκρύπτων

C ταῖς χερσὶ, μετὰ βασιλέως ἐξῄει τοῦ πατρὸς, τὸ ἱερατικὸν ἐπιτραχήλιον ἀποθεμένου· ἐν τούτοις δὲ τοῦ ὕπνου ἀποστῆναι. Τοιαῦτα μὲν ἡ ὄψις τῷ βασιλέως υἱῷ ἐδήλου. Περὶ οὗ δὲ ἦν, οὐδέπω μέχρι νῦν ἐγένετο φανερόν. Ταῦτα μὲν οὖν ὁ βασιλέως υἱὸς πρὸς τὸν πατέρα ἔγραφεν ἐωρακέναι κατὰ τοὺς ὕπνους. Βασιλεὺς δὲ ὀλίγον Διδυμοτείχῳ ἐνδιατρίψας, σύμπασαν Ῥωμαίων ὅσοι ὑπ' αὐτῷ ἦσαν στρατιὰν συναγαγὼν καὶ Περσικὴν ὀλίγην ἐπαγόμενος, ἐπεστράτευσεν αὖθις Βυζαντίῳ, καὶ πρὸς τὴν Γυρολίμνης λεγομένην πύλην ἐλθὼν, οὐκ ὀλίγον μέρος τῆς ἡμέρας διετέλεσεν· ἐκ Βυζαντίου δὲ οὐδεὶς

D ἐξῆλθε τῶν πυλῶν· ἀλλ' ἐπὶ τῶν τειχῶν ἦσαν παρατεταγμένοι, ὡς ἀμυνούμενοι ἂν ἐπίωσι. Δοὺξ δὲ ὁ μέγας μόνος ἅμα ὀλίγοις πρὸ τῶν πυλῶν ἔστη ἐξελθών. Γνωρίσας δὲ ὁ βασιλεὺς ὡς ἐκεῖνος εἴη, ἔπεμπε τοὺς διαλεξομένους. Ὁ δ' εἰσῄει πρὸς τὴν πόλιν αἰσθόμενος, ὡς ἐγνωρίσθη, καὶ οἱ πρὸς αὐτὸν ἐρχόμε-

[3] Dan. VII, 7. [4] Psal. LXVIII, 22. [5] Isa. XXVIII, 2.

Jacobi Pontani notæ.

(48) Infra mox dicit, *ad quem autem pertinuerit hoc somnium usque hodie latet.* Hæc pugnantia sunt.

Jacobi Gretseri notæ.

(*j*) Somniorum observationibus dediti fuerunt recentiores Græci, non modo intra, sed et ferme supra modum, obliti illius Ecclesiast. v : *Ubi multa sunt somnia, plurimæ sunt vanitates ;* et illius Ecclesiastici, cap. XXXIV : *Somnia extollunt imprudentes ; quasi qui apprehendit umbram, et persequitur ventum, sic et qui attendit ad insomnia. Multos errare fecerunt somnia, et exciderunt sperantes in illis.* Et totum somnium, quod hoc loco narrat Cantacuzenus, quid nisi somnium fuit? Sed an somniis habenda sit fides, deque causis verorum somniorum, et quibus signis dignosci queant somnia divina a non divinis, copiose docuit Benedictus Pererius noster libro secundo adversus fallaces et superstitiosas artes, quo lectorem remitto, ut de hoc Manuelis somnio judicium faciat.

Digitized by Google Распознавание текста ABK/FR

νοι ἀνέστρεφον. Βασιλεὺς δὲ ἐπεὶ περὶ δείλην ἡ ἡμέρα ἤδη ἦν, παρὰ τὴν τῆς Καμήλου καλουμένην γέφυραν ἐστρατοπεδεύσατο ἐλθών, καὶ εἰς τὴν ὑστεραίαν ὀλίγοι μὲν εἰς τὸ στρατόπεδον μετὰ βασιλέως ὑπελείποντο· τὸ πολὺ δὲ τῆς στρατιᾶς καὶ Ῥωμαίων, καὶ Περσῶν ἐτράποντο ἐπὶ λεηλασίας. Καὶ Ῥωμαῖοι μὲν βοσκήματα καὶ ἄλλην λείαν ἤλαυνον· τὸ Περσικὸν δὲ ἠνδραπόδιζον καὶ τοὺς ἀνθρώπους. Καὶ ἦν οὐ τοῖς πάσχουσι μόνον τὸ κακὸν ἀπαραμύθητον· ἀλλὰ καὶ βασιλεῖ, καὶ τοῖς συνοῦσιν ἅπασι Ῥωμαίοις ἔλεος δεινὸς εἰσῄει, τοιαῦτα τῶν ὁμοφύλων δυστυχούντων. Ἀναγκαίως δὲ τοῦ πολέμου εἴχοντο. Πράττειν γὰρ ἑτέρως οὐκ ἐνῆν, τῶν ἐν Βυζαντίῳ τὴν εἰρήνην οὐ παραδεχομένων.

A ctum afferebat, sed imperatori quoque, et Romanis universis magnæ miserationi erat, suæ gentis mortales his casibus oppressos aspicere. Sed cum Byzantini pacem aspernarentur, licentiam militarem in hostibus necessitas extorquebat, non voluntas.

CAPUT LXXXII.

Galatæ cupientes de auctore belli et causis cognoscere, legatos ad Cantacuzenum sciscitatum mittunt. Ii sunt duo monachi, quorum alter Annæ imperatricis cognatus. Respondens imperator rem a capite arcessit, et quam indigna perpessus sit docet. De Persis etiam advocatis se defendit, et adversarios eorum opem frustra implorasse docet. Quantum temporis in hoc colloquio consumptum fuerit.

Οἱ ἐν Γαλατᾷ δὲ τῷ φρουρίῳ ὄντες Λατῖνοι, ὁρῶντες μὲν τὴν ὑπὸ τοῦ ἐμφυλίου πολέμου τοῖς Ῥωμαίοις ἐγγινομένην ἀμύθητον φθορὰν, ἀγνοοῦντες δὲ εἰ μᾶλλον οἱ ἐν Βυζαντίῳ, ἢ Καντακουζηνὸς ὁ βασιλεὺς παρίσχεται τὰς αἰτίας τοῦ πολέμου, καὶ τοῖς μὲν ἐν Βυζαντίῳ συνόντες ὁσημέραι, καὶ πολλὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἀκούοντες κατηγορούντων, ὅτι βασιλεύειν ἐπιθυμήσας τοῖς βασιλέως ἐπιβουλεύσειε παισὶ, πατριάρχης δὲ μετὰ τῶν ἐπιλοίπων ἀντιστείη καὶ κωλύσειε μὴ τὸν παῖδα διαφθείρειν πολεμήσας, ἢ οὐδὲν ἂν ἐκεῖνον ἐκώλυε πάλαι διεφθάρθαι, Καντακουζηνοῦ δὲ τοῦ βασιλέως οὐ μόνον τὴν πρὸς βασιλέα τὸν Ἀνδρόνικον ἐννοοῦντες σύμπνοιαν, ἀλλὰ καὶ τὴν προσοῦσαν ἐπιείκειαν καὶ ἡμερότητα, καὶ τὸ πᾶσιν ἑαυτὸν παρέχεσθαι ἡδύν τε ἐν ὁμιλίαις καὶ φιλότιμον πρὸς τὰς εὐεργεσίας, καὶ τῆς εἰς αὐτὸν εὐνοίας τῶν φίλων μνημονευτικὸν, καὶ νομίζοντες, οὐκ ἂν οὕτω ῥᾳδίως περὶ βασιλέα τὸν φίλον ἠγνωμονηκέναι, πιστεύειν μὲν οὐκ εἶχον τοῖς αὐτοῦ κατηγοροῦσι τὰ τοιαῦτα, οὔτε μὴν παντάπασιν ἀπιστεῖν τοῖς θρυλλουμένοις οὕτως ὑπὸ πολλῶν. Διὰ δὴ ταῦτα περὶ πλείστου τιθέμενοι σαφές τι περὶ τοῦ παρὰ Ῥωμαίοις κεκινημένου πολέμου γνῶναι, δεῖν ἔγνωσαν, ἐπεὶ ἐγγὺς ἦν ἐστρατοπεδευμένος, πέμπειν πρὸς αὐτόν τινας, οἳ διαλεξόμενοι τὰς αἰτίας εἴσονται σαφῶς, ἐξ ὧν ὁ πόλεμος κεκίνητο. Καὶ πέμπουσι δύο τινὰς τῆς τῶν μενουρίων τάξεως μοναχοὺς, συνετοὺς μὲν καὶ ἄλλως, οὐ μὴν ἀλλὰ καὶ σοφίας τῆς παρὰ Ῥωμαίοις εἰς ἄκρον ἐληλακότας, καὶ τὰ Ἀριστοτέλους κάλλιστα ἐξησκημένους. Ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν ἐκ Σαβωΐας τῆς πατρῴας οἰκίας Ἄννῃ τῇ βασιλίδι, τῶν μενουρίων ἡγούμενος. Διὸ καὶ τότε πρὸς βασιλέα παρὰ τῶν ὁμοφύλων ἐπέμφθη, ἵν' ὡς μάλιστα τὰς αἰτίας ἐξετάσῃ τοῦ πολέμου, τῇ πρὸς βασιλίδα τὴν Ἄνναν οἰκειότητι οὐ μόνον βασιλεῖ μὴ χαριζόμενος, ἀλλὰ καὶ ἀντιλέγων καὶ ἀπελέγχων, ὅσα δυνατά. Ὁ δὲ λοιπὸς τῶν ἐξεταζομένων ἀκροατὴς ἐσόμενος μόνον ἦκεν· ἵνα μὴ ἐκεῖνος αὖθις χαριζόμενος ἑαυτῷ, ἀποκρύπτειν ἐθελήσῃ τάληθῆ. Ἐλθόντες δὲ εἰς τὸ στρατόπεδον, καὶ βασιλέα προσαγορεύσαντες, ἧκειν μὲν ἔφασαν καὶ ὁμιλίας ἕνεκα καὶ συντυχίας τῆς πρὸς αὐτὸν, οὕτως ἐγγὺς ἐστρατοπεδευμένου. Τὸ μάλιστα

B Verum enim vero in oppido Galata Latini, cum hoc civili bello Romanos incredibiles calamitates pertulisse cernerent, et ignorarent, magisne a Byzantinis, an a Cantacuzeno datum esset initium : et quotidiana cum illis commercia habentes, eos Cantacuzenum multis accusantes audirent (quod nimirum regnandi cupiditate liberis imperatoris insidiaretur : patriarcham cum cæteris obsistere, ne puerum bello victor occideret, alioqui pridem occisum fuisse), præterea cum Cantacuzeni non solum cum defuncto imperatore Andronico voluntatum studiorumque consensum, sed et mores placidissimos reputarent, et quomodo se omnibus in congressu suavem, ac benefaciendi cupidum, benevolentiæque amicorum erga se memorem præberet ; arbitrarentur etiam non tam facile C in imperatorem ingratum atque improbum reperiri potuisse : cum hæc, inquam, cogitarent, nec fidem accusatoribus adjungere, nec prorsus detrahere poterant, quod adeo a multis prædicarentur. Quocirca certum aliquid de belli causa et initiis cognoscere nimiopere cupientes, quandoquidem is prope castra haberet, quosdam eum percunctatum mittendos statuerunt, ut quod volebant, explorate discerent. Mittunt igitur duos Minorum instituti monachos, cæteroqui prudentes, et Latinis litteris excultissimos, **634** et in Aristotelea philosophia exercitatissimos. Horum unus erat Sabaudus, paterna cognatione Annæ imperatrici junctus, monachorum minorum antistes. Quapropter et tum D ab homophylis ad imperatorem missus est, ut originem belli accurate indagaret, et ratione propinquitatis cum imperatrice, non modo imperatori nihil concederet, sed etiam contradiceret, quantumque posset, eum refelleret. Alter tantum ut hujus indagationis auscultator ac testis veniebat, ne postea socius imperatori gratificatus, veritatem celaret. Ingressi igitur castra, se ejus conveniendi et alloquendi causa, quando tam prope tenderet, advenisse dixerunt. Potissimum autem idcirco venisse, quod diu jam bello hoc inter Romanos durante, et vastatis quotidie urbibus inter se dissidentibus, reliquaque regione a Romanis et barba-

Digitized by Google Распознавание текста ABK/FR

ris prædatoribus, qui pluribus et irreparabilibus eam detrimentis affecissent, multisque assidue captis et interemptis nullus adhuc malorum finis appareat : neque hoc saltem vere cognoscere liceat, unde bellum primum cœperit, et quas ob causas usque hodie sedari nequiverit, sed non secus quam furens flamma omnia pervadat et absumat. Et quanquam ex aliis multis aliter audierint, ut quisque aut bene aut male in imperatorem animatus est, tamen iis credendum non censuisse : qui, quomodo ipsi sensus et cogitationes suas mutant, sic etiam res mutari debere opinantur. Quare se rogare magnopere ut ipse memoret quo pacto singula se habuerint, qui ea præ omnibus certissimo norit, et veritatem occultare nolet, utpote ejusdem inde a puero, sicut acceperint. tenacissimus : idque eo minus, quod exstent plurimi qui vera subticentem possint redarguere. Imperator non de adventu tantummodo, sed etiam de petitione eos laudat, gratiasque magnas agit, affirmans pridem optasse tales sibi contingere, qui ad veritatem, non ad litem et altercationem audire vellent. Præter alia quippe mala quæ sibi bellum hoc inflixerit, et hoc molestum accidisse, quod nondum viros aliquos prudentes invenerit, qui justam de armis istis sententiam pronuntiarent. Nunc ipsis improviso advenientibus et rem exponi rogantibus, quos ipse nancisci votis summis optaverit, et qui insuper apud se non solum ob eruditionem atque prudentiam judicum munus fungi possint, sed ob id ipsum venerint, ut ex ejus ore veritatem de **635** hoc bello perciperent, libentissime omnia explicaturum, et petitionem hanc in memoria habiturum. Orabat simul, ne se reprehendere vererentur, si se aut pejerasse, aut injurium fuisse, aut imperatoris amici filiis insidias composuisse, aut bello commoto calamitates inexplicabiles invexisse deprehenderent. Exorsus igitur a principio, ordine singula recensuit, quam perfecte ipse et Andronicus inter se dilexissent : et quomodo eo mortuo non liberi solum, et conjux, et respublica tantæ sibi curæ fuerint, ut eorum causa non modo pecuniam, sed, si opus foret, vitam quoque impendere paratus esset : quomodo item præfecti cubiculi insidias immerito perpessus sit, qui ex invidia necem sibi parare quæsierit, ut ipse rerum principatum obtineret; quo etiam pacto commentis ac sycophantiis suis, imponendo sibi, quod nunquam cogitarat, patriarcham aliosque deceperit : qua ratione illi, quamvis se mentiri et calumniari scirent manifestissime, verbo pro imperatrice et filiis ejus, reipsa pro commodis suis (ut putabant) multa cum fallacia bellum concitarint : quamque improbi et inhumani cum in se, tum in matrem suam et propinquos exstiterint, injuriis eos insolenter, illiberaliter et nefarie exagitantes, et divitias suas per ultimas mundi gentes auditas, ad nullum operæ pretium temereque consumpserint : sed et amidè πεῖσαν εἶναι ἀφικέσθαι, ὅτι χρόνον ἤδη συχνὸν τοῦ πρὸς ἀλλήλους Ῥωμαίοις πολέμου τουτοὶ κεκινημένου, καὶ διαφθειρομένων ὁσημέραι τῶν πόλεων ὑπ' ἀλλήλων στασιαζόντων, καὶ τῆς ἄλλης χώρας ὑπὸ Ῥωμαίων καὶ βαρβάρων τῶν κατατρεχόντων, καὶ πλείστων καὶ ἀνηκέστων τελουμένων, καὶ πολλῶν καθ' ἡμέραν κτεινομένων καὶ ἐξανδραποδιζομένων, οὔτε λύσις τῶν κακῶν οὐδεμία ἐξευρίσκεται, οὐδ' αὐτὸ τοῦτο ἔξεστι τἀληθὲς μαθεῖν, ὅθεν τε ἤρξατο ὁ πόλεμος τὸ πρῶτον, κἀκ τίνων τῶν αἰτίων οὔπω μέχρι νῦν καταλυθῆναι ἠδυνήθη, ἀλλ' οὕτως ἔπεισι πάντα, ὥσπερ φλὸξ καταναλίσκων. Καίτοι γε ἀκηκοέναι ἐκ πολλῶν, ἄλλων ἄλλως ὡς ἕκαστος ἀπεχθείας ἢ εὐνοίας πρὸς ὑμᾶς τοὺς βασιλέας ἔχουσι διηγουμένων· οἷς οὐ δίκαιον πιστεύειν κεχρικέναι τοῖς σφετέροις αὐτῶν πάθεσι συμμεταβάλλεσθαι ἀξιοῦσι καὶ τὰ πράγματα. Διὸ καὶ δεῖσθαι μάλιστα αὐτοῦ αὐτὸν ἐξηγήσασθαι, ὡς ἔσχεν ἕκαστα σαφέστατά τε εἰδότα τῶν ἄλλων μᾶλλον, καὶ τἀληθὲς οὐ βουλησόμενον ἀποκρύπτειν, οἷα δὴ ἀληθείας τε ἐχόμενον, ὥσπερ ἀκούομεν ἐξαρχῆς, ἄλλως τε καὶ πολλῶν ὄντων τῶν δυνησομένων ἀπελέγχειν, ἂν φαίνηται μὴ λέγειν ἠρημένος τἀληθῆ. Βασιλεὺς δὲ, οὐ τοῦ παρ' αὐτὸν ἀφῖχθαι μόνον, ἀλλὰ καὶ τῆς αἰτήσεως ἐπῄνει, καὶ χάριτας οὐ τὰς τυχούσας ὡμολόγει. Πάλαι γὰρ ἔφασκεν ἐπιθυμεῖν τῶν πρὸς ἀλήθειαν, ἀλλ' οὐ πρὸς ἔριν καὶ φιλονεικίαν ἀκούειν βουλησομένων. Πρὸς γὰρ τοῖς ἄλλοις οἷς ἐπήνεγκεν ὁ πόλεμος αὐτῷ κακοῖς, καὶ τοῦτο τῶν ἐπαχθῶν ἡγεῖσθαι, τὸ μηδέποτε συνετῶν τινων ἀκροατῶν τυχεῖν οἳ δικάσουσιν αὐτῷ περὶ τοῦδε τοῦ πολέμου. Νυνὶ δὲ αὐτοῖς κατὰ τύχην ἀφιγμένοις, παρέχεσθαί τε δεομένοις, ὧν αὐτὸς τυχεῖν ἐν μεγίστης εὐχῆς ἦγε μέρει, ἄλλως τε καὶ δυναμένοις τόπον δικαστῶν κατέχειν παρ' αὐτῷ, οὐ μόνον διὰ τὴν σοφίαν καὶ τὴν σύνεσιν, ἀλλ' ὅτι καὶ ἐπ' αὐτῷ τούτῳ ἥκοιεν, ἵν' ἐκ τῶν λεγομένων τἀληθῆ περὶ τοῦ πολέμου γνοῖεν, ἥκιστά τε ἅπαντα αὐτὸν ἐκθήσεσθαι, καὶ χάριν εἰδήσειν τῆς αἰτήσεως. Ἐδεῖτό τε αὐτῶν μηδὲν ὑποστειλαμένους ἐξελέγχειν ἂν φαίνηται ἐπιορκῶν καὶ ἀδικῶν, καὶ ἢ τοῖς βασιλέως παισὶ τοῦ φίλου ἐπιβουλεύων, ἢ τοῦ πολέμου αἴτιος, καὶ τῆς Ῥωμαίων ἀμυθήτου φθορᾶς γεγενημένους. Ἀρξάμενός τε ἀπ' ἀρχῆς εὐθὺς διηγεῖτο ἕκαστα, τήν τε αὐτοῦ καὶ βασιλέως Ἀνδρονίκου εὔνοιαν καὶ φιλίαν πρὸς ἀλλήλους ἀκριβῆ, καὶ ὡς μετὰ τὴν ἐκείνου τελευτὴν, πολλὴν πρόνοιαν αὐτὸς ποιήσαιτο, οὐ τῶν βασιλέως μόνον παίδων καὶ γυναικὸς τῆς βασιλίδος, ἀλλὰ καὶ τῆς Ῥωμαίων ὠφελείας· οὐ χρήματα μόνον ἕτοιμος ὑπὲρ ἐκείνων ἀναλίσκειν ὤν, ἀλλὰ καὶ ζωὴν τὴν φίλην, εἰ καιρὸς καλοίη ῥᾷστα προησόμενος, ὅπως τε ὑπὸ παρακοιμωμένου ἐπιβουλευθείη οὐδεμιᾶς αἰτίας ἕνεκα, ἢ φθονήσαντος αὐτῷ καὶ φθείρειν διανοηθέντος, ἵν' αὐτὸς ἄρχῃ τῶν πραγμάτων· καὶ ὡς πατριάρχην καὶ τοὺς ἄλλου; ἐξαπατήσειε, ψεύδη πλασαμένους καὶ συκοφαντίας, ἃ οὐδὲ ἐνεθυμήθη, καὶ ὡς ἐκεῖνοι τῶν ἰδίων ἕνεκα, ὡς ᾤοντο διαφορῶν σαφέστατα εἰδότες, ὅτι ψεύδονται καὶ συκοφαντοῦσιν, ὑπὲρ βασιλίδος δῆθεν καὶ τῶν παίδων τὸν πόλεμον κινοῖεν πολλὰ ἐξα-

Digitized by Google Распознавание текста ABK/FR

πατήσαντες, καὶ οἷαν ἀγνωμοσύνην καὶ ἀπανθρωπίαν, οὐ περὶ αὐτὸν μόνον καὶ μητέρα καὶ τοὺς οἰκείους ἐπιδείξαιντο, ὕβρεσιν ἀτόποις, καὶ φαύλοις προσήκουσι καὶ ἀνελευθέροις χρησάμενοι ἀνθρώποις, καὶ τὸν οὐδ' ἐν ἐσχατιαῖς γῆς ἀγνοούμενον αὐτοῦ πλοῦτον, εἰς ἀξιόχρεων οὐδέν, ἀλλ' εἰκῇ καὶ μάτην διαφθείραντες, ἀλλὰ καὶ περὶ τοὺς φίλους, καὶ τοὺς ὁπωσδήποτε ἐπιτηδείους, καὶ ὅσους αὐτῶν ἀπέκτειναν, τοὺς δὲ ἐν δεσμωτηρίοις ἔχουσιν ἄχρι νῦν, μεγάλῃ δυσπραγίᾳ καὶ δεσμοῖς ἀφύκτοις προσταλαιπωροῦντας· καὶ ὡς κοινοὶ πολέμιοι φανεῖεν αὐτοῦ τε καὶ τῶν παρὰ Ῥωμαίοις ἀρίστων πάντων, οὐ μόνον ὅσον ἐν εὐγενέσιν ἦν, ἀλλὰ καὶ μονάζουσι, καὶ ἐπισκόποις, ἔτι δὲ καὶ στρατιώταις, καὶ τοῖς τῶν πολιτειῶν ἑκάστης πόλεως προέχουσιν. Ὧν δὴ πάντων ἔφασκεν αὐτοῦ διὰ τὴν περισχοῦσαν τοὺς Ῥωμαίους συμφορὰν ἀμνημονοῦντος, καὶ τιθεμένου παρ' οὐδέν, καὶ οὐχ ἅπαξ οὐδὲ δὶς καὶ τρίς, ἀλλὰ καὶ πολλάκις τοσαυτάκις, ἐξαρχῆς τε εὐθὺς καὶ μέχρι νῦν πρεσβείας ποιουμένου, καὶ δεομένου περὶ εἰρήνης, οὐ μόνον ἐπιεικὲς οὐδὲν ἀποκρίνασθαι ἐκείνους, ἀλλὰ τούς τε πρέσβεις αἰκίζεσθαι καὶ ἀτιμοῦν, καὶ δεσμοῖς κατέχειν, καὶ αὐτοῦ πολλὰς καταχέειν ὕβρεις, καὶ διὰ τοιούτων τὰς ἀπολογίας ποιεῖσθαι πρὸς τοὺς πρέσβεις, πάντα μᾶλλον ἀνεκτὰ ἡγουμένους, ἢ περὶ εἰρήνης διαλέγεσθαι, ἢ ἀκούειν. Τῆς τε βαρβαρικῆς πρὸς τοὺς ὁμοφύλους ἔφασκεν ἐπαγωγῆς οὐκ ἐκεῖνον ἦρχθαι, ἀλλ' αὐτοὺς, πρώτους ἐπ' αὐτὸν ἐπενεγκόντας· καὶ οὐ μόνον τούτου ἕνεκα, ἀλλὰ καὶ τρόποις ἑτέροις χρῆσθαι τοῖς βαρβάροις καταναγκάζοντας. Χρήματα γὰρ ἐκεῖνοι παρεχόμενοι, καὶ πόλεις προϊέμενοι, καὶ τὴν Ῥωμαίων ἡγεμονίαν μεγάλην καὶ θαυμασίων τινῶν ἀποστεροῦντες, οὐ Κράλην μόνον ἔπεισαν τὸν Τριβαλῶν δυνάστην, ἀλλὰ καὶ Ἀλέξανδρον τὸν βασιλέα Μυσῶν αὐτῷ πολεμίους εἶναι, ἕκαστον καθ' ἑαυτὸν ἀξιόχρεων πρὸς μάχην ὄντα σύμπασιν ὁμοῦ Ῥωμαίοις, ὑφ' ὧν πρὸς ἀνάγκην καὶ αὐτὸν συνελαυνόμενον, τῇ συμμαχίᾳ χρῆσθαι τῇ βαρβαρικῇ· ἄλλως τε σαφῶς εἰδότα, ὡς εἰ ἀπώσοιτο αὐτὸς, ἐκείνους χρησομένους ἐπ' αὐτόν. Οὐ γὰρ διὰ τὸ μὴ βούλεσθαι ἐκείνους μὴ χρῆσθαι τοῖς βαρβάροις, ἀλλὰ διὰ τὸ μὴ πείθειν δύνασθαι μᾶλλον ἐκείνῳ αἱρουμένους συμμαχεῖν. Οὕπω γὰρ χθὲς καὶ πρώην πρὸς Ὀρχάνην τὸν Πέρσην πρεσβείαν πεποιημένοι, ἐδέοντο σφίσι συμμαχεῖν, πολλὰ ἐπαγγελλόμενοι παρέξειν χρήματα. Τὸν δὲ μᾶλλον ἐλέσθαι τὸ ἐκείνῳ προῖκα συμμαχεῖν, ἢ πολλὰ παρ' ἐκείνων χρήματα λαμβάνειν. Οὐ μὴν ἀλλὰ καὶ πρότερον ὀλίγῳ τὸν Ἀσάνην Ἰσαάκιον τὸν πανυπερσέβαστον πρὸς Σουλιμᾶν τὸν Καρασῆ Φρυγίας σατράπην ἀφικέσθαι καὶ δεῖσθαι αὐτοῦ χρήματα πολλὰ λαβόντα συμμαχεῖν ἐπ' ἐκεῖνον· τὸν δὲ μηδὲ αὐτὸν πεπεῖσθαι. Καὶ αὖθις τὸν παρακοιμώμενον τῆς αὐτῆς ἕνεκα αἰτίας ἐπὶ τὸν αὐτὸν ἐλθεῖν· τὸν δὲ τοσοῦτον δεῆσαι πείθεσθαι αὐτῷ, ὥστ' οὐδὲ θέας γοῦν ψιλῆς ἠξιωκέναι. Ἐκείνη μὲν οὖν ἡ ἡμέρα καὶ οὐκ ὀλίγον τῆς νυκτὸς, καὶ ἡ ἐπιοῦσα ἡμέρα καὶ νὺξ ὁμοίως ἀνάλωτο ἐν τοῖς τοιούτοις, βασιλέως μὲν τὰ κατ' αὐτὸν διηγουμένου, καὶ ἀποδεικνύντος ἑαυτὸν, ἀνάγκῃ πρὸς τὸν πόλεμον φερόμενον, τῶν Λατίνων δὲ ἀντιλεγόντων ὑπ' ἐνίοις, καὶ ἃ οἱ ἐν Βυζαντίῳ ἐγκαλοῦσιν ἐπαγόντων, καὶ γυμναζόντων, ὡς μάλιστα τὸν λόγον, ἵνα τἀληθὲς μὴ διαδρᾶναι δυνηθείη.

A corum, et quoquo modo sibi deditorum quot occiderint, et quot usque nunc dirissime et vinculis insolubilibus maceratos in custodia detineant : et quomodo communes inimici fuerint, tum sui, tum optimatis cujusque Romani : nec solum nobilium, sed et monachorum, et episcoporum, et militum, et in quaque republica excellentium. Quæ omnia propter præsentes Romanorum miseras oblitus sit, ac pro nihilo putarit, pacemque non semel, aut iterum, ac tertio, sed sæpissime, mox a principio usque nunc per legatos petiverit. Illos non modo nihil æquitati consentaneum respondisse, verum legatos insuper verberibus pulsasse et ignominiose tractasse ; in se autem plaustris convitiorum invectos, isto potius modo ad legationem respondisse; B nihil non patiendum prius, quam de pace loquendum audiendumve arbitrantes. Quod autem barbaros adversus nationem suam induxisset, ita se tuebatur, non se cœpisse, illos adversum se prius induxisse, nec isto tantum, **636** sed et aliis modis barbarorum ope uti coegisse. Nam illos data pecunia, et urbibus propinatis, et Romano imperio ingentibus et admirandis quibusdam bonis spolio, non Cralem duntaxat Triballorum principem, sed et Alexandrum Mœsorum regem, utrumvis per se universis Romanis simul parem permovisse, ut sibi hostes fierent. Hinc se quoque coactum barbaricum invocare auxilium, cum præsertim sciret, illos adversum se eo usuros, si ipse uti noluisset. C Non enim nunc ideo barbarorum opera eos non uti quia nolint, sed quod iis Cantacuzeno militare malentibus, societatem persuadere nequeant. Recentissime enim ad Orchanem Persam legationem misisse, oravisseque suppetias, pecuniam prægrandem pollicentes. Verum ipsum sibi gratis, quam illis immani mercede socium esse præeligere. Neque istuc solum, quin et paulo ante Isaacium Asanem panhypersebastum ad Sulimanum Cerasæ Phrygiæ satrapam rogatum abiisse, ut accepto ingenti pretio sibi contra Cantacuzenum ferret subsidium. Nec hunc flexum esse. Ad quem præfectus cubiculi eadem de causa profectus sit, tantumque abfuisse, ut se exorari pateretur, ut ne in conspectum quidem illum admiserit. His sermonibus dies D illa, et plerumque noctis, cum luce ac nocte sequentibus consumpta sunt, imperatore quidem narrante probanteque se ad arma necessitate adactum : Latinis ad quædam occurrentibus, et quæ Byzantii in crimen vocarent, producentibus, deditaque opera facundioribus, ut liquidius veritas comperiretur.

Digitized by Google Распознавание текста ABK/FR

CAPUT LXXXIII.

A loco communi exordium Aregi monachi, non esse ferendam sententiam altera parte inaudita. Se imperatorem odisse prius ex auditis, postea factum amicissimum, ejusque laudes etiam in Italia prædicaturum. Quærit quid de pace cogitet. Imperator se ipsius amantem demonstrat. De adversariorum scelere conqueritur. Si imperatorem esse sinant et collegam imperatoris, quid facturus sit. Ejus amor erga commune mirificus. Qua conditione imperio cedere velit.

Hoc colloquio finito, minorum rector Aregus nomine, Æquum est, inquit, eum qui sibi vitam cum virtute conjunctam proposuit, cuique veritatis et justitiæ vel modica cura est, nunquam prius ullum condemnare, quam ejus ad objecta responsionem audierit. Et quidam de vetustis regibus aiebat, alteram aurem **837** reo integram servare oportere. Quod ego mortalibus in commune præceptum, et vitæ humanæ in primis conducibile opinor. Nam cum multa et pessimi exempli tibi objiciantur : quod nimirum admirabilis illius amicitiæ, quæ tibi cum imperatore fuit, oblitus, filiis ejus, a quibus nunquam violatus es, insidias feceris, et cum Romanum imperium privati habitu administrares, id tibi ad gloriam sufficere non putaris, nisi illis interemptis, totum ad te attraheres : quodque patriarcha, et aliis conatui tuo adversantibus, propter repulsam insanus et bellum hoc texueris, et barbaros in fines Romanos induxeris, et de pace ne audire quidem verbum sustinueris : sed quia non statim ab initio cedentes se tibi subjecerint, omnia evertere ac disperdere constitueris, et cædes servitutesque nihili pendas : his omnibus cognitis, tam hostili odio tui incensus sum, ut multorum servatorem, ac de republica bene meritum existimaturus, eidemque manum osculaturus fuerim, qui te jugulare potuisset : non solum propter cladem ac pestem tanto belli tempore Romanis importatam, cujus te primigeniam causam credebant, sed quod et ipse, cum Sabaudus sim, e paterno scilicet principatu imperatricis, ob communionem generis, ipsam et ejus liberos amo, eorumque infortuniis similiter doleo. Tametsi non ab amicis tantum, sed et infestissimis hostibus multas eximiasque laudes tuas audivi, cum et naturæ præstantiam, et honestarum rerum exercitationem, quibus Romanis universis longo intervallo anteires, in te extollerent. Quibus nihilominus ideo non sum assensus, quod utrosque, et illos ex amore, et istos ex odio mentiri existimarem. Est enim quando et hostes hostibus illustre præconium impertiunt, ut aut victi a magnis, aut victores magnorum beati ac felices habeantur (49). Nunc mihi prorsus contra contingit : nam et illis laudantibus non mediocriter succenseo, tam multa quæ in te sunt bona tacentibus, et mihi imperitiam temeritatemque ju-

Μετὰ δὲ παύσασθαι τῶν περὶ τούτων λόγων, ὁ τῶν μενουρίων ἡγούμενος Ἀρῆγος ὠνομασμένος, δίκαιον εἶπε τὸν ὀρθῶς βιοῦν προῃρημένον, καὶ ἀληθείας καὶ δικαιοσύνης καὶ ὀλίγου γοῦν πεποιημένον λόγον, μηδέποτε καταψηφίζεσθαι μηδενὸς, πρὶν ἂν αὐτοῦ περὶ τῶν κατηγορουμένων τὴν ἀπολογίαν ἐγγένηται ἀκούειν ποιουμένου. Καὶ ὃ τῶν παλαιῶν τις βασιλέων ἔφασκε, τὸ δεῖν τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν μάλιστα τῷ κατηγορουμένῳ διασώζειν, τοῦθ' ἡγεῖσθαι εἶναι κοινὸν παράγγελμα ἀνθρώποις τὰ μέγιστα λυσιτελοῦν κατὰ τὸν βίον. Ἐγὼ γάρ σου πολλὰ καὶ δεινὰ κατηγορούντων τινῶν ἀκηκοὼς, ὅτι τε τῆς θαυμαστῆς ἐκείνης βασιλέως πρὸς σὲ φιλίας ἀμνημονήσας, ἐπεβούλευσας μηδὲν ἀδικοῦσι τοῖς παισὶ, καὶ τὴν Ῥωμαίων ἄγων αὐτὸς ἡγεμονίαν ἐν ἰδιώτου σχήματι, οὐκ ἐνόμισας τὴν δόξαν ἐξαρκεῖν, εἰ μὴ ἐκείνους ἀποκτείνας τὸ κράτος ἅπαν περιστήσεις εἰς σεαυτὸν, καὶ ὡς πατριάρχου καὶ τῶν ἄλλων πρὸς τὴν ἐπιχείρησιν ἐναντίων γενομένων, ἐχμανεὶς πρὸς τὴν ἀποτυχίαν, τόν τε πόλεμον κεκίνηκας τουτονὶ καὶ τοὺς βαρβάρους ἐπήγαγες Ῥωμαίοις, καὶ τὴν εἰρήνην οὐδ' ἄχροις καταδέχῃ τοῖς ὠσὶν, ἀλλ' ὅτι μὴ εὐθὺς ἐξαρχῆς ὑπείξαν δουλωθέντες, πάντα ἀνατρέπειν καὶ διαφθείρειν ἔγνως, καὶ τῶν φόνων καὶ τῶν ἀνδραποδισμῶν οὐδένα ποιῇ λόγον, οὕτως ἐκπεπολέμωμαι καὶ αὐτὸς, καὶ πρὸς τοσοῦτον ἔχθος ἐξηγόμην, ὥσθ' ἡδέως ἂν εἴ τις ἀποσφάττειν ἠδυνήθη, τὴν χεῖρα κατεφίλουν, καὶ πολλῶν σωτῆρα καὶ εὐεργέτην ἂν ἐνόμιζον, οὐ μόνον διὰ τὴν γεγενημένην ὑπὸ τοῦ πολέμου φθορὰν ἐν τοσούτῳ χρόνῳ, καὶ τὴν μεγάλην κακοπραγίαν τῶν Ῥωμαίων ἧς αἰτιώτατον εἶναι ὑπελάμβανον, ἀλλ' ὅτι καὶ αὐτὸς ἐκ Σαβωΐας ὢν τῆς πατρῴας ἀρχῆς τῇ βασιλίδι, φίλτρον τι τρέφω πρὸς τοὺς ἐκείνης παῖδας διὰ τὴν ἐκ τοῦ γένους κοινωνίαν, καὶ πρὸς τὴν κακοπραγίαν καὶ αὐτὸς συνάχθομαι. Καίτοι γε οὐ παρὰ τῶν φίλων μόνον, ἀλλὰ καὶ τῶν μάλιστά σοι πολεμούντων, πολλοὺς καὶ θαυμασίους ἐπαίνους ἤκουον διεξιόντων, καὶ τήν τε φύσιν ὡς θαυμασίαν, καὶ τὴν ἄσκησιν ἐξαιρόντων τὴν πρὸς τὰ καλὰ, ὡς πολὺ τῷ μέσῳ τοὺς ἄλλους ὑπερβέβληκε Ῥωμαίους, οὓς οὐκ ἐνόμιζον προσέχειν δεῖν, τοῖς μὲν διὰ φιλίαν, τοῖς δὲ δι' ἔχθραν ἀμφοτέροις ψευδομένοις. Ἔστι γὰρ ὅτε καὶ αὐτοὶ οἱ πολεμοῦντες αὔξουσι τοὺς ἐγχωμίοις τοὺς ἐχθροὺς, ἵν' ἢ ἡττηθέντες ὑπὸ μεγάλων, ἢ νικήσαντες, μέγιστα δόξωσι κατορθωκέναι.

Jacobi Pontani notæ.

(49) Vicisse magnos cur audeat pariat, manifestum est cuilibet, sed victum esse a magnis cur honori est? Quia videntur ipsi non qualescunque fuisse, qui non a qualicunque aut potuerunt, aut debuerunt vinci atque occidi. Itaque putat Lauso gloriæ apud posteros fore Æneas lib. x. *Æneid.* quod ab Ænea interemptus sit :

Hos tamen infelix miseram solabere mortem :
Æneæ magni dextra cadis.

In quem versum lege quæ multa in symbolis nostris adduximus.

Digitized by Google Распознавание текста ABBYY FR

Νυνὶ δέ μοι φοὐναντίον ἅπαν περιέστη. Τοῖς τε γὰρ ἐγκωμιάζουσιν ἐκείνους οὐκ ὀλίγα μέμφομαι, ὡς τὸ πολὺ συγκρύπτουσι τῶν ἀγαθῶν, καὶ ἐμαυτῷ τῆς ἀκρισίας. Καὶ δὴ μεταβαλὼν ἀντὶ ἐχθροῦ καὶ κατηγόρου, τῶν τε μάλιστα γεγένημαι φιλούντων, καὶ πολλῶν καὶ θαυμασίων τῶν ἐπαίνων κρίνων ἄξιον, οὐ παρὰ Ῥωμαίοις διατρίβων, ἀλλὰ καὶ γενόμενος εἰς Ἰταλίαν, ὥσπερ μετ' ὀλίγον οἶομαι, τὴν προσοῦσαν μεγαλοφυΐαν, καὶ τὴν εὐγνωμοσύνην, καὶ τὴν ἐπιτηδειότητα πρὸς τὰ καλὰ κηρύξω πᾶσι φανερῶς. Περὶ μὲν οὖν τῶν κατὰ τὸν πόλεμον ἁπάντων ὡς εὐθὺς ἐξ ἀρχῆς ἄχρι νῦν εὐδεμίαν πρόφασιν αὐτὸς παρέσχες, ἀλλ' ἄκων ἐπὶ ταῦτα πρὸς τῶν πολεμούντων συνωθῇ, πέπεισμαί τε ἀκριβῶς, καὶ πρὸς ἄλλους ὑπὲρ σοῦ διαλεχθείην ἂν αὐτός. Ἐπεὶ δ' αὐτὸς ἐκέλευσας περὶ πάντων, ὧν ἂν θέλοιμεν πυνθάνεσθαί σου ἀδεῶς, τί περὶ τῆς εἰρήνης νῦν διανοῇ; ἆρ' ἐτοίμως ἔχεις πρὸς αὐτὴν, εἴ τινος ἐπιεικοῦς ἀπολογίας τύχοις, ἢ πρὸς τὴν ἐκείνων ἀγνωμοσύνην παντάπασιν ἀπέγνως πρὸς τὰς διαλύσεις καὶ αὐτός; Βασιλεὺς δὲ αὐτὸν τῆς τε παῤῥησίας ἐπαινέσας, καὶ τῆς περὶ τὰ πράγματα ἀδόλου διαίτης καὶ δικαίας, καὶ ἀντιφιλεῖν αὐτὸν καὶ αὐτὸς εἰπὼν διὰ τὴν προσοῦσαν σύνεσιν καὶ τὴν εὐφυΐαν τὴν πρὸς τὰ καλὰ, εἶτα ἀπεκρίνατο καὶ περὶ τῆς εἰρήνης, ὡς ἐπ' ἐκείνοις εἴη τοῖς πολεμοῦσι καὶ ἡ τοῦ πολέμου καὶ τῆς εἰρήνης αἵρεσις. Αὐτόν τε γὰρ συνθήσεσθαι ῥᾷστα πρὸς τὰς διαλύσεις ἂν ἐθέλωσιν ἐκεῖνοι, καὶ πολεμήσειν κατὰ δύναμιν, ἂν ἐκεῖνοι τὰ δίκαια μὴ θέλωσι ποιεῖν. Ἐκεῖνοι γὰρ πρότεροι πολέμου ἦρξαν διαβαλόντες καὶ συκοφαντήσαντες, καὶ τήν τε μητέρα ὀλίγου δεῖν ἀπέκτειναν αὐτοχειρίᾳ, ἐν δεσμωτηρίῳ νοσοῦσαν προνοίας ἀξιώσαντες μηδεμιᾶς, καὶ τὸν υἱὸν οὔπω δώδεκα ἔτη γεγονότα, καὶ μηδὲν αὐτοὺς ἠδικηκότα, διὰ τὴν πρὸς ἐμὲ ἀπέχθειαν, ὑπὸ δεσμοῖς κατέστησαν τοσοῦτον χρόνον, καὶ τοὺς φίλους ἅπαντας διέφθειραν καὶ τοὺς οἰκείους· καὶ οὐδὲν ἀπέλιπον παροινίας οὐδὲ ὕβρεως. Ἐῶ γὰρ λέγειν τὴν τοσούτου πλούτου διαρπαγὴν ἐμοῦ τε καὶ τῶν συγγενῶν, οὓς ἔδει τοσαύτην κακίαν συνειδότας ἑαυτοῖς, καὶ ὡς τῆς ἀμυθήτου φθορᾶς Ῥωμαίων αἰτιώτατοι γεγένηνται, ἔλεον τῶν ὁσημέραι διὰ τὴν αὐτῶν κακίαν καὶ μοχθηρίαν λαβόντας κτεινομένων, πρώτους τῇ εἰρήνῃ προσδραμεῖν, καὶ τὸν πόλεμον σπουδάζειν καταλύειν. Ἐπεὶ δ' ἐκείνοις οὐδενὸς ἑτέρου μέλει, ἢ τοῦ τῶν πραγμάτων μόνων ἀρχὴν ἄν τινα περιλειφθῶσι, τῶν δ' ἀρχομένων οὐδεμίαν πρόνοιαν ποιοῦνται, ὥσπερ ἐξαρχῆς αὐτὸς ὑπὲρ τῆς κοινῆς σωτηρίας πάντα ἐπραγματευόμην, οὕτω καὶ νῦν ἃ πᾶσι μέλλει κοινῇ συνοίσειν πάντα ἐρῶ. Ἐξέσται δὲ αὐτοῖς, ἢ αἱρεῖσθαι τὰ βελτίω ἂν πρόνοιάν τινα ποιῶνται τοῦ κοινοῦ, ἢ τὸν πόλεμον ἀσπάζεσθαι ἂν τῶν ἄλλων πάντων ἃ νομίζουσιν αὐτοῖς ἰδίᾳ διαφέρειν προτιμῶσι. Φημὶ τοίνυν, ὡς ἐὰν μὲν ἐθελήσωσι βασιλέα δέχεσθαι, καὶ τοῖς παισὶ συνάρχοντα βασιλέως, οὐδ' αὐτὸν πολυπραγμονήσειν μηδὲν περὶ τῶν κατὰ τὸν πόλεμον γεγενημένων· ἀλλ' ἀμνηστίαν τε αὐτοῖς παρέξειν τῶν κακῶν, καὶ τῶν ἡρπασμένων μηδενὸς ἀπαιτήσειν, ἂν τε τῶν οἰκείων ὦσιν ἢ τῶν φίλων,

dicii exprobro. Et jam immutatus, ex inimico et accusatore evasi amicissimus, teque præclaris dignum laudibus judico : nec solum quandiu apud Romanos sum, sed in Italia quoque, quo brevi me profecturum opinor, altitudinem et æquitatem animi tui, et ad res egregias naturam idoneam apud omnes palam deprædicabo. Quod igitur ad bellum attinet, a principio hucusque nullam penitus causam ipse præbuisti, **638** sed invitus ab hostibus ad arma compulsus es; quod mihi plane persuadeo, et id apud alios pro te confiteri non dubitabo. Quia vero de omnibus quæ vellemus libere interrogari te jussisti, quis est, quæso, tuus nunc de pace sensus? an si illi æquum respondeant, prompte eam coles? an eorum improbitas facit, ut pacificationis spem omnem repudies? Imperator libertatem viri, integrumque ac verum de rebus judicium laudans, et se propter prudentiam et ingenium ad virtutem natum redamare illum testificans, respondet, belli et pacis electionem in arbitrio bellantium consistere. Nam se quidem facillime ad compositionem consensurum, si ipsis libeat, et pugnaturum pro viribus, si iidem jus fasque contempserint. Ipsos quippe, calumniis et mendaciis indulgentes, bellum orsos, matremque suam in carcere ægrotantem nulla cura dignatos, tantum non suamet manu occidisse : et filium duodennem, qui nihil in eos peccaverat, odio patris tandiu in vinculis retinuisse : et amicos ac propinquos omnes sustulisse, quamque potuerint, petulantissime et contumeliosissime se gessisse. Taceo enim, inquit, tantarum opum, et mearum, et cognatorum direptionem. Quos oportebat tantorum scelerum conscientia stimulatos, et Romanos ob calamitates incredibiles, eorum opera illatas (propter quorum nequitiam et improbitatem quot die trucidantur), miseratos, primos pacem amplecti, et studere bellum disjicere. Quoniam autem aliud non cogitant, quam ut soli rerum dominentur (si modo aliquid rerum relictum est), subditosque nullo loco ducunt, ego quemadmodum inde a primordio ad communem salutem omne meum studium laboremque contuli : sic et nunc quæ omnibus profutura sint, omnia edicam. E quibus licebit illis aut meliora eligere, si universitati consultum velint, aut bellum accipere, si id privatis utilitatibus suis omnibus anteponendum sentiunt. Aio itaque, si voluerint me imperatorem et filiorum defuncti collegam pati, non sollicite inquisiturum in ea, quæ bello præterito commissa sunt, sed injurias oblivione sempiterna deleturum, et spoliis suis ac præda nullum privaturum, sive ea familiarium, sive amicorum, sive cognatorum fuerit; neque ablaturum, quæ ipsis bello ardente Augusta donaverit, vel honores, si præter dignitatem ac meritum collati videantur, vel possessiones, **639** sive illæ publicæ erant, sive ad me privatim pertinebant : verum æqui bonique facturum omnia, neque unquam cum eorum damno bellicas offensiones vindicaturum. Quodsi hoc nec justum nec feren-

Digitized by Google Распознавание текста ABK/FR

dum censuerint, totum negotium judicio permissurum. Judicibus autem aliis non utar, nisi ipsa imperatrice, patriarcha, monachis et delectis episcopis, et Romanis, si qui supersunt, optimatibus : imo vero etiam cujuscunque reipublicæ viris prudentioribus Et si quidem iniquus, perjurus et insidiator comperiar, quod isti dictitant, sceleribus meis non aliud supplicium, quam mortem ingloriam et infamem irrogari volo. Si hanc damnationem aversantur, crudele ducentes, in hominem sententiam capitalem ferre : at ego ipse ante judicium atrum adversus me calculum dabo, ut ipsi, postquam convictus fuero, supplicii hujus reprehensione vacent. Sin autem potius alia omnia constiterint, non me simpliciter ac temere affirmante, sed dicta mea evidentibus testimoniis confirmante, non quidem petitis a mearum partium studiosis (ne mihi gratificari existimentur), verum ab illis, quos ipsi toto bello adjutores habuerunt, imo vero ab ipsa imperatrice et patriarcha, qui cum pluribus mihi testes erunt (non enim negare poterunt, quæ mihi perspicue commandaverint), justitiæ consentaneum erit, ut qui criminationibus et insidiis nefarie me appetiverunt, easdem pœnas suscipiant. Verumtamen ego quemadmodum in aliis, sic in his desiderio quodam gloriæ me quidem causa cadentem morte multandum pronuntio : sin ipsi litem perdiderint, nihil eos molestum pati postulo, nisi hoc unum, ut sycophantæ et criminatores cognoscantur, et me absolutum, imperatorem, filiorumque defuncti collegam a Romanis palam proclamari. Sin autem vel cum veste imperatoria ad judicium occursurum metuunt, vel cum exercitu Byzantium ingressurum suspicantur, ego illos hoc angore liberabo. Nam positis insignibus imperatoriis, ornatu privati, denis duntaxat comitibus intrabo. Communis enim boni causa, et ut Romanos, qui mihi sunt charissimi, a belli detrimentis vindicem (quanquam sycophantæ isti et hic obtrectent, dicantque me ipsorum hostem et perditorem esse), non talia modo, sed longe etiam odiosiora alacriter decrevi sustinere : præsertim cum id celebritati meæ nec tantillum nociturum sit. **640** Si enim judicio victus occidar, nulla ad me ex imperatorio schemate redibit utilitas. Sin accusatores pessum dedero, nihil triste erit, cum ad breve tempus deposuisse, quem mox majore cum honore, et applausu, omniumque suffragiis recepturus sim. Neque enim noctibus singulis, quando cubitum concedo, ex ejus depositione aut tristitiam aut dedecus aliquod sentio. Idcirco nec modo super amictu plura loquar, paratus facere quod illis placuerit. Quod si semel invidia et odio mei præpediti, horum nihil putant sufficere, neque ulla sponsione conditioneve me imperatorem esse sinunt, sed semel statuerunt me rejicere, perdereque omnia, quam mihi subesse malunt : etsi ita insanientes contemnere oportebat, tamen ne communem salutem studio vitæ meæ servandæ neglexisse videar,

A ἢ τῶν συγγενῶν. Ἔτι τε οὐδ' ὧν αὐτοῖς ἡ βασιλὶς παρέσχετο κατὰ τὸν τοῦ πολέμου χρόνον, οὔτε τῶν τιμῶν ἂν δοκῶσι παρ' ἀξίαν, οὔτε τῶν κτήσεων, εἴτε ἐκ τῶν δημοσίων ἦσαν, ἢ τῶν ἐμοὶ προσηκουσῶν· ἀλλὰ πάντα στέργειν, καὶ μηδεμίαν αὐτοῖς μηδέποτε βλάβην ἐπάγειν, ἀμυνόμενον τῶν κατὰ τὸν πόλεμον κακῶν. Εἰ δὲ τοῦτ' αὐτοῖς μήτε δίκαιον εἶναι φαίνεται, μήτε ἀνεκτὸν, πάντα ἐπιτρέψομεν τῇ δίκῃ. Χρήσομαι δὲ οὐχ ἑτέροις δικασταῖς τισιν, ἀλλ' αὐτῇ βασιλίδι καὶ πατριάρχῃ, καὶ τῶν τε μοναχῶν καὶ ἐπισκόπων τοῖς λογάσι, καὶ τῶν Ῥωμαίων, εἴ τινες ἔτι κατελείφθησαν, τοῖς ἀρίστοις, οὐ μὴν ἀλλὰ καὶ τῶν ἑκασταχοῦ πολιτειῶν τοῖς συνετωτέροις. Κἂν μὲν αὐτὸς ἀδικῶν καὶ ἐπιορκῶν,
B καὶ βασιλέως τοῖς παισὶ φαίνωμαι ἐπιβουλεύων, ὥσπερ οὗτοι κατηγόρησαν, μηδεμίαν ἄλλην εἶναι τῆς ἀδικίας τιμωρίαν, ἢ θάνατον ἄτιμον καὶ ἀκλεᾶ. Εἰ δ' αὐτοὶ τὴν τοιαύτην καταδίκην παραιτοῦνται, ἀπηνὲς εἶναι νομίζοντες ἀνθρώπου θάνατον καταψηφίζεσθαι, ἀλλ' αὐτὸς κατ' ἐμαυτοῦ καὶ πρὶν γενέσθαι τὴν δίκην, κυρώσω τὴν ψῆφον, ἵν' αὐτοὶ μετὰ τὸ τοῖς ἀδικήμασιν ἁλῶναι, μηδεμίαν περὶ τῆς τιμωρίας μέμψιν ἔχωσιν. Ἂν δ' αὐτοὶ τἀναντία πάντα φαίνωνται, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλὰ τῶν λεγομένων μαρτυρίας ἐναργεῖς ἐμοῦ παράγοντος, οὐ παρὰ τῶν ᾑρημένων τὰ ἡμέτερα, ἵνα μὴ χαρίζεσθαι ἐμοὶ δοκῶσιν, ἀλλ' οἷς αὐτοὶ συνεργοῖς παρὰ πάντα τὸν πόλεμον ἐχρῶντο, μᾶλλον δὲ αὐτῆς βασιλίδος καὶ πατριάρχου τοῖς πλείοσιν ἐμοὶ συμμαρτυρούντων.
C Οὐ γὰρ ἂν δύναιντο ἔξαρνοι γίνεσθαι πρὸς ἃ ἐμοὶ συνίσασι σαφῶς, δίκαιον μὲν τοὺς σεσυκοφαντηκότας καὶ ἐπιβουλεύσαντας ἀδίκως, καὶ τοσούτων κακῶν αἰτίους Ῥωμαίοις γενομένους, τὰ ἴσα πάσχειν ἂν ἡττῶνται. Ἐγὼ δὲ ὥσπερ ἐν τοῖς ἄλλοις κἀν τούτοις φιλοτιμίαν τινὰ ἐπιδεικνύμενος, ἐμὲ μὲν ἡττώμενον τιμῶμαι ἀποθνήσκειν· ἂν δ' αὐτοὶ ἁλίσκωνται, μηδὲν ὑπομένειν ἀηδές· ἀλλ' αὐτὸ τοῦτο μόνον συκοφάνταις ἀποδείκνυσθαι, ἐμὲ δὲ μετὰ τὴν νίκην, βασιλέα κοινῇ ἀνακηρύττεσθαι ὑπὸ Ῥωμαίων, καὶ συνάρχοντα βασιλέως τοῖς παισίν. Εἰ δὲ τὸ βασιλικὴν ἐσθῆτα ἔχοντα δεδοίκασι πρὸς τὴν δίκην ἁπαντᾷν, ἢ τὸ στρατιὰν ἔχοντα ὑποπτεύουσιν εἰς Βυζάντιον ἐλθεῖν, ἐγὼ καὶ ταύτας ἰάσομαι τὰς ἀπορίας. Οὐ πλείους γὰρ ἔχων εἰσελεύσομαι τῶν δέκα,
D τά τε βασιλικὰ ἐπίσημα ἀποθέμενος, ἰδιωτικὴν μεταμφιάσομαι σκευήν. Τοῦ κοινῇ γὰρ ἕνεκα λυσιτελοῦντος, καὶ τοῦ Ῥωμαίους τῶν ἐκ τοῦ πολέμου δεινῶν ἀπαλλαγῆναι, οὓς ἐγὼ μάλιστα φιλῶ, κἂν οἱ συκοφάνται οὗτοι καὶ πρὸς τοῦτο διαβάλλουσι, μισεῖν φάσκοντες καὶ πολεμεῖν αὐτοῖς καὶ διαφθείρειν, οὐ μόνον τοιαῦτα καὶ ἐπαχθέστερα δὲ πολλῷ πρόθυμος ὑπομένειν ἔγνωκα· ἄλλως θ' ὅτι οὐδὲ πρὸς τὴν εὐδοξίαν ἐμοὶ τοῦτο οὐδ' ὀλίγα λυμανεῖται. Ἂν μὲν γὰρ ἡττώμενος ἀποθνήσκω, οὐδεμία ὄνησις ἐκ τοῦ βασιλικὴν ἐσθῆτα ἔχειν περιέσται· ἂν δὲ τῶν κατηγορούντων κρείττων φαίνωμαι, οὐδὲν λυπήσει τὸ ἀποθέσθαι πρὸς βραχὺ, μέλλοντα ὀλίγῳ ὕστερον αὖθις ἀναλαμβάνειν μετὰ πλείονος τῆς δόξης, καὶ τῆς εὐφημίας, καὶ τῆς ψήφου τῆς κοινῆς. Οὐδὲ γὰρ οὐδὲ

Digitized by Google Распознавание текста ABK/FR

νυκτὸς ἑκάστης ἀποτιθέμενος ἐπὶ τῷ κατακλίνεσθαι, οὔτ' ἀνίας οὔτε ἀδοξίας αἰσθάνομαί τινος. Διόπερ οὐδὲ νῦν περὶ τῆς σκευῆς μακρὸν ποιήσομαι τὸν λόγον· ἀλλ' ὡς ἂν αὐτοῖς ἀρέσκῃ πράττειν ἕτοιμος ἐγώ. Εἰ δὲ καθάπαξ ἁλόντες τῷ φθόνῳ καὶ τῷ ἔχθει τῷ πρὸς ἐμὲ, τούτων μὲν οὐδὲν ἡγοῦνται ἐξαρκεῖν, οὐδὲ ἐπ' οὐδεμιᾷ προκλήσει βασιλέα δέχονται, ἀλλὰ καθάπαξ ἀπεγνώκασι πρὸς τοῦτο, καὶ πάντων μᾶλλον ἀπώλειαν καταψηφίζεσθαι αἱροῦνται, ἢ ἐμοὶ δουλεύειν ὑπομένειν, ἐκείνων μὲν οὐδένα λόγον ἐχρῆν ποιεῖσθαι οὕτω μαινομένων. Τῆς δὲ κοινῆς τῶν ἄλλων σωτηρίας ἕνεκα, ἵνα μὴ δοκῶ καταπροΐεσθαι φιλοψυχῶν αὐτὸς, ἑκοντὶ αἱροῦμαι ἀποθνήσκειν. Οὐδὲ γὰρ ἀποδέει τούτου τὸ τὴν ἀρχὴν ἀποθέμενον δσην ἔχω, καὶ τὰς πόλεις παραδόντα καὶ τὴν στρατιὰν, αὐτὸν ἐν ἰδιώτου σχήματι ἀφανείᾳ πολλῇ συζῆν ἐν γωνίᾳ παραδύσαντά τινι. Πλὴν οὐχ ἁπλῶς καὶ τοῦτο, οὐδὲ λόγου τοῦ προσήκοντος ἐκτὸς, ὡς δοκεῖν τοῖς τε Ῥωμαίοις, καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ βαρβάροις, ὅτι ἀδικῶν καὶ ἐπιορκῶν, καὶ μὴ δυνάμενος ἀντέχειν πρὸς τὸν πόλεμον, δείσας παρεχώρησα τῆς ἀρχῆς αὐτοῖς, τὸ ζῆν ἀκλεῶς τῆς μετ' εὐκλείας προτιμήσας τελευτῆς· ἀλλὰ πρῶτον μὲν ψήφισμα βούλομαι γενέσθαι καὶ πρόγραμμα κοινὸν τῆς τε Ἐκκλησίας καὶ συγκλήτου, καὶ συμπάντων κοινῇ Ῥωμαίων, ὡς οὐκ ἀδικῶν οὐδὲ ἐπιορκῶν, οὐδὲ κακὸς περὶ τοὺς βασιλέως τοῦ φίλου παῖδας ἐλεγχθεὶς, ἀλλὰ τοῦ κοινῇ τῆς σωτηρίας ἕνεκα ἀπέστην τῆς ἀρχῆς, καὶ τοῦ λελύσθαι τοὺς ἐμφυλίους ὑφ' ὧν διαφθείρονται πολέμους. Ἔπειτα τοὺς ἐν δεσμωτηρίοις πάντας διὰ τὴν εἰς ἐμὲ κατεχομένους εὔνοιαν ἀφεῖναι τῶν δεσμῶν, καὶ τὴν οὐσίαν ἀποδοῦναι δσης ἀπεστέρησαν, καὶ πρὸς τοὺς παῖδας τῶν ἀποθανόντων ποιεῖν ὁμοίως. Ἄτοπον γὰρ τῶν μὲν συμφορῶν καὶ τῶν δυστυχημάτων αἴτιον αὐτοῖς ὀφθῆναι, πρὸς δὲ τὸ πρὸς τὴν ἀρχαίαν μηδὲν φροντίσαι, τύχην ἐπανελθεῖν. Πρὸς τούτοις δὲ καὶ τοῖς συνοῦσι, καὶ συγκλητικοῖς καὶ στρατιώταις, καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν ἐμοὶ καθ' αἷμα, πρῶτον μὲν πίστεις δι' ὅρκων δοῦναι, ὡς οὐδὲν κακώσουσιν, ἀμυνόμενοι τῆς εἰς ἐμὲ εὐνοίας. Ἔπειτα δὲ καὶ τούτοις ἀποδοῦναι ἃ ἁφῄρηνται καὶ χρήματα καὶ κτήσεις· πρὸς τούτοις δὲ καὶ προνοίας ἕκαστον ἀξιῶσαι πρὸς ἀξίαν. Εἰ μὲν γὰρ ἔμελλον εἶναι βασιλεὺς αὐτὸς, ἀξίως ἂν τῶν πόνων ἠμειψάμην, καὶ οὐκ ἂν ἐκείνων ἐδεήθην προνοεῖν αὐτῶν· ἐπεὶ δ' ἐκὼν εἶναι παραιτοῦμαι, δίκαιον αὐτοὺς ἐν ἀσφαλείᾳ τε ὁμοῦ καὶ εὐπορίᾳ τῶν πρὸς τὸν βίον ἀπολιπεῖν· κἂν ταῦτα γένηται ὥσπερ ἀξιῶ, τὴν βασιλείαν ἀποθέμενος αὐτὸς, καὶ τὴν ἀρχὴν, καὶ τὰς πόλεις παραδοὺς, ἢ πρὸς Ἄθῳ τῷ ἱερῷ, ἢ πρὸς ἑτέρῳ μέρει τῆς Ῥωμαίων γῆς· οὐ γὰρ αἱροῦμαι ὑπερόριος εἶναι ἐφ' ἑτέρας· ἀφανείᾳ συζήσω τὸν πάντα βίον κατ' ἐμαυτὸν διάγων, ὅπως ἂν οἷός τε ὦ.

A mortem ultro eligo; nihilo enim minus est quam mori, deposito imperio quantum ego habeo, et urbibus exercituque traditis, privato habitu obscurum plane et in angulum quempiam se compingentem vivere. Cæterum non istuc absolute, ac præter rationem, ut scilicet a Romanis, et Græcis, ac barbaris tanquam injurius, ac perjurus, belloque impotens, imperium reliquisse, et vitam inhonoram gloriosæ morti antetulisse existimer: sed primum quidem decretum fieri postulo, tabulasque proponi publicas, Ecclesiæ, senatus, Romanorumque omnium nomine, non me ut improbum, neque perjurum, neque insidiatorem imperatoris, amici mei, liberorum, sed ut bellum civile communi saluti tam pernitiosum tolleretur, abdicasse. Deinde B omnes, qui quod mihi favent, carcere detinentur, dimitti, et ablatas facultates ipsis eorumque liberis restitui. Absurdum enim, cum te illis miseriarum et incommodorum causam inficiari nequeas, quo pristinum statum recuperent, nihil laborare. Præterea iis qui mecum sunt et illustribus, et militibus, et aliis consanguineis meis juramento fidem dari, propter studium in me nihil adversum perpessuros: atque etiam his et pecunias et possessiones ereptas reddi. Aut hæc quemque pro dignitate curari. Si enim imperator fierem, ipse eos pro eo ac mererentur munerarem, nec eorum curam haberi peterem. **641** Quia vero de jure meo sponte decedo, eos securos, cum abundanti rerum ad vitam degendam necessariarum subsidio, relinquere justum est. Hæc si fiant (et ea fieri æquum C judico), imperio et administratione depositis, et civitatibus restitutis, aut ad sanctum montem Atho, aut ad aliam partem Romani soli (nolo enim in peregrina terra exsulare), quod reliquum est annorum meorum, obscurus et ignotus, mihi soli, quantum potero, vivens traducam.

CAPUT LXXXIV.

Orationem imperatoris laudat Aregus, responsumque accipit, Byzantium dicta renuntianda. Ejus precibus imperator cum exercitu recedit. Aregus Byzantii litteras reddit, de pace principes appellat. Apocauchus arma Byzantiis et preces indicit, se cum Cantacuzeno congressurum simulat, re infecta in urbem redit. Oppida quædam capit imperator. Præsidiariorum excursiones. Epistola Apocauchi et patriarchæ ad Cantacuzenum, de abdicatione et servando promisso. Aregus monachus Græci sermonis ignarus deluditur. Imperator epistolam quam ferebat ei interpretatur: ille stomachatur. Imperator quoque in illos ut mendaces et sycophantas invehitur, cælestemque illis vindictam minatur.

Τοιαῦτα μὲν βασιλεὺς πρὸς τὸν Ἀρῆγον διειλέχθη περὶ τῆς εἰρήνης. Ἐκεῖνος δὲ μέχρι πολλοῦ κάτω νεύων, ἐθαύμαζε σιγῇ τὴν καλοκαγαθίαν βασιλέως, καὶ ὥσπερ ἐξεπέπληκτο πρὸς τὸ μέγεθος τῶν εἰρημένων. Ἔπειτα ἀνενεγκών, Ὡς μὲν οὐδὲν ἐνέλιπες,

D Hæc imperator Arego de pace sciscitanti. Ille diu terram intuens, tacitusque integritatem ejus admirans, tam singulari oratione velut attonitus, sic deinde ora resolvit: Quam nulla pars neque humanitatis, neque justitiæ sermoni huic tuo defuit,

Digitized by Google Распознавание текста ABKFR

adeo, ut nec impudentissimus quidquam possit carpere! Quæ autem de pace disseruisti, scire aveo, nobisne tantum ut amicis dixeris, an etiam ad aures Byzantiorum perferri velis, si forte et illos utile consilium suscipere, et tantis populi Romani calamitatibus finem imponere contingat. Imperator dicta ab se Constantinopolim renuntiari in rem fore censet; quæ ut ad fidem plus ponderis habeant, litteris quoque comprehendi mandat, quibus rubrica subscribit, et sigillum aureum, pro argumento, se ibi scripta constanter sineque ulla dubitatione servaturum, appendi jubet. Aregus instrumentum manu tenens, et amplas imperatori, ut maximo beneficio ornatus, gratias agens, jamque abituriens, ut abducat exercitum rogat: pacem enim ad deliberationem non paucos dies requirere, et militem non posse quiescere, sed omnia interea incursionibus vastaturum. Quod si ipse responsionem opperiens illic sedeat, periculum fore, ne pace confecta, nihil eorum restet, quorum gratia pacem fieri concupiverit. Imperator et hoc et si quid **642** etiam majus peteret, prompte facturum recepit, et tertio post die collecto in unum milite (erat enim ad prædas agendas dispersus), castra moturum. Sic Aregus ei valedicens, cum litteris discessit, quas in palatio patriarchæ magnoque duci reddidit: ac de pace eos allocutus, monuit, imperatori et Romanis iniquissimos fore, nisi una aliqua conditione ad compositionem moverentur. Verum illi hominem dextre submovent, paulo post ad legationem ejus responsuros autumantes. Magnus dux intelligens ex Arego, imperatorem luce tertia abducturum copias, Byzantinis promiscue bellum in Cantacuzenum denuntiat, ipseque se comparat, et exercitum conscribit. Omnibus autem sacris domibus et monasteriis, omnique generi et gradui sacerdotum preces ad divinum Numen cum perfido desertore conflicturis placandum indicit. Et ille quidem diem illum et insequentem totum se comparando consumpsit. Tertio die, hora prandii, ut a speculatoribus imperatorem desperabundum discedere audivit (stabat enim promissis), portis reclusis, cum effrenato ac temerario impetu se effundens, equitatum ac peditatum ante muros disponit. Ubi speculatores quos ad speculandum miserat reversi, diluculo illos ultra abiisse retulerunt, se frustratum doluit, valdeque ob tarditatem et moram se incusans, et incredibiliter indignans, patriarchæ significat, Cantacuzenum, præcipientem adventum suum, et illi se imparem scientem, multo mane aufugisse, quæritque quid fieri placeat, quandoquidem hostes fugam arripuissent. Respondet patriarcha: Fugit impius, nemine persequente; vince, et amplius vince; jubetque, ut hostibus longe superiores reverti: et ille mœstus, quia conflictu exciderat, revertitur. Imperator, quia quod gerebatur latere eum non poterat, multis Byzantio in dies nuntiantibus, Rhegium et Athyram, et Damocraniam, et

εἶπεν, οὔτε ἀγνωμοσύνης, οὔτε δικαιοσύνης ἐν τοῖς εἰρημένοις, οὐδὲ τὸν σφέδρα ἀναισχυντοῦντα οἴεσθαι δυνήσεσθαι ἀντειπεῖν. Ἃ δὲ αὐτῷ περὶ τῆς εἰρήνης εἴρηται εἰδέναι βούλεσθαι, εἰ πρὸς αὐτοὺς ὡς ἐπιτηδείους μόνον διειλέχθη, ἢ εἰ βούλοιτο μηνύεσθαι καὶ τοῖς ἐν Βυζαντίῳ, εἴ πως γένοιτο κἀκείνους τῶν δεόντων σκεψαμένους τι, τῶν μεγάλων συμφορῶν Ῥωμαίους ἀπαλλάττειν. Βασιλεὺς δὲ ἀπαγγέλλειν τε ἐκέλευε καὶ προὔργου παντός· ἵνα δὲ μᾶλλον βέβαια δοκῇ τὰ εἰρημένα καὶ πιστὰ, ἐκέλευε καὶ γράφειν· καὶ ἐπεὶ γεγραμμένα ἦταν πάντα ὅσα διειλέχθη, ἐρυθραῖς ὑπεσημαίνετο ὑπογραφαῖς, καὶ σφραγῖδα χρυσῆν ἐκέλευεν αἰωρεῖν, δεῖγμα τοῦ φυλάξειν τὰ γεγραμμένα βεβαίως καὶ ἀναμφιβόλως. Ἀρῆγος δὲ ἐπεὶ τὰ γράμματα εἶχεν ἐν χερσὶ, πολλὰς βασιλεῖ χάριτας ὁμολογῶν, ὡς τὰ μέγιστα εὐηργετημένος, καὶ μέλλων ἤδη ἀπιέναι, ἐδεῖτο βασιλέως ἀπαγαγεῖν τὴν στρατιάν· τὴν μὲν γὰρ εἰρήνην οὐκ ὀλίγων ἡμερῶν δεήσεσθαι πρὸς διάσκεψιν· τὴν στρατιαν δὲ ἠρεμεῖν μὴ δύνασθαι, ἀλλὰ πάντα ἐπιέναι καὶ διαφθείρειν. Εἰ δὴ αὐτὸς τὴν ἀπολογίαν περιμένων ἐνταῦθα καθεδεῖται, κινδυνεύσει μετὰ τὴν εἰρήνην ὑπολείπεσθαι οὐδὲν περὶ οὗ ἂν δόξειε γενέσθαι ἡ εἰρήνη. Βασιλεὺς δὲ τοῦτό τε καὶ εἴ τι μεῖζον ἕτερον αὐτοῦ αἰτοῦντος πρόθυμος εἶναι ἔφασκε ποιεῖν, καὶ ἐπηγγέλλετο ὡς ἐς τρίτην ἐξ ἐκείνης πάσης γενομένης ἐν ταυτῷ τῆς στρατιᾶς (διεσκέδαστο γὰρ ἐπὶ τὴν λείαν), ἀναστήσων τὸ στρατόπεδον. Οὕτω μὲν οὖν Ἀρῆγος βασιλεῖ συνταξάμενος, ἔχων καὶ τὰ γράμματα, ἀπεχώρει. Καὶ γενόμενος ἐν βασιλείοις, τά τε γράμματα παρείχετο πατριάρχῃ καὶ μεγάλῳ δουκὶ, καὶ περὶ εἰρήνης διειλέχθη πρὸς αὐτοὺς, πολλὰ ἀδικήσειν φάσκων καὶ βασιλέα καὶ Ῥωμαίους, εἰ μὴ ἐπὶ μιᾷ τινι προκλήσει πεισθεῖεν διαλύεσθαι. Ἐκεῖνον μὲν οὖν εὐφυῶς ἀπεσκευάσαντο, φάμενοι ὀλίγῳ ὕστερον ἀποκρινεῖσθαι περὶ ὧν ἐπρέσβευε. Δοὺξ δὲ ὁ μέγας, ἐπεὶ πύθοιτο βασιλέα παρὰ Ἀρήγου ἐς τρίτην ἡμέραν ἀπάξοντα τὴν στρατιὰν, πᾶσι Βυζαντίοις πόλεμον κατήγγελλε πρὸς Καντακουζηνόν. Καὶ αὐτὸς παρεσκευάζετο δῆθεν, καὶ κατέλεγε τοὺς στρατιώτας, πᾶσι δὲ θείοις οἴκοις, καὶ φροντιστηρίοις ἱεροῖς, καὶ παντὶ γένει καὶ ἀξιώματι ἱερίων, παρήγγελλε λιτὰς ὡς τὸ Θεῖον ἱλεωσομένους τῷ ἀποστάτῃ συμβαλοῦσιν. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν, καὶ τὴν ἐπιοῦσαν πᾶσαν, παρασκευαζόμενος διήγαγεν. Ἐς τὴν τρίτην δὲ ἐν ἀρίστου τῇ ὥρᾳ, ἐπεὶ πύθοιτο παρὰ τῶν σκοπῶν βασιλέα ἀπηρκότα· ἐπλήρου γὰρ ἐκεῖνος τὰ ὑπεσχημένα· τὰς πύλας ἀνοίξας, ἐξεχεῖτο μεθ' ὁρμῆς τινος ἀσχέτου καὶ παραβόλου, καὶ συνέταττε τήν τε ἱππικὴν καὶ τὴν πεζὴν δύναμιν πρὸ τῶν τειχῶν. Ὡς δὲ ἐπανῆκον οἱ σκοποὶ οὓς αὐτὸς προέπεμπε τοὺς πολεμίους δῆθεν κατασκεψομένους, καὶ ἀπήγγελον ἅμα πρωῒ ἐκείνους οἰχομένους, ἠνιᾶτο μὲν πρὸς τὴν ἀποτυχίαν, καὶ πολλὰ ἑαυτὸν τῆς βραδυτῆτος κατεμέμφετο καὶ τῆς τριβῆς, καὶ ἐδυσχέραινεν οὐκ ἀνεκτῶς. Πέμψας δὲ καὶ πρὸς πατριάρχην, ἐμήνυεν ὡς Καντακουζηνὸς αἰσθόμενος τὴν ἔφοδον, καὶ συνιδὼν ὡς οὐκ ἂν ὑποστησόμενος τὴν δύναμιν, ᾤχετο ἀποδρὰς ἅμα πρωῒ,

Digitized by Google Распознавание текста ABK/FR

τί οὖν πρησήκει πράττειν φυγῇ τῶν πολεμίων χρησαμένων. Πατριάρχης δὲ ἐμήνυε, Φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος· νικα καὶ μὴ ὑπερνικᾷς, καὶ ἐκέλευεν ἀναστρέφειν πολλῷ τῶν πολεμίων κρείττους γενομένους. Καὶ ἀνέστρεφε λυπούμενος, ὅτι μὴ συμβαλεῖν ἐξεγένετο τοῖς πολεμίοις. Βασιλεὺς δὲ ἐπεὶ μὴ ἀγνοεῖν τὰ πραττόμενα ἐνῆν, πολλῶν ἐκ Βυζαντίου ὁσημέρᾳ μηνυόντων, τότε Ῥήγιον εἶλεν ἐξ ἐφόδου ἐπελθὼν καὶ Ἀθύραν, καὶ Δαμοκράνειαν, καὶ Σηλυμβρίαν. Κελεύσας δὲ Ἀπάμειαν φρούριόν τι κατεσκαμμένον τειχισθῆναι, καὶ στρατιὰν καταλιπὼν ἐν Ῥηγίῳ καὶ Ἀπαμείᾳ καὶ Ἐμπυρίτῃ, καὶ τῇ πρὸς τῇ Δέρκῃ λίμνῃ πόλει, ὡς ἂν ταῦτά τε φρουροῖεν ἐγγυτέρω Βυζαντίου τῶν ἄλλων ὄντα, καὶ ἐπεκδρομὰς ποιοῖντο συνεχεῖς κατὰ τοῦ Βυζαντίου καὶ ληστείας, τὴν ἄλλην ἔχων στρατιὰν αὐτὸς ἀνεχώρησεν εἰς Διδυμότειχον. Ἡ δὲ ἐν τοῖς φρουρίοις τούτοις στρατιὰ τὰ μείστα ἐκάκωσε Βυζαντίους, καὶ ὀλίγη οὖσα. Σχεδὸν γὰρ νύκτωρ τε καὶ μεθ' ἡμέραν πάντα διέφθειρον καὶ ἐληΐζοντο, ἔχοντες καὶ Περσικὴν ὀλίγην δύναμιν ἀναμεμιγμένην μετ' αὐτῶν, οἳ πολλοὺς ἀπέκτεινον καὶ ἐξηνδραποδίζοντο, καὶ πρὸς ἓω ἀπεδίδοντο ἐπὶ δουλείᾳ, καὶ σχεδὸν ἐν ὀλίγῳ χρόνῳ πάντα τὰ περὶ Βυζάντιον ἀοίκητα ὑπ' ἐκείνων ἀπεδείχθη. Πατριάρχης δὲ καὶ ὁ μέγας δοῦξ, εἰδότες ὡς Ἀρῆγο, ἀπαιτήσει λόγον περὶ τῆς πρεσβείας, καὶ τὴν μὲν εἰρήνην ἀναφανδὸν αἰδούμενοι ἀπανορεύειν, τρόπῳ δέ τινι σκεψάμενοι τὸν Λατῖνον ἀπατᾷν, ἵνα μὴ δοκοῖεν ἑκοντὶ τοῖς Ῥωμαίοις αἴτιοι αὐτοὶ καθίστασθαι τοσαύτης συμφορᾶς, πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἔγραψαν τοιάδε· Ὦ; ἡμεῖ; πολύν τινα λόγον περὶ τοῦ μὴ Ῥωμαίου; ὑπὸ τοῦ πολέμου διαφθείρεσθαι ποιούμενοι, ὀλίγῳ πρότερον ἐπέμψαμεν πρὸς σὲ πρεσβείαν, ἅπερ αὐτὸς πρὸς τὸν περιπόθητον καὶ γνησιώτατον τῷ βασιλεῖ τὸν μέγαν δοῦκα ἤτησας ἐπαγγελλόμενοι ποιήσειν. Ταῦτά δε ἦν, ἀποθέμενον τὴν βασιλείαν, ἐν ἀσφαλείᾳ εἶναι, καὶ μηδὲν προσδοκᾷν πείσεσθαι δεινὸν διὰ τὴν ἀγνωμοσύνην τὴν πρὸς βασιλίδα, καὶ τὰς συμφορὰς ἃ; ἐπήγαγες Ῥωμαίοις πολεμῶν. Σὺ δὲ, ὡς ἔοικεν, ἔτι φόνων καὶ αἱμάτων ὀρεγόμενος πλειόνων, καὶ τὰς συμφορὰ; τοῖς ταλαιπώροις Ῥωμαίοις αὔξειν, ἵν' ἃ προείλου ἐξαρχῆς ἡττηθεὶς ὑπ' οὐδενὸ;, εἰ; τέλος δόξῃς ἀγαγεῖν, μεταβαλὼν, ἀπράκτου; ἀπέπεμψας τοὺς πρέσβεις, ἠρνημένος ἃ ἐφθέγξω· τότε μὲν οὖν ἀνεξέλεγκτα ἐψεύσω φάσκων τὸν μέγαν δοῦκα εἰρηκέναι περὶ σοῦ μὴ ἀληθῆ. Νυνὶ δὲ οὐδεμίαν σοι τοιαύτην ἔξεστι καταφυγὴν εὑρεῖν, καὶ πρὸς ἀναβολὰς χωρεῖν τῶν εἰρημένων. Τά τε γὰρ γράμματα ἐλέγξουσι τὰ σὰ ὄντα παρ' ἡμῖν, καὶ ὁ πρεσβευτὴ; Λατῖνο;, ἀξιόχρεως ὢν πρὸς πίστιν· ἃ τοίνυν ἔγραψας αὐτὸς ὡς ἀποθήσῃ τε τὴν βασιλείαν καὶ τὴν ἀρχὴν, καὶ τὰς ἀδίκως κατεχομένας καὶ τυραννουμένας πόλεις παραδώσεις, αὐτὸς δὲ μονάζοντος βίον ζήσεις ἐν Ἄθῳ τῷ ἱερῷ, ἢ ἄλλοθί που ὅπῃ ἂν δοκῇ καθ-

A Selybriam primo impetu cepit (50). Cumque Apameam castellum eversum reparari jussisset, et præsidiariam manum Rhegio, Apameæ, Empyritæ, et urbi apud Dercen lacum, his, inquam, locis Byzantio vicinioribus custodiendis, et excursionibus in agrum Byzantinum frequenter faciendis reliquisset, cum cætero agmine Didymotichum profectus est. Horum oppidorum præsidiarii, **643** etsi numero paucissimi, Byzantios tamen vexabant importunissime, omnia fere noctu et interdiu depopulantes ac devastantes: habebantque sibi admistos Persarum aliquot manipulos, qui multos occidebant, multos capiebant, et in Orientem pro servis vendebant, brevique tota pene Byzantium circumjacens regio in solitudinem ab illis redacta

B est. Porro patriarcha et magnus dux, non ignorantes Aregum responsum requisiturum, cum pacem aperte detrectare verentur, via quadam per consultationem inventa, qua Latinum fallerent, ne Romanis scientes ac volentes ærumnas tam multas creare viderentur, Cantacuzeno in hæc verba scripserunt: Quandoquidem nobis vehementer curæ ac sollicitudini est, ne Romanis bello plurimum detrimentorum imponatur, pronuper ad te legatos misimus, pollicentes facturos, quæ tu a magno duce, imperatori dilectissimo fidelissimoque petivisti. Erant autem hæc, ut abdicato imperio tutus esses, et nihil pœnarum formidares, quod erga imperatricem tam infidus exstitisses, et bello Romanos tantopere afflixisses. Tu vero adhuc fundendi san-

C guinis, et calamitatum miseris Romanis augendarum cupidus, ut apparet, quo, quæ a principio tuopte impulsu constituisti, ad finem perduxisse videaris, legatos mutata mente, et inficiatus quæ dixeras, infecta re dimisisti. Tum igitur improbabili mendacio magnum ducem non vera de te locutum affirmasti. Nunc autem tale effugium reperire, et dicta longius differre tibi non conceditur. Tuæ enim ad nos litteræ et legatus Latinus fide dignus te redarguent. Quæ ergo scripsisti, te imperio et administratione abiturum, oppidaque contra fas ac tyrannice occupata redditurum, et quietam monachi vitam in sacro monte Atho, aut ubi placuerit exacturum, ea et nos probamus; nihilque restat, nisi diem præfinire tibi, quo urbes

D restituas. De republica autem, et de judicio constituendo, et de cura tuorum, tu sine cura esto; nos quippe ad hæc et perspicienda, et facienda quatenus commoda et justa sint, satis valemus. Scripta hac epistola, et subscriptionibus adjectis, Latino accersito, omnia quæque ipsi voluisset, quæque Cantacuzenus orasset, se præstitisse memorant, easque litteras, quibus tota pacis tractatio contineretur, exhibitas ei tradunt. **644** Ille litterarum Græcarum ac sermonis omnino expers, verbis eo-

Jacobi Pontani notæ.

(50) Post hæc verba in Græco codice parva lacuna est; fortasse plura oppida, aut unum saltem alterumve nominabantur.

Digitized by Google Распознавание текста ABK/FR

rum ac subscriptionibus contentus, de æquitate Romanorum et sollicitudine multis verbis gratias agit, et cum epistola Didymotichum festinat. Convento salutatoque imperatore : En, inquit, advenio, de pace ferens tibi evangelia. Omnia enim quæ tute petebas, patriarcha, et magnus dux, cum cæteris optimatibus libenter annuerunt, et litteris ipsi quoque pacem firmam ratamque fecerunt. Quibus dictis epistolam porrexit. Qua lecta, imperator renidens : Legistine, inquit litteras, cum quibus tantum iter confecisti, an ita candide et incuriose amica tibi et a natura ingenita simplicitate usus, nesciens quid complecterentur, ad me illas attulisti? Illo respondente, non se rem altius discussisse, nec sibi suspectas fuisse, sed citra curiositatem, simpliciter verbis patriarchæ, ejusque et magni ducis et aliorum procerum subscriptionibus credidisse (quomodo etiam papæ merito faceret), cupidissime ac lætissime ad eum venisse, ut omnibus jam, quæ ille ardentissime optasset, consummatis atque perfectis, imperator cuncta sigillatim recenset, et scriptorum sententiam interpretatur. Monacho ad fallaciam stomachante, et illorum impudentiam malignitatemque obstupescente, non oportere admirari, ait imperator, neque dolere, se delusum, si ipse quidem veritatem in vita colere statuerit, illi vero mentiri, sycophantari, et fraudes componere tota vita studeant, sed ex his paucis maxime, etiam alia, quæ belli tempore contigissent, qualia sint, cognoscere; neque enim ab obitu imperatoris hucusque ab ulla, quantumvis enormi impostura mendacioque illos abstinuisse. Unde, inquit, imperatricem ab initio ad arma impulerunt, et usque hodie os ei sublinentes, pacem mecum facere non patiuntur. Illis itaque sic affectis, et bellum accendentibus, Deus tali proposito digna feret præmia, et Romani omnes non a me, sed ab illis bellum, interitum, servitutem manasse comperient. Gratiam autem veteratoribus illis habeo, cum te ad nos miserunt. Hæc ad Aregum super litteris imperator. Deinde iis quæ sunt amicorum inter se, vacatum est.

A ἡμενος, στεργομεν καὶ αὐτοὶ, καὶ οὐδὲν ἄλλο λείπεται, ἢ διδόναι προθεσμίαν καθ' ἣν ἡμῖν τὰς πόλεις παραδώσεις. Περὶ δὲ προγραμμάτων καὶ δικαωμάτων, καὶ τῶν ἐν δεσμωτηρίοις κατεχομένων εἰ ἀπολυθήσονται, ἢ εἰ ἀποδώσομεν αὐτοῖς τὰ δικαίως ἀφῃρημένα, καὶ περὶ προνοίας τῶν σοι συνόντων μηδένα λόγον σὺ ποιοῦ. Ἡμεῖς γὰρ ἱκανοὶ περὶ τῶν τοιούτων σκέπτεσθαι, καὶ ποιεῖν ἅττα ἂν ἔοχῃ λυσιτελῆ καὶ δίκαια. Τοιαῦτα γράψαντες, καὶ οἰκεῖαι; καὶ αὐτοὶ ὑποσημηνάμενοι ὑπογραφαῖς, τὸν Λατῖνον μεταπεμψάμενοι, πάντα ἔφασαν, ἃ τε αὐτὸς ἤξίου, καὶ Καντακουζηνὸς ἱκέτευε, πεποιηκέναι, καὶ ἐδείκνυσαν τὰ γράμματα ὑπογεγραμμένα, ὡς αὐτοῖς τῶν περὶ τῆς εἰρήνης λόγων πάντων περιειλημμένων· ἅμα δὲ καὶ παρείχοντο αὐτῷ. Ὁ δὲ διαλέκτου τε τῆς Ἑλληνικῆς καὶ γραμμάτων ὢν ἄπειρος παντάπασι, τοῖς λόγοις ἀρκεσθεὶς καὶ ταῖς ὑπογραφαῖς, πολλὰς αὐτοῖς, ὁμολογήσας χάριτας τῆς εὐγνωμοσύνης, καὶ τῶν Ῥωμαίων τῆς κηδεμονίας, ἀπεχώρει, καὶ σπουδῇ πολλῇ πρὸς Διδυμότειχον ἦκεν, ἔχων καὶ τὰ γράμματα. Συντυχὼν δὲ βασιλεῖ καὶ προσφθεγξάμενος, Ἰδού σοι, εἶπεν, εὐαγγέλια κομίζων ἥκω περὶ τῆς εἰρήνης. Πάντα γὰρ ὅσαπερ αὐτὸς ἤτου, πατριάρχης τε καὶ ὁ μέγας δοὺξ μετὰ τῶν ἄλλων τῆς συγκλήτου κατεπράξαντο προθύμως, καὶ γράμμασι καὶ αὐτοὶ τὴν διάλυσιν βεβαίαν τοῦ πολέμου μάλιστα πεποίηνται. Παρείχετό τε καὶ τὰ γράμματα αὐτίκα. Βασιλεὺς δὲ ἐπεὶ ἀνέγνω, μικρὸν ὑπομειδιάσας, Ἀνέγνως, εἶπε, τὰ γράμματα, ἃ τοσαύτην ἔχων ἡνυσας ὁδὸν, ἢ ἁπλῶς οὕτω καὶ ἀπερέργως τῇ φίλῃ καὶ συντρόφῳ χρώμενος ἁπλότητι, μηδὲν εἰδὼς τῶν ἐγγεγραμμένων ἦκες ἔχων; Τοῦ δὲ, μηδὲν περινενοημένου μηδὲ φαῦλον περὶ αὐτῶν εἰπόντος οἰηθῆναι· ἀλλ' ἀπεριέργως καὶ ἁπλῶς τοῖς τε λόγοις, καὶ ταῖς ὑπογραφαῖς πεισθῆναι πατριάρχου, ὥσπερ ἂν δικαίως ἐποίει καὶ πρὸς πάππαν, καὶ ταῖς μεγάλου δουκὸς καὶ τῶν ἄλλων τῶν ἐν τέλει, καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πρὸς αὐτὸν ἐλθεῖν ὡς πάντων ἤδη ἡνυσμένων, ἃ αὐτὸς ἠγείτο περὶ πλείστου, πάντα ὁ βασιλεὺς καθ' ἕκαστον ἐξηγεῖτο, καὶ τὴν δύναμιν ἡρμήνευε τῶν γεγραμμένων. Τοῦ δὲ πρὸς τὴν ἀπάτην ἀγαναντοῦντος, καὶ τὴν ἐκείνων ἀναισχυντίαν καὶ τὸ κακόηθες τῶν τρόπων ἐκπληττομένου, Οὐ χρὴ θαυμάζειν, εἶπεν ὁ βασιλεὺς, οὐδ' ἀνιᾶσθαι ἀπατώμενον, εἰ αὐτὸς μὲν πρὸς ἀλήθειαν εἶλετο ζῆν, ἐκείνους δὲ ψεύδους καὶ συκοφαντίας καὶ ἀπάτης ἐμέλησε παρὰ τὸν βίον· ἀλλ' ἐκ τούτων μάλιστα τῶν ὀλίγων καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὸν τοῦ πόλεμου χρόνον εἰργασμένων συνορᾷν ὁποῖα ἦν. Οὐδὲ γὰρ οὐδεμιᾶς ἐφείσαντο ὑπερβολῆς ἀπάτης καὶ ψεύδους εἰς δεῦρο ἐκ τῆς βασιλέως τελευτῆς, ἐξ ὧν βασιλίδα τε ἔπεισαν τὸν πόλεμον εἶσθαι τὴν ἀρχὴν, καὶ μέχρι νῦν ἐξαπατῶντες οὐκ ἐῶσι διαλύεσθαι ἐμοί. Ἐκείνοις μὲν οὖν τοιαῦτα ἠρημένοις, καὶ τὸν πόλεμον ἀνάπτουσι, Θεός τε τὰς ἀμοιβὰς ἀντιμετρήσειε τῆς προαιρέσεως ἀξίας, καὶ Ῥωμαῖοι πάντες εἴσονται, ὡς οὐ δι' αὐτὸν ὁ πόλεμος, καὶ ἡ φθορὰ, καὶ οἱ ἀνδροποδισμοὶ, ἀλλὰ δι' ἐκείνους γίνεται· αὐτὸν δὲ καὶ χάριν αὐτοῖς ἐξαπατήσασιν εἰδέναι, ὅτι πρὸς ἡμᾶς ἀφικέσθαι παρεσκεύασαν. Τοιαῦτα πρὸς Ἀρῆγον περὶ τῶν γραμμάτων ὁ βασιλεὺς διαλεχθεὶς, ἐτράπετο ἐφ' ἕτερα, ἃ προσῆκει φίλοις πρὸς ἀλλήλους.

B

C

645 CAPUT LXXXV.

Apocauchus frustra Empyriten oppugnat, portoria exigit; sed res non procedit, quia potentia deest. Quomodo dissimulanter irrisus fuerit a proceribus. Exprobratur Apocaucho per Aregum fraudulentia, ignavia et timiditas. Vocatus Aregus venire contemnit, et Apocauchum cum sociis palam de impietate et impudentia accusat. Byzantium infestus venit imperator et recedit. Adrianopolis et oppidula circumcirca se dedunt. Cum tribus dedititiis quid egerit imperator, et quomodo ad ejus partes accesserint, intellecto

Digitized by Google Распознавание текста ABK/FR

ejusdem proposito in imperio retinendo. Juramento fidem obligant. Præfecti tres quamvis discedendi potestate liberaliter facta, fidem ei jurant, præfecturasque recipiunt.

Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, καὶ ὁ μέγας δοὺξ ἐστράτευσε κατὰ Ἐμπυρίτου τοῦ φρουρίου, καὶ πολιορκήσας ἐν τρισὶν ἡμέραις, καὶ ἀποπειράσας τῶν τειχῶν, ἐπεὶ μηδὲν ἤνυε, τῶν ἔνδον εὐρώστως ἀμυνομένων, αὖθις εἰς Βυζάντιον ἀπῆρε. Καὶ πρὸς τῷ Ἱερῷ γενόμενος κατὰ τὸ στόμα τοῦ πόντου κειμένῃ πόλει, ἐπεχείρει, ὥσπερ ἔφασκε, τοὺς κατ' ἐμπορίαν πλέοντας ἐπὶ τὸν πόντον πάντας φόρους ἀπαιτεῖν. Τοῦτο δὲ ἦν ἀδύνατον μὴ θαλασσοκρατοῦντα. Ἐκεῖνος δὲ ἤδη συνορῶν, ὡς τὰς μὲν κατὰ τὴν ἤπειρον πάσας πόλεις ὑπεποιήσατο πλὴν ὀλίγων ὁ βασιλεὺς, ἔμελλε δὲ μετὰ μικρὸν κἀκείνας, καὶ Βυζάντιον πολιορκοίη ταῖς συχναῖς ἐφόδοις, καὶ δεδοικὼς μὴ βασιλίς τε καὶ οἱ ἄλλοι τὴν ἀνάγκην συνιδόντες, ὡς οὔτε στρατιᾶς δύναιντ' ἂν ἔτι εὐπορεῖν, οὔτε χρημάτων οἷς χρώμενοι πολεμοῖεν βασιλεῖ, τρέψονται πρὸς τὴν εἰρήνην, ἐσκέψατο ἐξαπατᾷν καὶ φενακίζειν. Καὶ ἀναφανδὸν ἐδημηγόρει, ὡς πόρον χρημάτων μέγιστον ἐξεύροι ἐξ ὧν οὐ Καντακουζηνῷ μόνον, ἀλλὰ καὶ πᾶσι πολεμίοις ἀντιτάξαιτο. Πᾶσι γὰρ τοῖς ὁπωσδήποθεν ἐμπόροις φόρους ἐπιθήσειν πρὸς ἀνάγκην, ἐξ ὧν ἔσονται Ῥωμαίοις πρόσοδοι πολλαπλάσιοι τῶν πώποτε οὐσῶν. Καὶ ἀφικόμενος πρὸς Ἱερὸν, ἵνα διαπλέειν μηδενὶ ἐξῇ, ἂν μὴ παρέχῃ χρήματα, ὁλκάδα μυριοφόρον ἐπ' ἀγκυρῶν ὁρμίσας, κατὰ μέσον τὸ ῥεῦμα ὁπλίτας ἐγκαθίδρυσε πολλοὺς, καὶ ἐκέλευε χρήματα λαμβάνειν παρὰ τῶν ἐμπόρων. Οἱ δ' οὐδὲν μᾶλλον ἢ πρότερον ἐλάμβανον. Ἀναλωμάτων γὰρ πρότερον πολλῶν καὶ τριήρεων ἡ ἐπιχείρησις ἐδεῖτο, ὥστε ἄρχειν τῆς θαλάσσης μέγα δυνηθέντας, καὶ κρείττους γενομένους τῶν πλεόντων· μὴ ῥᾳδίας δὲ οὔσης πρὸς ταῦτα τῆς παρασκευῆς, καὶ οἱ θαυμαστοὶ ἐκεῖνοι πόροι, καὶ αἱ πρόσοδοι ἀπώλλυντο. Τῶν συγκλητικῶν δὲ οἱ πολλοὶ ὅσοι μὴ διὰ τὸ πρὸς βασιλέα ἔχθος ὥσπερ ἐν ὀνείροις ἐπείθοντο πλουτεῖν, εἰδότες ὡς ἀνηνύτοις ἐπιχειρεῖ, τὴν μεγαλοφυΐαν ἐθαύμαζον πρὸς εἰρωνείαν· καὶ τῶν πάλαι βασιλέων κατεγίνωσκον πολλὴν κουφότητα, ὅτι τοσοῦτον ἐν χερσὶ πλοῦτον ἔχοντες ἠγνόουν. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐκ ὀλίγας διατρίψαντα ἡμέρας παρ' αὐτῷ, Ἀρῆγον αὖθις οἴκαδε ἀπέπεμπε, κελεύσας ἀποκρίνεσθαι μηδὲν τοῖς πέμψασι· μόνον δὲ τῷ μεγάλῳ δουκὶ εἰπεῖν, ὡς οὔτε πρότερον, οὔτε νῦν ἐπιλάθοιτο τῆς φίλης ἀπάτης, καὶ πανουργίας, καὶ στρεβλότητος· ἀλλὰ τῷ περιόντι τῆς περὶ ταῦτα σχέσεως, καὶ Θεὸν νομίζοι δύνασθαι ἐξαπατᾷν. Καὶ γὰρ πάντα μᾶλλον διανοούμενος ἢ ἐκ παρατάξεως μάχεσθαι πρὸς αὐτὸν, ἱκεσίας καὶ ἱλασμοὺς παραγγέλλειν πρὸς Θεὸν τοῖς ἱερεῦσιν ὑπὲρ αὐτοῦ, ὡς μέλλοντος μαχεῖσθαι. Ἀλλ' εἰδέναι σαφῶς ὡς οὔτε Θεὸς, ἃ πράττει καὶ διανοεῖται ἀγνοεῖ, καὶ οἱ ἄνθρωποι δὲ, εἰ μὴ πρότερον, ἀλλ' ὕστερόν γε τὰς ἀπάτας αὐτοῦ καὶ τὰς πανουργίας πάσας συνορῶσι. Τί γὰρ μὴ τῇ προτεραίᾳ τὴν στρατιὰν ἐξῆγε πρὸς τὴν μάχην, ἀλλὰ μετὰ τὸ πυθέσθαι αὐτὸν ἀπάγοντα τὴν στρατιάν; Τότε μὲν οὖν λελυπηκέναι εἶπεν αὐτὸν φυγομαχήσας οὐκ ὀλίγα· ἵνα δὲ μὴ ἐπιπλέον διὰ τὴν

A Interea magnus dux castellum Empyriten invasit, quod ubi triduo obsedit, murorumque facto periculo nihil profecit, fortiter qui intus erant propugnantibus, Byzantium rediit, et Hiero, urbe ad ostium ponti sita, aggressus est, ut aiebat, ab omnibus mercatoribus pontum sulcantibus portoria exigere : id quod, nisi mare teneret, fieri non poterat. Videns enim imperatorem continentis urbes, præter paucas, omnes subegisse, et illas quoque paulo post subacturum esse, et Byzantium ab eodem crebris irruptionibus quodammodo obsideri : timensque, ne imperatrix et consilium necessitate perspecta, quod neque copias habere possent, neque pecunias, quibus adversus eum uterentur, ad pacem inclinarent, modum commentus est, quo B eos circumduceret ac ludificaret. Nam palam concionabatur, rationem pecuniæ conficiendæ commodissimam se invenisse, qua non Cantacuzeno solum, sed universis hostibus resisteret. Omnibus enim undecunque mercatoribus tributa necessaria impositurum. Ex quo Romanos vectigalia majora, quam unquam antehac perceptúros : profectusque Hierum, ut nemini nisi portorium solventi liceret trajicere, onerariam grandem et in anchoris stantem, multis ei gravis armaturæ militibus impositis, in medios fluctus provexit, jussitque a negotiatoribus pecuniam accipere. Verum nihilo magis quam ante accipiebant. Sumptu magno et triremibus multis opus erat, ut domini maris et C potentiores iis essent qui navigarent. Ob cujus apparatus difficultatem admirabiles illi reditus et vectigalia evanescebant. Complures porro proceres, qui non credebant, propter odium in imperatorem velut in somnis ei divitias affluxuras, cum scirent conatus fore irritos, per simulationem ejus animi magnitudinem admirabantur : **646** veteresque imperatores levitatis et incogitantiæ non parvæ coarguebant, qui se tantos thesauros in manibus habere nescivissent. Cantacuzenus Aregum non paucis diebus apud se diversatum dimisit, cum mandato, ut iis, a quibus venisset, nihil responderet : solum magno duci diceret, illum nec antea, nec modo familiaris sibi imposturæ, calliditatis ac pravitatis oblivisci posse, putareque D propter suam in his excellentiam etiam ipsi Deo se fucum facturum. Nam cum quidvis in animo haberet potius, quam acie opposita secum congredi, tamen supplicationes et placamina sacerdotibus pro se, ut pugnaturo, indixisse. Interim se certo scire, neque Deum latere, quid ipse agat et cogitet, et homines si non ante, at certe post, fraudes ejus versutiasque omnes cognituros. Cur enim non pridie, sed postquam discessisse adversarium exercitum audierit, copias suas ad prælium eduxerit? Tum se ista fuga contristatum dixisse, cum ipsemet pugnam vehementer fugeret. Ne porro diutius ejus fuga dolcat, primo quoque tempore rursus

Digitized by Google Распознавание текста ABK/FR

anturum : et ob id præmonere, ut nec mœreat ampliùs, et se ad certamen expediat. Aregus Galatam venit, nec eos a quibus missus fuerat, verbo dignatus est. Magnus dux ut Aregum reversum accepit, Hiero renavigans, eum de legatione obita percunctaturus accersit : qui nullus venit, et ipsum ac satellites ejus palam reprehendit, quod omni timore Dei hominumque reverentia soluti, ea designarent, quæ quisquis sciret, detestaretur; aiebatque ad defensiones tales, quales ipsi pro se perfricta fronte afferrent, imperatorem solum pro eo ac deceret respondere idoneum, et propediem adfuturum, operæque ipso responsurum. Quare se instruerent; ante ipsa enim mœnia confligendum. Illi, quia quod solerent fecerant, nihil se novi fecisse opinabantur. Imperator denuo toto cum exercitu Byzantium venit, et ad portam Charsiam non parum diu præstolatus, cum nemo pugnaturus exiret, retrocedens, ad Petrogephyram (loci nomen est) castrametatus est, ubi præterlabente fluvio, irrigua prata abundantem pabuli copiam equis sufficiunt. Ac milites quidem quantum valebant, Byzantio incommodabant. Aregus vero ad imperatorem rediens, Augustam purgabat, nequaquam ab illa, sed a patriarcha, et aliis bellum profluxisse : qui ipsam volentem amplecti pacem, non sinerent, eique persuadere niterentur, si quo modo Cantacuzenus prævaluerit, statim ipsam cum liberis necaturum. **647** Quæ cum audiat (quamquam nec alioqui ita sui ipsius sit, ut quæ probat, efficere possit), omnia in illorum arbitratu necessario ponat. Imperator cum amicis quos Byzantii habebat occulte agens, quoniam illis ejus adjuvandi deerat opportunitas, et quod extra mœnia occuparetur nihil erat, inde iterum discessit. Adrianopolim venienti etiam illa urbs, Paraspondylo præfecto interprete, se dedidit · aliaque item castella circum ipsam veluti circa matrem sita. Præterea Tzernomianus, quæ se defendere non poterat : cujus præfecturam obtinebat Hierax imperatoris Andronici domesticus, quique bello adversus Cantacuzenum qua dictis, qua factis non parum monumenti attulerat. Adrianopoli alius erat ex ejusdem Andronici domesticis, Mancaphas nomine. Hos igitur tres, Mancapham, Hieracem et Paraspondylum advocans imperator, non se clam esse ait, eos quandiu bellum fuerit, summa cupiditate, flagrantique studio pro juvene imperatore contra se decertasse, nec tamen idcirco succensere : laudare etiam, quod se pro officio famulorum strenuos in eo præbuissent. Neque enim vel præfecto cubiculi, atque cæteris quod belligerassent iratum esse, sed quod a principio usque nunc sycophantias fabricantes, mendacium mendacio assuerent, pacique obniterentur. Verumtamen si illi, qui tam improbi in se fuissent, a dolis et calumniis temperantes, inire secum concordiam voluissent, nec in commune, nec in ipsos quidquam acerbitatis ostensuram, neque tot miseriarum bello ab iis invectarum recordaturum, sed

A φυγὴν λυπῇ, ὅσον οὔπω πάλιν ἐπαλεύσεσθαι, καὶ μηνύειν διὰ τοῦτο, ἵνα μήτε λυποῖτο ἐπιπλέον, καὶ παρασκευάζοιτο πρὸς μάχην. Ἀρῆγος μὲν οὖν ἦλθεν εἰς Γαλατᾶν, καὶ οὐδὲ λόγου τινὸς ἠξίωσε τοὺς πέμψαντας. Δοὺξ δὲ ὁ μέγας ἐπεὶ πύθοιτο ἐπανήκοντα, κατέπλευσεν ἐξ Ἱεροῦ, καὶ μετεκαλεῖτο τὸν Ἀρῆγον, ὡς περὶ τῆς πρεσβείας ἐρωτήσων. Ὁ δ' οὔτε παρεγένετο, καὶ κατηγόρει φανερῶς, ὅτι καὶ φόβον πάντα Θεοῦ καὶ ἀνθρώπων ἀποθέμενοι αἰδῶ, τοιαῦτα πράττουσιν, οἷα πᾶς τις ἂν μισοίη συνιδών, ἔφασκέ τε, ὡς πρὸς τὰς τοιαύτας ἀπολογίας οἵας αὐτοὶ ποιοῦνται ἀνερυθριάστως, βασιλέα μόνον ἐξαρκεῖν δεόντως ἀποκρίνεσθαι, διὸ καὶ μετ' ὀλίγον ἤξει ἔργῳ τὰς ἀποκρίσεις δώσων. Παρήγγελλέ τε αὐτοῖς παρασκευάζεσθαι, ὡς μαχουμένους πρὸς τοῖς τείχεσιν. Ἐκεῖνοι μὲν οὖν τὰ εἰωθότα πράξαντες, οὐδὲν καινὸν ἐνόμιζον ποιεῖν. Βασιλεὺς δὲ αὖθις ἦκεν εἰς Βυζάντιον πανστρατιᾷ, καὶ πρὸ τῆς Χαρσίας πύλης οὐκ ὀλίγον διετέλεσεν ἐστώς. Ἐπεὶ δὲ οὐδεὶς ἀντεπεξήει, ἀναστρέψας, ἐστρατοπέδευσεν ἐν τῇ Πετρογεφύρᾳ καλουμένῳ τόπῳ, ποταμοῦ τε παραῤῥέοντος, καὶ ἄφθονον τροφὴν τοῖς ἵπποις παρέχοντος τοῦ τόπου. Καὶ ἡ στρατιὰ ἐκάκου τὸ Βυζάντιον ὅσα μάλιστα ἐνῆν. Ἀρῆγος δὲ αὖθις ἐλθὼν πρὸς βασιλέα ὑπὲρ βασιλίδος λόγους ἐποιεῖτο, ὡς οὐδαμῶς αἰτία τοῦ πολέμου εἴη, ἀλλὰ πατριάρχης καὶ οἱ ἄλλοι, οἳ ταύτην βουλομένην οὐκ ἐῶσι χωρεῖν πρὸς τὴν εἰρήνην, πείθοντες ὡς ἂν ἐνί γέ τῳ τρόπῳ περιέστη, ἐκείνην τε ἀποκτενεῖς αὐτίκα καὶ τὰ τέκνα· ὧν ἀκούουσαν, καίτοι καὶ ἄλλως οὐχ ἑαυτῆς κυρίαν οὖσαν, ὥστε πράττειν ἅττα ἂν δοκῇ συμφέρειν, πάντα ἐκείνοις ἐπιτρέπειν πρὸς ἀνάγκην. Βασιλεὺς δὲ τοῖς ἐν Βυζαντίῳ φίλοις κρύφα διαλεχθεὶς, ἐπεὶ οὐκ ἦν αὐτοῖς εὔκαιρον πράττειν τι ὑπὲρ αὐτοῦ, αὖθις ἀνεχώρει. Οὐδὲν γὰρ ἦν ὃ λήψεται ἐκτὸς τειχῶν. Καὶ πρὸς τὴν Ἀδριανοῦ ἐλθόντι, ἐκείνη τε ἡ πόλις προσεχώρει, τοῦ ταύτης ἄρχοντος Παρασπονδύλου πράττοντος, καὶ τὰ ἄλλα φρούρια, ἃ περὶ αὐτὴν ὡς περὶ μητέρα ᾤκουν. Καὶ ἡ Τζερνομιάνου δὲ καὶ αὐτὴ προσεχώρησεν, ἀντέχειν πρὸς τὸν πόλεμον μὴν δυναμένη, ἧς ἦρχεν ὁ Ἱέραξ, τῶν οἰκετῶν ὢν βασιλέως Ἀνδρονίκου, καὶ πολλὰ πρὸς τὸν πόλεμον κατὰ Καντακουζηνοῦ τοῦ βασιλέως πράξας καὶ εἰπών. Ἐν τῇ Ἀδριανοῦ δὲ καὶ ἕτερός τις ἦν τῶν βασιλέως Ἀνδρονίκου οἰκετῶν Μαγκαφᾶς ὠνομασμένος. Τούτους δὴ οὖν τοὺς τρεῖς, Μαγκαφᾶν τε καὶ Ἱέρακα καὶ Παρασπόνδυλον ὁ βασιλεὺς μεταπεμψάμενος, οὐκ ἀγνοεῖν μὲν ἔφασκεν ὡς παρὰ τὸν τοῦ πολέμου χρόνον πάντα πάσῃ προθυμίᾳ καὶ σπουδῇ πρὸς αὐτὸν ὑπὲρ βασιλέως ἐπολέμησαν. Οὐ μέντοι διὰ τοῦτο πρὸς αὐτοὺς ὀργίζεσθαι, ἀλλὰ καὶ ἐπαινεῖν, τὴν προσήκουσαν οἰκέταις ἐπιδεδειγμένους προθυμίαν. Οὐδὲ γὰρ οὐδὲ παρακοιμωμένῳ καὶ τοῖς ἄλλοις ὅτι ἐπολέμησαν ὀργίζεσθαι, ἀλλ' ὅτι συκοφαντήκασί τε ἐξαρχῆς καὶ ἄχρι νῦν συκοφαντοῦσι, ψεύδει ψεύδος συῤῥάπτοντες, καὶ τὸν πόλεμον οὐκ ἐῶντες καταλύεσθαι. Οὐ μὴν ἀλλὰ κἀκείνοις τοσαύτην πρὸς αὐτὸν ἀγνωμοσύνην ἐπιδεδειγμένοις, εἰ τῶν δόλων καὶ τῶν συκοφαντιῶν ἠθέλησαν ἀποστάντες διαλύε-

Digitized by Google Распознавание текста ABK/FR

ἕνεκα ἐν τῷ παρόντι, καὶ τοῦ μεγάλου τοῦ Χριστοῦ μάρτυρος εἰκόνα παρείχετο Γεωργίου πίστεως ἐνέχυρον καὶ τῆς περὶ αὐτὸν ἀδόλου γνώμης. Βασιλεὺς μὲν οὖν ἐπαύσατο αὐτίκα ὑποπτεύων. Ἱέραξ δὲ μετὰ μικρὸν αὖθις καιρὸν ἐπιτηρήσας, ἦλθε πρὸς Βυζάντιον, ὡς αὖθις τοῖς ἄρχουσι διαλεξόμενος. Τῇ αὐτῇ δὲ νυκτὸς, καὶ Παρασπόνδυλός τις ἕτερος παρὰ τὸν ἄρχοντα τῆς Ἀδριανοῦ, τῆς ὁμοίας ἕνεκα αἰτίας πρὸς Βυζάντιον ἀφῖκτο τοῖς ἄρχουσι διαλεξόμενος· ἦν γὰρ καὶ πρότερον διειλεγμένος κρύφα περὶ τοῦ βασιλέα ἀποκτείνειν. Ἐπεὶ δὲ καὶ Ἱέραξ ἀφῖκτο κατὰ τύχην, καὶ ἔτι αἱ πύλαι ἦσαν κεκλεισμέναι, Ἱέραξ μὲν καὶ ἄλλων πολλῶν παρόντων οὐ διέγνω Παρασπόνδυλον. Ἐκεῖνος δὲ φθονήσας Ἱέρακι τοῦ τοῖς ὁμοίοις ἐγχειρεῖν, καὶ προδιδόναι διανοηθεὶς, λάθρα προσελθὼν τῆς οὐρᾶς ἀπέτεμε τοῦ ἵππου τρίχας, ἵν' εἴη σαφῶς ἐλέγχειν ἐπὶ τοῦ βασιλέως δεῖγμα φανερὸν τῆς κακουργίας τὰς τρίχας παρεχόμενος· ὥετο γὰρ πρὸς ἀμφότερα αὐτῷ λυσιτελήσειν τὴν ἐκείνου προδοσίαν· Ἱέρακά τε γὰρ οὐκέτι ἕξειν ἀνταγωνιστὴν περὶ πράγματος οὕτω μεγάλου, διεφθαρμένον ὑπὸ βασιλέως· καὶ αὐτὸς ἀφυλακτοτέρῳ μᾶλλον ἐντυχεῖν τῷ βασιλεῖ διὰ τὴν δοκοῦσαν εὔνοιαν, καὶ ῥᾷον κατεργάσεσθαι τὸν φόνον· διενοεῖτο γὰρ, ὡς ἐλέγετο, ὑπνοῦντι ἐπιτίθεσθαι βασιλεῖ καὶ ἀποκτείνειν· ἅμα δὲ ἡμέρᾳ, οἵ τε φίλοι βασιλεῖ ἐμήνυον, ὡς αὖθις Ἱέραξ εἰσέλθοι Βυζάντιον τῆς νυκτὸς, καὶ τοῖς ἄρχουσι διαλεχθείη. Καὶ Παρασπόνδυλος ὁμοίως τήν τε ἀποστασίαν ἐμήνυεν Ἱέρακος, καὶ τὴν ἐπιβουλὴν, καὶ τὰς τρίχας ἐπεδείκνυε τοῦ ἵππου, ἔφασκε δὲ ὡς ὑποπτεύσοι μὲν καὶ πρότερον αὐτὸν, δείσας δὲ μὴ καταψεύδοιτο αὐτοῦ μὴ ὑποπτεύων ἀληθῆ παρὰ τὴν Βυζαντίου πύλην ἀφικέσθαι, καὶ τοῖς ἄλλοις συνεῖναι ἀγνοούμενον· ἀφικομένου δὲ Ἱέρακος, αὐτὸν μὲν ἀνεπαισθήτως τοῦ ἵππου τὰς τρίχας ἀφελέσθαι, ἵν' εἴη τεκμήριον ἐναργές. Ἐκεῖνον δὲ τῶν πυλῶν ἀνοιχθεισῶν, ἐντὸς γενόμενον, αὖθις ἐξελθεῖν. Βασιλεὺς δὲ ἐπεὶ τοιαῦτα ἤκουσεν, ἐσκέπτετο περὶ Ἱέρακος ὅ τι χρήσαιτο. Σκεπτομένῳ δὲ αὐτῷ, ἠγγέλλετο, ὡς Βυζαντίου ἐξελθοῦσα στρατιὰ, συμπλακείη τισὶ τῶν βασιλέως. Λατῖνοι γὰρ ὀλίγοι τινὲς ἐκ Γερμανῶν ἐν Βυζαντίῳ διατρίβοντες, ἐξελθόντες τισὶ τῶν βασιλέως περιέτυχον, ἐν οἷς καὶ Ἱέραξ ἦν· καὶ μάχης συναφθείσης, οὔτε τῶν Ῥωμαίων, οὔτε τῶν Λατίνων πέπτωκεν οὐδεὶς, οὔτε μὴν ἐτραυματίσθη· Ἱέραξ δὲ μόνον δὶς τραυματισθεὶς, ἀπέβαλέ τε τὸν ἵππον, καὶ αὐτὸς ἦλθεν ἐγγὺς ἁλῶναι· αὖθις δὲ ἐπελθόντες οἱ βασιλικοὶ, ἀνεσώσαντό τε, καὶ πρὸς τὸ στρατόπεδον ἦγον τραυματίαν. Βασιλεὺς δὲ πρὸς τὴν σκηνὴν ἐλθὼν ἐν ᾗ διῆγε, σκοπεῖν ἐκέλευε μὴ Γεώργιος ὁ τοῦ Χριστοῦ μάρτυς τῆς εἰς αὐτὸν παροινίας σωφρονίζων, ὅτι περ ἐγγυητὴν παρεσχημένος, αὖθις τοῖς φαύλοις καὶ πονηροῖς ἔργοις ἐκδιδοίη ἑαυτὸν, εἴσοιτο τραυματισθῆναι· ὁ δ' αὖθις τὰ ἴσα τοῖς προτέροις ἰσχυρίζετο, ὡς ἀδίκως ὑποπτεύοιτο. Νυκτὸς δὲ ἐπελθούσης, ἐπεὶ ἠσθάνετο οὐκ ἀγνοούμενος, ᾤχετο εἰς Βυζάντιον ἀποδράς· ἐρωτώμενος δὲ τὴν αἰτίαν, δι' ἣν οὐ τελέσειε τὰ ὑπεσχημένα, ἀεὶ μὲν ἔφασκεν ἐπαναισιοεῖν, καιροῦ δὲ οὐδέποτε τετυχηκέναι, φυλαττο-

Digitized by Google Распознавание текста ABK/FR

μένου βασιλέως, ὥσπερ ἂν εἰ συνῄδει αὐτῷ τοὺς λογισμούς, καὶ δεδοικέναι μὴ κατάφωρος γενόμενος ἀπόληται· ἐδέχθη μέν τοι παρὰ βασιλίδος μάλιστα ἡδέως, καὶ τῶν κατὰ Θράκην πόλεων αἱ Βατάτζῃ συναπέστησαν, ἄρχων ἀπεδείχθη. Μετὰ μικρὸν δὲ φωραθεὶς καὶ Παρασπόνδυλος ἐπιβουλεύων βασιλεῖ, ἀπεδίδρασκε πρὸς βασιλίδα, καὶ οἱ τὰ βασιλέως ἔνδον πράσσοντες, μηνυθείσης τῆς ἐπιβουλῆς, δείσαντες καὶ αὐτοὶ ἀπεδίδρασκον πρὸς βασιλέα. Βασιλεὺς δὲ ἐπεὶ ἦ τε ἔνδον πεφώρατο ἐργασία, καὶ ἐκτὸς οὐδὲν ἦν, ὅ τι λυπήσει Βυζαντίους, ἀνεζεύγνυεν εἰς Σηλυμβρίαν. Ἐκεῖσε δὲ παρασκευασάμενος, καὶ στρατιώτας τριακοσίους ἔχων ἐπιλέκτους, νυκτὸς ἀφῖκτο πρὸς Ἱερὸν, τὴν κατὰ τὸ στόμα τοῦ Πόντου κειμένην πόλιν ἐπαγόμενος, καὶ κλίμακας, τῶν ἔνδον μέν τοι οὐδεὶς συνέπραττεν αὐτοῖς· ἀλλὰ καθ' ἑαυτοὺς ἐπεχείρουν τὴν ἅλωσιν τῆς πόλεως. Λαθόντες δὲ τοὺς ἔνδον, τάς τε κλίμακας προσήρειδον τοῖς τείχεσι, καὶ αὐτῶν ἀνέβαινον οὐκ ὀλίγοι. Ἐπεὶ δὲ ἔνδον ἦσαν, τὴν νίκην διέφθειραν ὑπ' ἀδουλίας. Οὔτε γὰρ ἐφίσταντο τοῖς τείχεσιν ἄδειαν παρεχόμενοι καὶ τοῖς ἄλλοις ἀναβαίνειν, οὔτ' ἐπεὶ κατέβαινον ἔνδον ἀπὸ τῶν τειχῶν, διανοιγνύναι τὰς πύλας καὶ τοῖς ἄλλοις στρατιώταις ἔθεντο διὰ σπουδῆς· ἀλλὰ πάντων τῶν δεόντων ἀμελήσαντες ἐτρέποντο ἐφ' ἁρπαγὰς, οἰόμενοι βεβαίως ἤδη τὴν πόλιν ἔχειν· οἱ ἔνδον δὲ ἐπεὶ ᾐσθάνοντο τοὺς πορθοῦντας, ἠμύνοντο ἀναθαρσήσαντες, καὶ ἀναβάντες ἐπὶ τῶν τειχῶν, τάς τε κλίμακας ἀπεσκευάζοντο συνθλῶντες, πλείους τε ὀλίγοις ἐπιόντες, καὶ ἐγχώριοι πρὸς ξένους κατέστησαν ἐν χρῷ κινδύνου, ὅμως οἱ βασιλέως εὐρώστως ἀμυνόμενοι, ἐβιάσαντό τε τοὺς Ἱερείους πρὸς τὴν ἄνοδον, καὶ διεξέπιπτον ἀπὸ τῶν τειχῶν, ἦ ἕκαστος συντύχῃ διακινδυνεύοντες, καὶ ἡ πόλις μὲν τοῦτον τὸν τρόπον διεσώθη. Τῶν βασιλικῶν δὲ, εἷς μὲν ἔνδον ἔπεσε μαχόμενος· ἕτερος δὲ τοῖς ἄλλοις συνεκπεσὼν, τὸ σκέλος ἐτελεύτησε συνθλάσας· οἱ δ' ἄλλοι πάντες διεσώθησαν. Βασιλεὺς δὲ ἐπεὶ διέφυγεν ἡ πόλις, οὕτω ἐγγὺς ἁλῶναι γενομένη, ἐκεῖθεν ἀναστρέψας, ἐπανῆκεν εἰς Ἀδριανούπολιν.

A Augusta illum cupidissime suscepit, urbiumque Thraciæ, quæ cum Batatze ab imperatore desciverant, præfectum declaravit. Non multum intercessit spatium, cum et Paraspondylus insidiarum in imperatorem compertus, ad imperatricem transfugit. Qui vero intra mœnia erant, ab imperatore stantes, detectis vicissim eorum machinis, perculsi ad eum confugerant: quid quod intus parabatur intellecto, quia foris, unde Byzantiis ægre esset fieri nihil poterat, Selybriam est reversus. Illic instructus cum trecentis electis, et scalis, noctu Hieron ad Ponti fauces situm pervenit: oppidanorumque adjuvante nemine, per se urbem capere aggrediuntur: ac latenter scalis ad muros applicitis, non pauci ascendunt. Intus jam cum essent, victoriam stulte B perdiderunt. Neque enim in mœnibus tantisper consistebant, dum et alii tuto ascendissent: neque cum in oppidum descendissent, portas sociis reserare laborabant: sed partibus suis neglectis, putantes se urbem pro certo jam obtinere ad prædam discurrebant. Indigenæ animadversa prædatorum paucitate, ad defensionem recipiunt animos: conscensisque muris, scalas confractas dejiciunt, ac plures in paucos, incolæque in advenas irruentes, ad præsentissimum eos discrimen redigunt. Nihilo minus imperatorii resistentes fortiter, ad muros repellendis Hierensibus pervenerunt: inde se qua cuique sors obtigit, non sine periculo dejecerunt. Urbs hoc modo servata est. Ex imperatoriis unus pugnando intus occubuit; alter cum aliis C desiliens, diffracto crure periit: reliqui omnes incolumes evaserunt. Imperator ut vidit urbem pene captam non potuisse capi, Adrianopolim se recepit.

670 CAPUT XCII.

Imperator Cantacuzenus coronatur ab Hierosolymitano patriarcha, uxorem coronat. Constantinopolitanus patriarcha ab episcopis excommunicatur. Imperator filium designare imperatorem recusat. Quo animo ad imperium accesserit; in qua oratione suam causam de non affectata tyrannide præclare agit, ut ante hac sævius, et integritatem suam declarat.

Ἐδόκει δὲ ἤδη καὶ τὸν τῶν βασιλέων τρόπον στέφεσθαι, ἐπεὶ καὶ πατριάρχης ὁ τῶν Ἱεροσολύμων παρῆν αὐτῷ, καὶ τῶν ἀρχιερέων ἄλλοι οὐκ ὀλίγοι, καὶ χρυσοχόοις ἐπιτρέψας στέμματα κατασκευάζειν, καὶ τ' ἄλλα ὅσα ἐπιτήδεια πρὸς τὴν τελετὴν, ἐπεὶ πάντα ἦσαν ἤδη παρεσκευασμένα, ἐστέφετο ὑπὸ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων πατριάρχου κατὰ μῆνα Μάϊον, ἡνίκα καὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ

Jam vero placuit etiam imperatorum more coronari, quandoquidem et patriarcha Hierosolymorum, et episcopi complures coram adessent. Cumque mandasset artificibus, ut coronam, et aliis ut alia ad eam celebritatem cæremoniamque accommodata conficerent, paratis omnibus a Lazaro patriarcha Hierosolymitano, mense Maio, quando Constantini magni et Helenæ matris ejus (59), apostolis com-

Jacobi Pontani notæ.

(59) Nimirum 21 die Maii, cui in Menologio seu μηναίῳ hæc verba præscribuntur: Τῶν ἁγίων μεγάλων βασιλέων, καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης. Rursum infra, libro IV, cap. 4, meminit, et diem ipsum exprimit, nempe XII Kalend. Junias, qui est dies Maii primus et vicesimus omnino. Duo cantica in eosdem ex eodem Menologio facere non possum quin adscribam. Prius hoc est, in Constantinum solum: Τοῦ σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν ἀπόστολός σου, Κύριε, βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο. Ἦν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς θεοτόκου, μόνε φιλάνθρωπε· *Qui in cœlo crucis tuæ formam aspexit, et ut Paulus, non ab hominibus vocatus est, ille inter imperatores apostolus*

Digitized by Google Распознавание текста ABK/FR

parandorum memoria colitur, corona induitur. Coronat autem et ipse, ut mos tenebat, Irenen conjugem suam, omniaque solitis ritibus quam maxime fieri potuit, peracta sunt. Nam et argentea atque aurea numismata spargebantur; et convivia, poculorumque invitationes ad dies plurimos frequentabantur. Congregatis illic propter diem festum hunc episcopis, de Joanne patriarcha quæsitum est, ecquid ejus sacerdotium revereri, et cum illo communicare oporteret: quando tam scelerate egisset, et ab episcopis etiam, qui Byzantii in ædibus interdicto accessu coercebantur, ab ejus communione abstinendi potestas jam ante concessa esset. Postquam visum universis, ab ejus societate penitus recedendum, eamque sententiam suffragio suo imperator comprobavit, e sacris omnibus ejus nomen expunctum est, et decretum factum, ut ne quis de cætero illum pro patriarcha agnosceret. E palatio similiter ejus profligata memoria. His actis proceres, et duces omnes, atque adeo totus exercitus imperatorem orare uti Matthæum filium imperatorem designaret, ut si quid ipsi humanitus accideret, ab eo regerentur; non enim fidendum hostibus, qui ab initio non vulgare illius odium præ se tulissent, et nunc eodem essent animo. Imperator de amica in se voluntate gratias agit, petendoque filium imperatorem declarari, eos haud justa, nec convenientia petere ait, et istuc a cogitationibus suis esse remotissimum. Neque enim ab initio, quod filiis imperatoris insidiaretur, arma sumpsisse; neque usque ad illum **671** diem, quamvis adeo dira ab inimicis perpessum, benignum erga eos animum exuisse. Sed tum quidem illis multa mendacia, calumniasque comminiscentibus, et imperatricem ad bellum exstimulantibus, ac se insontem perimere querentibus, nec desiderio augustæ majestatis (qua adhuc vivo imperatore frui potuisset, si voluisset) nec inexplebili opum cupiditate ad imperandum accessisse: verum ipsis impense rogantibus, ne periculosis temporibus procuratione abiret: nec ut infidus gubernator, in fluctibus et salo clavum dimitteret, non magis suæ, quam ipsorum salutis causa ad hoc munus aggressum, cum intelligeret, aliter eos servari non posse. Jam, quoniam divino concessu hostes debellarit, antiquam erga liberos imperatoris conservandam esse pietatem: ne fraude usus videatur, cum tunc professus sit, non se bellum adversus imperatoris filios gerere, sed ob eorumdem, Romanorumque communem utilitatem potius imperare velle, quando adhuc in incerto erat spes victoriæ, nunc vero cum facultas sit, reipsa hujus propositi palam

A Ἑλένης τῆς μητρὸς τῶν ἰσαποστόλων βασιλέων ἡ μνήμη γίνεται. Ἔστεφε δὲ καὶ αὐτὸς κατὰ τὸ ἔθος Εἰρήνην βασιλίδα τὴν γαμετὴν, καὶ πάντα ὅσα εἴωθεν ἐτελεῖτο ὅσον μάλιστα ἐξῆν. Ἀπόδεσμοί τε γὰρ ἐῤῥίπτοντο ἀργύρου καὶ χρυσοῦ, καὶ πότοι καὶ φιλοτησίαι ἐπὶ πλείστας ἡμέρας ἐτελοῦντο. Ὄντων δ' ἐκεῖ διὰ τὴν ἑορτὴν συνειλεγμένων τῶν ἀρχιερέων, καὶ λόγου περὶ πατριάρχου τοῦ Ἰωάννου γεγενημένου, εἰ χρὴ αὐτῷ κατὰ τὰ τὴν ἱερωσύνην εἶναι κοινωνοὺς τοιαῦτα τολμῶντι, ἐπεὶ καὶ παρὰ τῶν ἐν Βυζαντίῳ ἀρχιερέων οἳ ἐν ταῖς οἰκίαις ἀπρόῖτοι διῆγον, ἐπιτρέποντο πρότερον ἀποσχέσθαι τῆς ἐκείνου κοινωνίας· ἐπεὶ ἐδόκει πᾶσι καλῶς ἔχειν ἀφίστασθαι ἐκείνου, καὶ ἐπεψηφίζετο καὶ ὁ βασιλεὺς, τῶν ἱερῶν ἁπάντων ἐξῆγον τὴν ἐκείνου μνήμην, καὶ πᾶσιν B ἀπείρητο ἐκεῖνον ἡγεῖσθαι πατριάρχην, καὶ ἐκ τῶν βασιλείων ὁμοίως ἡ ἐκείνου μνήμη ἐξεβάλλετο. Μετὰ τοῦτο δὲ σὶ ἐν τέλει πάντες, καὶ τῆς στρατιᾶς οἱ ἡγεμόνες, ἅμα δὲ καὶ ἡ στρατιὰ, προσελθόντες βασιλεῖ, ἐδέοντο καὶ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύναι βασιλέα, ἵν' εἴ τι περὶ αὐτὸν συμβαίη, καὶ τρόπῳ δή τινι ἐξ ἀνθρώπων γένοιτο, βασιλεύοιντο ὑπ' αὐτοῦ· τοῖς γὰρ πολεμίοις οὐ θαῤῥεῖν, ἐξαρχῆς τε πρὸς αὐτοὺς δυσμένειαν οὐ τὴν τυχοῦσαν ἐπιδεδειγμένοις, καὶ μέχρι νῦν τὴν ἴσην γνώμην διατηροῦσι. Βασιλεὺς δὲ αὐτοῖς τῆς μὲν εὐνοίας ἕνεκα τῆς εἰς αὐτὸν χάριν ὡμολόγει, δικαιά τε ἔφασκε καὶ προσήκοντα αἰτεῖν· δεομένους τὸν υἱὸν ἀποδεικνύναι βασιλέα, πόῤῥω δὲ παντάπασιν εἶναι τῆς ἐκείνου διανοίας. Οὔτε γὰρ ἐξαρχῆς τοῖς βασιλέως παισὶν ἐπιβουλεύων εἵλετο τὸν πόλεμον οὔτε μέχρι νῦν. Καί τοι τοσαῦτα παρὰ τῶν πεπολεμηκότων ὑπομείνας τὰ δεινὰ, τὴν πρὸς τοὺς παῖδας βασιλέως εὔνοιαν ἀπέλαβεν. Ἀλλὰ τότε μὲν ἐκείνων πολλὰς συκοφαντίας πλασαμένων καὶ διαβολὰς, καὶ βασιλίδα πρὸς τὸν πόλεμον κεκινηκότων, καὶ ζητούντων ἀναιρεῖν ἐξ οὐδεμιᾶς αἰτίας, οὔτ' ἐπιθυμίᾳ δόξης βασιλικῆς, καὶ βασιλέως γὰρ ἔτι περιόντος, ἔχειν, εἰ ἐβούλετο ἐξῆν, οὔτ' ἀπληστίᾳ καὶ πλεονεξίᾳ γνώμης ἐπὶ τὸ βασιλεύειν ἦκεν· ἀλλ' αὐτῶν πολλὰ δεηθέντων μὴ καταλιπεῖν ἐν καιροῖς κινδύνων τὴν προστασίαν· μηδ' ὥσπερ κυβερνήτην ἐν κλύδωνι καὶ σάλῳ τῶν οἰάκων ἀποστῆναι, οὐ μᾶλλον τῆς αὐτοῦ σωτηρίας ἕνεκα, ἢ ἐκείνων πρὸς ταύτην τὴν ἐλθεῖν τὴν ἐπιχείρησιν συνορῶντα, ὡς ἑτέρως οὐκ ἔστι C διασώζεσθαι. Νυνὶ δ' ἐπεὶ Θεὸς παρέσχετο τῶν πολεμηκότων ὀφθῆναι κρείττους, δέον τὴν ἀρχαίαν γνώμην, περὶ τοὺς βασιλέως παῖδας διασώζειν· ἵνα μὴ δοκῶμεν τότε μὲν ἐξαπατᾶν μὴ πολεμεῖν τοῖς βασιλέως λέγοντες παισὶν, ἀλλὰ τῆς ἐκείνων μᾶλλον καὶ κοινῆ τῶν ἄλλων Ῥωμαίων ὠφελείας ἕνεκα ἐλέσθαι τὸ βασιλεύειν· ἡνίκα ἔτι τὴν τοῦ περιέσεσθαι ἄδηλον ἐλπίδα εἴχομεν. Νυνὶ δὲ ὅθ' ἡμῖν

Jacobi Pontani notæ

tuns, Domine, imperatricem urbem in manus tuas tradidit. Quam tu, qui solus benignus es, precibus Deiparæ semper conserva. Posterius est in filium et matrem communiter: Κωνσταντῖνος σήμερον σὺν τῇ μητρὶ τῇ Ἑλένῃ τὸν σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον ξύλον, ἅπαντας τοὺς Ἰουδαίους συναγαγόντες. Τούτους οὖν ἀνευφημήσωμεν ἐπαξίως. Δι' αὐτῶν γὰρ ἀνεδείχθη σημεῖον μέγα τὸ πρὶ αἰώνων φρικτόν. *Hodie Constantinus ejusque mater Helena Judæis omnibus congregatis crucem, lignum omnimodis venerandum proferunt. Nos igitur pro eo ac merentur collaudemus. Per illos enim ostensum est signum magnum, ante sæcula tremendum.*

Digitized by Google Распознавание текста ABK/FR

περιεστιν ἐκ των πραγμάτων ἔλεγχον διδόναι τῆς γνώμης ἐναργῆ, τἀναντία τοῖς πρότερον ἐλέσθαι. Τοιγαροῦν οὔτε πρότερον τῆς ἀρχῆς ἀποστερεῖν τὸν βασιλεως εἰλόμην παῖδα, οὔτε νῦν αἱρήσομαι, ἀλλὰ πάντα τρόπον ἐπιχειρήτω συνδιασώζειν ἐκείνῳ τὴν ἀρχήν. Εἴ τε γὰρ πολέμῳ Βυζαντίου τε κρατήσω, καὶ αὐτοῦ βασιλέως, εἴτε πρὸς εἰρήνην χωρήσωσιν ἐμοὶ συμβάσεις θέμενοι ἐπὶ τῷ βασιλέα στέργειν, εἴθ' ἑτέρῳ τρόπῳ δή τινι περιγένωμαι, τῆς πατρῴας ἀρχῆς οὐκ ἀποστερήσω· ἀλλ' αὖθις μετ' ἐμὲ Ῥωμαίων εἶναι βασιλέα καταστήσω, θυγατέρα τὴν ἐμὴν ἐκδοὺς πρὸς γάμον· οὐ μὴν, ἀλλ' εἰ καὶ πρότερον συμβαίη, ἢ ἑτέραν ἐκεῖνον ἀγαγέσθαι τοῦ πολέμου παρατεινομένου, ἢ παῖδα τὴν ἐμὴν πρὸ τοῦ γάμου τελευτᾷν, οὐδ' οὕτω πράττειν ἑτέρως ἔγνωκα· οὐδὲ διὰ τὴν ἑτέρως ἀγνωμοσύνην, κακὸς αὐτὸς καὶ ἀχάριστος περὶ τὸν ἐμοὶ φίλτατον ἐκεῖνον βασιλέα, καὶ τοὺς παῖδας ἀποδείκνυσθαι. Οὕτω δὲ τούτων κεχριμένων παρ' ἐμοὶ, ὡς ἀδύνατα αἰτεῖτε συνορᾷν ἤδη καὶ ἡμῖν ἐξέσται. Οὐ γὰρ δὴ λήῖον, ὥσπερ βασιλέων ἀποδείξομεν· ἀλλ' ἢ μηδένα ἕτερον εἶναι βασιλέα δέον, ἢ καὶ τὸν ὄντα ἀποκτιννύναι. Τοῦτο δὲ ὡς ἀδύνατον ἐμὲ ποιεῖν, οὐδ' ἀποδείξεως οἶομαι δεήσεσθαι· ἴστε γὰρ σαφῶς ὡς εἰ πάντες, ὅσοι καὶ Ἑλλήνων, καὶ βαρβάρων ἄρχουσι κατὰ τὴν οἰκουμένην κοινῇ ψήφῳ δουλεύσειν ἐπηγγέλλοντο ἐλθόντες, καὶ κοινὸν ἁπάντων ἀνθρώπων ἀποδείξειν βασιλέα, ἐπὶ τῷ βασιλέα τὸν νέον Ἰωάννην ἀποκτείνειν, μᾶλλον ἂν εἰλόμην ἐσχάτῃ συζῆν πενίᾳ καὶ ἀφανείᾳ πολλῇ, ἢ οὕτω φαῦλα, καὶ παράνομα προελόμενος συμπάντων ἀνθρώπων ἄρχειν· οὐ μόνον διὰ βασιλέα τὸν πατέρα, ἀλλὰ καὶ δι' αὐτὸν, οὐδεμίαν αἰτίαν πρὸς τὸν πρὸς ἐμὲ κεκινημένον πόλεμον παρεσχημένον. Διὰ γὰρ τὴν ἡλικίαν, οὐδεμιᾶς οὐδέπω διοικήσεως πραγμάτων ἥπται, ὥστε καὶ αἰτίαν παρασχεῖν. Ὡς οὖν οὕτω γνώμης ἔχοντα, μήδ' αὐτοὶ πειρᾶσθε τῶν δεδογμένων ἀφιστᾶν, εἰ δ' ἄρα ἄλλως ἐγνώκατε ὑμεῖς, καὶ μηκέτι δουλεύειν ἐκεῖνῳ βούλεσθε, ἀλλ' ἕτερόν τινα τὸν ἄρξοντα ὑμῶν ἐπιζητεῖτε, παρ' ἐμοὶ μὲν οὐ ῥᾴδιον εὑρεῖν, μᾶλλον δὲ ἀδύνατον. Ἀποστᾶσι δὲ ἐμοῦ, τὰ κατὰ γνώμην ἐξέσται πράττειν· αὐτὸς γὰρ οὐ μόνον οὐ συνέψομαι πρὸς τὴν ἐπιχείρησιν ὑμῖν, ἀλλὰ κωλύσω καὶ τὰ δυνατά. Τοιαῦτα μὲν ὁ βασιλεὺς, πρὸς τοὺς ἐν τέλει διειλέχθη καὶ τὴν στρατιὰν, ἀξιοῦντας τὸν υἱὸν ἀποδεικνύναι βασιλέα. Ἐκεῖνοι δὲ ἐπεὶ μὴ πείθειν εἶχον, ἡσύχασαν, θαυμάσαντες τὴν βασιλέως ἐπιείκειαν, καὶ μεγαλοψυχίαν, ὅτι μετὰ τοὺς τοσούτους πόνους καὶ κινδύνους, οὐ τοῖς οἰκείοις μᾶλλον, ἀλλὰ τοῖς βασιλέως βούλοιτο παισὶ τὴν Ῥωμαίων ἀρχὴν παραδιδόναι.

testificandi, contra quam pollicitus sit, faciat. Proinde neque antea filium imperatoris imperio spoliare cogitasse, neque nunc spoliaturum: sed id omnimodis ei conservaturum. Sive enim armis Byzantium cum ipso imperatore capiat, sive pacem illi accipiant, seque certis conditionibus imperatoris collegam patiantur: sive alio quodam modo vincat, paterno eum principatu non depulsurum, sed rursus imperatorem Romanum, filia sua in matrimonium ei data secum esse permissurum. Nec istuc solum, sed etsi contigerit illum aliam ducere (bello longius extenso scilicet), aut filiam suam ante nuptias in fata abire, non aliter facere, nec propter aliorum improbitatem nequam se, et ingratum erga imperatorem deortum, sibi charissimum, ejusque filios ostendere decrevisse. His apud se fixis, illos posse cognoscere, quomodo petant, quæ ipse præstare nequeat. Non enim profecto instar segetum creandos imperatores, sed aut nullum alium esse imperatorem: aut qui est, eum occidi oportere. Hoc autem se facere neutiquam posse, demonstratione non egere. Certo enim sibi persuadeant, si omnes, quotquot Græcis et Barbaris per orbem terrarum imperitant, venirent, unanimesque promitterent, se ipsi subjectos fore, **672** et communem omnium mortalium regem salutaturos, sub ea conditione, ut Joannem imperatorem adolescentem interficeret, electurum potius vitam perpetuo pauperrimam obscurissimamque degere, quam adeo improba, et scelerata in animum inducentem, omnibus hominibus jura dare; idque non solum propter patrem ejus imperatorem, sed etiam propter ipsum, qui in causa belli adversum se suscepti nullo modo fuerit. Ob ætatem enim infirmiorem nihil adhuc publici muneris administrasse, ut id facere potuerit. Quia igitur ita ipse statuerit, ne se a sententia detorquere conentur, si forte aliter ipsi sentiant, nec hæredi legitimo subesse in futurum velint, alium autem quærant qui ipsis imperet, apud se quidem, illum haud facile, aut omnino nunquam inventum iri. Si a se desciscant, potestatem habituros faciendi quæ libuerit: se tamen molitionem illorum non modo non secuturum, sed quantum in se sit, etiam prohibiturum. Hæc ad proceres, et exercitum imperator, cum filium ejus imperatorem designari peterent. Quem ut permovere nequiverunt, petitione destiterunt, ejus modestiam, animique præstantiam suspicientes, quod post tot casus, et discrimina rerum non magis consanguineis, quam imperatoris defuncti liberis imperium tradere cuperet.

Digitized by Google Распознавание текста ABBYY FR

CAPUT XCIII.

Cædis Thessalonicensium causa exponitur, quam Palæologus Joannis Apocauchi in præfectura collega præbuit. dum potestate abutitur; quem Apocauchus occidit. Zelotarum scelus et impietas. A populo quidam trucidantur. Unus per forum trahitur, lapidibusque et liynis impetitus occiditur. Apocauchus se pro Cantacuzenico gerit, Zelotas punit, defectionem ad imperatricem simulat, patre occiso Cantacuzenismum aperte profitetur, et Thessalonicam ei tradit, concilio approbante. Georgius Cocalas, et Andreas Palæologus laudantur.

Sub idem tempus populus Thessalonicensis multos cives occidit, ex tali quadam causa. Magni ducis filius Joannes Apocauchus, dignitate magnus primicerius, et præfectus Thessalonicæ, neque sic erat comparatus, ut contra eos, qui Cantacuzeni partium videbantur fureret: neque tamen aperte eorum studia adjuvabat. Cernens porro, non modicam Zelotarum potentiam, et eos urbem totam per se gubernantes, sibique inane **673** præfecti nomen relictum, iniique ferebat, nec leviter indignabatur. Michael enim Palæologus, zelotarum caput, ejusque in præfectura collega, æqualitate magistratus minime contentus, sed plus sibi arrogans, vehementer eum cruciabat: cui vi et armis resistendum non putabat, cum zelotas tam multos et plebem quæ ab illis regebatur, pertimesceret. Accedebat, quod pater adhuc vivebat. Alium itaque modum circumspiciebat, quo illo disperdito, præfecturam solus obtineret. Ob id optimates potis imum, et qui Cantacuzeno studere videbantur, ad auctoritatem suam alliciebat, sibique socios adjungebat, jucunde cum illis confabulans, seque earumdem esse partium subinsinuans. Ubi illi nullo negotio in ejus fidem concesserunt, et honorato eum comitatu cinxerunt, statim collegæ per insidias eadem moliri instituit. Quo eum simul amici, Palæologum capitali odio prosequentes maximopere incitabant, quod per tempus belli omne in eos acerbitatis ac petulantiæ suæ virus effuderat, facultates eorum publicando, ipsos in carcerem compingendo, multos in exsilium ejiciendo, et omnem denique sceleris modum exsuperando. Erat enim ad male faciendum natus, et levi de causa, atque ob suspicionem duntaxat atroces pœnas exigebat. Postquam de eo interimendo convenit, et quidam de iis, quos mire vexaverat, hoc sibi muneris deposcit, Apocauchus cum stipatoribus suis, omnibus intrinsecus armis contectis, ne quasi res novas molirentur, deprehendi possent, ad regionem civitatis in primis solitariam accedit, populi motum ac tumultum ex cæde oriturum veritus: simulataque deliberatione de republica collegam, ut cum eo sententiam collaturus accersit. Qui meditatæ sibi necis ignarus, paucis comitantibus accedit. Cum ambiguus sermo texeretur, Palæologus antea in congressione ob magistratum fastuosior, tunc quoque asperius respondit. Illi de industria conviciis hominem magis irritare. Tum rem ipsam suspicione attingens, eos videlicet novi quippiam machinari, ad fugam cum minis dirissimis effertur. Quem prævenions qui cædem susceperat, gladio in viscera adacto eum interficit. Zelotæ subito e

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ ὁ ἐν Θεσσαλονίκῃ δῆμος ἀνεῖλε πολλοὺς τῶν πολιτῶν ἐξ αἰτίας τοιαύτης. Ὁ τοῦ μεγάλου δουκὸς υἱὸς Ἀπόκαυχος, ὁ Ἰωάννης, μέγας ὢν πριμικήριος, τὴν ἀξίαν, τὴν ἀρχὴν Θεσσαλονίκης ἐπιτετραμμένος, οὔθ' οὕτως εἶχεν, ὥστε μαίνεσθαι κατὰ τῶν ῥᾳθύμως δοκούντων τὰ Καντακουζηνοῦ τοῦ βασιλέως, οὔτε φανερῶς συνέπραττεν αὐτοῖς. Ὁρῶν δὲ τοὺς Ζηλωτὰς, ἐπιπολὺ, καὶ τὴν πόλιν πᾶσαν ἀγοντας δι' ἑαυτῶν, ἐκείνῳ δὲ κενὸν ὄνομα τῆς ἀρχῆς περιλειπόμενον, δεινὰ ἐποιεῖτο καὶ ἠγανάκτει οὐ μετρίως. Παλαιολόγῳ γὰρ Μιχαὴλ, κεφάλαιον ὢν τῶν Ζηλωτῶν, καὶ συνάρχειν ἐκείνῳ τεταγμένος, λυπηρὸς ἦν μάλιστα τῇ ἐξουσίᾳ χρώμενος οὐκ ἴσως. Τὸ μὲν οὖν φανερῶς ἀντικαθίστασθαι πρὸς πόλεμον, οὐκ ἐδοκίμαζεν. Ἐδεδίει γὰρ πολλοὺς ὄντας τοὺς Ζηλωτὰς καὶ τὸν δῆμον ἀγόμενον ὑπ' ἐκείνων· ἄλλως θ' ὅτι καὶ ὁ πατὴρ ἐκείνῳ ἔτι ἔζη. Ἐσκέψατο δὲ τρόπῳ δή τινι ἑτέρῳ διαφθείρειν, καὶ τὴν ἀρχὴν ἅπασαν ἐφ' ἑαυτὸν μετάγειν τῶν πραγμάτων, καὶ τοὺς μάλιστα ὁρίστους, καὶ τὰ Καντακουζηνοῦ δοκοῦντας ῥᾳθύμως ἔχειν τοῦ βασιλέως ὑπεποιεῖτο, καὶ προσηταιρίζετο συνομιλῶν ἡδέως καὶ παραφαίνων ἀμυδρῶς, ὡς τὰ ἴσα καὶ αὐτὸς αὐτοῖς αἱροῖτο. Ἐπεὶ δ' ἐκεῖνοι μᾶλλον προσεχώρουν, καὶ σύστημα ἦν περὶ αὐτὸν οὐκ ἀγενὲς, ἐπεβούλευεν εὐθέως ἀποκτείνειν τὸν συνάρχοντα. Συνεξώρμων δὲ μάλιστα καὶ οἱ φίλοι, ἀπεχθῶς περὶ ἐκεῖνον μετὰ πάσης ἔχοντες ὑπερβολῆς. Οὐδὲν γὰρ παροινίας καὶ πικρίας ἐκεῖνος πρὸς αὐτοὺς ἐνέλιπε κατὰ τὸν πολέμου χρόνον, τάς τε οὐσίας δημεύων, καὶ δεσμωτηρίοις καταπλείοις, καὶ ὑπερορίοις πολλοὺς τοὺς πλείους, καὶ πᾶσαν κακίας ἐνδεικνύμενος ὑπερβολήν· ἦν γὰρ μάλιστα ἔχων εὐφυῶς περὶ τὸ κακουργεῖν, καὶ μικρᾶς ἕνεκα αἰτίας καὶ ὑποψίας μόνης μεγάλας δίκας ἀπαιτῶν. Ἐπεὶ δὲ ἐδέδοκτο ἀποκτείνειν, καὶ ὑφίστατο τὸ ἔργον τις τῶν πρότερον ὑπ' ἐκείνου πολλὰ κεκακωμένων, Ἀπόκαυχος τοὺς περὶ αὐτὸν ἔχων πάντας ἔνδον ὡπλισμένους, ἵνα μὴ ὦσι κατάφωροι νεωτερίζοντες, πρὸς τὰ τῆς πόλεως μάλιστα ἀοίκητα μέρη ὑπεχώρει, τοῦ δήμου τὴν κίνησιν ὑποπτεύων, καὶ τὴν ἐκ τοῦ ὄχλου ταραχὴν, σκηψάμενος δέ τι βουλεύεσθαι τῶν κοινῶν, μετεκαλεῖτο καὶ τὸν συνάρχοντα, ὡς κοινωνήσοντα τῆς βουλῆς· ὁ δὲ, μηδὲν εἰδὼς τῶν ἐσκαιωρημένων ὀλίγους ἔχων περὶ αὐτὸν, ἦκε πρὸς ἐκεῖνον. Λόγων δὲ ἀμφιβόλων κεκινημένων, ὁ Παλαιολόγος οἷα δὴ πρότερον ἐκ τοῦ ὑπερέχοντος τοῖς ἄλλοις εἰθισμένος ὁμιλεῖν· καὶ τότε τραχυτέρας τὰς ἀποκρίσεις ἐποιεῖτο· οἱ δὲ, μᾶλλον ἐξεπίτηδες ἠρέθιζον τρεπόμενοι πρὸς ὕβρεις. Ὁ δὲ, ὑποπτεύσας, ὅπερ ἦν, νεωτερίζειν βούλεσθαι ἐκείνους, ὥρμητο μὲν πρὸς φυγὴν, τὰ ἔσχατα διαθήσειν ἀπειλῶν. Φθάσας δὲ ἐκεῖνος ὁ

Digitized by Google Распознавание текста ABK/FR

τὸ ἔργον ὑποστάς, ὦθησε τὸ ξίφος κατὰ τῶν σπλάγχνων, καὶ ἀπέκτεινεν. Εὐθὺς μὲν οὖν οἱ Ζηλωταὶ ὑπεχώρουν, καὶ κατεδύοντο εἰς χηραμούς· ὅ τε δῆμος οὐδὲν ὑπὲρ τοῦ πεσόντος ἠγανάκτησεν. Ἦν γὰρ οὐδὲ πρότερον καλῶς διακείμενος περὶ τοὺς Ζηλωτάς· ἦσαν γὰρ ὁμοίως καὶ περὶ τὰ θεῖα, ὥσπερ καὶ περὶ τὰ ἀνθρώπινα ὑβρίζοντες, καὶ πολλὴν ἐπιδεικνύμενοι τὴν μοχθηρίαν. Οὐ μόνον γὰρ ἠδίκουν ἀδεῶς, καὶ διεπόρθουν τὴν χώραν ἐπιόντες, καὶ τὰς κοινὰς συμφορὰς ἀφορμὰς ποιούμενοι ἰδίας εὐπραγίας, ἀλλὰ καὶ κατὰ τὰς ἀγυιὰς δεξαμενάς τινας ὕδατος πληροῦντες, εἶτα καὶ ὑφάπτοντες κηροὺς, τινὰς τῶν τὰ Καντακουζηνοῦ ᾠδῆσθαι δοκούντων βασιλέως, συλλαμβάνοντες ὄντας ἐκ τοῦ δήμου, ἀνεβάπτιζον ὡς ἀπομοσαμένους τὸ βάπτισμα διὰ τὴν ἐκείνου κοινωνίαν· τούς τε παριόντας ἐκέλευον ἀργύριον ῥητὸν κατατίθεσθαι εἰς τὴν ἑορτήν· καὶ ἦν ἀνάγκη πράττειν κατὰ τὸ ἐκείνων κέλευσμα, ἢ ὑποπτεύεσθαι αὐτίκα ἦν, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾠδημένον, καὶ ἀχθόμενον πρὸς τὴν ἐρεσχελίαν. Μετὰ τοῦτο δὲ μεθύοντες ἐν καπηλείοις καὶ τὰ ἄλλα ἐξωρχοῦντο τῶν Χριστιανῶν μυστήρια, τῆς δίκης ἀνεχομένης, καὶ ἀμελούντων τῶν κερκυνῶν. Ὧν τὴν ἀτοπίαν μισήσας καὶ ὁ δῆμος, πρότερόν τε ἔκ τινων αἰτιῶν κεκινημένος, τῶν Ζηλωτῶν τινας ἐν τῷ τῆς Θεοτόκου τῆς ἀχειροποιήτου τεμένει τοὺς μὲν ἀπέσφαξαν ἀνηλεῶς, ἕνα δὲ καὶ διὰ τῆς ἀγορᾶς κατέσυραν, λίθοις βάλλοντες καὶ ξύλοις τοῖς προστυχοῦσιν, ἕως ἀπέπνευσε συρόμενος, καὶ τότε οὐδὲ ἠγανάκτησε διὰ τὸν Παλαιολόγου φόνον· ἀλλὰ δῆλος ἦν ἡδόμενος ἐπὶ τῷ ἀποσκευάζεσθαι τοὺς Ζηλωτάς. Ἀπόκαυχος δὲ ἤδη πᾶσαν ἔχων τὴν ἀρχὴν αὐτὸς, παῤῥησίας τε μετέδωκεν οὐ τῆς τυχούσης τοῖς τὰ βασιλέως πράττουσι, καὶ αὐτὸς ἦν φανερὸς τὰ ἐκείνου ᾠδημένος, καὶ τῶν Ζηλωτῶν, ὅτοι μὲν ἐν λόγῳ ἦσαν, κατέκλεισεν ἐν δεσμωτηρίῳ πρὸς Πλαταμῶνα πέμψας, καὶ τὰς ἄλλας πολίχνας ὅσαι ὑπ' αὐτῷ ἐτέλουν. Τὸν δὲ ἄλλων συρφετὸν ἐξήλασε τῆς πόλεως· ἐκεῖνος εἴτε τὸν πατέρα δεδοικὼς, εἴτε τοῖς συνοῦσιν ἀπιστῶν, πρὸς τὴν ἀκρόπολιν ἐλθὼν διῆγε· καὶ Θεσσαλονικέων ὅσοι τὰ βασιλέως ἐξηρχῆς ᾠδοῦντο, οὐκέτι ὑπεστέλλοντο, ἀλλὰ μετὰ παῤῥησίας προσίεσαν ἐκείνῳ, καὶ αὐτοῦ ὑποποιουμένου μάλιστα καὶ παρασκευάζοντος, ἣν ἔχει περὶ βασιλέα γνώμην ἕκαστος ἐκφαίνειν. Ἐπεὶ δὲ πάντας ᾔδει ἀκριβῶς, μεταβαλὼν ἀθρόον, ἠργυρολόγει τοὺς πλουσίους, Καντακουζηνισμὸν ἐπικαλῶν. Οἱ δὲ, ἐπεὶ ἀδύνατοι ἦσαν ἐξαρνεῖσθαι, αὐτοὶ γὰρ ἐξηλέγχθησαν ὑφ' ἑαυτῶν, ῥητὸν ἀργύριον κατέβαλον ἐπὶ τῷ

A medio recedentes, latibulis se condunt. Ejus morte populus nihil doluit, alioqui etiam a zelotis alienus, **674** siquidem divina et humana jura contumeliose ac sceleste violabant. Non enim duntaxat absque ullo metu irrogabant injuries, regionemque devastabant, et ex communibus miseriis suas sibi felicitates comparabant : sed et per vicos urbis, soliis aqua repletis et cereis accensis, quosdam de plebe, qui Cantacuzeno favere videbantur, comprehensos, velut qui per ejus communionem baptismum ejurassent, denuo lustrabant, ac prætereuntes constitutum pretium ad ferias agitandas jubebant persolvere. Qui si abnuerent, statim in suspicionem Cantacuzenismi incidebant, et ludibriis illis offendi putabantur. Præterea in cauponis
B usque ad ebrietatem perpotantes, Christianis mysteriis illudebant, patiente et fulmina continente divina justitia. Quorum nefanda scelera populus exosus, et antehac quasdam ob causas exacerbatus, zelotas nonnullos in Deiparæ non manufacto templo (60) absque misericordia occidit : unum per forum traxit, lapidibusque et lignis obviis tandiu impetivit ac contudit, donec animam exspiraret. Tunc itaque ob occisum Palæologum haud irascebatur, sed libere et palam propter submotos Zelotas lætitiis incedebat. Apocauchus solus jam præfectus, amicis imperatoris non parvam libertatem impertiebat, ipseque earumdem se partium esse non dissimulabat, et Zelotas insigniores ad Plata-
C monem atque ad alia oppidula juris sui mittens, in carcerem tradebat, reliquam colluviem ex urbe exterminabat. Deinde vero sive patrem timens, sive diffidens suis, arci se credit : et Thessalonicenses, quotquot ab initio ab imperatore faciebant nihil jam reformidantes, secure se illi jungebant : cujus auctoritate et opera, quid quisque de imperatore sentiret, publice ostendebat. Cum jam omnes explorate nosset, repente mutatus, divites objecto Cantacuzenismo pecuniam poscit. Qui cum negare non possent, quod semetipsi prodiderant, quo a culpa absolverentur, multam definitam pendebant : tenuioribus molestus non erat. Et cum tantummodo priorem de imperatore sententiam mutasse
D videretur, id secus erat. Etenim patrem metuens, ne illo sibi propter Zelotas occisos, et quam sequeretur imperatoris factionem irato, urbe per aliquem submissum pelleretur, aut dirum aliquid pateretur, **675** rursum se imperatrici addictum fingebat, ut eodem negotio et pecuniam tum acqui-

Jacobi Pontani notæ.

(60) Forsitan tale istuc templum fuit Thessalonicæ, quale sancti Michaelis in monte Gargano, quod et ipsum ἀχειροποίητον dici poterat, et quod locum illum non hominum ars et industria, sed ipsa natura ad templi speciem commodumque usum aptasset. Qua notione nympharum domus, vivoque sedilia saxo in *Æneid.* dicuntur. Et recte quidem ἀχειροποίητα, quia non ars, sed ipsa natura efformarat. Simile quid persuadeo mihi de illo templo, ex ipso epitheto. Non enim arbitror vocabulum ἀχειροποίητον nec velle, quod non precibus episcoporum, sed angelorum consecratum et dedicatum esset, quod fama fert de sacello Deiparæ Ephesidensi : nam hæc notio nimis violenta, et a communi ratione abhorrens esset, nisi quis philosophari vellet, de formali esse et constitutione templi. Hæc conjectura est Jacobi Gretseri, quam tibi lector proponendam duxi. Mihi quidem probabilis videtur.

Digitized by Google Распознавание текста ABK/FR

reret, et iram ejus propter commissa mitigaret. Cæterum ubi tempore intermisso nuntius illi de patre in Constantini palatio a vinctis interempto venit, omni simulatione deposita, se ab imperatore esse, factis propalam declarat, atque ad eum mittit indicatum, se ejus partes jam pridem amplexum, non solum ob morum ipsius æquitatem ac mansuetudinem, quodque unum illum Romano imperio dignum arbitraretur, sed etiam, quod multis calumniis ac bello injusto a patre exagitatum sciret, cum protostratore socero eadem sentiente pridem ad eum transire voluisse : verum a patre prohibitum, qui istuc olfaciens, Thessalonicam se misisset. Nunc quoniam præclara se occasio obtulerit, quæ diu jam apud animum proposuerit, opere exsequi, cum præstanti ac nobili auctario : secum enim adducere et illi subdere Thessalonicam, qua post Constantinopolim Romani urbem majorem et illustriorem non habeant. Quocirca hoc ei significare, ut et ipse citra molestias et pugnas tantam se civitatem accipere lætetur. Palam porro exercitus et primariorum civium principes in concilium vocans, num ad Cantacuzenum e se transeundum quæsivit, suamque primus sententiam dixit, præstare illi subesse, quam parere Byzantiis, qui nec semet possint defendere. Omnibus una mente assentientibus, Georgius Cocalas, qui ipse quoque bello hoc varia sorte usus, tamen imperatori magis adhærebat, hunc consensum suffragio suo etiam confirmavit : similiter et Andreas Palæologus, qui antea inter Zelotas numeratus, summopere eos adjuvabat, sed quia moderatior, et virtutis amantior, atque a cædibus et rapinis abhorrentior apparebat, idcirco aliis expulsis, veniam obtinuerat, propter eam qua valebat intelligentiam humanosque mores, nihil communi judicio repugnans subscripsit. Dubium tamen non erat, illum quæ agerentur ægre ferre.

A αἰτίας ἀπολύεσθαι· πρὸς δὲ τοὺς ἐπιλοίπους οὐκ ἦν βαρύς· ἀλλὰ μόνον ἐδόκει τὴν προτέραν περὶ βασιλέα γνώμην μεταβάλλειν· τὸ δὲ οὐκ ἦν ὥσπερ ὑπωπτεύετο, ἀλλὰ τὸν πατέρα δεδοικὼς μὴ διὰ τὸ Ζηλωτὰς καθηρηκέναι, καὶ τὰ βασιλέως δοκεῖν ἠρῆσθαι, ἐξελαύνοιτο τῆς πόλεως πέμψαντος ἐκείνου πρὸς ὀργήν, ἢ καὶ δεινόν τι ἕτερον ὑποσταίη, ὑπεκρίνετο αὖθις φρονεῖν τὰ βασιλίδος, ἵν' ἐν ταυτῷ χρηματίζοιτό τε καὶ παραιτοῖτο τὴν ὀργὴν ὑπὲρ ὧν ἐδόκει προσκεκρουκέναι. Ἐπεὶ δὲ μεταξὺ τοῦ χρόνου τριβομένου ἠγγέλλετο αὐτῷ ὁ πατὴρ ἐν τοῖς Κωνσταντίνου βασιλείοις ὑπὸ τῶν δεσμωτῶν ἀνηρημένος, οὐκέτι ὑπεκρίνετο οὐδέν· ἀλλὰ φανερῶς τὰ βασιλέως ἔπραττε, καὶ πρός τε ἐκεῖνον ἔπεμπε τοὺς μηνύσοντας, ὡς αὐτὸς ἐκ πολλοῦ τὰ ἐκείνου

B ἠρημένος, οὐ μόνον διὰ τὴν ἐπιείκειαν τῶν τρόπων, καὶ τὴν ἡμερότητα, καὶ τὸ μόνον ἄξιον ἡγεῖσθαι Ῥωμαίων βασιλεύειν, ἀλλ' ὅτι καὶ τῷ πατρὶ πολλὰ συνῄδει σεσυκοφαντηκότι, καὶ ἀδίκως πολεμήσαντι, πάλαι μὲν βουληθείη ἀποστῆναι πρὸς αὐτὸν μετὰ πρωτοστράτορος τοῦ γαμβροῦ τὴν ἴσην καὶ ὁμοίαν καὶ ἐκείνου γνώμην ἔχοντος, κωλυθεὶη δὲ ὑπὸ τοῦ πατρὸς ὑπωπτευκότος, καὶ διὰ ταύτην τὴν αἰτίαν πρὸς Θεσσαλονίκην πέμψαντος. Νυνὶ δὲ τοῦ καιροῦ καλῶς παρασχομένου, τὰ πάλαι κατὰ γνώμην εἰς ἔργον ἄγειν μετὰ πάνυ καλῆς καὶ θαυμασίας τῆς προσθήκης· ἄγειν γὰρ μετὰ ἑαυτοῦ καὶ Θεσσαλονίκην, μετὰ τὴν μεγάλην παρὰ Ῥωμαίοις πρώτην πόλιν, καὶ ὑποχείριον αὐτῷ ποιεῖν, οὐ μικρὸν τῆς

C Ῥωμαίων ἡγεμονίας μέρος οὖσαν· οὗ δὴ ἕνεκα καὶ αὐτῷ μεμηνυκέναι, ἵνα καὶ αὐτὸς συνήδοιτο, ὡς χωρὶς πραγμάτων καὶ πολέμων τηλικαύτην πόλιν ἔχων· καὶ αὐτὸς ἐκκλησίαν φανερῶς συναγαγὼν ἔκ τε τῶν ἀρίστων καὶ στρατιᾶς, καὶ τῶν ἄλλων πολιτῶν τῶν μάλιστα ἐν λόγῳ, ἐβουλεύετο φανερῶς, εἰ δεῖ βασιλεῖ προσχωρεῖν τῷ Καντακουζηνῷ, καὶ αὐτὸς τὴν οἰκείαν γνώμην προετίθει, ὡς εἴη λυσιτελὲς ὑπ' ἐκείνῳ μᾶλλον εἶναι, ἢ Βυζαντίοις προσέχειν, οὐδὲ ἑαυτοῖς πρὸς ἅμιλλαν ἐξαρκοῦσι. Καὶ πάντες ὥσπερ ἐκ συνθήματος ἐπεψηφίζοντο. Κωκαλᾶς δὲ Γεώργιος, πολλὰς μὲν καὶ αὐτὸς ὑποστὰς μεταβολὰς παρὰ τὸν τοῦ πολέμου χρόνον, ὅμως δὲ τὰ βασιλέως μᾶλλον ἠρημένος, ἐπεψηφίζετο καὶ αὐτὸς τότε τὴν βουλήν· ὁμοίως δὲ καὶ Παλαιολόγος Ἀνδρέας, τοῖς Ζηλωταῖς μὲν πρότερον συνὼν, καὶ συμπράττων ὅσα μάλιστα ἐνῆν· μέτριος δὲ εἶναι δοκεῖν, καὶ ἀρετῆς ἀντιποιεῖσθαι, καὶ φόνων ἀπέχεσθαι καὶ ἁρπαγῶν, διὸ καὶ τῶν ἄλλων Ζηλωτῶν ἐλαυνομένων, ἠξιοῦτο φειδοῦς αὐτὸς διὰ τὴν προσοῦσαν σύνεσιν, καὶ τὴν ἐπιείκειαν τῶν τρόπων, οὐδὲν πρὸς τὴν βουλὴν ἀντεῖπεν, ἀλλὰ συνεπεψηφίζετο. Δῆλος δὲ ἦν ἀχθόμενος πρὸς τὰ πραττόμενα.

676 CAPUT XCIV.

Legati ad Cantacuzenum tres. Quæ Thessalonicenses a filio ejus petiverint; lætitia de impetratis; Andreas Palæologus turbas facit ex ambitione, pro quo certare parati sunt classiarii et gravis armaturæ milites. Zelotæ populum rursus concitant. Apocauchi legatus ad Palæologum cum vulnere effugit. Cocalas eum decipit. Causæ cur optime sperarent, qui ante arcem sedebant. Cocalæ fraudulentia et perversitas. Militum Apocauchi timiditas et perfidia. Arx a Palæologo occupatur. Apocauchus cum centum prope civibus carceri traditur. Falsus rumor de vinctis. Apocauchus de muro præcipitatus, capite truncatur. Idem fit aliis. De esu humani adipis. Matthæus imperatoris filius in Thracia rem bene gerit.

Postquam placuit omnibus, Cantacuzenum imperatorem complectendum, ad Manuelem Cantacuzenum ejus filium Berrhœæ morantem, Nicolaum Cabasilam et Pharmacen legatos deligunt. Dederat porro filio potestatem pater, ut si qua urbium se dederet, et ab eo aliquid beneficii rogaret, præ-

D Ἐπεὶ δὲ ἐδέδοκτο πᾶσι κοινῇ προσχωρεῖν τῷ βασιλεῖ, πρεσβευτὰς ἠροῦντο πρὸς Καντακουζηνὸν Μανουὴλ τὸν βασιλέως υἱὸν ἐν Βερρόᾳ διατρίβοντα, Νικόλαόν τε τὸν Καβάσιλαν, καὶ Φαρμάκην. Ἦν γὰρ ἐξουσίαν βασιλεὺς τῷ υἱῷ παρεσχημένος, εἴ τις τῶν πόλεων προσοῖτο, καὶ δέοιτο αὐτοῦ εὐεργεσιῶν τινων

Digitized by Google Распознавание текста ABK/FR

τυχεῖν, παρέχειν μὲν ἐκεῖνον ὅσα νομίζοι προσήκοντα καὶ δυνατά· στέργειν δὲ αὐτὸν, καὶ κατὰ μηδένα τρόπον πειρᾶσθαι καταλύειν. Ἃ καὶ Θεσσαλονικεῖς εἰδότες, ἔπεμπον τοὺς πρέσβεις πρὸς ἐκεῖνον, καὶ ἠτοῦντο οὐ μόνον ἀτέλειαν κοινῇ τῇ πόλει, ἀλλὰ καὶ πριμμικηρίῳ τε τῷ μεγάλῳ, καὶ τοῖς ἄλλοις τῶν δυνατωτέρων ἰδίᾳ τιμὰς καὶ προσόδους τὰς προσηκούσας, καὶ τῇ στρατιᾷ, καὶ τοῖς ἄλλοις μετ' ἐκείνους ἑκάστῳ κατὰ τὴν ἀναλογίαν. Ὁ τοῦ βασιλέως δὲ υἱὸς δίκαιον νομίσας μηδὲν μικρολογεῖν τηλικαύτην γε πόλιν μέλλων προσάγειν πατρὶ τῷ βασιλεῖ, πάντα ὅσα ἠτοῦντο παρείχετο οἱ πρέσβεις, καὶ πολλὴν τὴν φιλοτιμίαν περὶ τὰς εὐεργεσίας ἐπεδείκνυτο. Ἐπεὶ δὲ εἰς Θεσσαλονίκην οἱ πρέσβεις ἐπανῆκον, φέροντες καὶ τὰς βασιλέως εὐεργεσίας, ἡ πόλις μὲν ἤδη πᾶσα φανερῶς εὐφήμει βασιλέα, καὶ διὰ πάσης γλώσσης ἦδετο, καὶ ἡ στρατιὰ, καὶ οἱ ἄλλοι πάντες ταῖς δεδομέναις τιμαῖς ἠρκοῦντο. Ἀνδρέας δὲ ὁ Παλαιολόγος ἐδυσχέραινεν ἄλλων προτιμωμένων, ὧν ᾤετο αὐτὸς δίκαιος εἶναι ὑπερέχειν, καὶ ἀντεῖπε φανερῶς πάντων ἠθροισμένων ἐν τῇ Ἀποκαύχου οἰκίᾳ· καὶ διχοστασίας γενομένης, ἀσυντάκτως ἀνεχώρει. Ἐκεῖνοι δὲ ὑπολειφθέντες, ἐθορύβουν μόνον καὶ τῶν δεόντων οὐδὲν ἐποίουν· δείσας δὲ ὁ Παλαιολόγος μὴ ὑπ' ἐκείνων διαφερομένων παραπόληται, αὐτίκα τὴν πρὸς θάλασσαν πύλην ὥσπερ τινὰ κατελάμβανε φυλήν· περὶ ἣν οἰκοῦσι πᾶν τὸ ναυτικὸν, οἱ πλεῖστοί τε ὄντες καὶ πρὸς φόνους εὐχερεῖς· ἄλλως τε καὶ ὡπλισμένοι πάντες ὥσπερ τὸ κράτιστόν εἰσι τοῦ δήμου· καὶ σχεδὸν ἐν ταῖς στάσεσι πάσαις αὐτοὶ τοῦ παντὸς πλήθους ἐξηγοῦνται προθύμως ἑπομένου, ᾗ ἂν ἄγωσιν αὐτοί. Ἔχουσι δὲ καὶ ἰδιάζουσαν ἀρχὴν αὐτοὶ παρὰ τὴν τῆς ἄλλης πόλεως, ὧν ἐκεῖνος τότε ἦρχε. Διά τε οὖν τὸ ἄρχειν, καὶ τὴν ἄλλην εὔνοιαν, ἣν εἶχον πρὸς αὐτὸν, προθύμως ὑπὲρ ἐκείνου ἀνελάμβανον τὰ ὅπλα, καὶ ἀνύεσθαι ἦσαν ἕτοιμοι παντί τῳ ἐπιόντι. Κωκαλᾶς δὲ οὐδ' αὐτὸς μὲν ἡσυχάζειν ἐγίνωσκεν ἐν τοῖς παροῦσιν, ἀλλὰ περὶ τῆς ἀρχῆς ἐπεβούλευεν Ἀποκαύχῳ· μᾶλλον γὰρ ἑαυτῷ ἢ ἐκείνῳ ᾤετο προσήκειν. Ἐλέγετο δὲ καὶ ὑπωπτευκέναι ἠδικῆσθαι παρ' ἐκείνου πρὸς τὸν γάμον, δι' ἃ ἐβούλετο εἰ δύναιτο διαφθείρειν. Φανερῶς μὲν οὖν ἐκεῖνος οὐκ ἀνθίστασθαι ἐδόκει, ἀλλὰ πρεσβεύων παρ' ἑκατέροις ἐπὶ τῷ διαλύειν, μᾶλλον συνέκρουε καὶ παρώξυνε τὸν πόλεμον. Παλαιολόγος δὲ τοὺς Ζηλωτὰς, ὅσοι περὶ Θεσσαλονίκην ἦσαν μετεκαλεῖτο· ἔνιοι δὲ καὶ κατακρυπτόμενοι ἐν ἀδύτοις, ἐξαίφνης ἀνεφαίνοντο, καὶ ὁ δῆμος ἅπας ἐξεκυμαίνετο ὑπ' αὐτῶν, καὶ δῆλοι ἦσαν αὖθις χωρήσοντες ἐπὶ τοὺς ἀρίστους. Ὁ μέγας δὲ πριμμικήριος μετὰ τῶν ἄλλων πολιτῶν καὶ τῆς στρατιᾶς ὑπὲρ ὀκτακοσίους ὄντες ὡς ἐλέγετο, δεινὰ ἐποιοῦντο, εἰ Παλαιολόγου μόνου μετὰ τῶν παραθαλασσίων (ὁ γὰρ ἄλλος δῆμος οὐδέπω οὐδετέροις καθαρῶς προσέκειτο), τοσοῦτοι ὄντες ἡττηθεῖεν· ὅμως Ἀπόκαυχος οὐκ ἠμέλει τοῦ μὴ χωρεῖν πρὸς τὰς συμβάσεις, ἀλλὰ πρὸς τὸν Παλαιολόγον ἔπεμπε τὸν Κοτεανίτζην πρεσβευτὴν τῆς στρατιᾶς ὄντα ἡγεμόνα, διαλεξόμενον περὶ εἰρήνης.

A staret quæ decere et fieri posse existimaret; se, quæ egisset, firma et rata in perpetuum habiturum. Quod cum Thessalonicenses minime fugeret, per oratores non solum vectigalium immunitatem urbi in commune, verum et magno primicerio et aliis potentioribus separatim honores reditusque honestos, similiterque præsidio et aliis, unicuique pro portione, commoda petunt. Imperatoris filius non sibi scrupulosius causandum putans, ut amplissimam civitatem patri liceret acquirere, concedit omnia, seque illis gratificandi cupidissimum ostendit. Legatis Thessalonicam reversis cum beneficiis impetratis, tota urbs imperatori omnia fausta ac felicia comprecari, eumque omnium linguis in cœlum ferre, militesque et alii omnes B concessis honoribus contenti esse. Solus Andreas Palæologus alios sibi prælatos, quibus jure præferendus fuisset, moleste patiebatur, totique conventui in ædibus Apocauchi se opponebat, natisque discordiis, indicta salute abscedebat. Tum cæteri fremere tantum, et nihil quod officium poscebat, facere. Timens autem Palæologus, ne illorum a se discrepantia malam sibi mortem afferret, statim portam versus mare, ut aliquam custodiam occupavit: circum quam habitant omnes classiarii, quorum magna est et ad trucidationes obeundas haud impigra multitudo. Adhæc gravis armaturæ omnes, tanquam robur populi: **677** cui ferme in cunctis seditionibus præeunt, alacriter sequenti, quo ipsi duxerint. Habent vero suum proprium C magistratum, cui tunc Palæologus præerat. Quam ob causam, et quia cæteroqui illum diligebant, prompti pro eo arma capessebant, et cuilibet contra se ferenti resistere parati erant. Cocalas in præsenti nec sibi otium agendum, sed de præfectura Apocaucho, quam sibi, non illi convenire opinabatur, insidiandum duxit. Dicebatur etiam suspicatum esse, sibi ab eo factam injuriam propter nuptias. Quamobrem occidere hominem cupiebat, si posset. Apocauchus igitur aperto Marte resistendum non existimans, ad utrumque de compositione mittendo, bellum magis irritavit et incendit. Palæologus Zelotas, quotquot Thessalonicæ erant, coegit: nonnulli etiam in adytis absconditi, repente prodierunt, a quibus populus D omnis instar fluctuum est concitatus; et apparebat eos rursum in optimates ituros. Magnus porro primicerius et alii cives, et præsidium (quorum omnium numerus ad octingentesimum putabatur ascendere) pro indigno habebant, si a Palæologo solo cum maritimis seu classiariis (populus enim nondum alterutri parti liquido adhærebat) ips. tam multi vincerentur. Tamen Apocauchus pactorum haud negligens, Theanitzen præsidii ducem pacis conficiendæ mittebat. Quem priusquam orationem inciperet, Zelotæ, quibus pax parum videbatur conducere, irruentes, gladiis et hastis appeterunt, multosque ictus incusserunt: prosternere tamen, intus thorace ferreo munitum, non potue-

Digitized by Google Распознавание текста ABK/FR

runt, sed in vola tantum vulneratus effugit. Apocauchum, audita eorum insolentia, maritimos et Zelotas, qui a Palæologo serviebant, invadendi impetus cepit; et facile adhuc imparatos, populoque nondum illis succenturiato oppressisset, nisi Cocalas specie consilii eum deludens cohibuisset. Promittebat enim, citra sanguinem se a Palæologo concordiam societatemque persuasurum. Noctu Apocauchus, et præsidium, aliique cives ante arcem in armis manent. Palæologus iterum ad portam versus mare cum maritimis et Zelotis pernoctat; confusio ac tumultus ingens civitatem occupat; imperatoris Cantacuzeni appellatio rursum evanescit, et amicos ejus undique metus et horror circumstat. Et juxta mare quidem faces crebræ sustollebantur, strepitus terribilis, **678** et obscurum murmur, et buccina per totam noctem insonans, plebemque contra optimates convocans exaudiebatur. At illi alii ante arcem quieti et dispositi sedebant, ad pugnam cum plebe committendam alacres; sperabant enim etiam illius partem aliquam sibi auxilio fore. Præterea cum et arcem tenerent, quamvis adversariis succubuissent, nihil singulare passuros, sed in eam confugituros vehementer confidebant. Berrhœa insuper subsidium exspectabant. Simul enim Palæologus bellum orsus erat, ad filium imperatoris miserant, rogantes, ut vel ipse cum militari manu adveniret, vel copias auxiliatum mitteret. Sic ambobus sibi castris oppositis, et utrisque ad prælium paratis, noctis tempus exactum est. Claro jam die Apocauchus cum suis pugnaturiens descendit: et Cocalas denuo utrosque separatim adiens, specie quidem de pace disserebat, re autem ipsa ad dimicationem eos inflammabat. Duces item allocutus, clam eos corrumpebat, et a conflictu dehortabatur, suadebatque, ut eo cœpto, primi terga darent. His ita compositis, populum in eos ducit. Ac tum primum hostem esse patuit. Cum propiores jam jacula torquerent, milites dicere, contra populares non pugnandum, neque domesticos occidendos, sed in arcem, ut in tutum perfugium recedendum, ac simul recedere, quos alii, vellent nollent, sequebantur. Ad eam ut venerunt, Apocauchus orare, uti ante muros obversi, hostem pugnando sustinerent; erat namque locus equestri prælio idoneus. Milites detrectare, affirmareque ingrediendum, et muris conscensis inde hostem propellendum; ubi intus fuerunt, rogati ut muros ascenderent, impetumque hostilem inde arcerent, noluerunt, dicentes nescire se de muro pugnare, neque cives suos sine ulla causa velle occidere, aut ab illis occidi. Apocauchus et cæteri, cum proditionem perspicerent, periculumque præsens animadverterent, fugam extra arcem arripere cogitabant. Forte fortuna claves arcis penes Zelotam erant, qui ut dissidium et ad fugam inclinatos vidit, futuri providus eas abscondit. Duabus autem portis arcis longius inter se distantibus, Apocauchus cum aliis

A Πρὶν δέ τι πρὸς ἐκεῖνον εἰπεῖν, οἱ Ζηλωταὶ προσπεσόντες, οὐ γὰρ ἐδόκει ἡ εἰρήνη αὐτοῖς λυσιτελεῖν, πολλὰς μὲν προσήνεγκαν πληγάς, καὶ ξίφεσι καὶ δορατίοις, καταβαλεῖν δὲ οὐκ ἠδυνήθησαν τεθωρακισμένον ἔνδον ὄντα· ἀλλ' ἐξέφυγε, τὴν χεῖρα μόνην ἐπὶ τῷ καρπῷ τραυματισθείς. Ἀπόκαυχος δὲ ἐπεὶ τὴν αὐθάδειαν ἐπύθετο, ὥρμησε μὲν ἐπελθεῖν τοῖς παραθαλασσίοις καὶ τοῖς Ζηλωταῖς ὑπὸ Παλοιολόγου τεταγμένοις, καὶ ῥᾳδίως ἂν ἐκρότησεν ἔτι ἀπαρασκεύους ἐπελθών, τοῦ τε δήμου μήπω παντὸς αὐτοῖ; συντεταγμένου, ἐπέσχε δὲ ὁ Κωκαλᾶς, ἀπατήσας ἐν προσχήματι βουλῆς. Ἐπηγγέλλετο γὰρ αὐτὸς χωρὶς αἱμάτων Παλαιολόγον πείσειν πρὸς αὐτοὺς ἐλθεῖν καὶ συμφρονῆσαι. Ἅμα δὲ ἐπεὶ ἤδη ἐπεγένετο καὶ ἡ νύξ,

B Ἀπόκαυχος μετὰ τῆς στρατιᾶς καὶ τῶν ἄλλων πολιτῶν πρὸ τῆς ἀκροπόλεως ηὐλίσαντο τὴν νύκτα ὡπλισμένοι. Παλαιολόγος δὲ αὖθις ἐπὶ τῆς πρὸς θάλασσαν πύλης μετὰ τῶν παραθαλασσίων καὶ τῶν Ζηλωτῶν διενυκτέρευε, καὶ σύγχυσις δεινὴ καὶ ἀταξία τὴν πόλιν εἶχε, καὶ ἡ μετὰ βασιλέως τοῦ Καντακουζηνοῦ προσηγορία αὖθις ἀπεσβέννυτο· φόβος δὲ περιειστήκει πανταχόθεν τοὺς τἀκείνου ᾐρημένους. Καὶ ἦν ὁρᾶν πρὸς μὲν θάλασσαν, φρυκτούς τε συχνοὺς ἀνιστχομένους, καὶ πάταγον δεινὸν, καὶ θροῦν ἄσημον ἐξακουόμενον, καὶ τὴν σάλπιγγα διὰ πάσης τῆς νυκτὸς βοῶσαν καὶ συγκαλουμένην τὸν δῆμον ἐπὶ τοὺς δυνατούς· ἐκείνους δὲ πρὸ τῆς ἀκροπόλεως ἐστρατοπεδευμένους ἀθορύβως μὲν καὶ τεταγμένως, προθύμους δὲ ὅμως συμπλέκεσθαι τῷ δήμῳ

C ὄντας· ἤλπιζον γάρ τι καὶ μέρος αὐτοῖς συνέσεσθαι τοῦ δήμου. Ἄλλως δ' ὅτι καὶ τῆς ἄκρας ὑπ' αὐτῶν κατεχομένης, ἐλπίδας εἶχον οὐκ ἀγεννεῖς, εἰ καὶ ἧττους φαίνοιντο τῶν ἀντιτεταγμένων, οὐδὲν πείσεσθαι δεινὸν, ἀλλ' ἀναχωρήσειν πρὸς τὴν ἄκραν. Πρὸς δὲ τούτοις καὶ ἐκ Βερροίας ἥξειν ἤλπισαν συμμαχήσουσαν στρατιάν. Ἅμα γὰρ τῷ Παλαιολόγον ἦρχθαι τοῦ πολέμου, πρὸς τὸν βασιλέως οὗτοι πέμψαντες υἱὸν, ἢ αὐτὸν ἥκειν ἐδέοντο μετὰ τῆς στρατιᾶς, ἢ πέμπειν συμμαχίαν. Οὕτω μὲν οὖν διῆλθεν ἡ νύξ, ἀμφοτέρων ἀλλήλοις ἀντιστρατευομένων, καὶ παρασκευαζομένων πρὸς τὸν πόλεμον. Ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, Ἀπόκαυχος μὲν μετὰ τῆς στρατιᾶς κατέβαινε διαγωνισόμενος· Κωκαλᾶς δὲ αὖθις πρὸς ἑκατέρους ἐπιφοιτῶν, τὸ δοκεῖν μὲν

D περὶ εἰρήνης διελέγετο, τῇ δ' ἀληθείᾳ παρώξυνε πρὸς μάχην, διαλεχθεὶς δὲ καὶ τοῖς ἡγεμόσι τῶν λόχων κρύφα διέφθειρε, καὶ κατέπεσθε μὴ μάχεσθαι, ἀλλὰ γενομένης συμβολῆς, πρώτους καὶ' αὐτοὺς θέσθαι τὴν τροπήν. Ἐπεὶ δὲ τοιαῦτα ᾠκονόμητο, τὸν δῆμον αὐτοῖς ἐπῆγεν, ἄχρι τότε μήπω φανερὸς γεγενημένος, ὅτι πολεμεῖ. Ἐπεὶ δὲ ἐγγὺς ἦσαν καὶ ἠκροβολίζοντο, οἱ στρατιῶται οὐκ ἔφασαν ἐᾶν πρὸς ὁμοφύλους μάχεσθαι, οὐδὲ τοὺς οἰκείους ἀποκτείνειν, ἀλλὰ πρὸς τὴν ἄκραν ἀναχωρεῖν, ἐνὸν ἀκινδύνως σώζεσθαι, καὶ ἅμα ἀνεχώρουν, συνείποντο δὲ ἀνάγκῃ καὶ οἱ ἄλλοι. Ἐπεὶ δὲ ἐγένοντο πρὸς τῇ ἄκρᾳ, Ἀπόκαυχος μὲν ἐδεῖτο πρὸς τῶν τειχῶν ἀμύνεσθαι καρτεροῦντας· ἦν γὰρ καὶ τὸ χωρίον ἐπιτηδείως ἔχον πρὸς ἱππηλασίας. Ἡ στρατιὰ δὲ οὐκ

Digitized by Google Распознавание текста ABK/FR

ἔφασαν δεῖν, ἀλλ' ἔνδον εἰσιέναι, καὶ ἀμύνεσθαι A socius ad eam, qua e mœnibus egressus est accessit : quam cum clausam invenirent, diffindere tentaverunt. At populus arcis (erat siquidem instar parvæ urbis, propriosque **679** habebat incolas) fugam eos capessere, et se populo urbano quem superduxissent, prodi non sinebat, sed oppugnantibus intus eos secum resistere volebat. Hæc dum fiunt, populus urbanus foris ignem portæ arcis, versus urbem, quandoquidem nemo propugnabat, implicat. Claviger Strategius (hoc enim illi nomen) accurrens aperit, populus se infundit, subitoque in ipso aditu cives duos trucidat, deinde ad arma equosque diripiendos convertitur. Apocauchus et socii captos se aspicientes, quoniam fuga excludebantur, de equis descendunt, armis depositis se occulunt ; pauci tamen latuerunt, plures ab hostibus despoliati armis, nudi relicti sunt. Cocalas et Palæologus milites tuebantur, et eos vetabant spoliari, quosque inveniebant equos, singulis donabant, tum ut pretium proditionis, tum quod jurassent ipsis nihil mali illaturos, si cæteros prodidissent. Sic itaque Cantacuzeni pars a militibus prodita, vi devicta est. Cocalas et Palæologus populum jam etiam incolas arcis diripientem expulerunt; ipsi usque ad noctem exspectantes, dimissis domum militibus, amicos quosdam servarunt : Apocauchum et cives paulo infra centum in arcis carcere, apposita custodia, clauserunt. Sequenti diluculo auxiliarii Berrhœa adfuerunt, qui, ut acceperunt captos esse quorum gratia veniebant, cum mediocri populatione domum redierunt. Circa meridiem rumor quidam urbem afflavit, vinctos rursum arce occupata, Berrhœense subsidium intromittere : quem Zelotæ ad necem illis curandam ementiti ferebantur. Populus de integro ad arma ire, atque ad arcem vino ac furore ducibus procedere. Arcis indigenæ impetum ac direptionem rebus suis metuentes, portas occludunt, in muros ascendunt, misericordiam rogant, facturi quidquid tandem juberentur. Jussi vinctos adducere, et ad ipsos præcipites dare. Protinus nudi adducuntur. Ac primus quidem Apocauchus præcipitatur, qui forte quadam erectus stetit, ac nemine audente illum contingere, diu sic mansit. Postea unus de Zelotis, mollitiem aliis exprobrans accedit, caput ei a cervicibus gladio abscindit. Deinde cæteri quoque circumfusi, totum corpus vulneribus consauciant. Post hæc non uno, sed pluribus locis reliqui, **680** Zelotis nominatim petentibus, de muro præcipites aguntur : quos circumsistens populus, ferina quadam immanitate sagittis configit, quorumdam etiam capita præcidit. Ita omnes crudelem in modum, præter paucos, quos incolæ arcis absconderant, interierunt : quorum neci Cocalas et Palæologus præsentes, se rem ægrius ferre, furorem tamen populi cohibere ac reprimere haud posse simulabant, qui deinde in ædes involans, alios insuper cives contrucidavit. Cum ad domum Cocalæ Zelotis præeuntibus ve-

ἀναβάντας ἀπὸ τῶν τειχῶν. Ἐπεὶ δὲ ἔνδον ἦσαν, παρακαλούμενοι αὖθις ἐπὶ τὰ τείχη ἀναβαίνειν καὶ ἀμύνεσθαι, οὐκ ἠθέλησαν, μὴ εἰδέναι φάσκοντες τειχομαχεῖν, μηδὲ κτείνειν τοὺς οἰκείους, ἢ κτείνεσθαι, ἀνάγκης μηδεμιᾶς ὑπούσης. Ἀπόκαυχος δὲ μετὰ τῶν ἄλλων ἐπεὶ τὴν προδοσίαν κατενόουν, καὶ τὸν κίνδυνον περιεστηκότα συνεώρων, ὥρμηντο φεύγειν ἔξω τειχῶν· συνέβη δὲ τὸν τὰ κλεῖθρα τῆς ἄκρας κατέχοντα, τῶν Ζηλωτῶν ἕνα εἶναι· ὃς ἐπεὶ διχοστατοῦντας εἶδε καὶ ὡρμημένους φεύγειν, συνεὶς τὸ μέλλον, ἀπεκρύπτετο τὰ κλεῖθρα ἔχων. Πολὺ δὲ τῶν πυλῶν ἑκατέρων τῆς ἄκρας ἀλλήλων διεχουσῶν, Ἀπόκαυχος μὲν μετὰ τῶν ἄλλων ἐχώρουν ἐπὶ τὴν ἐξάγουσαν τῶν τειχῶν. Ἐπεὶ δὲ ἦν κεκλεισμένη, ἐπεχείρουν διακόπτειν· ὁ B δῆμος δὲ ὁ τῆς ἄκρας (πόλει γάρ τινι ἔοικε μικρᾷ, καὶ οἰκήτορας ἰδίους ἔχει) οὐκ εἴων διαδιδράσκειν ἐπαγαγόντας αὐτοῖς τὸν δῆμον, ἀλλ' ἔνδον μένοντας, ἀμύνεσθαι τοὺς ἐπιόντας μετ' αὐτῶν. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ὁ δῆμος πῦρ ἐνίεσαν ταῖς πύλαις τῆς ἄκρας ταῖς πρὸς τῇ πόλει, ἐπεὶ μηδεὶς ἠμύνετο. Στρατήγιος δὲ ὁ τὰ κλεῖθρα ἔχων· οὕτω γὰρ ὠνόμαστο· ἦλθεν ἐλθών, καὶ ὁ δῆμος εἰσεχεῖτο· καὶ αὐτίκα μὲν πρὸς ταῖς πύλαις δύο τῶν πολιτῶν ἀπέσφαξαν· ἔπειτα πρὸς ἁρπαγὴν ἐτράποντο ὅπλων τε καὶ ἵππων. Ἀπόκαυχος γὰρ καὶ οἱ ἄλλοι, ὅτι ἑάλωσαν ἰδόντες, ἐπεὶ μὴ φεύγειν ἦν, τῶν ἵππων ἀποβαίνοντες καὶ ἀποδυόμενοι τὰ ὅπλα κατεκρύπτοντο, ἐλάνθανον δὲ ὀλίγοι, τοὺς πλείους δὲ ἀποδύοντες κατέλειπον γυμνούς. Κωκαλᾶς δὲ καὶ Παλαιολόγος περιεποιοῦντο C τοὺς στρατιώτας, καὶ ἐκέλευον μὴ ἀποδύειν· ἅμα δὲ καὶ τοὺς ἵππους εὑρίσκοντες, παρείχοντο ἑκάστῳ, ἀμειβόμενοι τῆς προδοσίας, ἅμα δ' ὅτι καὶ ὅρκους αὐτοῖς πρότερον παρείχοντο, ὡς οὐδὲν πείσονται δεινὸν ἂν τοὺς ἄλλους προδιδῶσιν. Οὕτω μὲν οὖν τὸ Καντακουζηνοῦ τοῦ βασιλέως μέρος προδοθὲν ὑπὸ τῆς στρατιᾶς, ἡττᾶτο κατὰ κράτος. Κωκαλᾶς δὲ καὶ Παλαιολόγος τὸν μὲν δῆμον ἐξήλαυνον τῆς ἄκρας· ἤδη γὰρ διήρπαζον καὶ τὰ τῶν ἐγχωρίων· αὐτοὶ δὲ περιμείναντες ἄχρι νυκτὸς, τοὺς μὲν στρατιώτας πάντας οἴκαδε ἀπέπεμπον, καί τινας τῶν φίλων αὐτοὶ διέσωζον, Ἀπόκαυχον δὲ καὶ τῶν πολιτῶν ὀλίγῳ ἐλάσσους ἑκατὸν κατέκλεισαν ἐν δεσμωτηρίῳ πρὸς τῇ ἀκροπόλει, καὶ φρουρὰν ἐπέστησαν αὐτοῖς. D Ἅμα δὲ ἕω εἰς τὴν ἐπιοῦσαν καὶ ἡ ἐκ Βερροίας στρατιὰ παρῆν. Ἐπεὶ δὲ ἐπύθοντο ὡς ἄλοιεν οἷς ἦκον συμμαχεῖν, καταδραμόντες ἐληΐσαντό τινα ὀλίγα, καὶ ἀνέστρεφον εἰς τὴν οἰκίαν. Περὶ μέσην δὲ ἡμέραν φήμη τις προσέπιπτεν ἀθροόν πρὸς τὴν πόλιν ὡς οἱ δεσμῶται πάλιν τὴν ἄκραν κατασχόντες, τὴν ἐκ Βερροίας στρατιὰν εἰσδέχονται. Ἐλέγετο δὲ ὡς τῶν Ζηλωτῶν τινες τὰ τοιαῦτα καταψεύσαιντο ἐπὶ τῷ ἀποκτείνειν τοὺς δεσμώτας. Καὶ ὁ δῆμος αὖθις τὰ ὅπλα ἀναλαβόντες, ἐχώρουν πρὸς τὴν ἄκραν ὑπό τε θυμοῦ καὶ οἴνου στρατηγούμενοι· οἱ πρὸς τῇ ἄκρᾳ δὲ δείσαντες τὴν ἔφοδον τοῦ δήμου, μὴ τὰ ὄντα ἔνδον διαρπάσωσι γενόμενοι, ἀπέκλεισαν τὰς πύλας· ἀναβάντες δὲ ἐπὶ τῶν τειχῶν ἐδέοντο μὴ διαφθείρειν

Digitized by Google Распознавание текста ABK/FR

nissent, Pharmacen (quicum nupta erat soror uxoris ejus, quemque ipse occultaverat, et qui apud Apocauchum præfectum auctoritate multum valuerat, et Zelotas mire afflixerat) sibi dedi postulant. Cocalas vitæ suæ timens, affinem tradit, quem continuo interficiunt. Aiebant tum plebeios quosdam humanum adipem gustavisse. Nam cum dissectis occisorum corporibus viscera effunderentur, quidam summo stupore et indolentia, collectum adipem domum portavit. Uxor ignorans unde, et alterius animantis esse opinata, ad cibum suaviter condiendum in ollam injicit, ac post epulas demum viro narrante, humanum adipem se comedisse discit. Sic Thessalonica se imperatori volens adjunxit, iterumque Palæologo et Cocala auctoribus ad arma rediit, et hæc ibidem omni crudelitate crudeliora designata sunt, navisque Cantacuzeni cum ipsis vectoribus submersa periit : qui post coronationis suæ apud Adrianopolim diem festum, Matthæum filium in Thracia cum copiis, urbes, quæ cum Batatze defecerant obsessurum, et Hieraci Byzantio cum parva manu ad illos venienti se oppositurum reliquit. Eum Matthæus congressus devicit, militibus ejus universis partim concisis, partim captis : nec multum abfuit, quin ipse quoque dux caperetur. Insuper oppida armorum terrore ad deditionem coegit, ac patri subjecit.

A σφᾶς, ὡς πᾶν ποιήσοντας τὸ κελευόμενον· οἱ δ' ἐκέλευον τοὺς δεσμώτας ἄγειν καὶ κατακρημνίζειν πρὸς αὐτούς, καὶ αὐτίκα οἱ δεσμῶται ἤγοντο γυμνοί. Καὶ πρῶτον μὲν Ἀπόκαυχος κατεκρημνίσθη· οὕτω δὲ συμβὰν ὀρθῶς ἔστη, καὶ ἔμεινεν ἐπιπολὺ, μηδενὸς προσάπτεσθαι τολμῶντος. Ἔπειτά τις προσελθὼν τῶν Ζηλωτῶν, καὶ μαλακίαν τῶν ἄλλων κατηγορήσας, ἀπέτεμεν αὐτὸς τὴν κεφαλὴν μαχαίρᾳ. Εἶτα καὶ οἱ ἄλλοι περιστάντες, κατέτρωσαν τὸ σῶμα ὅλον. Ἔπειτα καὶ τοὺς ἄλλους ἐῤῥίπτουν ἀπὸ τῶν τειχῶν, ἀπαιτούντων ὀνομαστὶ τῶν Ζηλωτῶν, οὐκ ἐφ' ἕνα τόπον, ἀλλ' ἐπὶ πλείους· καὶ ὁ δῆμος θηριωδῶς καὶ ἀπανθρώπως κατηκόντιζον περιϊστάμενοι. Ἑνίων δὲ ἀπέτεμνον, καὶ κεφαλὰς, καὶ πάντας οὕτως ὠμῶς ἀπέκτειναν, πλὴν ὀλίγων λίαν, οἱ ὑπὸ τῶν τὴν ἄκραν B οἰκούντων κατεκρύπτοντο· παρῆσαν δὲ καὶ Κωκαλᾶς καὶ Παλαιολόγος ἀποσφαττομένων, καὶ ἐδόκουν μὲν πρὸς τὰ πραττόμενα δυσχεραίνειν, ἀνακόπτειν μέντοι τὴν ὁρμὴν τοῦ δήμου ὑπερῑνοντο μὴ δύνασθαι. Ἔπειτα ἐκεῖθεν ὁ δῆμος ἐτράπετο πρὸς τὰς οἰκίας, καὶ ἀπέκτειναν καὶ ἄλλους τινὰς τῶν πολιτῶν. Ἐλθόντες δὲ καὶ πρὸς τὴν οἰκίαν Κωκαλᾶ, τῶν Ζηλωτῶν ἐναγόντων, τὴν Φαρμάκην ᾔτουν ἐκεῖ κατακρυπτόμενον ὑπ' ἐκείνου· ὃς Κωκαλᾶ τῆς γυναικὸς ἀδελφῇ συνῴκει, μέγα δὲ ἐδυνήθη παρὰ Ἀποκαύχῳ ἄρχοντι, καὶ πλεῖστα ἐκάκωσε τοὺς Ζηλωτάς. Δείσας δὲ ἐκεῖνος μὴ ὑπὸ τοῦ δήμου διαφθαρῇ, παρέδωκε τὴν συγγενῆ, καὶ ἀνῃρέθη εὐθὺς ὑπὸ τοῦ δήμου. Ἐλέγετο δὲ καὶ στέατος ἀνθρωπίνου ἅψασθαί τινα τῶν τοῦ δήμου τότε. Ἀνατεμνομένων γὰρ τῶν ἀποκτεινομένων, τὰ ἔγκατα ἐξεχεῖτο· ὧν τις ὑπ' ἄκρας ἀναισθησίας καὶ ἀναλγησίας στέαρ συναγαγὼν, οἰκαδε ἀπήγαγε. Τὴν γυναῖκα δὲ μὴ εἰδυῖαν ὅθεν εἴη, νομίσασάν τινος ἑτέρου εἶναι ζώου, ἥδυσμα τῇ χύτρᾳ προσεμβαλεῖν, μετὰ δὲ τὸ φαγεῖν αἰσθέσθαι, τοῦ ἀνδρὸς ὡς εἴη ἀνθρώπινα εἰπόντος. Οὕτω μὲν ἡ Θεσσαλονίκη προσεχώρησε βασιλεῖ ἑκοῦσα, καὶ πάλιν εἰς τὸν πόλεμον ἐξετράπη ὑπὸ Παλαιολόγου καὶ Κωκαλᾶ, καὶ τοιαῦτα ἐτολμήθη πᾶσαν ὑπερβαίνοντα ὠμότητα, καὶ τὸ Καντακουζηνοῦ τοῦ βασιλέως σκάφος αὖτανδρον κατέδυ· ἐκεῖνος δὲ μετὰ τὴν ἐν Ἀδριανουπόλει τῆς ἰδίας στεφηφορίας ἑορτὴν, Ματθαῖον μὲν τὸν υἱὸν κατέλιπεν ἐπὶ τῆς Θρᾴκης ἔχοντα στρατιὰν, τάς τε πόλεις πολιορκήσοντα τὰς Βατάτζῃ συναποστάσας, καὶ Ἱέρακι ἀντιστησόμενον. Ἦκε γὰρ ἐκ Βυζαντίου στρατιώτας ὀλίγους ἔχων ἐπ' ἐκείνας τὰς πόλεις στρατηγός· ᾧ καὶ συμβαλὼν ὁ τοῦ βασιλέως ἐνίκησεν υἱὸς μόλις διαδράντα τὸ ἁλῶναι· οἱ γὰρ συνόντες πάντες, οἱ μὲν ἔπεσον, οἱ δ' ἐάλωσαν παρὰ τὴν μάχην. Ἔπειτα δὲ καὶ τὰς πόλεις παρεστήσατο, καὶ ὑπήγαγε τῷ πατρὶ βιασάμενος τοῖς ὅπλοις.

681 CAPUT XCV.

Imperator frustra cum amicis Byzantii clam agit. Patriarcha Constantinopolitanus, a papa electus, Smyrnæ in templo a Persis occiditur cum aliquot nobilibus. Chii Genuensibus coacti se deduni. Phaceolatus cum suis triremibus capta Chio Byzantium redit; onerariam Genuensem capit et spoliat; vectores interficit; a Galatæis sacer fit. Imperatrix Mpalicis Carbonæ principis opem invocat. Ejus fratrem exercitus ducem facit. Phacerasis victoria de Tomprotitza. Orchanes filiam imperatoris uxorem petit, responsum differtur. Proceres et Amurius dandam suadent. Apud Selybriam sponsa populo cum singulari cæremonia ostentatur. Eximia laus ejusdem.

imperator Selybriam cum venisset, cum amicis C qui erant Byzantii arcane suum negotium agebat, sed nihil efficiens, Adrianopolim rediit. Sub idem tempus Martinus cum patriarcha Constantinopolitano (quem papa eligere consuevit, post divisam Ecclesiam (61), velut urbe ad Latinos adhuc per-

Βασιλεὺς δὲ εἰς Σηλυμβρίαν ἐλθὼν, τοῖς ἐν Βυζαντίῳ φίλοις κρύφα διελέγετο· ἐπεὶ δὲ οὐδὲν ἦυεν ὧν ἐβούλετο, αὖθις ἀνέστρεφεν εἰς τὴν Ἀδριανοῦ. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, καὶ Μαρτῖνος μετὰ τοῦ Κωνσταντινουπόλεως πατριάρχου, ὃν ὁ πάπας εἰώθε χειροτονεῖν μετὰ τὴν διαίρεσιν τῆς Ἐκκλησίας, οἷα

Jacobi Pontani notæ.

(61) Nota, etiam schismate divulsa Orientali Ecclesia a Romana, pontificem Romanum nihilo minus solitum eligere patriarcham, quia videlicet jurisdictionem potestatemque sibi a Christo traditam non amiserat.

Digitized by Google Распознавание текста ABK/FR

δὴ τῆς πόλεως; Λατίνοις προσηκούσης, ὅτι ὑπ' αὐτοῖς A tinente, quia sub ipsis aliquando fuit [62]) duodecim triremibus Smyrnam appulsus est, quam et prius Latini possederant. Patriarchæ placuit in Smyrnense templum (olim metropolitanum) ingredi, et illic sacris operari, jussitque milites armatos sequi. Martinus et alii navarchi factum hoc, ut periculo non carens dissuadebant. Dum necessitati parere non vult, et in æde sacrificium facit, Amurius cum armatis supervenit. Et milites quidem Latini, cernentes Persas invadere, ad castellum suum confugientes, mortem evaserunt, patriarcha vero sacris indutus vestibus una cum Martino paucisque nobilibus a Persis obtruncatus est. Per idem tempus Genuenses nonnulli nobili loco nati, duabus et triginta triremibus sua impensa instructis, Chium navigarunt, eamque non parum diu obsederunt, et muros sæpe, admotis etiam machinis, valide oppugnarunt. Verumtamen Chiis fortiter se tuentibus, nihil aut parum profecerunt. Cum autem victus inopia premerentur, nullumque a Romanis auxilium adventaret, Latinorum se potestati permittentes, urbem coacti tradiderunt. Imperatrix quanquam Chio obsessa mirifice angeretur, ferre tamen opem nequibat; nam nec pecunia contra tantas vires in promptu erat, ut classem Latinorum classi æqualem compararet, et bonum ac peritum ejus ductorem non habebat; omnes siquidem qui inter Romanos eminebant, carceribus attinebantur. **682** Nihilominus archontes aliquot triremes armantes Phacolatum collegam (qui Cinnami mystici uxoris sororem habebat in matrimonio) iis præfecerunt: non quidem ut se Latinis, quibus longe esset inferior, objiceret, sed ut commeatum in insulam, si quo modo posset, importaret. Phacolatus ut Chium captam audivit, illico iter relegens, et onerariæ Genuensi occurrens, acri pugna eam vicit, et complures Latinos occidit, pecuniamque diripuit. Fama Galatam ad homophylos perlata, publico decreto impunitatem proposuerunt, si quis eum ubicunque jugularet, et usque ad mortem ejus tanquam hostem oderunt. Augusta ut solam Constantinopolim sibi relictam vidit (aliæ namque urbes ferme ad unam in Cantacuzeni auctoritate erant), a quodam Mpalice Carbonæ principe per legatos auxilium petit. Is legatione benigne admissa, Theodorum et Tomprotitzam fratres cum mille selectis militibus suppetias mittit: qui et maritimas ad pontum urbes transeuntes, eas ab imperatore ad Augustam monitis et consiliis suis revocabant; sperabant enim illos nescio quid magnum felici successu præstituros. Imperatrix eos admodum benevole et honorifice excepit, et Apocauchi magni ducis filia Tomprotitzæ in conjugium sociata, ducem eum Romani exercitus creavit, qui suas copias cum Romanis conjunctas, imperatore Didymotichi de-

ἐγένετό ποτε, ἅμα δυοκαίδεκα τριήρεσιν, ἦλθον εἰς Σμύρνην, καὶ πρότερον ὑπὸ τῶν Λατίνων κατεχομένην. Πατριάρχῃ δὲ ἐδόκει δεῖν εἰς τὸν κατὰ Σμύρναν ἐξελθόντα ναὸν ἐν ᾧ πάλαι ἡ μητρόπολις ἦν, τὴν θείαν μυσταγωγίαν ἐκτελέσαι, καὶ ἐκέλευε τὴν στρατιὰν ὁπλισαμένην ἕπεσθαι. Μαρτῖνος δὲ ἐκώλυε, καὶ οἱ ἄλλοι τῶν ναυάρχων, διακεκινδυνευμένα τολμᾶν ἰσχυριζόμενοι. Ἐπεὶ δὲ οὐκ ἐπείθετο, εἶπόντο ἀνάγκῃ. Καὶ γενομένῳ πρὸς τὸν ναὸν καὶ τὴν μυσταγωγίαν τὴν θείαν ἐκτελοῦντι, ἐπῆλθεν Ἀμοὺρ μετὰ τῆς στρατιᾶς. Καὶ τὸ μὲν ἄλλο στράτευμα τῶν Λατίνων διεσώθη ἀναχωρῆσαν πρὸς τὸ φρούριον, ὃ κατεῖχον, ἐπεὶ τοὺς Πέρσας εἶδον ἐπιόντας· πατριάρχης δὲ τὴν ἱερὰν στολὴν ἐνδεδυμένος, ἀπεσφάγη ὑπὸ τῶν Περσῶν. καὶ Μαρτῖνος, καὶ ἄλλοι τῶν ἐπιφανῶν ὀλίγοι. Ἐν δὲ τοῖς χρόνοις τούτοις, καὶ τῶν ἐν Γεννούᾳ εὐγενῶν τινες δύο καὶ τριάκοντα πληρώσαντες οἰκείοις ἀναλώμασι τριήρεις, ἐπέπλευσαν τῇ Χίῳ, καὶ ἐπολιόρκησαν χρόνον οὐκ ὀλίγον, καὶ τειχομαχίας τε πολλὰς ἐποιήσαντο καὶ καρτερὰς, καὶ μηχανήματα προσῆγον. Ἧνυον δὲ ἀπὸ τῶν τοιούτων ὀλίγα ἢ οὐδέν. Οἱ γὰρ Χῖοι ἡμύνοντο τοὺς Λατίνους καρτερῶς, ἐνδεία δὲ πιεσθέντες καὶ λιμώξαντες, ἐπεὶ ἐπικουρίας οὐδεμιᾶς ἐτύγχανον παρὰ Ῥωμαίων, προσεχώρουν τοῖς Λατίνοις, καὶ παρέδοσαν τὴν πόλιν ὑπ' ἀνάγκης. Ἡ βασιλὶς δὲ ἠνιᾶτο μὲν δεινῶς τῆς Χίου πολιορκουμένης, βοηθεῖν δὲ οὐκ εἶχε· χρημάτων τε γὰρ οὐκ εὐπόρει πρὸς τοσαύτην δύναμιν, ὥστε στόλον ἀντίρροπον τῷ Λατίνων ἐξαρτύειν· καὶ τὸν διοικήσοντα καλῶς καὶ ὡς προσῆκε τὰ πράγματα οὐκ εἶχε· πάντες γὰρ ὅσοι ἦσαν ἀξιόλογοι Ῥωμαίων, ἐν δεσμωτηρίοις κατεκλείοντο. Ὅμως τινὰς ὀλίγους; ἐφοπλίσαντες οἱ ἄρχοντες τριήρεις, Φακεωλάτον ἔπεμψαν συνάρχοντα τότε τοῖς ἄλλοις. (ἦν γὰρ Κιννάμου τοῦ μυστικοῦ συνοικῶν ἀδελφῇ τῆς γυναικὸς) οὐχ ὥστε ἀντιτάττεσθαι Λατίνοις· οὐκ ὀλίγον γὰρ ἀπῆγε πρὸς τὴν ἐκείνων δύναμιν· ἀλλ' εἰ δύναιτο τρόπῳ δή τινι σῖτον εἰσάγειν εἰς τὴν Χίον. Φακεωλάτος δὲ ἐπεὶ καταπλέων ἐπύθετο τὴν Χίον ἁλωκυῖαν, ἀνέστρεφεν εὐθύς· καὶ ὁλκάδι ἐκ Γεννούας περιτυχὼν μεγάλῃ, ἐκράτησε μάχῃ, καὶ ἀπέκτεινεν οὐκ ὀλίγους τῶν Λατίνων μαχομένους, καὶ διήρπασε τὰ χρήματα. Πυθόμενοι δὲ οἱ ἐν Γαλατᾷ ὁμόφυλοι, ψήφισμα ἔγραψαν ἀποκτιννύναι Φακεωλάτον ᾗ ἄν τις συντύχοι, καὶ μηδένα κρίνειν φόνου, καὶ διέμεινεν αὐτοῖς ἡ πρὸς ἐκεῖνον ἔχθρα ἄχρι τελευτῆς. Βασιλὶς δὲ ἐπεὶ ἐώρα μόνην τὴν Κωνσταντίνου πόλιν αὐτῇ περιλειπομένην· αἱ γὰρ ἄλλαι σχεδὸν πᾶσαι προσεχώρησαν βασιλεῖ τῷ Καντακουζηνῷ· πρὸς Μπαλίκαν τινὰ τοῦ Καρβωνᾶ ἄρχοντα πέμψασα πρεσβείαν ἐδεῖτο βοηθεῖν. Ὁ δὲ ἀσμένως τε ἐδέξατο τὴν πρεσβείαν, καὶ Θεόδωρον καὶ Τομπροτίτζαν τοὺς ἀδελφοὺς, χιλίους στρατιώτας ἄγοντας ἐπιλέκτους, κατὰ συμμαχίαν ἔπεμπε τῇ βασιλίδι· οἳ καὶ τὰς κατὰ τὸν πόν-

Jacobi Pontani notæ.

(62) Sub quibus Latinis, et quandiu fuerit Constantinopolis, docuimus Notis in lib. II, cap. 36.

Digitized by Google Распознавание текста ABK/FR

gente, in Selybrianos duxit. Phacrases autem protostrator ab imperatore Selybriæ cum præsidio relictus, Selybrianis adjunctis, egressus oppido, Tomprotitzam eximia virtute devicit. Imperitus enim ille locorum, equitatum per fossas, et angustias, et vineta ducebat : unde superati, in conflictu pauci cadebant, multi capiebantur, et vix aliqui effugiebant. Captorum illustriores vincti custodiis mandabantur, alii spoliati dimittebantur, propemodumque et Tomprotitzas ipse captus est. Sed fugæ commoditatem nactus, cum ignominia rediit. Post eam cladem ipse Byzantii, jam uxore Romana potitus subsedit, ac pro dignitate ab imperatrice tractatus est : Theodorus frater cum reliquiis militum domum remigravit. Secundum hæc Orchanes ad imperatorem missis oratoribus, ejus filiam uxorem poscit : quam si libenter dederit, **683** contra quemvis Romanorum hostem auxilia promittit : nec tam de cætero fore socium et amicum, quam filium, impigreque illi cum omnibus copiis suis ubi voluerit, inserviturum. Imperator neque legationem sprevit, neque extemplo affinitatem amplexus est, sed leniter ac placide legatos allocutus, ac donis etiam prosecutus, paulo post missa legatione Orchani se responsurum promisit. Sic legati abierunt. Imperatore familiares et proceres super connubio filiæ consulente, omnes quasi ex composito Orchanem socium et amicum fidelem habere, permagni interesse dixerunt. Id ipsum dein per legatos ex Amurio quæsivit, qui matrimonium istuc, ut optimum, approbavit, affinitatemque minime repudiandam censuit. Amicitiam enim et propinquitatem istam Barbari, qui adversus hostes Romanorum multum posset, maximopere ipsi profuturam. Etsi enim in præsentia ad bellum contra homophylos jam depressos, et ad resistendum imbecilles, Barbarorum ope non egeret : at certe si totius imperii Romani potens fuerit, contra vicinos dynastas, qui tanta ultro detrimenta dederint, multasque urbes ac regiones a principatu Romano avulserint, Persico robore opus habiturum. Affirmabat igitur, scire se, Orchanem neutiquam omnino tam effusam in imperatorem benevolentiam navaturum, quam ipse navasset : cæteroqui illum non difficulter posse succurrere, cum sibi per alienam provinciam multa cum difficultate ad eum veniendum sit; et qui sibi continentem, e regione Thraciam respicientem subdidisset, nullo labore, quando vellet, opem allaturum. Has ob causas, quamvis alioqui non ita liberet, affinitatem, ut Romanis utilissimam, cum eo jungendam suadebat, addens, in nullum crimen ideo incursurum, siquidem non pauci superiorum temporum imperatores, quo subditorum rationibus providerent, Scythis et aliis quibusdam Barbaris filias suas despondissent. Hoc fuit Amurii consilium. Cujus animi modestiam admiratus est imperator, quod contineretur, Orchanem se ipso amplius profutu-

A τον παραθαλαττίους πόλεις ὁ τότε, ἔπεισαν ἀποστῆναι βασιλέως, καὶ τῇ βασιλίδι προσχωρεῖν· ἤλπισαν γὰρ αὐτούς τι μέγα κατορθώσειν. Καὶ ἡ βασιλὶς ἐδέξατο τοὺς ἄνδρας, μετὰ πολλῆς τῆς εὐμενείας καὶ τιμῆς. καὶ τὴν τε Ἀποκαύχου τοῦ μεγάλου δουκὸς θυγατέρα συνῴκισε τῷ Τομπροτίτζᾳ, καὶ στρατηγὸν ἀπέδειξε τῆς Ῥωμαίων στρατιᾶς. Ὁ δὲ, τήν τε οἰκείαν ἔχων καὶ τὴν Ῥωμαίων, ἐπεστράτευσε Σηλυμβριανοῖς, βασιλέως Διδυμοτείχῳ ἐνδιατρίβοντος. Φακρασὴς δὲ ὁ πρωτοστράτωρ ὑπὸ βασιλέως ἐν Σηλυμβρίᾳ καταλελειμμένος μετὰ στρατιᾶς, ἔχων καὶ τοὺς Σηλυμβριανούς, συνεπλέκετο τοῖς περὶ Τομπροτίτζαν ἐξελθὼν, καὶ ἐνίκα κατὰ κράτος. Ἄπειρος γὰρ ὢν ὁ Τομπροτίτζας τῶν χωρίων, ἐστρατήγησε κακῶς, εἰς τάφρους καὶ στενοχωρίας B καὶ ἀμπέλους τοὺς ἱππέας ἐμβαλών· ὅθεν ἡττηθέντες, ὀλίγοι μὲν ἀπέθανον κατὰ τὴν μάχην, ἑάλωσαν δὲ πολλοί, ὀλίγων διαδρᾶναι δυνηθέντων· ὧν τοὺς ἐπιφανεστέρους δήσαντες εἶχον ἐν φρουραῖς, τοὺς δ' ἄλλους ἀποδύσαντες, ἀπέλυον. Ἦλθε δὲ καὶ ὁ Τομπροτίτζας ἐγγὺς ἁλῶναι, ὅμως διαδρᾶναι δυνηθεὶς ἀνέστρεφε κατησχυμμένος· μετὰ τὴν ἧτταν δὲ ἐκείνην, Τομπροτίτζας μὲν ὑπελείπετο ἐν Βυζαντίῳ. ἤδη γυναῖκα ἔχων ἐκ Ῥωμαίων, καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλίδος τῆς ἀξίας· Θεόδωρος δὲ ὁ ἀδελφὸς ἀνέστρεφεν εἰς τὴν οἰκίαν, τὴν ὑπολελειμμένην ἔχων στρατιάν. Μετὰ τοῦτο Ὀρχάνης, πρὸς Καντακουζηνὸν τὸν βασιλέα πρεσβείαν πέμψας, ἠξίου ἐκδοῦναί οἱ πρὸς γάμον τὴν θυγατέρα· ἐπηγγέλλετό τε εἰ C παράσχοιτο, προθύμως συμμαχήσειν κατὰ παντὸς πολεμίου τοῖς Ῥωμαίοις· οὐκέτι γὰρ ἔσεσθαι σύμμαχον καὶ φίλον, ἀλλὰ υἱόν, καὶ προθύμως δουλεύσειν αὐτόν τε καὶ τὴν σύμπασαν στρατιὰν οἳ ἂν κελεύοι. Βασιλεὺς δὲ οὔτε ἀπείπατο τὴν πρεσβείαν, οὔτ' εὐθὺς συνέθετο πρὸς τὴν ἐπιγαμίαν· ἀλλὰ προσηνῶς τε καὶ ἡμέρως τοῖς πρέσβεσι χρηματίσας, καὶ δῶρα παρασχόμενος, νῦν μὲν ἔλεγε μηδὲν ἀποκρινεῖσθαι, ὕστερον δὲ ὀλίγῳ πέμψας πρεσβείαν, τὴν ἀπόκρισιν ποιήσεσθαι. Οἱ μὲν οὖν Ὀρχάνῃ πρέσβεις ἀνέστρεφον εἰς τὴν οἰκίαν. Βασιλεὺς δὲ μετὰ τῶν οἰκείων καὶ τῶν ἐν τέλει ἐβουλεύετο περὶ τοῦ γάμου, εἰ χρὴ τὴν θυγατέρα τῷ Ὀρχάνῃ ἐκδιδόναι, καὶ πάντες ὥσπερ ἐκ συνθήματος, κράτιστον εἶναι ἔλεγον Ὀρχάνην ἔχειν σύμμαχον καὶ φίλον βέβαιον. D Βασιλεὺς δὲ καὶ πρὸς Ἀμοὺρ πρεσβείαν πέμψας εἰ δοκοίη βέλτιον εἶναι καὶ αὐτῷ τὴν θυγατέρα συνοικίζειν ἐπυνθάνετο Ὀρχάνῃ. Ὁ δὲ ἄριστον ἡγεῖτο, καὶ συνεβούλευε δέχεσθαι τὸ κῆδος. Μάλιστα γὰρ αὐτῷ λυσιτελεῖν τὴν φιλίαν καὶ τὴν οἰκειότητα τοῦ βαρβάρου μεγάλα δυναμένου ὠφελεῖν κατὰ τῶν Ῥωμαίοις πολεμίων. Εἰ γὰρ καὶ μὴ δέοιτο νυνὶ βαρβάρων πρὸς τὸν τῶν ὁμοφύλων πόλεμον, τεταπεινωμένων ἤδη καὶ μὴ δυναμένων ἀντικαθίστασθαι αὐτῷ, ἀλλ' οὖν εἰ πᾶσα ἡ Ῥωμαίων ὑπ' αὐτὸν γένοιτο ἡγεμονία, πρὸς τοὺς ὁμόρους δυνάστας δεήσεσθαι τῆς Περσικῆς δυνάμεως, πολλὰ ἠδικηκότας καὶ χώρας τῆς Ῥωμαίων παρασπασαμένους. Εἰδέναι μὲν οὖν ἔφασκεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο τοσαύτην Ὀρχάνης εὔνοιαν ἐπιδείξεσθαι δύναιτο, ὅσην αὐτὸς πρὸς βασι-

Digitized by Google Распознавание текста ABBYY FR

λέα. Ἀλλ' οὖν εὐχερῶς ἐκεῖνον ἔχειν βοηθεῖν· αὐτὸν δὲ πολλῆς δεῖσθαι πραγματείας, διὰ ἀλλοτρίας πρὸς αὐτὸν ἴοντα γῆς· Ὀρχάνῃ δὲ τὴν ἀντιπέραν Θρᾴκης ἤπειρον ὑφ' ἑαυτὸν πεποιημένῳ, ῥᾴδιον εἶναι ὅτε βούλοιτο ῥᾳδίαν ποιεῖσθαι τὴν ἐπικουρίαν· δι' ἃ συνεβούλευε τὸ κῆδος ἐκτελεῖν, ὡς τὰ κράτιστα λυσιτελῆσον τοῖς Ῥωμαίοις, κἂν μὴ καὶ πάνυ κατὰ γνώμην ᾖ, οὐδὲν δὲ ποιήσειν ἄξιον αἰτίας, εἰ καὶ τῶν πρὸ αὐτοῦ βεβασιλευκότων οὐκ ὀλίγοι Σκύθαις καὶ ἄλλοις τισὶ βαρβάροις τὰς θυγατέρας ἐξέδωκαν τὰς ἑαυτῶν πρὸς τὸ λυσιτελοῦν τοῖς ὑπηκόοις. Τοιαῦτα μὲν ὁ Ἀμοὺρ παρῄνει. Βασιλεὺς δὲ τό τε μέτριον τοῦ φρονήματος ἐθαύμαζεν Ἀμοὺρ ὅτι Ὀρχάνην αὐτοῦ μᾶλλον ὁμολόγει λυσιτελεῖν, καὶ τὸ ἀδόλον καὶ καθαρὸν τῆς γνώμης, ὅτι ἃ ἐδόκει λυσιτελεῖν, οὐκ ἀπεκρύπτετο, καὶ ἐπείθετο πρὸς τὴν παραίνεσιν. Πέμψας δὲ πρεσβείαν πρὸς Ὀρχάνην, τήν τε θυγατέρα κατηγγυᾶτο, καὶ στρατιὰν ἐκέλευε πέμπειν, ἥτις ἄξει τὴν γυναῖκα πρὸς αὐτόν. Ὁ δ' ἔπεμπεν αὐτίκα ναῦς τε τριάκοντα, καὶ ἱππέας οὐκ ὀλίγους, καὶ τοὺς ἐπιφανεστέρους τῶν ὑπ' αὐτόν. Βασιλεύς τε μετὰ τῆς στρατιᾶς Ῥωμαίων ὅση ἦν, ἦκεν εἰς Σηλυμβρίαν μετὰ γυναικὸς τῆς βασιλίδος καὶ τῶν θυγατέρων, καὶ ἐκέλευε πρὸ τῆς πόλεως ἐν τῷ πεδίῳ πρόκυψιν ποιεῖν ἐκ ξύλων, ἵν' ἐπ' αὐτὴν ἡ βασιλέως νυμφευομένη θυγάτηρ στᾶσα, πᾶσι γένοιτο καταφανής. Οὕτω γὰρ ἔθος εἶναι τοῖς βασιλεῦσι ποιεῖν ἐπὶ ταῖς θυγατράσι πρὸς γάμον ἀγομέναις. Ἔπειτα ἐκέλευε καὶ τὴν βασιλικὴν σκηνὴν ἐγγὺς ἱστᾶν. Ἐπεὶ δὲ ἦσαν παρεσκευασμένα, ἡ βασιλὶς μὲν μετὰ τῶν θυγατέρων ἐπὶ τῆς σκηνῆς ηὐλίσατο τὴν νύκτα, καὶ ὁ βασιλεὺς μετὰ τῆς στρατιᾶς. Εἰς τὴν ὑστεραίαν δὲ βασιλὶς μὲν ἔμεινεν ἐπὶ τῆς σκηνῆς μετὰ τῶν ἐπιλοίπων δύο θυγατέρων, Θεοδώρα δὲ ἡ νυμφευομένη, ἐπὶ τὴν πρόκυψιν ἀνῆλθε. Βασιλεὺς δὲ εἱστήκει ἔφιππος μόνος· οἱ δὲ ἄλλοι ἅπαντες πεζοί. Οὕτω δὲ τῶν παραπετασμάτων περιαιρεθέντων (περικεκάλυπτο γὰρ ἡ πρόκυψις πανταχόθεν ὑφάσμασι σηρικοῖς καὶ διαχρύσοις), ἀνεφαίνετο ἡ νύμφη, καὶ λαμπάδες ἦσαν περὶ αὐτὴν ἡμμέναι ἑκατέρωθεν· ἃς εὐνοῦχοι κατέχοντες ἐπὶ γόνυ κεκλιμένοι, οὐκ ἐφαίνοντο. Σάλπιγγες δὲ ἦχησαν ἐπιπλεῖστον, καὶ αὐλοὶ καὶ σύριγγες, καὶ ὅσα πρὸς τέρψιν ἐξεύρηται ἀνθρώποις. Παυσαμένων δὲ ἐκείνων, ἐγκώμια ᾖδον οἱ μελῳδοὶ ὑπό τινων λογίων πρὸς τὴν νύμφην πεποιημένα. Ἐπεὶ δὲ πάντα ἐτελεῖτο τὰ βασιλέως προσήκοντα θυγατράσιν νυμφευομέναις, τήν τε στρατιὰν, καὶ τοὺς ἐν τέλει πάντας καὶ Ῥωμαίων καὶ βαρβάρων ὁ βασιλεὺς εἱστία ἐφ' ἡμέρας οὐκ ὀλίγας. Ἔπειτα ἐξέπεμπε τὴν θυγατέρα πρὸς τὸν ἄνδρα μετὰ πολλῆς ὑποδεξόμενον τῆς ἡδονῆς, ἣ καὶ τῷ βαρβάρῳ συνοικοῦσα, τῆς εὐκλείας τῶν πατέρων ἀξίαν ἑαυτὴν ἐν τῷ πολιτεύεσθαι παρεῖχετο. Οὐ μόνον γὰρ ἐκ τῆς συνδιατριβῆς ἐκείνων παρεβλάβη κατὰ τὴν πίστιν οὐδὲν, καίτοι γε πολλὰ πολλάκις ἐπιχειρούντων μεταπείθειν, ἀλλὰ καὶ πολλοὺς τῶν πρὸς τὴν ἀσέβειαν ὑπαχθέντων ἀνεκαλέσα-

A rum, et sincerum candidumque pectus, quod quæ conducere putabat, non tacuisset. Itaque complectens ejus sententiam, per legatos Orchani filiam despondet, hortaturque uti numerum militarem mitteret, quæ sponsam adduceret. Qui naves triginta, et equitum magnam vim, atque e provincia sua viros nobilissimos illico misit. **684** Imperator cum toto exercitu Romano, cumque uxore et filiabus Selybriam profectus, in planitie ante urbem tabulatum ligneum excitari jussit, super quo nuptura filia consistens, conspiceretur ab omnibus. Hunc enim morem imperatores servabant in filiabus, cum ad nuptias abducendæ essent (63). Deinde et imperatorium tabernaculum prope statui mandavit. Quibus paratis, imperatrix et filiæ B ibidem, imperator in castris noctem egit. Postridie imperatrice cum binis filiabus in tentorio manente, sponsa Theodora tabulatum cónscendit, solo imperatore equo insidente, cæteris ad unum astantibus. Tum peripetasmatis in circuitu ablatis (erat enim tabulatum appensis ex omni parte aulæis sericis, et auro intertextis ornatum), sponsa conspecta est, dextra lævaque accensis lampadibus, quas eunuchi in genua subsidentes tenebant. Resonabant tubæ et tibiæ ac fistulæ plurimum, et quæcunque ad aures oblectandas ab hominibus instrumenta musica excogitata sunt. Iis tacentibus, cantores a poetis laudes in sponsam compositas modulabantur. Finitis solemnibus universis, quæ C imperatorum filiabus, cum nuptum darentur, fiebant, imperator militibus et proceribus Romanis ac Barbaris omnibus ad dies complures epulum dedit, atque ita demum filiam ad sponsum multo gaudio eam suscepturum misit. Quæ quanquam Barbaro nupta, sic vitam suam instituit, ut a majorum suorum gloria non degeneraret. Nec enim solum ex illorum hominum convictu consuetudineque nullum in religione damnum fecit, licet multum ac sæpe aliud ei persuadere conarentur, sed et multos ad impietatis diverticula impulsos, ad veritatis semitam argumentorum vi revocavit. Cum autem quod ad fidei mysteria attinet, tam constanter se gereret, ac pro sua parte frequenter cum periculo pro ea propugnaret, alia interim D virtutis decora non negligebat, sed omnes delicias ac magnificentiam valere jubens, facultates egentibus distribuebat : multosque Barbaris in servitutem venditos, lytro persoluto ipsa redimebat ; et Romanis omnibus incommoda fortuna utentibus, atque in servitutem a Barbaris Deo permittente redactis, portus salutis erat. Sic igitur illa quandiu inter Barbaros vixit, vitam suam ad omne genus virtutis composuit.

Jacobi Pontani notæ.

(63) **Exempla moris hujus ego nulla hactenus legi : nec tamen historicum istuc temere affirmasse puto.**

Digitized by Google Распознавание текста ABBYY FR

το, λόγοις πείθουσα πρὸς τὴν αἵρεσιν τῆς ἀληθείας. Οὕτω δὲ περὶ πίστιν ἀσφαλῶς πολιτευσαμένη, καὶ τό γε εἰς αὐτὴν ἦκον, ὑπὲρ αὐτῆς προκινδυνεύσασα οὐδὲ τῶν ἄλλων ἀγαθῶν ἠμέλει, ἀλλὰ πάσῃ τρυφῇ καὶ πολυτελείᾳ χαίρειν εἰποῦσα, τὰ ὄντα τοῖς πένησι διεδίδου· καὶ πολλοὺς τῶν ἐπὶ δουλείᾳ παρὰ τῶν βαρβάρων ἀποδιδομένων ἐρρύετο, χρυσίον αὐτὴ παρέχουσα, καὶ πᾶσι σωτηρίας ἦν λιμὴν τοῖς δυστυχοῦσι Ῥωμαίων, καὶ δεδουλωμένοις ὑπὸ τῶν βαρβάρων κατὰ συγχώρησιν Θεοῦ. Ἐκείνη μὲν οὖν οὕτω πρὸς ἅπασαν ἰδέαν ἐναρέτου βίου παρ' ὅσον συνδιῆγε τοῖς βαρβάροις χρόνον ἐρρύθμισεν ἑαυτήν.

685 CAPUT XCVI.

Ex urbibus duabus ad Pontum missi speculatores, quorum indicio sicarius deprehenditur, qui se a facinore imperatoris voce deterritum narrat. Imperatrix cum optimatibus suis Sarchanis satrapæ Lydiæ opem quærit. Amurii techna ad Cantacuzenum adjuvandum. Sarchanis copiæ ad imperatorem deficiunt; potestatem orant eundi Byzantium, pro donis et pecunia accipiendis. Cum iis præsides paciscuntur. Deterrentur per Cantacuzenum Persæ a perfidioso facto. Obvios capiunt et spoliant. Convivio ab imperatore duces accipiuntur: qui Byza præternavigantes sagittis petunt. Donatis ducibus, domum remittuntur Persæ. Mœsiam deprædantur. Imperator excusatur. Ejus querela de Romanis hostibus, ut auctoribus malorum omnium

Paulo post ex urbibus Romanorum ad Pontum, A Heraclea et Amastride sacerdos quidam cum monacho ad exercitum imperatoris speculandum, quantus tandem esset, qui Byzantium sic arctissime obsidere posset, emissi sunt. Hi ut Selybriam venerunt, a Contophre cui cum protosebasto amicitia intercedebat, hospitio sunt accepti, isque ad imperatorem eos adduxit, et quamobrem a civibus missi essent indicavit. Cum imperator benigne ipsis respondisset et benefecisset, jam palatio egredientes, ut domum redirent, quemdam illic conspiciunt, quicum aliquando Byzantii Cinnamum mysticum ex archontibus unum secreto loqui viderunt, moxque ad Contophren de homine retulerunt, hortantes uti causam adventus ejus exquireret. Quem Contophres perterrere volens, statim B et audacius pallio apprehensum huc illuc rapit. Et ecce sub ejus veste sica, ipsa acie et cuspide longe omnium acutissima, in lateribus quasdam cavitates et ansas habens, quibus venenum erat allitum, quo qui eas contigisset, celerrime interiret. Examinatus autem, quid sibi cum sica vellet, respondit, se a quodam archonte Byzantii inductum, ad imperatorem ea vulnerandum adventasse. Et jam quintum decimum ire diem, ex quo venisset: quo tempore semel nactum occasionem perpetrandi facinoris, metu tamen minarum imperatoris abstinuisse. Media enim nocte dicebat, cum imperator in palatio præsens adesset, et lumina per tempestatem ventus exstinxisset, alios quidem iis reaccendendis studiosius et tumultuosius occupatos fuisse. Tunc se ratum venisse tempus propter tenebras accessisse; imperatorem contra exclamasse, ne quis sibi appropinquaret, se quoque sicam habere. Quam vocem ubi audierit, et extimuerit, insidias omisisse. **686** Interrogatus porro imperator, ecquid tum de insidiis quidquam suspicatus esset, Nihil, inquit; sed aliis turbantibus, et quasi ejus causa metuentibus, jocabundum dixisse, confiderent, sibi quoque sicam esse. Insidiæ hoc modo in apertum prolatæ sunt, et imperator cum comitatu suo magnas Deo gratias egit, qui e tam gravi periculo se liberavisset. Cæterum Anna imperatrix, quique apud ipsam erant administratores ejus, postquam Mœso-

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ ἐκ τῶν κατὰ Πόντον πόλεων Ῥωμαίοις ὑπηκόων Ἡρακλείας καὶ Ἀμάστριδος κατάσκοποι ἐπέμφθησαν, ἱερεύς τις καὶ μοναχὸς, τὴν βασιλέως δύναμιν κατασκεψόμενοι, ὁπόση τις οὖσα οὕτω; ἀκριβέστατα Βυζάντιον δύνηται πολιορκεῖν. Οἱ δὲ, ἐπεὶ εἰς Σηλυμβρίαν ἦκον, Κοντοφρᾷ ἐξενίζοντο τῷ πρωτοσεβαστῷ ὄντι ἐπιτηδείῳ. Ὁ δὲ αὐτοὺς προσῆγε βασιλεῖ, καὶ τὴν αἰτίαν ἀπήγγελλον δι' ἣν τοῖς σφετέροις ἐπέμφθησαν πολίταις. Βασιλέως δὲ ἡμέρως χρηματίσαντος αὐτοῖς καὶ εὐηργετηκότος, ἐπεὶ ἀναχωρεῖν πρὸς τὴν οἰκίαν ἔμελλον τῶν βασιλείων ἐξιόντες, ὁρῶσί τινα ἐν βασιλείοις διατρίβοντα, ᾧ ἐν Βυζαντίῳ μυστικὸν ἐώρων τὸν Κίνναμον ἄρχοντα τότε τῶν πραγμάτων, διαιρεγόμενον ἐν ἀπορρήτῳ. Καὶ αὐτίκα Κοντοφραῖ ἐδήλουν περὶ τοῦ ἀνθρώπου, παρῆνουν τε ἀνακρίνειν τὴν αἰτίαν τῆς ἀφίξεως αὐτοῦ. Κοντοφρᾶς δὲ τὸν ἄνθρωπον ἐκπλῆττειν βουλομένου εὐθὺς, καὶ θρασύτερον τῶν ἱματίων ἁπτομένου καὶ περιέλκοντος, μάχαιρα εὕρητο ὑπὸ θοιμάτιον κρυπτομένη, ὀξύτητος μὲν καὶ ἀκμῆς οὐδεμίαν ἀπολείπουσα ὑπερβολήν, καιλότητος δέ τινας καὶ ἀντιλαβὰς ἔχουσα κατὰ τὰ πλάγια, αἷς φάρμακα ἐνέκειτο τάχιστα διαφθείρειν τὸν προσομιλήσοντα δυνάμενα. Ἀναχρινόμενος δὲ ὁ ἄνθρωπος, ὅ τι βούλοιτο αὐτῷ ἡ μάχαιρα, ἐκ τῶν ἐν Βυζαντίῳ ἔφασκεν ἀρχόντων ἐπὶ τῷ βασιλέα ταύτῃ τιτρώσκειν τῇ μαχαίρᾳ πεπεισμένον ἥκειν. Πέντε δὲ ἡμέρας ἐπὶ δέκα ἔχειν ἀφιγμένον, ἐν αἷς ἅπαξ εὐπορήσαντα ἐπιτηδείου πρὸς τὸ ἔργον χρόνου, αὖθις ἀποσχέσθαι δείσαντα τὴν βασιλέως ἀπειλήν. Μέσης γὰρ ἔφασκε νυκτὸς, βασιλέως ἐπιδεδημηκότος βασιλείοις, καὶ τῶν φώτων ὑπ' ἀνέμων ἐν χειμῶνος ὥρᾳ ἐσβεσμένων, τοὺς ἄλλους μὲν περὶ φώτων ἠσχολῆσθαι κομιδῆν, καὶ θορυβεῖν, αὐτὸν δὲ καιρὸν νομίσαντα διὰ τὸ σκότος καὶ προσιόντα, βασιλέα μηδένα προσεγγίζειν προσειπεῖν, ὡς καὶ αὐτὸν τὴν μάχαιραν κατέχοντα· ὃ πυθόμενον αὐτὸν, καὶ δείσαντα ἀποσχέσθαι τῆς ἐπιβουλῆς. Ἐρωτωμένου δὲ βασιλέως, εἴ τι τότε περὶ τῆς ἐπιβουλῆς ὑπώπτευκεν, οὐδὲν εἶπεν· ἀλλὰ τῶν ἄλλων θορυβούντων, καὶ ὥσπερ δεδοικότων περὶ αὐτοῦ, ἐν εὐτραπελίᾳ εἶδει θαρρεῖν πρὸς αὐτοὺς εἰπεῖν, καὶ μὴ δεδοικέναι· μάχαιραν γὰρ κατέχειν καὶ αὐτόν. Ἡ μὲν οὖν ἐπιβουλὴ οὕτως ἐμηνύθη. Ὁ βασιλεύς τε αὐτὸς καὶ

Digitized by Google Распознавание текста ABBYY FR

οἱ περὶ αὐτὸν πολλὰς ὡμολόγουν χάριτας Θεῷ, οὕτως ἐκ χαλεπῶν κινδύνων ῥυομένῳ βασιλέα. Βασιλὶς δὲ ἡ Ἄννα καὶ οἱ περὶ αὐτὴν τῶν πραγμάτων ἄρχοντες, ἐπεὶ παρά τε τῆς Μυσῶν συμμαχίας καὶ τῶν ἄλλων ὤνηντο οὐδέν, Ὀρχάνην τε ἀδύνατον ἐώρων μεταπείθειν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πολεμεῖν διὰ τὸ κῆδος, ἐτράποντο ἐπὶ τὸ πείθειν ἕτερόν τινα τῶν βαρβάρων συμμαχεῖν αὐτοῖς. Καὶ πέμψαντες Τάγαριν Γεώργιον τὸν μέγαν στρατοπεδάρχην πρὸς Σαρχάνην τὸν Λυδίας σατράπην· ἦν γὰρ αὐτῷ καὶ συνήθης πρότερον ἐπὶ Φιλαδέλφειαν πολὺν χρόνον τῷ πατρὶ συνδιατρίψαντι· ἐδέοντο σφίσι βοηθεῖν καὶ πέμπειν κατὰ βασιλέως στρατιάν. Ὁ δὲ αὐτίκα τε ἐπείθετο, καὶ συνεξέπεμπε τῷ Τάγαρι τὴν δύναμιν. Ἀμοὺρ δὲ ὡς ἐπύθετο τὴν Σαρχάνη στρατιὰν χωροῦσαν κατὰ βασιλέως, δεινὰ ἐποιεῖτο, καὶ ἐπίνοιάν τινα ἐσκέπτετο δι' ἧς ἐξέσται τῷ φίλῳ βοηθεῖν. Καὶ ἀπολεξάμενος δύο τῶν παρ' αὐτῷ ἐπιφανῶν, οὓς ἥδει μάλιστα τὰ κατὰ γνώμην πράξοντας, ἐξέπεμπε καὶ δισχιλίους στρατιώτας παρασχόμενος, ὡς ἅμα τῇ Σαρχάνη στρατιᾷ περαιωθησομένους πρὸς τὴν Θρᾴκην. Ἔθος γὰρ τούτοις τοῖς βαρβάροις, ὅταν ἐπὶ λεηλασίαν ἴωσιν, ἂν τινες ἐξ ἑτέρας σατραπείας ἐθέλωσι συνέπεσθαι, μὴ κωλύειν, ἀλλὰ καὶ εἰδέναι χάριν ὡς φίλοις καὶ συμμάχοις. Ἐκέλευε δὲ Ἀμοὺρ τοῖς παρ' ἑαυτοῦ πεμφθεῖσιν ἄρχουσιν, ὡς ἂν μὲν διαλλάττοιτο πρὸς βασιλέα ἡ Σαρχάνη στρατιά· οἴεσθαι γὰρ αὐτοὺς βασιλέα πείσειν κατατίθεσθαι τὸν πρὸς ἐκεῖνον πόλεμον καὶ συμμαχεῖν· μηδ' αὐτοὺς ἀποκαλύπτειν τὸ ἀπόῤῥητον, ἀλλὰ μετὰ τῶν ἄλλων πρὸς τὸν βασιλέα ἥκειν. Ἂν δ' ἐθέλωσιν ἐκεῖνοι πολεμεῖν ὡς ἀληθῶς, κρύφα πέμψαντας πρὸς βασιλέα, παραινεῖν αὐτῷ ἀντικαθίστασθαι πρὸς μάχην τοῖς βαρβάροις. Ἐπειδὰν δὲ ὦσι παρατεταγμένοι, καὶ ἤδη μέλλωσι συμπλέκεσθαι, μεθίστασθαι πρὸς βασιλέα, καὶ χωρεῖν κατὰ τῶν βαρβάρων μετὰ τῆς ἐκείνου στρατιᾶς. Τοῖς μὲν οὖν ἄρχουσι τῆς στρατιᾶς οὕτω προσέταττεν Ἀμοὺρ, μηδενὸς αὐτοῖς ἑτέρου συνειδότος τὸ ἀπόῤῥητον. Τοῖς στρατιώταις δὲ ἐκέλευε πάντα πείθεσθαι τοῖς ἄρχουσι, καὶ μηδένα πολυπραγμονεῖν, ὡς εἴ τις μὴ πείθοιτο, αὐτοῦ καὶ γένους ἐξαφθαρησομένου. Τοιαῦτα μὲν ὁ Ἀμοὺρ συσκευάσας, μετὰ τῶν ἄλλων συνεξέπεμπε τὴν στρατιάν. Τάγαρις δὲ ὁ μέγας στρατοπεδάρχης πάντας ἔχων ὁμοῦ, ἐπεραιοῦτο τὸν Ἑλλήσποντον. Καὶ ὁ βασιλεὺς ἐπεὶ τὴν στρατιὰν ἐπύθετο περαιωθεῖσαν, ἅμα δὲ ὡς οἱ ταύτην ἄγοντες στρατηγοί, τῶν φίλων εἰσὶ καὶ τῶν συνήθων, τὸν Λοιδορίτην καὶ Ἀθιανὸν πέμψας πρὸς αὐτούς, παρῄνει κατατίθεσθαι τὸν πόλεμον τὸν πρὸς αὐτόν· καὶ πάντα τόπον ἐπεχείρει πείθειν ἀφίστασθαι τοῦ κατ' αὐτοῦ χωρεῖν. Οἱ μὲν οὖν ἄλλοι τῶν ἡγεμόνων οὐκ ἀφίσταντο τοῦ πράττειν τὰ κατὰ γνώμην τῷ σφῶν σατράπῃ· ἀληθῶς γὰρ ἐπέμφθησαν κατ' αὐτοῦ. Ὅμως δέ τινας καὶ χρηστοτέρας παρείχοντο ἐλπίδας. Οἱ τῆς Ἀμοὺρ δὲ στρατιᾶς ἡγούμενοι ἐμήνυον τὸ ἀπόῤῥητον τῷ βασιλεῖ, καὶ παρῄνουν τε θαῤῥεῖν, καὶ παρασκευάζεσθαι πρὸς μάχην ἂν ἐπίωσιν. Οἱ μὲν οὖν πρέσβεις τάχιστα ἐπανελθόντες, ἀπήγγελλον

rum et aliorum auxilia nihil profuerunt, viderunt que nunquam fore, ut Orchani aliud persuaderent, eumque ad Cantacuzenum socerum oppugnandum inducerent, ad alius Barbari societatem et auxilium implorandum sese converterunt. Itaque Georgium Tagarin, magnum stratopedarcham, ad Sarchanem Lydiæ satrapam ei familiarem (quippe qui cum patre ipsius Sarchanis Philadelphiæ diu versatus fuerat) mittunt, et opem adversus imperatorem flagitant. Is confestim flexus, Tagari copias tradit. Amurius ut ad ejus aures venit, Sarchanem contra imperatorem mittere militem, iniqua mente tulit, et quiddam commentus est, quo amico opitularetur. Delectis enim de suis duobus illustribus, quos sibi in primis obsecuturos norat, iisque attributis duobus millibus, simul cum Sarchanis cohortibus in Thraciam trajecturos misit. Erat enim apud Barbaros istos solemne, cum populatum irent, si ex alia satrapia essent qui sequi cuperent, ne prohiberentur, quin et gratiæ ut amicis et sociis haberentur. Imperavit autem ducibus suis, ut si Sarchanis copiæ imperatori reconciliarentur (arbitrari enim se, eum ex hostibus sibi amicos et auxiliares redditurum), nec ipsi arcanum enuntiarent, sed cum aliis ad imperatorem transirent. Sin illum serio oppugnare vellent, clam mitterent, et ad Barbaris resistendum hortarentur. Dispertitis porro ordinibus, ingruente jam conflictu, ad imperatorem transfugerent, et cum illius agmine in Barbaros impressionem facerent. Talia ducibus præcepit Amurius, quæ reliquos fallebant omnes. Milites vero omissa curiositate ducibus per omnia obtemperare jussit. Qui secus fecisset, cum genere suo periturum. Hujuscemodi dolum machinatus Amurius, cum aliis suos emisit. Tagaris cum omnibus Persis Hellespontum trajecit. **687** Imperator ubi exercitum transvectum, et simul ductores amicos ac familiares esse accepit, per Lœdoritem et Athianum monuit, uti bello contra se supersederent; quod ut ab illis obtineret, tentabat omnia. Alii igitur duces, quæ cupere satrapam suum nossent, non prætermittebant, vere siquidem contra Cantacuzenum missi erant. Verumtamen spem bonam dabant. At duces copiarum Amurii et secretum imperatori reserabant, et si peteretur, ad pugnam vicissim accingi hortabantur. Legati ocyssime reversi, statum rerum apud Persas exponunt. Tum ipse quoque dimicationi, si opus sit, se instruit, allos floccipendit, Amurianis ex ipsa acie ad se transituris. Paulo post et Sarchaniani conspirantes, communem legationem ad imperatorem mittunt, bono animo esse jubent: se deinceps socios illius et amicos fore. Rogabant tamen, ne in præsens ad se venire cogeret, sed Byzantium abire sineret, illic acceptis donis et promissis satrapæ suo pecuniis reversuros, et quæ imperaret, effecturos omnia. Tali scopo Barbari Byzantium venerunt, ingressique ad imperatricem duces, eam adorarunt, honorificaque dona acceperunt. Convenit porro

Digitized by Google Распознавание текста ABK/FR

inter archontas et Persas, ut ipsi quidem missis A trirenibus e mari Orchanem imperatori succursurum impedirent : hi a continenti Selybriam tandiu obsiderent, quoad ipsam cum adventitiis expugnassent. Sperabant enim et Selybrianos, si magnas terra marique copias vidissent, dissidio ab imperatore, urbem ipsis tradituros. Triremes sine mora instruebantur : Persæ, si ipsos Romani equites sequerentur, omnes facere servos cogitabant. Qua de re Cantacuzenum certiorem facientes quærebant ecquid probaret istuc consilium ; qui quasi injuriam suam id fieri vetuit, illos siquidem Romanos non multo post suos fore milites. Eo igitur facinore temperarunt, nec, quamvis paratos, secum proficisci sustinuerunt : redeuntesque Byzantio Selybriam, obvios omnes ceperunt, nec parum multarunt, quod tanquam sociis et amicis fiderent iis qui prope Byzantium incolebant. Selybriani ut venerunt, exercitu foris relicto, centuriones, tribuni et duces non pauci imperatorem conveniunt, a quo splendido apparatu epulari accipiuntur. Domus in qua diversabatur imperator sic constructa erat, **688** ut sedentes possent mare conspicere, et conspici a prætermavigantibus. Persæ igitur convivabantur : et ecce Byzantio adsunt triremes non paucæ, cum quinquaginta remorum prædatoriis, prætereuntesque (sciebant enim illic imperatorem habitare) verborum contumelias cum minis affatim jactant. Persæ statim consurgentes, ex ædibus sagittas in vectores ingeminant, et aliquot vulnerant. Navarchi cernentes Persas arma capere, primum quidem admirari, et dubitare quid hoc esset. Ut autem intellexerunt, Persicum agmen se cum imperatore conjunxisse, omni spe perdita, statim reverterunt. Imperator donatis ducibus, Persas, quod tunc eorum opera non egeret, domum remisit. Qui non mediocre damnum interpretantes, vacuos discedere, in Mœsos irruptione facta, multos occidunt, multos captivos cum pecudum gregibus abducunt, et Mœsiam, si unquam alias, deformant. Rumor spargebatur, imperatorem ad gratiam pro societate rependendam hanc illis impressionem permisisse : sed illi fabularum architecti merissimum mendacium garriebant. Imperator enim non modo tunc, sed nec unquam ante D id tempus sciens et volens Barbaros Mœsis induxit, sed cum essent plures, quam Romani opus haberent, per se emolumenti sui causa irruperunt. A Romanis quippe auferre nihil licebat : quorum alii jam ad incitas erant redacti, alii parebant imperatori, cujus Persæ socios se et amicos profitebantur. Imo vero de Barbarorum incursionibus eos præmoneri semper diligentissime curabat : et sæpe hac ratione in oppida ex agris commigrantes, aut in silvis opacis latitantes conservati sunt. Nec hoc tantum, sed etiam inter amicos frequentissime mul a de Romanis captivis verba faciebat, indigne ferens, quod quæ minime vellet, et super quibus doleret potius non mediocriter, ea facere ab ho-

βατιλεῖ τὰ παρὰ τῶν Περσῶν. Καὶ παρεσκευάζετο καὶ αὐτὸς, ὡς μαχούμενος, ἦν δέῃ. Οὐδένα γὰρ ἦδη τῶν ἄλλων ἐποιεῖτο λόγον, μελλόντων ἐκείνων πρὸς αὐτὸν μεθίστασθαι ἐπὶ τῆς παρατάξεως. Μετὰ μικρὸν δὲ καὶ οἱ ἄλλοι συμφωνήσαντες, κοινὴν ἐποιήσαντο πρεσβείαν πρὸς τὸν βασιλέα, φάσκοντες θαρρεῖν ὡς ἔσονται σύμμαχοι καὶ φίλοι. Ἐδέοντο δὲ αὐτοῦ μὴ τὸ νῦν ἔχον ἀναγκάζειν ἥκειν πρὸς αὐτὸν, ἀλλ' ἀπελθόντας εἰς Βυζάντιον πρὸς βασιλίδα καὶ δῶρα δεξαμένους, καὶ τὰ ἐπηγγελμένα χρήματα τῷ σφῶν σατράπῃ ἐπανήκειν πρὸς αὐτὸν, καὶ πάντα τὰ κελευόμενα ποιεῖν. Οἱ μὲν οὖν βάρβαροι γνώμην ἔχοντες τοιαύτην ἦκον εἰς Βυζάντιον. Καὶ οἱ στρατηγοὶ πρὸς βασιλίδα εἰσελθόντες, προσεκύνουν τε καὶ ἐδέχοντο δῶρα παρ' ἐκείνης φιλοτίμως, συνέβαι- B νόν τε οἱ τῶν Βυζαντίων ἄρχοντες τοῖς Πέρσαις, ἵν' αὐτοὶ μὲν ἐκ θαλάσσης τριήρεις πέμψαντες κωλύσωσιν Ὀρχάνην βασιλεῖ μὴ βοηθεῖν, αὐτοὶ δὲ ἐκ τῆς ἠπείρου περιστρατοπεδευσάμενοι Σηλυμβρίαν πολεμῶσιν ἄχρις ἂν ἐκπολιορκήσωσιν αὐτὴν καὶ τοὺς συνόντας. Ἤλπιζον γὰρ καὶ Σηλυμβριανοὺς, ἂν μεγάλην δύναμιν ἐκ γῆς καὶ θαλάττης ἴδωσι, διαστασιάσειν πρὸς βασιλέα, καὶ τὴν πόλιν ἐκείνοις παραδώσειν. Καὶ ὡπλίζοντο αὐτίκα αἱ τριήρεις. Τὸ Περσικὸν δὲ διενοοῦντο εἰ καὶ Ῥωμαίων ἱππικὴ στρατιὰ συνέποιτο αὐτοῖς πάντας ἐξανδραποδίζειν. Ἐμήνυόν τε βασιλεῖ τῷ Καντακουζηνῷ, εἰ καθ' ἡδονὴν τὸ τοιοῦτον εἴη πράττειν. Ὁ δ' ἐκώλυεν, αὐτὸς ἰσχυριζόμενος ἀδικεῖσθαι, ἂν τοιαῦτα τολ- C μῶσιν· ὀλίγῳ γὰρ ὕστερον, αὐτοῦ τοὺς στρατιώτας ἔσεσθαι ἐκείνους. Ἐκείνου μὲν οὖν ἀπέσχοντο, καὶ οὐδὲ ἐνέμειναν παρασκευασαμένους σὺν αὐτοῖς ἐλθεῖν. Ἀναστρέφοντες δὲ ἐκ Βυζαντίου πρὸς Σηλυμβρίαν, πάντας ἠνδραπόδιζον τοὺς προστυχόντας, καὶ ἐζημίωσαν οὐκ ὀλίγα διὰ τὸ θαρρεῖν αὐτοῖς τοὺς περὶ τὸ Βυζάντιον, ὡς φίλοις καὶ συμμάχοις. Ἐπεὶ δὲ εἰς Σηλυμβρίαν ἦσαν, ἡ στρατιὰ μὲν ἔξω κατελείπετο. Λοχαγοὶ δὲ καὶ ἡγεμόνες καὶ στρατηγοὶ, οὐκ ὀλίγοι ὄντες, πρὸς βασιλέα ἦλθον. Καὶ ὁ βασιλεὺς εἱστία φιλοτίμως ἐπ' αὐτοῦ. Οὕτω δὲ ἦν ἡ οἰκία κατεσκευασμένη ἐν ᾗ ηὐλίζετο ὁ βασιλεὺς, ὥστε καθημένους ὁρᾶν τε τὴν θάλασσαν, καὶ ὁρᾶσθαι ὁμοίως ὑπὸ τῶν παριόντων. Εἱστιῶντο μὲν οὖν οἱ Πέρσαι, καὶ αἱ ἐκ Βυζαντίου παρῆσαν αὐτίκα τριή- D ρεις οὐκ ὀλίγαι, καὶ πεντηκόντοροι ληστικαὶ, καὶ παραπλέοντες, ἤδεσαν γὰρ ἐκεῖ βασιλέα διατρίβοντα, τῶν ὕβρεων ἠφείδουν καὶ τῶν ἀπειλῶν. Οἱ Πέρσαι δὲ αὐτίκα ἀναστάντες, ἔβαλλον τοὺς τριηρίτας ἀπὸ τῆς οἰκίας συχνοῖς τοῖς βέλεσι, καὶ ἐτραυμάτισάν τινας. Οἱ ναυάρχοι δὲ τοὺς Πέρσας ὁρῶντες μαχομένους, πρῶτα μὲν ἐθαύμαζον, καὶ διηπόρουν, ὅ τι εἴη. Ἐπεὶ δὲ ἐπύθοντο τὸ Περσικὸν προσκεχωρηκότας βασιλεῖ, ἀνέστρεφον αὐτίκα, πάσης αὐτοῖς ἐλπίδος περιαιρεθείσης, καὶ ὁ βασιλεὺς τοῖς ἄρχουσι τῆς στρατιᾶς δῶρα παρασχόμενος, ἀπέπεμπε πρὸς τὴν οἰκίαν· οὐ γὰρ αὐτῶν ἐδεῖτο τότε. Ἐκεῖνοι δὲ ζημίαν οὐ μικρὰν ἡγούμενοι τὸ κενοῖς ἀναχωρεῖν χερσὶν, ἐπεστράτευσαν Μυσοῖς, καὶ ἀπέκτειναν πολλοὺς κατὰ τὴν ἔφοδον ἐκείνην, καὶ ἠνδραποδίσαντες,

Digitized by Google Распознавание текста ABK/FR

καὶ βοσκημάτων ἐκράτησαν παμπόλλων, καὶ εἴπερ ποτὲ ἐκάκωσαν Μυσίαν. Ἐλέγετο δὲ ὡς βασιλεὺς αὐτοῖς ἐπιτρέψειε τὴν ἔφοδον, ἀμειβόμενος τῆς συμμαχίας· ἐψεύδοντο δὲ ἀκράτως οἱ λογοποιοῦντες. Οὐχ ὅτι τότε γὰρ ὁ βασιλεὺς, ἀλλ' οὐδὲ ἄλλοτέ ποτε ἐκὼν εἶναι πρὸς βαρβάρους ἐπήγαγε Μυσοῖς· ἀλλὰ πλείους ὄντες, ἢ ὥστε ἄγεσθαι ὑπὸ Ῥωμαίων, ἀφ' ἑαυτῶν αὐτοὶ ἐπῆσαν κέρδους ἕνεκα. Λαμβάνειν γὰρ παρὰ Ῥωμαίων οὐδὲν ἐξῆν, τῶν μὲν ἤδη διεφθαρμένων, τῶν ὑπολοίπων δὲ τελούντων ὑπὸ βασιλέα ᾧ σύμμαχοι καὶ φίλοι εἶναι ἔλεγον. Μᾶλλον μὲν οὖν καὶ πρόνοιαν ἐποιεῖτο πλείστην τοῖς Μυσοῖς τὴν τῶν βαρβάρων ἔφοδον ἀεὶ μηνύειν· καὶ πολλάκις ἀπὸ τούτου τοῦ τρόπου διεσώθησαν, ἐπὶ τὰς πόλεις καὶ τὰς λόχμας καταδύντες. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς φίλους ἀεὶ πολύν τινα λόγον ἐποιεῖτο, περὶ Ῥωμαίων τῶν ἐξανδραποδιζομένων ἀγανακτῶν, ὅτι ἃ μὴ βούλοιτο, ἀλλὰ καὶ ἄχθοιτο γινομένων οὐ μετρίως, ταῦτα ὑπὸ τῶν πολεμούντων πράττειν ἀναγκάζοιτο· καὶ πρὸς μὲν ἐκείνους ἔφασκεν ἀμύνεσθαι δίκαιον ἡγεῖσθαι, οὐ μόνον διὰ τὸ μὴ καταδέχεσθαι τὴν εἰρήνην, ἀλλ' ὅτι εἰ καὶ τρόπῳ δή τινι περιγένοιντο αὐτῶν, πάντας ὡμῶς ἀποκτενοῦσιν, ὡς ἐκ τῶν γεγενημένων εἰκάζειν ἔξεστι τὰ μέλλοντα. Δι' ἃ καὶ τὴν τῶν βαρβάρων αἱρεῖσθαι συμμαχίαν, ἵνα μὴ αὐτοὶ χρησάμενοι, ὥσπερ πολλάκις ἐπεχείρησαν, διαφθείρωσιν αὐτὸν καὶ τοὺς συνόντας. Πρὸς δὲ τοὺς κτεινομένους, ἐξανδραποδιζομένους, καὶ τὰ ἔσχατα ὑπομένοντας, οὐδεμίαν εὐπρόσωπον ἀπολογίαν ἔχειν· τί γὰρ ἠδικήκασιν ἄνθρωποι γεωργοὶ καὶ γυναῖκες, καὶ βρέφη νήπια, ἃ καθημέραν κατασφάττεται, καὶ πρὸς δουλείαν ἀποδίδοται, καὶ ἤθεσι καὶ νόμοις ἐντρέφεται βαρβαρικοῖς, καὶ πρὸς τὸ ἀφίστασθαι ἐνάγεται Θεοῦ τοῦ πλάσαντος; ἢ γυναῖκες αἰσχυνόμεναι παρθένοι, καὶ ναοὶ καταστρεφόμενοι, καὶ τὰ ἅγια συμπατούμενα, καὶ περιυβριζόμενα, καὶ ἀθέων χερσὶ παραδιδόμενα παρὰ πάντα τοῦ δικαίου καὶ εὐλόγου λόγον; ἐφ' οἷς καὶ ἐπεδάκρυε τὰς παρὰ τοῦ δικαίου Κριτοῦ περὶ τούτων ἐννοῶν εὐθύνας, καὶ τὸ ἀπαραλόγιστον ἐκεῖνο δικαστήριον καὶ φοβερόν. Ὅμως τῶν αὐτῶν πάλιν ἀναγκαίως εἶχετο, τῶν γινομένων τὴν αἰτίαν εἰς τοὺς μὴ καταλύειν τὸν πόλεμον ἐθέλοντας ἀνατιθείς, ἀλλ' ἐπιβουλεύοντας ἀεὶ καὶ μηδένα τῶν κτεινομένων ἔλεον λαμβάνοντας, καὶ ταῦτα ὑπ' αὐτοῖς τελούντων. Οἱ μὲν οὖν βάρβαροι, πολλὴν αἰχμαλωσίαν ἄγοντες ἀπὸ Μυσῶν, ἐπεραιώθησαν εἰς τὴν Ἀσίαν.

stibus compelleretur. Et quidem in illos pugnare justum se arbitrari autumabat, non solum quod pacem repudiarent, sed etiam, quod si qua via victores evaderent, omnes (ut ex præteritis futura liceret colligere) crudeliter interfecturi essent. Quapropter et Barbarorum arma socia expetere, ne illi ipsis usi, se cum suis, quod sæpius conati sint, perimant. Quod vero tam multos occiderint, ceperint, dirissime cruciarint, id eos nullo honesto nomine posse defendere. **689** Quid enim eos læserunt homines agricolæ, et mulieres, et infantes, qui quotidie jugulantur, et in servitutem pretio divenduntur, legibusque et institutis barbaricis viventes, ad Deum procreatorem suum deserendum impelluntur? Aut virgines, quibus erepta est pudicitia, aut templa eversa, et sancta indignissime conculcata, manibusque impiorum iniquissime tradita? Hæc inter verba fluebant ei lacrymæ, cum justi Judicis super his examen ac tribunal illud formidabile, quod decipi non potest, reputaret. Verumtamen ad eadem rursus necessario aggrediebatur, causam iis ascribens, qui bellum finiri noluissent, sed insidiarentur sibi perpetuo, nihil eos qui trucidarentur, quanquam suæ ditionis, miserantes. Barbari igitur onusti præda Mœsiaca in Asiam renavigarunt.

CAPUT XCVII.

Monomachus quidam ad occidendum imperatorem submittitur. Dolus ejus et insidiæ. Veneni præsentia notabilis. Imperator ab amicis præmonetur; insidiator impune dimittitur. Zyraces domesticus imperatricis Constantinopolis sub imperatorem redigendæ consilia agitat. Odium Galatæorum in Phaseolatum, et illius occidendi studium. Imperatricis pro eo sollicitudo. Ejus satellitium, et cogitatio de via imperatori in urbem paranda, ac super ea re cum Zyrace pactum. Microcephalus ad imperatorem legatus deligitur. Eumdem adversarii deligunt, ut quosdam interimant de imperatoriis. Imperator ad suspicionem vitandam Adrianopolim abit.

Οἱ ἐν Βυζαντίῳ δὲ ἐπεὶ φανερῶς ἀπέγνωσαν πολεμεῖν πρὸς βασιλέα, ἐπεβούλευον αὖθις ἀφανῶς, καὶ Μονομάχον τινὰ, ἀδελφιδοῦν ὄντα Τάγαρι τῷ μεγάλῳ στρατοπεδάρχῃ, δηλητήριον ἔχοντα αὐτομολεῖν ἐκέλευον πρὸς βασιλέα, εἶτα μηνύειν δῆθεν τὴν ἐπιβουλὴν, καὶ τὰ φάρμακα φανεροῦν. Ἐπειδὰν δὲ ἀδείας λάβηται, καὶ παῤῥησίας διὰ τὴν δοκοῦσαν εὔνοιαν, τότ' ἤδη τῇ ἐπιβουλῇ χρῆσθαι ἀδεῶς, καὶ φάρμακα ἔχοντα προσάγειν βασιλεῖ. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη ἦν. Καὶ ὁ Μονομάχος ἐποίει κατὰ τὰ κεκελευσμένα, καὶ τήν τε ἐπιβουλὴν ἐμήνυε, τήν ἀπανθρωπίαν καὶ μοχθηρίαν τῶν πεμψάντων φάσκων βδελύξασθαι οὐκ ἀνεκτῶς, καὶ μᾶλλον βούλεσθαι συνεῖναι βασιλεῖ διὰ τὴν ἡμερότητα, καὶ

Byzantii, victoria contra imperatorem prorsus desperata, rursus occulte struxerunt insidias, et Monomachum quemdam ex sorore Tagaris stratopedarchæ natum, cum veneno transfugere ad illum jusserunt; deinde de insidiis et veneno illi confiteri. Ubi pro benevolo habitus, securitatem libertatemque agendi adeptus fuerit, tum citra metum maturare insidias, et quod haberet, aliud imperatori venenum admovere. Insidiæ tales fuerunt. Et Monomachus jussa peragens, insidias detegebat, inhumanitatem et scelus eorum, a quibus esset missus, mirabiliter se exsecrari, ac malle cum imperatore propter suavitatem bonitatemque morum versari testificans; simulque venenum in vasculo

Digitized by Google Распознавание текста ABK/FR

vitreo exhibebat. Quem ob aequitatem et indicium insidiarum laudavit et muneratus est imperator, majora adhuc in eum collaturus. Veneni porro sub terram defodiendi negotium Potamiatæ dedit, qui id extra urbem defodit. **690** Reversus, non ante lotis manibus cibum cepit (64) : neque enim tam præsentem illi inesse vim suspicabatur, ut vitro inclusum, ac multis insuper involucris circumdatum, solo contactu etiam sic nocere posset. Atqui adeo magnam vim et efficacitatem habebat, ut Potamiatæ tantum non interitum attulerit : quem diarrhœa frequens, et dolor stomachi vehemens arripuit, et toto ore pustulæ erumpebant, ac dentes gingivis emarcentibus, propemodum excidebant. Theriacæ autem, aliorumque antidotorum usu vitam servavit ille quidem, quanquam vix, sed in morbo longinquo fuit. Sic autem palatum et lingua obstupuerant, ut diu nullum cibi potionisve saporem perciperent. Venenum itaque istanc efficientiam habuit. Verum amici ex Byzantio imperatorem monebant, Monomacho ne fideret, sed hominem devitaret ; sic enim ab iis qui misissent, per nequitiam et dolum instructum, ut principio quidem ultro venenum offerret, quo bene velle putaretur, post, aliud illo exitialius admoveret. Imperator subito accersitum percunctatur, verane sint, quæ de illo ab amicis scribantur. Negat, et frivolis quibusdam suspectisque ratiunculis se tuetur. Imperator nulla pœna imposita, eum apud se pati noluit, atque ut se amoliretur jussit, quod continuo fecit. Imperator itaque ut cum amicis Byzantii litteris et internuntiis commodius ageret, diutius Selybriæ se continuit. Porro Zyraces e famulitio imperatricis, cui dolori erant quæ agebantur, quique Romanos de tanta ærumna miserans, et intelligens archontas nec resistere imperatori posse, nec pacem hili facere : sed unum hoc tantum statuisse, in imperio dominari, cætera in postremis ponere : et opinatus, si quo modo Cantacuzenus principatum adipisceretur, Romanos præteritarum calamitatum immemores fore, et imperium continentibus bellis tantopere attritum divexatumque aliquando recreatum iri : hæc, inquam, intelligens, aliosque non paucos eadem sententia secum devinciens, id agebat, ut Byzantium sub potestatem imperatoris veniret, et Selybriam eidem suam mentem significabat. Qui quod agerent, probabat, quæque peterent, omnia se præstiturum promittebat. Latini apud Galatam in Phaceolatum, ut diximus, odio capitali ardebant, quod homophylos occidisset, ipsumque spiritu privare cupientes, **691** crebro ab imperatrice deposcebant, hostes futuri, ni impetrassent. Augusta Phaceolatum abjicere nolens

A χρηστότητα τῶν τρόπων, καὶ τὸ φάρμακον παρεῖχεν ἐν ἀγγείῳ ὑελίνῳ. Τὸν μὲν οὖν Μονομάχον ὁ βασιλεὺς ἐπῄνει τῆς ἐπιεικείας, καὶ αὐτίκα ἠμείβετο δωρεαῖς διὰ τὴν μήνυσιν τῆς ἐπιβουλῆς· καὶ ἔτι ἔμελλε μᾶλλον εὖ ποιήσειν. Τὸ δὲ φάρμακον τὸν Ποταμιάτην ἐκέλευε λαβόντα κατορύττειν, καὶ κατόρυττε τῆς πόλεως ἐξελθών. Ἀναστρέψας δὲ ἤπιετο τροφῆς, μὴ νιψάμενος τὰς χεῖρας· οὐ γὰρ ὑπόπτευσε τοσαύτην ἔχειν δύναμιν, ὥστε ἐν ὑελίνῳ κατακεκλεισμένον, καὶ ὑπὸ πολλῶν ἑτέρων περιεχόμενον ἐπιβλημάτων, ἀπὸ μόνης βλάπτειν δύνασθαι ἁφῆς. Τὸ δὲ οὕτως ἄρα ἐνεργὸν καὶ δραστήριον ἦν, ὡς μόλις δυνηθῆναι Ποταμιάτην τὸν παρ' ἐκείνου κίνδυνον διαφυγεῖν. Διάῤῥοιαί τε γὰρ χιλίας κατέσχον συνεχεῖς, καὶ περιωδυνίαι τοῦ στομάχου, καὶ ἅπαν B τὸ στόμα φλυκτίδας ἦν ἐξηνθηκός. Καὶ οἱ ὀδόντες ἐδόκουν καταπίπτειν, τῶν περιεχόντων ὑμένων νεκρωθέντων. Θηριακαῖς δὲ χρησάμενος καὶ ἑτέραις ἀντιδότοις, μόλις τὸ ἀποθανεῖν διέφυγεν· ἐνόησε δὲ οὐκ ὀλίγον χρόνον· οὕτω δὲ νενάρκωτο τὰ περὶ τὸ στόμα πάντα, ὡς ἐπιπολὺ μηδεμιᾶς αἰσθάνεσθαι ποιότητος. Τὸ μὲν οὖν δηλητήριον τοιαύτην εἶχε τὴν δύναμιν. Οἱ φίλοι δὲ ἐκ Βυζαντίου βασιλεῖ μὴ θαῤῥεῖν παρῄνουν Μονομάχῳ, ἀλλὰ φυλάττεσθαι τὸν ἄνδρα· οὕτω γὰρ εἶναι συνεσκευασμένον παρὰ τῶν πεμψάντων, ὥστ' αὐτὸν μὲν πρότερον ἐκόντα παρασχεῖν τὸ φάρμακον, ὡς ἂν νομίζοιτο εὔνους εἶναι, ὕστερον μέντοι προσάγειν ἕτερον ἐκείνου χαλεπώτερον. Ὃν αὐτίκα, μεταπεμψάμενος ὁ βασι- C λεὺς, εἰ ἀληθῆ τὰ περὶ ἐκείνου γεγραμμένα ἐπιν- θάνετο παρὰ τῶν φίλων εἴη. Ὁ δ' ἠρνεῖτο μὲν, σαθρὰς δὲ παρείχετο ἀπολογίας καὶ οἷας ὑποπτεύεσθαι. Βασιλεὺς δὲ κακῶς μὲν οὐδὲν ἐποίει, ἀνεχωρεῖν δὲ μόνον ἐκέλευε καὶ μὴ αὐτῷ συνεῖναι, καὶ αὐτίκα ἀνεχώρει. Βασιλεὺς μὲν οὖν τὸν πλείω χρόνον διέτριβεν ἐν Σηλυμβρίᾳ, ἵν' ἐξῇ τοῖς ἐν Βυζαντίῳ φίλοις διαλέγεσθαι. Τζυράκης δέ τις τῶν βασιλίδος οἰκετῶν, δυσανασχετῶν πρὸς τὰ πραττόμενα, καὶ τὴν τοσαύτην Ῥωμαίων οἰκτείρων κακοπραγίαν, συνορῶν τε ὡς οἱ μὲν ἐν Βυζαντίῳ ἄρχοντες, οὔτ' ἀντέχειν πρὸς βασιλέα οἷοί τέ εἰσιν, οὔτε περὶ εἰρήνης οὐδένα ποιοῦνται λόγον, ἀλλ' αὐτὸ τοῦτο μόνον ἐγνώκασι τὸ τῶν πραγμάτων αὐτοὶ ἄρχειν, τῶν δ' ἄλλων οὐδενὸς πρόνοιαν ποιοῦνται, καὶ νομίσας εἰ D Καντακουζηνὸς ὁ βασιλεὺς τρόπῳ δή τινι τῶν πραγμάτων συμπάντων ἄρξειε, λυθήσεσθαι Ῥωμαίοις τὰς συμφορὰς, καὶ ἐπί τι βέλτιον χωρήσειν τὴν ἡγεμονίαν, ὑπὸ τῶν συνεχῶν πολέμων τοσούτῳ μεγέθει χρησαμένην συμφορῶν, καὶ ἄλλους οὐκ ὀλίγους προσεταιρισάμενος, ἔπραττεν ὅπως ὑπὸ βασιλέα γένοιτο Βυζάντιον, καὶ πέμψας ἐδήλου βασιλεῖ κατὰ Σηλυμβρίαν διατρίβοντι. Ὁ δὲ ἐδέχετό τε τὴν πρᾶξιν, καὶ πάντα ὅσα ᾔτουντο ἐπηγγέλλετο

Jacobi Pontani notæ.

(64) Nota veneni genus præsentissimum ex sequentibus. De veneno per filios ab Antipatro, regi Alexandro dato in poculo, Justinus lib. XII, tantam ejus fuisse vim, ut non ære, non ferro, non testa contineretur : nec aliter ferri, nisi in ungula equi potuerit. Et sane Alexander accepto poculo, media potione repente veluti telo confixus ingemuit : ejectusque e convivio semianimis, tanto dolore cruciatus est, ut ferrum in remedia posceret, tactumque hominum velut vulnera indolesceret.

Digitized by Google Распознавание текста ABK/FR

ποιήσειν, Οἱ ἐν Γαλατᾷ δὲ, ὥσπερ ἔφημεν, Λατῖνοι ἀπεχθῶς ἄγαν πρὸς Φακεωλάτον διακείμενοι διὰ τὸ τοὺς ὁμοφύλους ἀνῃρῆσθαι, αὐτοί τε ἐσπούδαζον ἀποκτείνειν, καὶ πρὸς βασιλίδα συχνὰς ποιούμενοι πρεσβείας ἐκδοθῆναι σφίσι τὸν Φακεωλάτον ἤτουν, εἰ μὴ βούλοιτο πολεμίους ἔχειν. Βασιλὶς δὲ Φακεωλάτον τε προΐεσθαι μὴ βουλομένη, ἦν γὰρ τότε καὶ αὐτὴ τῶν ἡρημένων ἄρχειν, καὶ μυστικῷ τῷ Κιννάμῳ, καὶ Ἀσάνῃ τῷ πανυπερσεβάστῳ συμπράττων πρὸς τὸν κατὰ βασιλέως πόλεμον, τό τε Λατίνοις πολεμεῖν οὐ λυσιτελεῖν αὐτῇ νομίζουσα πρὸς τὴν ἀρχὴν, οὔτ' ἀπέπεμπε φανερῶς, ὡς ἄδικα πρεσβεύοντας, οὔτ' ἐνεδίδου τι κατὰ Φακεωλάτου πράττειν, ἀλλ' ἠπίως πως καὶ προσηνῶς ἐβούλετο διαλύειν τὴν διαφοράν· καὶ Λατίνοις μὲν ἔφασκεν ἀποκρινεῖσθαι πρότερον καλῶς περὶ ὧν ἀξιοῦσι διασκεψαμένην, Φακεωλάτῳ δὲ ἐκέλευε πρόνοιαν αὐτοῦ ποιεῖσθαι, μὴ ὑπὸ τῶν Λατίνων ἐπιβουλευθῇ ἡμέρας ἢ νυκτὸς ἐπιθεμένων. Ὁ μὲν οὖν αὐτίκα περιέστησεν ἑαυτῷ φρουράν, καὶ ὑπωπτεύετο παρ' οὐδενὸς, ὁμοίως ἐν βασιλείοις καὶ κατὰ τὴν ἄλλην πόλιν περιῶν, ὁπλίτας ἔχων περὶ ἑαυτόν. Ὁ δὲ, ἀχθόμενος καὶ πρότερον ἐπὶ τοῖς ὑπὸ τοῦ πολέμου συμβαίνουσι κακοῖς, καὶ μεγάλῳ μὲν δουκὶ καὶ πατριάρχῃ πολλὴν συνειδὼς ἀγνωμοσύνην περὶ Καντακουζηνὸν τὸν βασιλέα καὶ συκοφαντίαν, ἐκεῖνον δὲ τὰ ἔσχατα ἠδικημένον, καὶ δικαιότερον ὄντα τῶν ἄλλων μᾶλλον τοῖς πράγμασιν ἐφεστηκέναι, τότε δὲ καὶ μᾶλλον ὑπὸ τῶν περισχόντων φόβων, τό τε κοινῇ λυσιτελοῦν καὶ αὐτῷ ἰδίᾳ συνιδὼν, ἐσκέπτετο καὶ αὐτὸς τὴν εἰς Βυζάντιον εἴσοδον συμπράττειν βασιλεῖ, ὡς μόνην ταύτην πολλῶν ἀπαλλαγῆς κακῶν αἰτίαν ἐσομένην. Πυθόμενος δὲ καὶ περὶ Τζυράκη, ὅτι τὰ αὐτὰ ἐκείνῳ βούλοιτο, συνῆλθόν τε εἰς λόγους, καὶ συνέθεντο κοινῇ τὴν πόλιν βασιλεῖ παραδιδόναι. Καὶ πέμψαντες αὖθις, ἐδήλουν βασιλεῖ ὡς καὶ Φακεωλάτος πρόσθοιτο τοῖς πράττουσιν ὑπὲρ αὐτοῦ. Ἐπεὶ δὲ ἔδει καὶ ἀξιόλογόν τινα ἐλθεῖν πρὸς βασιλέα, ὥστε συνθέσθαι τὸν χρόνον, ἐν ᾧ δεήσει αὐτόν τε παρεῖναι, καὶ τὴν ἅλωσιν ἐκείνους πράττειν, ἔδοξε σκεψαμένοις τὸν Μικροκέφαλόν τινα πέμπειν. Καὶ μετάπεμψάμενοι τῶν τε ἀπορρήτων ἐποιοῦντο κοινωνὸν, καὶ παρῄνουν αὐτομολεῖν πρὸς βασιλέα δῆθεν, καὶ πάντα ὅῆλα καθιστᾷν, καὶ χρόνον συντιθέναι καθ' ὃν ἐκεῖνον παρεῖναι δεήσει. Ἐπεὶ δὲ ἐπείθετο πρὸς τὴν ἐπιχείρησιν, Πετρογουργούρῳ τινὶ περὶ ναυτικὰ ἠσχολημένῳ, ἐπιτηδείῳ μάλιστα Φακεωλάτῳ ὄντι, τὴν Μικροκεφάλου πρὸς Σηλυμβρίαν ἀπαγωγὴν ἐπέτρεπον ἐκ θαλάττης· ἐκεχειρία γάρ τις ἦν Σηλυμβριανοῖς πρὸς Βυζαντίους, καὶ ἀδεῶς ἐφοίτων πρὸς ἀλλήλους ἐμπορίας ἕνεκα, ὁμοίως τε παρόντος καὶ ἀπόντος βασιλέως. Ἐκ γῆς δὲ λῃστεῖαί τε ἦσαν συνεχεῖς καὶ βαρβάρων ἐφοδοι, καὶ οὐδὲν δεινὸν ἦν ὃ μὴ παρῆν, ἃ ἐποίει ἄπορον παντάπασι τὴν δίοδον. Ἐκείνοις μὲν οὖν οὕτω Μικροκέφαλος παρεσκεύαστο πρὸς βασιλέα ἥξων. Οὐ μὴν οὐδὲ οἱ ἐν Βυζαντίῳ Ἄρχοντες ἠμέλουν· ἀλλ' ἐδόκει δεῖν κἀκείνοις πέμψασι διερωτῆσαι τινὰς τῶν βασιλεῖ συνόντων, πολλὰ ἐκ βασιλίδος

A (erat enim tum ipse quoque de collegio archontum, et cum Cinnamo mystico atque Asane panhypersebasto ad Cantacuzenum bello persequendum incumbebat), et cum Latinis belligerare sibi ad imperii incolumitatem haud quidquam commodaturum providens, nec manifeste legatos dimittebat, quasi iniqua peterent, nec mollescebat, ut Phaceolatum laederet, sed clementer ac benigne volebat controversiam decidere, et Latinis se responsuram aiebat, si prius eorum postulata apud animum bene perpendisset. Phaceolatum interea monebat, videret etiam atque etiam, quomodo Latinorum insidias, quas ei diu noctuque pararent, effugeret. Ille statim custodes corporis sibi adhibuit. Et cum per palatium perque urbem, armatos circum se habens
B ambularet, nulli tamen suspectus erat. Verum cum jam ante malis e bello exsistentibus ingemisceret, neque nescius esset quanta improbitate, quibus calumniis magnus dux et patriarcha Cantacuzenum ad extremas miserias devolvissent, quem jure oporteret præ aliis summum tenere imperium, illo autem tempore ob timorem quo obsidebatur, clarius quid communi ac sibi privatim posset conducere animadverteret, ipse similiter, quando hæc una et sola via e multis malis emergendi relinqueretur, de imperatore in urbem recipiendo cogitavit. Ut porro accepit Zyracem eadem moliri, cum eo collocutus, et de civitate concorditer imperatori dedenda pactus est; cui denuo significarunt, etiam
C Phaceolatum ad ipsius partium studiosos accessisse. Ut autem e primariis quempiam ad eum mitti necesse fuit, cum quo de tempore decerneretur, quo veniret, ipsique urbem transderent, placitum est, re considerata, mittere quemdam nomine Microcephalum, quem accitum, secretorum faciunt conscium, suadentque ad imperatorem ultro confugiat, eique aperiens omnia, de tempore adventus Byzantium cum eo conveniat. Microcephalus negotio suscepto, Petrogurguro cuidam navicularium facienti, et Phaceolato amicissimo, Selybriam deducendus committitur: erant siquidem induciæ Selybrianis cum Byzantiis, ac mercimoniorum gratia æque præsente ut absente imperatore inter se commeabant. Nam continentem **692** Barbari
D incursabant ac deprædabantur assidue, nec ulla aberat malorum facies. Unde via omnimodis invia redde batur. Sic illi Microcephalum ad imperatorem profecturum adornabant. Neque tamen archontes Byzantii dormiebant, quibus visum est propositis imperatricis nomine præmiis non vulgaribus mittere, ac nonnullos de imperatoris familiaribus morti offerre, cui operi, re circumspecta, Microcephalum accommodatissimum judicabant. Quem advocantes, cogitata illi sua explanant, et exquisita beneficia spondent. Is primum hoc accitu timere, ac de urbe tradenda laborantes deprehensos existimare. Verum ut negotii ignaros sensit, quod jubebatur, promptissime curaturum recepit. Tum illi litteras conscribunt ad quos volunt, cumque illis

Digitized by Google Распознавание текста ABK/FR

Petrogurguro Microcephalum (cui et Phaceolatus eumdem tradiderat) lembo Selybriam perducendum committunt. Quod Phaceolatus divinæ providentiæ artificium interpretatus, velut ipso adjutante Numine ad opus conficiendum fiebat alacrior. Sic Microcephalus ad imperatorem jucunde profectus, Phaceolati mandata omnia peregit. Imperator condicta die, qua ad Auream portam noctu adesset (inde enim facilis ingressus videbatur) Adrianopolim, ne quam suspicionem archontibus moveret, concessit.

A ἐπαγγειλαμένους. Ἐδόκει δὴ καὶ αὐτοῖς σκεψαμένοις ὁ Μικροκέφαλος οὕτοσὶ πρὸς τὸ ἔργον εἶναι ἐπιτηδειότατος. Καὶ αὐτίκα μετεκαλοῦντο καὶ διελέγοντο περὶ ὧν διενοοῦντο εὖ ποιήσειν, πολλὰ ἐπαγγελλόμενοι. Ὁ δὲ πρῶτον μὲν ἔδεισε πρὸς τὴν κλῆσιν, πεφωράσθαι οἰηθεὶς τοὺς πράττοντας τὴν ἅλωσιν. Ἐπεὶ δὲ ἠσθάνετο μηδὲν εἰδότας, ἐπηγγέλλετο τὸ προσταττόμενον ποιήσειν προθυμότατα. Οἱ δὲ γράμματά τε παρείχοντο πρὸς οὓς ἐβούλοντο, καὶ Πετρογουργούρῳ πρὸς ὃν ὁ Φακεωλάτος παρεδίδοσαν, ὡς ἀκατίῳ τινὶ ἀπάξοντι πρὸς Σηλυμβρίαν. Ὅ καὶ μᾶλλον ἔδοξε τοῖς περὶ Φακεωλάτον ὑπὸ τῆς Προνοίας συνεσκευάσθαι. Καὶ προθυμότεροι ἦσαν πρὸς τὸ πράττειν, ἅτε δὴ συναιρομένου καὶ τοῦ Θείου. Οὕτω μὲν οὖν Μικροκέφαλος παρεγένετό τε πρὸς βασιλέα σὺν ῥᾳστώνῃ, καὶ πάντα ἔπραξε τὰ παρὰ Φακεωλάτου. Βασιλεὺς δὲ συνθέμενος ἡμέραν ἐν ᾗ ἔδει πρὸς τὴν Χρυσῆν καλουμένην πύλην εἶναι νυκτὸς, ἐκεῖθεν γὰρ ἐδόκει ῥᾴδιον εἰσάγειν εἶναι, ἀπῆρεν εἰς τὴν Ἀδριανοῦ, ἵνα μηδεμίαν ὑποψίαν παρέχοιτο τοῖς Ἄρχουσιν ἐν Βυζαντίῳ.

CAPUT XCVIII.

Causa, cur imperatrix a patriarcha alienata sit. Res a capite arcessitur. Furor et insania patriarchæ in damnandis et puniendis recte de religione sentientibus. Apud imperatricem ab episcopis de moribus et religione accusatur. Ejusdem imperatricis diligentia in Ecclesia tuenda, et indicta synodus.

Interea etiam imperatrix sua sponte de patriarcha male sentire cœpit, etsi belli tempore singulari cum studio et inclinatione animi fecerat, ut archontum princeps esset. Causa hæc erat, quod simul bellum esset natum, Palamam sibi ob cathedram patriarchalem insidiari suspicatus, ei ex invidia nocere contendisset. Nam primum quidem ut Cantacuzenum una persequeretur, et ad illius excommunicationem assentiretur postulabat. Eo tam nefariam assensionem communionemque repudiante, perspiciens ille virum virtute et sapientia conspicuum nihil læsura crimina publica, mutata **693** ratione, impietatis ei dicam scripsit. Acindyno enim cuidam monacho, postquam Barlaamus omnibus calculis, sanctorum scitis de recta et sana fide pugnantia docere et sapere convictus est, rursum illius causam in judicium adducenti, affirmantique injuria damnatum esse, cum recte ac vere sentiret; Palamam autem et socios de prava religione accusanti, assentiens patriarcha (neque enim vel Deo parcebat, propter odium quo in Cantacuzenum ardebat : tametsi ipse, Palamas, inquam, Barlaamum velut pestem ac perniciem gregis repulerat, illique actionem intenderat, adhuc vivo beatæ memoriæ Andronico imperatore, nec solum condemnarat, sed et probationibus e sacra Scriptura, et ratione conclusis, ac necessariis demonstrationibus perversi erroris redarguerat) cum, et quicunque eamdem de fide tuebantur sententiam, in carcere detinebat, quantumque poterat affligebat : ac bellum imperatorio simile contra Ecclesiam commovebat. Nec enim judicium ullum, nec argumentorum firmamenta requirens, multos episcopos et præcipuos de monachis indicta causa damnabat, ac per omne belli tempus spirabat contra pietatem ferociter, archontibus ejus amentiam non parum adjuvantibus, quod et istuc bello adversus Cantacuzenum momento haud mediocri futurum cernerent.

B Τούτων δὲ πραττομένων, αὐτομάτως καὶ ἡ βασιλὶς διετίθετο κακῶς πρὸς πατριάρχην, καίτοι παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον πολλὴν τὴν εὐμένειαν παρεχομένη καὶ τὴν ῥοπὴν, ὡς ἄρχοντα Ἀρχόντων εἶναι. Αἰτία δὲ ἦν, ὅτι μετὰ τὸ κεκινῆσθαι τὸν πόλεμον εὐθὺς φθονερῶς ὁ πατριάρχης ἔχων πρὸς Παλαμᾶν, οἷα δὴ ὑπωπτευκὼς ἐφεδρεύειν αὐτῷ πρὸς τὴν καθέδραν τὴν ἀρχικὴν, ἐπεχείρει κακουργεῖν. Καὶ πρῶτα μὲν ἐκέλευε βασιλεῖ τῷ Καντακουζηνῷ συμπολεμεῖν, καὶ πρὸς τὰς ἐπιτιμήσεις καὶ τοὺς ἀφορισμοὺς συγκοινωνεῖν. Ὡς δ' ἀπείπατο ἐκεῖνος φανερῶς πρὸς τὴν τῶν ἀτόπων κοινωνίαν, συνιδὼν ὡς οὐδὲν ἂν ἐκεῖνον βλάπτειν δύναιτο δημόσια ἐγκλήματα, ἐπίσημον ὄντα δι' ἀρετὴν καὶ φιλοσοφίαν, δυσσεβείας ἐδίωκε C μεταβαλών. Ἀκινδύνῳ γάρ τινι μοναχῷ μετὰ τὸ Βαρλαὰμ ἁπάσαις ἁλῶναι ψήφοις, ἐναντία τοῖς ἁγίοις καὶ λέγοντα, καὶ φρονοῦντα περὶ τῆς ὀρθῆς πίστεως καὶ ὑγιοῦς, αὖθις τὰ ἐκείνου ἐκδικοῦντι, καὶ ἠδικῆσθαι φάσκοντι περὶ τὴν δίκην ὀρθὰ καὶ ἀληθῆ φρονοῦντα, Παλαμᾷ δὲ καὶ τοῖς περὶ αὐτὸν κακοδοξίαν ἐγκαλοῦντι, προσθέμενος καὶ ὁ πατριάρχης (οὐδὲ γὰρ οὐδὲ Θεοῦ ἀπέσχετο διὰ τὸ πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἔχθος, καίτοι γε αὐτὸς ὢν ὁ Βαρλαὰμ τῆς ποίμνης οἷα λύμην ἀπελάσας καὶ φθορὰν, καὶ δίκην κατ' ἐκείνου πεποιημένος, ἔτι καὶ βασιλέως Ἀνδρονίκου τοῦ μακαρίου περιόντος, καὶ Βαρλαὰμ οὐ μόνον καταψηφισαμένου, ἀλλὰ καὶ Γραφικαῖς ἀποδείξεσι, καὶ ἀνάγκαις λογικαῖς ἀπελέγξαντος κα- D κοδοξεῖν), Παλαμᾶν τε ὁμοίως καὶ ὅσοι τὰ αὐτὰ ἐκείνῳ περὶ τῆς πίστεως ἐφρόνουν, ἐν δεσμωτηρίοις εἶχε, καὶ ἐκάκου ὅσα δυνατά· καὶ πόλεμον ἐκίνει κατὰ τῆς Ἐκκλησίας τῷ βασιλικῷ παρόμοιον. Δίκης γὰρ οὐδεμιᾶς οὐδ' ἐλέγχων, οὐδ' ἀποδείξεως δεόμενος, τῶν τε ἐπισκόπων οὐκ ὀλίγων, καὶ τῶν λογάδων τῶν μοναχῶν κατεψηφίζετο ἐρήμην, καὶ πολὺς ἔπνει παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον κατὰ τῆς εὐσεβείας, καὶ τῶν ἀρχόντων ἐν τοῖς πράγμασιν οὐκ

Digitized by Google Распознавание текста ABK/FR

ὀλίγα συναιρομένων. Ἐώρων γὰρ οὐδὲ τοῦτο τὸ μέρος ὀλίγα συναιρόμενον πρὸς τὸν πρὸς βασιλέα πόλεμον. Πᾶσι γὰρ ὁμοίως ἀδικεῖσθαι Καντακουζηνὸς ὁ βασιλεὺς ἐδόκει, καὶ διὰ σπουδῆς ἦγον τὸ καταλύεσθαι τὸν ἀναῤῥιπισθέντα πόλεμον συγγενικὸν, ὡς αἴτιον ἐσόμενον πολλῶν κακῶν· ἃ τοῖς ἄρχουσιν οὐ λυσιτελεῖν οὔτε πρὸς βασιλίδα, οὔτε πρὸς ἄλλους Ῥωμαίους ἀκούεσθαι ἐδόκει. Πολλὴν μὲν οὖν κατὰ τὸν τοῦ πολέμου χρόνον κατὰ τῶν μὴ τὰ Ἀκινδύνου ᾐρημένων τὴν μανίαν ἐπεδείκνυτο ὁ πατριάρχης ὁμοίως κατά τε μοναχῶν καὶ ἐπισκόπων. Ἡ βασιλὶς δὲ ἀνήκοος μὲν οὐ παντάπασι τῶν τολμωμένων ἦν· ᾤετο δὲ τοὺς μοναχοὺς διὰ τὸ τὰ Καντακουζηνοῦ ᾐρῆσθαι, τοιαῦτα ὑπομένειν. Ἐπεὶ δὲ ηὔξητο ἐπὶ μέγα τὸ κακὸν, ὅσοι τῶν ἐπισκόπων μὴ καὶ αὐτοὶ διεφθαρμένοι ἦσαν ἐν τοῖς δόγμασι, τὰ κατὰ τὸν πατριάρχην γράμμασιν ἐποίουν βασιλίδι δῆλα, καὶ πολλὴν τὴν κακοήθειαν καὶ τὴν διαστροφὴν τῶν ὀρθῶν δογμάτων ἐνεκάλουν. Ἡ δὲ ὡς ἐπύθετο μόνον, οὐ πρὸς ἀναβολὰς ἐχώρησεν, οὐδὲ ὀλίγης ἄξια φροντίδος ἡγήσατο εἶναι τὰ περὶ Θεοῦ· ἀλλὰ πᾶσαν ἄλλην σπουδὴν ἐν δευτέρῳ τιθεμένη, ἑνὶ τούτῳ προσεῖχε μόνῳ, τῇ Ἐκκλησίᾳ κακῶς πασχούσῃ καὶ πολεμουμένῃ στῆσαι τὸ κακόν. Καὶ τοὺς ἐπιφέροντας τὴν γραφὴν μεταπεμψαμένη ἐπισκόπους, ἐπεὶ δεινὰ ἤκουε κατηγορούντων, ἐδόκει δεῖν σύνοδον ἐκ τῶν ἑνόντων συναθροίζειν, καὶ τὸν πατριάρχην καλεῖν πρὸς τὴν ἀπολογίαν. Ἐγένοντο μὲν οὖν ἐν βασιλείοις οἱ ἐπίσκοποι κελευούσης βασιλίδος, πλὴν τῶν ὅσοι ἦσαν φανερῶς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾐρημένοι· ἐκεῖνοι γὰρ ἀπρόσιτοι ἐν οἰκήσεσι κατεκλείοντο· πλὴν καὶ ἁπάντες, τὴν γνώμην ἣν ἔχουσι περὶ τοῦ πράγματος ἐδήλουν. Ἡ σύνοδος δὲ, προκαθημένης βασιλίδος, καὶ τοῦ υἱοῦ βασιλέως, τὴν ἐξέτασιν τῶν δογμάτων ἐποιεῖτο.

A Omnibus namque æqualiter cum Cantacuzeno iniquе agi videbatur : et bellum civile, ut multarum calamitatum fontem restingui studebant : id quod archontes non expedire, nec de eo imperatrici aliisque Romanis audiendum putabant. Itaque per annos illos belli patriarcha contra Acindyni adversarios egregie insaniebat, nempe contra monachos et episcopos. Imperatrix autem tam audax scelus non omnimodis nesciebat, verum monachos propter Cantacuzeni partes ista pati opinabatur. Cæterum malo in majus adaucto, quotquot episcoporum sinceritatem dogmatum retinebant, sensum suum adversus patriarcham per litteras imperatrici explicaverunt, ejusque insignem malignitatem, et perversas de fide opiniones accusarunt. Quæ simul B cognovit, non distulit, neque res divinas parum cordi habendas censuit : sed cætera omnia in posterioribus ponens, in hoc solo vigilavit, ut ægram et oppugnatam Ecclesiam in integrum restitueret. **694** Accersensque accusatores episcopos, ut magni criminis reum facientes audivit, synodum e præsentibus congregandam, et patriarcham ad sui defensionem advocandum duxit. Coierunt igitur ab Augusta vocati in palatium episcopi, præter eos qui aperte Cantacuzeno patrocinabantur; nam illi in ædibus inaccessi tenebantur. Nihilominus quamvis absentes, sententiam suam scripto demonstrarunt. Synodus porro, imperatrice ac filio imperatore præsidentibus (*k*), dogmata discutiebat.

CAPUT XCIX.

Nuntiatur adventus Cantacuzeni Byzantium. Cur non crediderit statim imperatrix. Cur imperator non plus militum adduxerit. Ejus sollicitudo et dolor. Amici cum timore portam Auream perfodiunt. Patriarcha exauctoratur. Imperator cum plausu populi urbem ingrediens, direptiones interdicit. Imperatrix valatium communit : ei Galatæi invitati succurrunt, sed a populo repelluntur. Imperator apud episcopos et cleri principes pro se causam dicit. Imperatrici minatur, nisi ad pacta veniat. Ad eam legatos mittit ; quanto in periculo sit, ostendit.

Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ἐκ Σηλυμβρίας τις ἐλθὼν ἐμήνυεν, ὡς ἐν ταύτῃ τῇ νυκτὶ ἐγγὺς εἴη Βυζαντίου C Interim Selybria quidam nuntius adest, ea nocte Cantacuzenum ante mœnia Byzantii adfuturum, cui

Jacobi Gretseri notæ.

(*k*) Scilicet hoc supererat ad perituræ Græciæ fœditatem, ut femina cum filio quindecim annorum præsideret synodo, et episcopis jura daret. Quis vel fando talia audivit? Neque enim tantum præsedit, hoc est, primo loco, ante episcopos sedit, ut Martianus olim in concilio Chalcedonensi, et Constantinus in concilio sexto; nec præsedit tantum, ut Patres synodi ab omni violentia tutos præstaret, curaretque ut omnia legitime, sine vi, fraude et tumultibus peragerentur, sed præsedit ut controversiarum et quæstionum judex : hanc enim potestatem recentior et imperitior Græcia suis imperatoribus detulerat inaudito a Christianæ fidei incunabulis exemplo, ut docet cardinalis Bellarminus lib. I *De conciliis et Ecclesia*, cap. 19 et 20. Quocirca primi etiam subscribebant æque insolito exemplo. Cum octo fuerint olim generales atque œcumenicæ synodi in Græcia celebratæ, duabus tantum imperatores subscripserunt, inquit Villalpandæus disput. 2, pro concil. Trident., nimirum sextæ et octavæ. Sed in sexta imperator Constantinus ultimus omnium subscripsit, non definiens, sed consentiens. Et Basilius imperator in octava synodo subscripsit post omnes patriarchas, similiter non definiens, sed suscipiens et consentiens, prius etiam prælatus, se debuisse subscribere post omnes episcopos, ut olim fecerant Constantinus, Theodosius et Martianus, tamen se subscripsisse immediate post patriarchas, quia tali eum honore episcopi afficere voluerint. Quare falsum videtur, quod Villalpandæus dicit, duos duntaxat imperatores subscripsisse, cum testetur imperator Basilius, subscripsisse etiam Constantinum Magnum, Theodosium et Martianum, licet postremo loco. Non exstant tamen hodie hujusmodi subscriptiones. In concilio Florentino D subscripsit ante omnes Græcos et Latinos præsules (excepto summo pontifice) Joannes Palæologus imperator Constantinopolitanus; sed tolerandum et dissimulandum fuit, tum ob Græcorum morem et genium, tum ne concordia inter orientalem et occidentalem Ecclesiam tantopere desiderata impediretur.

Digitized by Google Распознавание текста ABBYY FR

mato Augustam occurrere oportcat; affirmabatque id se exploratissime nosse, utpote missum ab iis, quibuscum ipse arcana sua communicaret. Imperatrix rata fraudem ab amicis patriarchæ fabricatam, ut ipsa ad nuntium consternata, ille supplicium admissæ in Deum impietatis evaderet, non se loco discessuram asseverabat, quamvis plane sciret, ea ipsa nocte Cantacuzenum intra mœnia fore. Hæc illa, cum falsum apportari nuntium arbitraretur, qui erat utique verissimus. Ut enim cum illis, a quibus ad urbem capiendam adjuvabatur, diem constituit, quo die et ipse adesset, et illi Auream portam obstructam perforarent, Selybria Adrianopolim discessit, cum amplius mille e toto exercitu delectis militibus (ne proderetur videlicet, si magnam multitudinem duceret), perque deserta et avia iter faciens, necessitate quadam præpeditus, die uno tardius venit, quam præfinitum erat; cum interea cogitationibus distraheretur, metuens, ne pars ejus ipso adhuc absente, ex conventis portam perfosso muro aperiens, flagrante delicto a populo necaretur: dolebatque incredibiliter, **695** non solum quod Byzantio frustraretur, sed etiam quod bonum numerum amicorum amissurus esset. Attamen non funditus abjecta spe eodem gradiebatur. Amici et ipsi necessitate quadam illo die retardati, die altero, quo in palatio contra patriarcham conventus agebatur, convenientes, portam Auream cum trepidatione et anxia cura aperiunt. Timebant siquidem, ne præcedente nocte veniens imperator, et ex pactis nihil dum factum inveniens, recessisset, ipsique proditi, ejus causa, neci dederentur. Tamen nec ipsi salutem in desperatis ducentes, portam perrumpunt; erat enim peditum equitumque haud contemnendum agmen, et si qua vis ingrueret, se defendere illam posse confidebant. Si perfossa porta imperatorem non invenirent, ad eum abire statuebant. Hac mente opus inceptant. Synodus autem in palatio, postquam copiose docuit, patriarcham ipsum in germanis Ecclesiæ dogmatis desipere, et alios ad sibi assentiendum cogere, concordibus eum sententiis exauctoravit. Quam ob causam maxime, imperatorem et qui urbi ab eo capiendæ studebant, die præstituto convenire fuisse prohibitos, postea judicatum est: ne scilicet imperator injuriarum memor, de throno illum deturbasse videretur, sed ut eum propter adulteratam doctrinæ veritatem hos pœnas pendere omnes perspicue intelligerent. Episcopi cum suffragiis aliorum episcoporum, qui ut suspecti in consilium adhibiti non fuerant, his ita peractis, multa jam nocte in sua quisque tecta recesserunt. Imperator ubi adfuit, et ejus factio intus aditum per portam Auream patefecit, resistente nemine, cum totius populi applausu et gratulatione urbem ingressus est, militibusque interdixit, ne ad cives diripiendos discurrerent; et quantum potuit, idem plebi vetuit. Ita in pace fuerunt, qui ab Augusta stubant, nisi si forte quidam a vicinis multati sunt,

A τειχῶν ὁ Καντακουζηνός, ὃ φυλάξασθαι δέον βασιλίδα· ἰσχυρίζετό τε σαφέστατα εἰδέναι παρὰ τῶν τὰ ἀπόῤῥητα κοινωνούντων αὐτῷ πεμφθείς. Βασιλὶς δὲ ἐπεὶ ἐπύθετο, ἀπάτην εἶναι οἰηθεῖσα ὑπὸ τῶν πατριάρχου φίλων συνεσκευασμένην, ἵν' αὐτῆς πρὸς τὴν ἀγγελίαν θορυβηθείσης, τὸ δοῦναι δίκην ἐκεῖνος διαδρᾷ ἐφ' οἷς ἐτόλμησε κατὰ Θεοῦ, οὐκ ἔφη ἀναστήσεσθαι, εἰ καὶ σαφῶς εἰδείη ἐν ἐκείνῃ τῇ νυκτὶ Καντακουζηνὸν ἐσόμενον ἐντὸς τειχῶν. Ἡ μὲν οὖν τοιαῦτα ἀπεφθέγξατο μὴ εἶναι ἀληθῆ τὴν ἀγγελίαν οἰηθεῖσα. Τὸ δὲ ἦν ἄρα ἀληθές· ὡς γὰρ ἐκ Σηλυμβρίας μετὰ τὸ προθεσμίαν συνθέσθαι πρὸς τοὺς πράττοντας τὴν ἅλωσιν, ἐν ᾗ αὐτόν τε παρεῖναι ἔδει, κἀκείνους τὴν Χρυσῆν πύλην διορύττειν ἀπωκοδομημένην, εἰς Ἀδριανούπολιν ἀπῆρε, τὸ κάλλιστον ἀπολεξάμενος; τῆς στρατιᾶς ὑπὲρ χιλίους ὄντας, ἵνα μὴ κατάφωρος εἴη ἐπαγόμενος πολλούς· καὶ διὰ τῶν ἀοικήτων καὶ ἀτριβῶν ἰδεύσας, ὑστέρησε μὲν τῆς προθεσμίας ὑπό τινος ἀνάγκης; κωλυθεὶς ἡμέρᾳ μιᾷ· καὶ πολλοῖς ἐπάλαισε λογισμοῖς, δεδοικὼς μὴ διορύξαντες οἱ τὰ ἐκείνου πράττοντες κατὰ τὸ σύνθημα τὴν πύλην, αὐτὸς μὲν ἀπῇ, ἐκεῖνοι δὲ ὑπὸ τοῦ δήμου διαφθαρῶσιν ἁλόντες ἐπ' αὐτοφώρῳ. Καὶ ἐδυσχέρανεν οὐκ ἀνεκτῶς, οὐ μόνον διὰ τὴν ἀποτυχίαν Βυζαντίου, ἀλλ' ὅτι καὶ τῶν φίλων ἔμελλεν οὐκ ὀλίγους ἀπολεῖν. Ὅμως δὲ οὐ παντάπασι τῶν ἐλπίδων ἀπογνούς, ἐχώρει ἐπὶ τὸ Βυζάντιον νυκτός. Οἱ προδιδόντες δὲ καὶ αὐτοὶ ὑπό τινος ἀνάγκης κωλυθέντες τοῖς τείχεσιν ἐπιχειρεῖν κατὰ τὴν προθεσμίαν, εἰς τὴν ὑστεραίαν καθ' ἣν ἐν βασιλείοις ἡ κατὰ πατριάρχου σύνοδος συνεκροτεῖτο, διώρυττον τὴν Χρυσῆν πύλην συνελθόντες, ἐν πολλῇ ταραχῇ καὶ σάλῳ ὄντες καὶ αὐτοί. Ἐδεδίεσαν γὰρ μὴ τῇ προγενομένῃ νυκτὶ ἐλθὼν ὁ βασιλεὺς, καὶ τῶν συντεθειμένων ἠνυσμένων εὐρηκὼς μηδέν, αὐτὸς μὲν αὖθις ἀνεχώρησεν, αὐτοὶ δὲ ὑφ' ἑαυτῶν καταπροδοθέντες διαφθαρῶσιν. Ὅμως οὐδ' αὐτοὶ τὰς τοῦ σώζεσθαι ἐλπίδας ἀπογνόντες, διώρυττον τὴν πύλην, ἦσαν γὰρ σύστημα οὐκ ἀγγενὲς ἐκ πεζῶν τε καὶ ἱππέων, καὶ ἐθάῤῥουν σφίσιν ἑαυτοῖς ὡς ἀμυνουμένοις, ἄν τις ἐπίῃ· κἂν διορύξαντες μὴ εὕρωσι παρόντα τὸν βασιλέα, πρὸς αὐτὸν ἀποχωρεῖν. Ἐκεῖνοι μὲν οὖν τοιαύτῃ γνώμῃ διώρυττον. Ἡ δὲ ἐν βασιλείοις σύνοδος, ἐπεὶ ἐκ πολλῶν ἀπεδείκνυ πατριάρχην αὐτόν τε περὶ τὰ ὀρθὰ τῆς Ἐκκλησίας δόγματα ἔχοντα οὐχ ὑγιῶς, καὶ τοὺς ἄλλους ἀναγκάζοντα ἐκείνῳ συμφρονεῖν, γνώμῃ κοινῇ καθαίρεσιν αὐτοῦ καταψηφίζονται. Δι' ἃ δὴ καὶ μάλιστα ἔδοξεν ὕστερον. Βασιλεύς τε καὶ οἱ πράττοντες τὴν ἅλωσιν συνελθεῖν κατὰ τὴν προθεσμίαν κωλυθῆναι, ἵνα μὴ μνησικακῶν αὐτὸς δοκοίη τῶν θρόνων καθαιρεῖν· ἀλλ' ἀκριβῶς εἴη τῶν ὀρθῶν δογμάτων τῇ; ἐκστροφῆς εὐθύνη. Οἱ μὲν οὖν ἀρχιερεῖς ἐπεὶ ταῦτα ἔπραξαν, καὶ τῶν ἀπόντων διὰ τὸ ὑποπτεύεσθαι ἀρχιερέων συνεπιψηφισαμένων, ἀνεχώρουν ἕκαστος πρὸς τὰς οἰκήσεις; ἤδη πόῤῥω νυκτῶν. Βασιλεὺς δὲ ἐπεὶ παρῆν, τῶν ἔνδον τὰ ἐκείνου πραττόντων τὴν Χρυσῆν διορυξάντων πύλην εἰσῆλαυνεν οὐδενὸς ἀνθισταμένου, ἀλλὰ δι' εὐφημίας αὐτὸν ἀγόντων παντὸς τοῦ δήμου, καὶ τοῖς

Digitized by Google Распознавание текста ABK/FR

τε στρατιώτας ἀπεῖπε μὴ χωρεῖν πρὸς ἁρπαγάς· καὶ τὸν δῆμον ἐκώλυεν ὅσα δυνατά. Ὅθεν οὐδὲ ἐγένετό τις κίνησις ἐπὶ τοὺς δοκοῦντας ᾐρῆσθαι τὰ βασιλίδος, πλὴν εἴ πού τινας αὐτῶν ἐζημίωσαν οἱ γείτονες. Καὶ τῶν στρατιωτῶν δὲ ὀλίγοι ἐπὶ τὰς οἰκίας τῶν πολεμίων, βασιλέως μὴ εἰδότος ἐπελθόντες, ἐποιήσαντό τινα μετρίαν ἁρπαγήν. Βασιλεὺς δὲ ἄχρι τῆς Πορφυρογεννήτου καλουμένης οἰκίας προσελθών, πρῶτα μὲν ἐκέλευε μηδένα χωρεῖν κατὰ τῶν βασιλείων, ἀλλὰ ἀτρεμεῖν, ὡς αὐτὸς διαθησόμενος τὰ κατὰ βασιλίδα ᾗ δοκεῖ ἔχειν ἄριστα. Ἐπεὶ δὲ διέφαινεν ἤδη ἡμέρα, διὰ μέσης τῆς ἀγορᾶς ἐβάδιζεν ἐπὶ Θεομήτορος τὸ τῆς Ὁδηγητρίας τέμενος, τὴν ὀφειλομένην προσκύνησιν καὶ τὴν εὐχαριστίαν τῆς νίκης ἀποδώσων τῇ Μητρὶ τοῦ Θεοῦ. Αὖθις δὲ διὰ τῆς αὐτῆς ἐπανήκων ἐπὶ τὴν τοῦ Πορφυρογεννήτου κατέλυσεν οἰκίαν. Βασιλὶς δὲ ὡς εἶχε τά τε βασίλεια ἠσφαλίζετο, τοῖς οἰκείοις καὶ μάλιστα δοκοῦσιν εὔνοις ἐπιτρέπουσα τὴν φυλακήν, καὶ ἐκ τῶν ἐν Γαλατᾷ βοήθειαν μετεκαλεῖτο. Οἱ δὲ αὐτίκα ἦσαν ἐν τοῖς ὅπλοις, καὶ ὥρμηντο προθύμως βοηθεῖν· τριήρεις τε πληρώσαντες ὅσαι ἦσαν αὖθωρον, καὶ λέμβους ἐφοπλίσαντες, πρὸς τὰ βασίλεια ἐπεραιοῦντο. Ἀντιταξάμενοι δὲ αὐτοῖς ἐκ τῶν μετὰ βασιλέως στρατιωτῶν τινες, ἅμα καὶ τοῦ δήμου προσεπιβοηθοῦντος, οὐκ εἴων τῇ γῇ προσχεῖν, ἀλλ' ἀπεπέμποντο βάλλοντες; συχνοῖς τοῖς βέλεσιν. Ὁρῶντες δὲ καὶ ἐκεῖνοι, ὡς οὐκ ἀντισχήσουσι πρὸς τοσούτους, πρότερον γὰρ ᾤοντο ὑπὲρ βασιλίδος αὐτοῖς, καὶ τὸν δῆμον συμπροσθήσεσθαι, ἀνεχώρουν τε καὶ οὐκέτι ὕστερον ἐπεβοήθουν. Βασιλεὺς δὲ κατ' ἐκείνην τὴν ἡμέραν μηδὲν πλέον μήτε πράξας, μήτε εἰπὼν εἰς τὴν ὑστεραίαν τούς τε ἐπισκόπους ὅσοι ἦσαν μεταπεμψάμενος ἐν Βυζαντίῳ, καὶ τῶν τῷ κλήρῳ κατειλεγμένων τῆς Ἐκκλησίας τοὺς μάλιστα ἐν λόγῳ, πρῶτον μὲν περὶ τῶν κατὰ τὸν πόλεμον συμβεβηκότων διειλέχθη, ὡς οὔτε ἐξαρχῆς ἔλοιτο αὐτὸς, οὔτε τοῖς βασιλέως ἐπιβουλεύσειε παισὶν, ὥσπερ ὑπὸ τῶν συκοφαντῶν κατηγορεῖτο· ἀλλ' ὑπ' ἐκείνων διὰ φθόνον κεκινημένου ἐπιβουλευσάντων, ἀναγκαίως τῆς αὐτοῦ καὶ τῶν συνόντων σωτηρίας ἕνεκα ἠμύνετο. Εἰς ἀνάγκην δὲ ἐλθὼν, καὶ βαρβάροις χρήσαιτο συμμάχοις, Μυσοὺς καὶ Τριβαλλοὺς, καὶ αὐτοὺς τοὺς βαρβάρους ἐκείνων ἐπαγόντων. Καὶ τῆς γεγενημένης φθορᾶς καὶ αἰχμαλωσίας τῶν Ῥωμαίων ἐκείνους ἀπεδείκνυεν αἰτίους. Ἔπειτα καὶ τῶν γιγνομένων ἐποιεῖτο μάρτυρας, ὡς αὐτὸς μὲν οὔτε πρότερον, οὔτε νῦν δυσχερές τι περὶ βασιλίδος διενοοῖτο καὶ τῶν παίδων, ἀλλ' ὅσα μάλιστά ἐστι πρὸς σωτηρίαν καὶ λυσιτέλειαν τῆς ἀρχῆς. Ἂν δ' ἐκείνη ἔτι τὴν προτέραν δυσμένειαν ἐκδεικνυμένη, ἀνθίστασθαι ἐπιχειροίη, καὶ σώζειν ἑαυτὴν καὶ τέκνα διὰ τοῦ πολέμου, μὴ αὐτῷ προσλογίζεσθαι τὴν αἰτίαν, εἴ τι περὶ αὐτὴν καὶ τέκνα συμβαίη δυσχερές. Οὐ γὰρ αὐτῷ λυσιτελεῖν δοκεῖν, οὐδὲ ἄλλως σῶφρον, ἐᾷν αὐτὴν ἐν βασιλείοις καθημένην, τὸν πόλεμον αὖθις τὸν συγγενικὸν ἀνακινοῦσαν, καὶ περιορᾷν τοὺς ὑπολειπομένους Ῥωμαίους ὑπ' ἀλλήλων διαφθειρομένους· ἀλλ' εἰ μὴ πείθοιτο χωρεῖν πρὸς τὰς

et milites aliquot in domus hostium, imperatore ignorante, penetrantes, prædas mediocres fecerunt. Imperator usque ad ædes Porphyrogeniti appellatas cum processisset, edixit, ne quis contra palatium tenderet, sed quieti manerent : se quod optimum censuisset, de imperatrice constituturum. Die jam terris reddita, per medium forum ad Deiparæ Hodegetriæ templum, debita ejusdem adoratione, **696** ac de præstita victoria gratiarum actione functurus petivit : eademque via rediens, in Porphyrogeniti domum divertit. Augusta ut potest, palatium communit; domesticis, et quorum benevolentiæ plurimum fidebat, custodiam committit; a Galatæis item auxilium accersit; qui repente ad arma convolantes, subsidio ferendo alacriter se comparant, eademque hora impletis quotquot in promptu erant triremibus, et lembis armatis, ad palatium trajiciunt. Sed eos nonnulli de militibus imperatoris, populo adjuvante, crebris jaculis ad terram appellere prohibebant. Videntes Galatæi se contra tantam multitudinem invalidos (speraverant enim populum pro imperatrice tuenda ad ipsos accessurum), retro abeunt, nec deinde subsidio venire audent. Imperator die illo nihil præterea nec fecit, nec locutus est. Sequenti episcopos, quicunque Constantinopoli reperiebantur, et cleri principes cogit, ac primum quidem de iis quæ bello accidissent disserit, quod neque a principio ipse suscitarit, neque liberis imperatoris (quemadmodum ejus obtrectatores garriant) insidias molitus sit. Sed cum illi capiti suo insidiantes, ex invidia illud excitassent, facere non potuisse, quin pro sua suorumque salute propugnaret, et Barbarorum quoque auxilia, quoniam necessitas ita flagitaret, sibi adjunxisse : quando et ipsi Mœsos ac Triballos similiter barbaros induxerint. Quod autem tanta labes facta, tot Romanorum capti sint, eos in causa esse docet. Tum ex ipsis actis testimonium affert, se nec alias, nec in præsens adversus Augustam ejusque liberos quidquam hostile meditatum esse, aut meditari, sed quæcunque imperio salutaria in primis forent atque utilia. Sin illa inimicum retineat animum, et resistere, seque cum filiis armorum vi defendere nitatur, ne sibi ascribat, si quid ipsi et filiis ejus odiosius contigerit. Non enim conducibile, neque cum prudentia conjunctum videri, illam in palatio sedentem, et inter cives cognatosque bellum redintegrantem relinquere, Romanorum vero reliquias, mutuo se devorantes negligere. Sed si ad conditiones descendere nolit, se quidem in eam durius nihil decreturum : metuere autem, ne simul omnibus suis in ipsam, et qui cum ipsa sunt irruentibus, ipse eorum impetum compescere nequeat, et aliquid patiatur ejusmodi, quod medicinæ faciendæ locum nullum relinquat. **697** His dictis delecto metropolitano Philippopolis, et sacellii curatore Cabasila (qui et prius Didymotichum legati venerant), ad eam de pace illos mittit. Ac primum quidem immensas Deo gratias agit, quod diem aspexis-

Digitized by Google Распознавание текста ABK/FR

set, qui sole clarius et calumniatorum suorum scelus atque odium honestatis, et imperatoris liberis ab initio hucusque a se præstitam æquitatem ac moderationem, et nihil illiberale aut indignum imperatoris Andronici amicitia post illius obitum a se designatum possit ostendere. Deinde suadet ut pacis conditionibus se submittat, nec vana spe suspensa, aut etiam ab optimatibus suis decepta, adhuc armis contra eundum putet; neque enim aliunde externum ipsi exspectandum auxilium : non enim esse profecto, qui venturus sit auxilio : et ex re præsenti nullam spem salutis affulgere, cum munitiones et propugnacula ut instaurentur et tempore aliquo, et sumptu, et materia indigeant, quæ nunc comparari non possint. Quos autem nunc secum habeat, nec pares esse ejus copiis, nec abundare commeatu, ut obsessionem facile ferant. Ob hæc omnia, ut secum paciscatur monet, ne sibi ac liberis per dementiam immane malum conflet, et illi pulcherrimam gloriæ occasionem præcidat. Hoc enim bello et voluisse semper, et a Deo optimo maximo precatum esse, uti aliquam sibi ansam daret, unde bonitatem et clementiam in vivos, et amorem in defunctum demonstrare posset, quem usque nunc integrum sincerumque conservet; nec se minus modo quam antea de procuratione liberorum ejus cogitare, nihili pendentem, quæ per bellum adversus se improbe patrata sint.

A συμβάσεις αὐτὸν μὲν περὶ αὐτῆς οὐδὲν βουλεύσεσθαι δεινόν. Δεδοικέναι δὲ μὴ συμπάντων ὡρμημένων ἐπ' αὐτοὺς, μὴ δύνηται αὐτὸς ἀνέχειν τὴν ὁρμήν, ἀλλά τι τολμηθῇ περὶ αὐτοὺς τῶν ἀνηκέστων. Ἔπειτα τὸν τῆς Φιλίππου μητροπολίτην ἀπολεξάμενος, καὶ Καβάσιλαν τὸν σακελλίου, οἳ καὶ πρότερον εἰς Διδυμότειχον ἦκον πρὸς ἐκεῖνον πρεσβευταὶ, ἔπεμπε πρὸς βασιλίδα. Ἡ πρεσβεία δὲ ἦν περὶ εἰρήνης. Καὶ πρῶτα μὲν πολλὰς ὡμολόγει χάριτας Θεῷ, ὅτι πρὸς ταύτην ἤγαγε τὴν ἡμέραν, ἣ λαμπρότερον ἡλίου πᾶσι δύναται καταφανῆ ποιεῖν, καὶ τὴν μοχθηρίαν τῶν σεσυκοφαντηκότων, καὶ τὴν ἀπέχθειαν πρὸς τὰ καλὰ, καὶ τὴν ἑαυτοῦ πρός τε τοὺς βασιλέως παῖδας ἐξαρχῆς ἄχρι νῦν ἐπιείκειαν διασεσωσμένην, καὶ τὸ μηδὲν ἀγεννὲς μηδὲ ἀνάξιον B τῆς βασιλέως πρὸς αὐτὸν φιλίας μετὰ τὴν ἐκείνου τελευτὴν φανῆναι διαπεπραγμένον. Ἔπειτα συνεβούλευε χωρεῖν πρὸς τὰς συμβάσεις, καὶ μὴ κεναῖς ἐλπίσιν αἰωρουμένην, ἢ καὶ ὑπὸ τῶν συνόντων ἐξαπατωμένην, οἴεσθαι ἀντισχήσειν ἔτι πρὸς τὸν πόλεμον· οὔτε γὰρ ἔξωθέν ποθεν ἥξειν χρὴ συμμαχίαν προσδοκᾷν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδεὶς, ὃς ἀφίξεται ἐπικουρήσων, ἔκ τε τῶν παρόντων ἐλπὶς οὐδεμία σώζεσθαι, τοῦ φρουρίου μὲν καὶ χρόνου τινὸς καὶ ἀναλωμάτων δεομένου, καὶ ὅλων πρὸς ἐπισκευὴν, ἃ οὐκ ἔξεστι πορίζεσθαι· τῶν συνόντων δὲ οὔτε ἀξιομάχων ὄντων πρὸς τοσαύτην δύναμιν, οὔτε τῶν ἐπιτηδείων εὐπορούντων, ὥστε διαφέρειν τὴν πολιορκίαν εὐμαρῶς. Δι' ἃ πάντα πρὸς συμβάσεις αὐτῇ συνεβούλευε χωρεῖν, καὶ μὴ αὐτῇ μὲν καὶ τέκνοις τὰ ἀνήκεστα προξενεῖν ἐξ ἀβουλίας, αὐτοῦ δὲ μεγίστην πρόφασιν εὐδοξίας ἀφαιρεῖν. Τοῦτο γὰρ κατὰ τὸν τοῦ πολέμου χρόνον καὶ βούλεσθαι ἀεὶ, καὶ εὔχεσθαι πρόφασίν τινα τὸ Θεῖον παρασχεῖν, ἐξ ἧς αὐτὸς τὴν ἐπιείκειαν καὶ τὴν εὐγνωμοσύνην ἐπιδείξεται, καὶ τὸ πρὸς βασιλέα φίλτρον, ὡς ἀκέραιον νῦν ἄχρι διασώζει, καὶ οὐδὲν ἧττον ἢ πρότερον κήδεσθαι τῶν παίδων διανοεῖται, λόγον ποιούμενος οὐδένα τῶν ὅσα πρὸς αὐτὸν κατὰ τὸν πόλεμον ἐγνωμονήθη.

CAPUT C.

Laudatur virtus imperatoris. Imperatrix legationem contemnit. Imperator summopere contristatur. Causæ cur vehementer imperatrici timeat. Castellum in Blachernis expugnatur. Propugnatores palatii defectionem meditantur. Joannes imperator adolescens matri auctor fit compositionis. Legatio ad imperatorem, qua se imperatrix submittit. Asanes socer legatus ut ingratus reprehenditur. Palamas alter legatus de constantia commendatur. Conditiones pacis aliquot, et utrinque juramenta. Imperator in palatium ingreditur.

Legati cæterique præsentes verba imperatoris et postulationem audientes, propter admirabilitatem vix fidem commodabant. Nam adeo multa antehac ab hostibus perpessum esse, et plus mille inter sacrum saxumque **698** stetisse, postea armis adepta victoria non ad cædes mactationesque procedere, pariaque paribus remetiri iis qui priores lacessiverant, sed victorem victos ad pacta conventa invitare, tametsi eos brevi spatio delere funditus liceret, excellentius quiddam, quam pro humana natura videbatur. Gaudebant igitur tanta lenitate, et suspiciebant tam præstantis animi magnitudinem. Imperatrix suorum consiliariorum impulsu legationem prorsus aspernata, oratores re infecta dimittit, ex quo imperatorem tristitia molestiaque intolerabilis occupavit, sexcentisque cogitationibus in diversa rapuit. Augurabatur enim, pertinaciam istam non bene eventuram, sed

C Οἱ μὲν οὖν πρέσβεις καὶ οἱ ἄλλοι οἱ παρόντες, τοὺς βασιλέως λόγους καὶ τὴν ἀξίωσιν ἀκούοντες, ὀλίγου δεῖν καὶ ἠπίστουν διὰ τὴν ὑπερβολήν. Τὸ γὰρ τοσαῦτα πρότερον ὑπὸ τῶν πολεμούντων ὑπομείναντα, καὶ μυριάκις ἐν ἀκμῇ κινδύνου καταστάντα, ἔπειτα κρατήσαντα τοῖς ὅπλοις, καὶ περιγενόμενον τῶν πολεμίων, μὴ πρὸς φόνους καὶ σφαγὰς χωρεῖν, καὶ ἴσ' ἀντ' ἴσων ἀποδιδόναι τοῖς πρώτοις ἄρξασιν, ἀλλὰ μετὰ τὴν νίκην ἐπὶ συμβάσεις προκαλεῖσθαι, καίτοι δυνάμενον ὀλίγῳ χρόνῳ διαφθεῖρειν, κρεῖττον εἶναι καὶ ἀνθρωπίνης φύσεως ἐδόκει. Ἡδοντό τε οὖν ὁμοῦ διὰ τὴν βασιλέως ἐπιείκειαν, καὶ ἐθαύμαζον τὴν μεγαλοψυχίαν. Βασιλὶς δὲ παντάπασιν οὐ προσεδέχετο τὴν πρεσβείαν, ἀλλ' ἀπράκτους ἀπέπεμπε τοὺς πρέσβεις ὑπὸ τῶν συνόντων πειθομένη. Καὶ ὁ βασιλεὺς ἠνιᾶτο καὶ ἐδυσχέραινεν οὐκ ἀνεκτῶς μυρίοις προσπαλαίων λογισμοῖς. Συνεώρα γὰρ τὴν ἔνστασιν οὐ τελευτήσουσαν ἐπ' ἀγαθῷ, ἀλλ' ἐκείνοις

Digitized by Google Распознавание текста ABK/FR

τε ἀνηκέστων κακῶν, καὶ τούτῳ μείζονος, ἢ καθ' ὅσον χρόνον ἦν πόλεμος λύπης αἰτίαν ἐσομένην. Οἵ τε γὰρ συνόντες ἅπαντες εἰς πολλῶν πεῖραν ἀλγεινῶν ἐλθόντες, καὶ οἱ ἔνδον ὁμοίως Βυζαντίου τῶν δεσμωτηρίων ἐξελθόντες, καὶ μνησικακοῦντες ἐσχάτως τοῖς συνοῦσι βασιλίδι, αὐτοί τε διεπρίοντο ὑπ' ὀργῆς, καὶ τὸν δῆμον ἐξηρέθιζον, καὶ ἔνδηλοι ἦσαν, ὡς καὶ βασιλέως ἄκοντος ἐπιθησόμενοι τοῖς ἐν βασιλείοις. Καὶ ἐδεδίει μὴ περί τε τὴν βασιλίδα καὶ τοὺς παῖδας ἀνήκεστόν τι τολμηθῇ, καὶ οἱ συνόντες πάντες ὑπὸ τῶν ἐχθραινόντων διαφθαρῶσιν· ὃ ὀλίγῳ ὕστερον μικροῦ ἐδέησε γενέσθαι. Ὡς γὰρ ἐπύθοντο, ὅτι μὴ τὴν πρεσβείαν δέχοιτο ἡ βασιλὶς μηδὲ χωροίη πρὸς συμβάσεις, τὸ ἐν Βλαχέρναις φρούριον, μέρος καὶ αὐτὸ τοῦ περὶ τὰ βασίλεια φρουρίου ὄν, καστέλλιον προσαγορευόμενον, ἐξεπόρθησάν τε καὶ διήρπασαν βασιλέως ἀγνοοῦντος, καὶ τοί γε τῶν ἔνδον ἀπὸ τῶν τειχῶν ἀμυνομένων κραταιῶς. Καὶ οἱ δοκοῦντες δὲ περὶ βασιλίδα εὖνοι εἶναι πρότερον, καὶ τὴν φυλακὴν τῶν βασιλείων ἐπιτετραμμένοι, ἐπεὶ τὸν κίνδυνον ἁπανταχόθεν περιϊστάμενον ἐώρων, βασιλίδα δὲ μὴ χωροῦσαν πρὸς συμβάσεις, ἀλλὰ μᾶλλον αἱρουμένην αὐτήν τε ἀποθνήσκειν κἀκείνους συναπόλλυσθαι, ἐσκέψαντο κοινῇ τῆς σφετέρας σωτηρίας ἕνεκα καταπροΐεσθαι ἐκείνους, καὶ παραδιδόναι βασιλεῖ τὸ φρούριον, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν λόγῳ μάλιστά τινες πρὸς βασιλέα πέμψαντες, περὶ προδοσίας διελέγοντο, καὶ δωρεὰς ᾔτουν καὶ τιμάς, εἰ παραδιδοῖεν τὰ βασίλεια αὐτῇ βασιλίδι καὶ τοῖς τέκνοις. Βασιλεὺς δ' οὐδ' ἄκροις ἠνέσχετο ὠσὶν, ἀλλ' ἀπέπεμπε σώζεσθαι μᾶλλον βασιλίδα καὶ τοὺς παῖδας εἰπὼν ποιεῖσθαι περὶ πλείστου. Βασιλεὺς δὲ ὁ νέος Ἰωάννης ἔτος πεντεκαιδέκατον τότε ὢν, μεῖζον ἢ κατὰ τὴν ἡλικίαν ἐφαίνετο φρονῶν, καὶ τῷ καιρῷ προσήκοντα βουλευόμενος. Ὡς γὰρ ᾐσθάνετο θορυβουμένους τοὺς ἐν βασιλείοις, στασιάζειν τε ἤδη ἀρχομένους, καὶ περὶ αὐτῶν ἐπιεικὲς οὐδὲν βουλευομένους, δραμὼν πρὸς τὴν μητέρα, τόν τε θόρυβον ἀπήγγελλε καὶ τὴν ἐπιβουλήν. Καὶ ἐδεῖτο πρὸς βασιλέα τάχιστα πρεσβείαν πέμπειν, καὶ τίθεσθαι συμβάσεις περὶ τῆς εἰρήνης· μάλιστα μὲν γὰρ ἔφασκεν ἐκεῖνον οὐδὲν περὶ αὐτῶν βουλεύσεσθαι δεινόν. Εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικήφη, βέλτιον ὑπ' ἐκείνου κακῶς παθεῖν, ἢ ἀλογίᾳ δήμου καὶ στρατιωτῶν ὁρμῇ περιπεσεῖν. Αὐτίκα τε ἐπείθετο ἡ μήτηρ, καὶ τὸν Ἀνδρόνικον Ἀσάνην τὸν βασιλέως πενθερὸν, καὶ τὸν Παλαμᾶν Γρηγόριον αὐτοῦ που κατακεκλεισμένους ἐν δεσμωτηρίοις ἔνδον βασιλείων ἄγεσθαι ἐκέλευε πρὸς αὐτήν· καὶ περὶ τῆς πρὸς βασιλέα διαλεχθεῖσα πρὸς αὐτοὺς εἰρήνης, ἔπεμπε πρὸς ἐκεῖνον πρεσβευτάς. Οἱ δὲ νομίσαντες βασιλέα οἰδαίνειν τε τῷ θυμῷ, καὶ πρὸς ἅμυναν τῶν κατὰ τὸν πόλεμον γεγενημένων παρεσκευασμένον εἶναι, πρῶτα μὲν ἐπὶ δεήσεις ἐτράποντο, καὶ ἱκεσίας ἀφεῖναι τὴν ὀργὴν τοῖς ἁμαρτήσασι, καὶ μηδὲν πλέον ἐπιζητεῖν

A ipsis mala deterrima, majoremque luctum, quam toto belli tempore experti essent, pariturum. Nam et illi omnes, qui cum imperatore erant, cum multa adversa pertulissent, et similiter qui Byzantii in carceribus fuerant, extreme se a proceribus Augustæ vexatos meminissent, ira æstuabant, populumque irritabant : et apparebat, vel invito imperatore, in eos qui essent in palatio impetum facturos. Verebatur insuper, ne imperatrici ac liberis aliquid atrocius fieret, quique cum ea versarentur, omnes hostium gladiis conficerentur : id quod paulo post propemodum accidisset. Ut enim intellexerunt eam legatos rejecisse ac pacem nolle, castellum in Blachernis appellatum, partem munitionis et propugnaculorum quibus palatium circumdatur, imperatore nesciente expugnarunt ac diripuerunt, cum qui intus erant e muris fortiter se defenderent. Qui porro antehac Augustæ bene cupere putabantur, quibusque custodia palatii commissa erat, postquam undique periculum, et eam a pacificatione refugientem, mori ipsosque secum perdere malle viderunt, unanimi consensu ipsi is et liberorum defensionem propriæ saluti jam postponentes, imperatori palatium tradere constituerunt. Quin etiam honoratissimos quosdam ad eum mittendo, dona et honoresquærebant, si regiam cum imperatrice et liberis dedidissent. Quos imperator auribus ista respuens dimisit, testatus, eam cum liberis servatam potius velle maximopere. Ecce autem imperator Joannes tum quindecim natus annos, supra ætatem sapere, et tempori opportuna consulere visus est. Ut enim tumultuantes sensit, qui in palatio erant, et jam dissidere incipientes, deque matre cum filiis nihil æquum animis agitantes, ad parentem accurrens, **699** tumultum et insidias nuntiat ; orans celerrime ad imperatorem mitti, et cum eo decidi, affirmansque, nihil ab eo grave timendum. Sin secus res eat, præstare illum inclementem experiri, quam in populi dementiam ac militum furorem incidere. Illico persuasa mater, Andronicum Asanem imperatoris socerum, et Gregorium Palamam illic carcere detentos (6) ad se adduci jussit : quibuscum de pace locuta, eos ad imperatorem legat. Qui illum tumere iracundia, et ad persequendas bello acceptas injurias paratum esse opinantes, primum preces et supplicationes adhibent, ut reis placaretur, et hostes domuisse, penitusque subjecisse contentus esset ; et quemadmodum eos armis vicisset, sic et injuriarum contemptu et altitudine animi se ipsum vinceret : quæ nimirum maxima illique convenientissima victoria esset. Deinde legationem exponentes petunt, ut pietatem erga defuncti imperatoris liberos, clementiæ, excelsæ mentis ac prudentiæ suæ æternum monumentum relinqueret. At enim ne-

B

C

D

Jacobi Pontani notæ.

(65) Quare in carcerem traditus Andronicus Asanes, qui tamen genero adversatus legitur, perinde ut ceteri ? Sed hoc Apocauchus fecit ; causa indicata est supra.

Digitized by Google Распознавание текста ABK/FR

sciebant se novaculam acuere, et equum cursorem in campum provocare. Cum primum namque ea verba audivit, omnia se illorum causa velle ostendit, perinde ac ipse non daret, sed acciperet beneficium. Legatum vero socerum de ingrata voluntate blanda oratione increpuit, quod nulla in re offensus, sed, si verum fatendum, mille beneficiis cumulatus, tam male gratiam rotulisset, et bellum contra se concitasset. Palamam contra laudavit, et gratias egit, quod pro justitia veritateque gravissime afflictus, usque ad extremum nihil abjectum aut fecerit aut dixerit. Tum præcepit juramenta ad Augustam et imperatorem filium conscribi; et conscripta sunt cum his conditionibus: Ut neque ipse vindicaret in eos qui se læsissent, et tum in palatio cum imperatrice degerent; neque multaret ullo modo, sed omnia præterita oblivione sepeliret; neque imperatrix, aut filius imperator in eos, a quibus ipse Cantacuzenus bello adjutus esset, inimicum retinerent animum; nec illis vel arte, vel ulla machina nocere conarentur, sed utrinque adversum socios utrorumque odia deponerentur, omnesque quas ab initio habuissent, fortunas suas retinerent; imperarent autem ambo, Cantacuzenus et Joannes adolescens Palæologus; seque ea invicem **700** benevolentia complecterentur, qua patres et filii solent; juniorque seniori potiores deferret in omnibus, ac propter ætatem nondum firmatam, decem annos administratione cederet: quibus exactis, æquali auctoritate cum eo imperaret. In has conditiones et ipse imperator, et Anna Augusta cum filio imperatore, ut in perpetuum servandas juraverunt. Secundum juramenta, qui in palatio erant, portis reclusis, Cantacuzenum imperatorem acceperunt, sexto Idus Februarias, anno orbis conditi sexies millesimo octingentesimo quinquagesimo quinto, indictione quinta decima.

A τοῦ τῶν πολεμίων κρείττω εἶναι, καὶ πάντας ὑποχειρίους ὁμοῦ λαβεῖν· ἀλλ' ὥσπερ τοῖς ὅπλοις, οὕτω δὴ καὶ τῇ μεγαλοψυχίᾳ φαίνεσθαι νικῶντα, ἥπερ δὴ μεγίστη νίκη, καὶ μάλιστα προσήκουσα αὐτῷ. Ἔπειτα ἀπήγγελλον καὶ τὴν πρεσβείαν βασιλίδος, καὶ ἐδέοντο μνημεῖον τῆς αὐτοῦ ἐπιεικείας, καὶ μεγαλοψυχίας, καὶ συνέσεως, τὴν περὶ τοὺς βασιλέως εὐγνωμοσύνην παῖδας ἀνεξάλειπτον τοῖς εἰς ὕστερον καταλιπεῖν. Ἐλάνθανον δὲ ξυρὸν ἀκονῶντες, καὶ ἵππον θέειν ἀγαθὸν ἐπὶ πεδίον προκαλούμενοι. Ὡς γὰρ μόνον ἤκουε τοὺς λόγους βασιλεὺς, πάντα ἦν ἕτοιμος ὑπὲρ τῶν βασιλέως παίδων πράττειν, ὥσπερ αὐτὸς εὐεργετούμενος, ἀλλ' οὐ παρέχων τὰς εὐεργεσίας. Τῶν μὲν οὖν πρέσβεων, τῷ πενθερῷ μὲν ὠνείδιζεν ἠπίως τὴν πρὸς αὐτὸν ἀγνωμοσύνην ὁ βασιλεὺς, ὅτι πρότερον ὑπ' ἐκείνου μηδὲν ἀδικηθείς, ἀλλ' εἰ δεῖ τι τἀληθὲς εἰπεῖν, καὶ μυρία εὖ παθών, ὃ δ' ἡμείψατο τοῖς ἐναντίοις, καὶ τὸν πόλεμον κεκίνηκε κατ' αὐτοῦ. Παλαμᾶν δὲ ἐπῄνει, καὶ πολλὰς ὡμολόγει χάριτας, ὅτι πολλὴν ὑπὲρ αὐτοῦ δικαίου καὶ τῆς ἀληθείας κάκωσιν ὑπενεγκών, οὐδὲν ἀγεννὲς οὔτε ἔπραξεν, οὔτ' ἐφθέγξατο ἄχρι τέλους. Ἔπειτα ἐκέλευε τοὺς πρὸς βασιλίδα καὶ βασιλέα τὸν υἱὸν γράφειν ὅρκους. Καὶ ἐγράφοντο ἐπὶ τούτοις, ὥστε μήτ' αὐτὸν ἀμύνεσθαι τοὺς λελυπηκότας, καὶ συνόντας ἐν βασιλείοις βασιλίδι τότε, μήτε ζημιοῦν μηδέν· ἀλλὰ πᾶσαν ἀμνηστίαν παρέχεσθαι τῶν πεπραγμένων· μήτε βασιλίδα καὶ βασιλέα τὸν υἱὸν τοῖς ἐκείνῳ συμπράξασι κατὰ τὸν πόλεμον μνησικακεῖν, μηδ' ἐπιχειρεῖν βλάπτειν, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ· ἀλλ' ἀμφοτέροις διαλελύσθαι τὸ πρὸς τοὺς ἑκατέρους προσκειμένους ἔχθος· κτήσεις δὲ ἔχειν πάντας τὰς ἑκάστῳ προσηκούσας ἀπ' ἀρχῆς. Συμβασιλεύειν δὲ ἀμφοτέρους βασιλέα τε τὸν Καντακουζηνὸν, καὶ τὸν Παλαιολόγον Ἰωάννην τὸν νέον βασιλέα· καὶ ἀλλήλους εὐνοεῖν τὴν προσήκουσαν εὔνοιαν, πατράσι καὶ παισὶ πρὸς ἑκατέρους. Ὑπείκειν δὲ τὸν νέον τῷ πρεσβυτέρῳ κατὰ πάντα· καὶ τοῦ πράττειν αὐτῷ παραχωρεῖν ἐπὶ δέκα ἔτεσι διὰ τὴν ἡλικίαν· μετὰ τοῦτο δὲ τῆς ἀρχῆς συμμετέχειν. Τοιοῦτοι μὲν οἱ ὅρκοι ἐγεγένηντο, καὶ αὐτός τε ὤμνυεν ὁ βασιλεὺς, καὶ ἡ βασιλὶς Ἄννα μετὰ βασιλέως τοῦ υἱοῦ, ὥστε παραβήσεσθαι μηδέ ποτε. Τετελεσμένων δὲ τῶν ὅρκων, τὰς πύλας οἱ ἐν βασιλείοις ὑπανοίξαντες, εἰσεδέχοντο τὸν βασιλέα, ὀγδόῃ Φεβρουαρίου ἱσταμένου, ἐπὶ τοῖς πέντε καὶ πεντήκοντα ἔτεσι πρὸς ἑξακισχιλίοις καὶ ὀκτακοσίοις, ἐν ἰνδίκτῳ πεντεκαιδεκάτῃ.

B

C

Digitized by Google Распознавание текста ABK/FR

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

IOANNES CANTACUZENUS IMP.

Notitia. 9

JOANNIS CANTACUZENI HISTORIARUM LIBRI IV. 17

Prolegomena. *ibid.*

LIBER PRIMUS. 41

NILUS CHRISTODULO. 41

